BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

BT 2035

ATHENAEVS NAVCRATITES

DEIPNOSOPHISTAE

VOLVMEN IV.A

LIBRI XII–XV

EDIDIT

S. DOUGLAS OLSON

DE GRUYTER

ISBN 978-3-11-055853-1
e-ISBN (PDF) 978-3-11-056741-0
ISSN 1864-399X

Library of Congress Control Number: 2019936569

Bibliographic information published by the Deutsche Nationalbibliothek
The Deutsche Nationalbibliothek lists this publication in the Deutsche Nationalbibliografie; detailed bibliographic data are available on the Internet at http://dnb.dnb.de.

Greek font: Orthos by Ralph Hancock
Printing: Hubert & Co. GmbH & Co. KG, Göttingen

www.degruyter.com

HOC VOLVMINE CONTINENTVR

PRAEFATIO

This is the final text-volume of my edition of Athenaeus, but the first to be published. Some brief prefatory remarks about the organization and conception of the project are accordingly in order. More extensive comments will be found at the beginning of Volume I, which should be published within the next few years.

When Kaibel produced his Athenaeus at the end of the 19th century, many of the fragmentary authors the text preserves had not been carefully edited in independent editions. This is no longer the case, and my sense of my readership, and thus my goals with this edition, are accordingly different from his. Modern standard editions of ancient texts have many substantial advantages. They also tend, however, to conceal their own fragile character, by presenting a much better text than the one that has been transmitted to us by the ancient authorities. The fragmentary comic poets in the monumental Kassel–Austin *Poetae Comici Graeci*, for example, are uniformly metrical, but only due to the aggressive, often brilliant efforts of modern editors. Put another way, when one reads e.g. comic fragments preserved by Athenaeus in *PCG*, one generally reads something other than what the manuscripts present, and the authority of the edition is such that that difference tends in practice to be elided. This problem is compounded by the fact that texts such as Kaibel's Athenaeus attempt to accomplish two different tasks simultaneously, both faithfully representing the source author and offering the best possible version of the quoted text. My edition abandons the latter goal, in large part because this can now be done in a philologically responsible manner, as it could not 100 years ago. My assumption throughout is that users of a critical edition today likely come to Athenaeus not so much because they want to read the material he preserves, but because they want to know how he preserves it. I therefore take it for granted that such readers will have access on the one hand to works such as *PCG* and the Kannicht–Radt edition of the tragic poets, and on the other hand to a translation such as my own Loeb (which presents improved modern versions of embedded material throughout). My text of Athenaeus, by con-

trast, offers something much closer to what the manuscripts preserve; to the extent I have improved the text, this has been by attempting to reconstruct what the common ancestor of A and the *Epitome* manuscripts may have read, not the precise version of the material that Athenaeus himself had in the 2nd century CE (a problematic target in any case), much less what the original authors wrote long before that. My apparatus, meanwhile, is keyed to and to some considerable extent dependent on the standard modern critical editions of quoted sources, and shows how the text in question is generally printed today and why. I assume that readers interested in further modern conjectures, or in alternative readings in other ancient authorities, will consult the critical apparatuses of those editions. As a consequence, this is not a superficially easy text of Athenaeus or of the material he preserves, often in highly problematic form. Instead, my edition is designed to require and reward careful, engaged critical reading and thus — in conjunction with the other sources noted above — to allow a full appreciation of the extraordinary material that has been passed on to us here.

Kaibel believed that the *Epitome* of Athenaeus was made directly from A, and he accordingly reported alternative readings only from C or E, and never from both. As a consequence, it is impossible to tell from Kaibel's apparatus when a reported reading in an *Epitome* manuscript represents that tradition as a whole and when it is eccentric. By contrast, I report *Epitome* readings fully, and also present a text of the *Epitome* itself in a second fascicle (thus simultaneously replacing Peppink). Kaibel also ignored later witnesses to the text (D B M P Q) and accordingly assigned large numbers of readings to Musurus that are in fact the product of a rich, cumulative 15th-century reception of Athenaeus. He also appears to have paid only passing and fitful attention to the early printed editions, giving many conjectures e.g. to Schweighäuser that belong to earlier scholars. My edition attempts to improve these aspects of the text as well. Readers should note that I cite the late non-*Epitome* manuscripts only when they disagree with A. Nor do I attempt to catalogue the countless wild errors and misguided conjectures in these manuscripts, most of which make no substantial contribution to my project as I have con-

ceived it. As for the *Epitome*, I similarly disregard alternative readings in either C or E that are patently wrong or unhelpful when the other manuscript agrees with A.

Final proofs of this portion of my edition were read in Freiburg, Germany, a place I have come to love not only for its University, its Institute of Advanced Study, and the many friends we have made here, but for its vineyards and lakes, in one of which I have just been swimming this morning. Full acknowledgements and thanks will appear in Volume I. Volume IV, along with everything to follow, is dedicated to my beautiful, sweet wife Rachel, who changed my life.

Freiburg, Germany
30 August 2019

IB

[1] ἄνθρωπος εἶναί μοι Κυρηναῖος δοκεῖς, 510a

κατὰ τὸν Ἀλέξιδος Τυνδάρεων (fr. 241), ἑταῖρε Τιμόκρατες·

κἀκεῖ γὰρ ἄν τις ἐπὶ τὸ δεῖπνον ἕνα καλῇ,
πάρεισιν ὀκτωκαίδεκ᾽ ἄλλοι καὶ δέκα
5 ἅρματα, συνωρίδες πεντεκαίδεκα·
τούτοις δὲ δεῖ σε τἀπιτήδει᾽ ἐμβαλεῖν,
ὥστ᾽ ἦν κράτιστον μηδὲ καλέσαι μηδένα. 5

κἀμοὶ δ᾽ ἦν κράτιστον σιωπᾶν καὶ μὴ ἐπὶ τοσούτοις | προειρημένοις ἕτερα προστιθέναι. ἀλλ᾽ ἐπεὶ πάνυ λιπαρῶς ἡμᾶς ἀπαιτεῖς καὶ 510b
10 τὸν περὶ τῶν ἐπὶ τρυφῇ διαβοήτων γενομένων λόγον καὶ τῆς τούτων ἡδυπαθείας· [2] ἡ γὰρ ἀπόλαυσις δήπου μετ᾽ ἐπιθυμίας πρῶτον, εἶτα μεθ᾽ ἡδονῆς. καίτοι Σοφοκλῆς γε ὁ ποιητής (test. 80e; cf. Pl. *R.* 329b–c) τῶν ἀπολαυστικῶν εἷς ὤν, ἵνα μὴ κατηγορῇ τοῦ γήρως, εἰς σωφροσύνην ἔθετο τὴν ἀσθένειαν αὐτοῦ τὴν περὶ
15 τὰς τῶν ἀφροδισίων ἀπολαύσεις φήσας ἀσμένως ἀπηλλάχθαι αὐτῶν ὥσπερ τινὸς δεσπότου. ἐγὼ δέ φημι καὶ τὴν τοῦ Πάριδος κρίσιν ὑπὸ τῶν | παλαιοτέρων πεποιῆσθαι ἡδονῆς πρὸς ἀρετὴν οὖσαν σύγκρισιν· προκριθείσης οὖν τῆς Ἀφροδίτης (αὕτη δ᾽ ἐστὶν ἡδονή) πάντα συνεταράχθη. καί μοι δοκεῖ καὶ ὁ καλὸς ἡμῶν 510c
20 Ξενοφῶν (*Mem.* 2.1.21–34) τὸν περὶ τὸν Ἡρακλέα καὶ τὴν Ἀρετὴν μῦθον ἐντεῦθεν πεπλακέναι· κατὰ γὰρ τὸν Ἐμπεδοκλέα (31 B 128.1–7 D.–K.)·

οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμὸς
οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Κρόνος οὐδὲ Ποσειδῶν,
25 ἀλλὰ Κύπρις βασίλεια.
τὴν οἵ γ᾽ εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκονται,

510a Eust. p. 1148.32–4 = IV.195.14–196.1 | **510b–d** Eust. p. 1261.42–5 = IV.587.15–588.2

4 ὀκτωκαίδεκ᾽ C E M P Eust. Mus : ὀκτωκαίδεκα A ‖ **5** συνωρίδες A : καὶ συνωρίδες C E : καὶ ξυνωρίδες Eust. : συνωρίδες ⟨τε⟩ Musurus ‖ **6** τἀπιτήδει᾽ E Eust. Mus : τἀπιτήδεια A C ‖ **12** εἶτα lmA mg C E : ἔπειτα A ‖ **13** ἀπολαυστικῶν γε A : γε om. C E ‖ **18** οὖν C E : γοῦν A ‖ **26** ἱλάσκονται A : ἱλάσκοντο Porph. *Abst.* 2.20

γραπτοῖς δὲ ζῴοισι μύροισί τε δαιδαλεόδμοις 5
σμύρνοις τ᾽ ἀκρήτου θυσίαις λιβάνου τε θυώδους
ξανθῶν τε σπονδὰς μελίτων ῥίπτοντες ἐς οὖδας.

καὶ Μένανδρος δ᾽ ἐν Κιθαριστῇ (*Kith.* fr. 5 Koerte) περί τινος μουσικευομένου λέγων φησί· ‖ 5

511a φιλόμουσον εἶν᾽ αὐτὸν πάνυ
ἀκούσματ᾽ εἰς τρυφήν τε παιδεύεσθ᾽ αἰεί.

[3] (Dioscurid. fr. XXVIII Weber) καίτοι τινές φασι κατὰ φύσιν εἶναι τὴν ἡδονὴν ἐκ τοῦ πάντα ζῷα δεδουλῶσθαι ταύτῃ, ὥσπερ οὐχὶ καὶ δειλίας καὶ φόβου καὶ τῶν ἄλλων παθημάτων κοινῶς μὲν 10 ἐν ἅπασιν ὄντων, παρὰ δὲ τοῖς λογισμῷ χρωμένοις ἀποδοκιμαζομένων. τὸ οὖν ἡδονὰς διώκειν προπετῶς λύπας ἐστὶ θηρεύειν· διόπερ Ὅμηρος (cf. *Il.* 14.292–360) ἐπονείδιστον βουλόμενος ποιῆσαι τὴν ἡδονὴν καὶ τῶν θεῶν φησι τοὺς μεγίστους οὐδὲν ὑπὸ τῆς 511b σφετέρας | ὠφελεῖσθαι δυνάμεως ἀλλὰ τὰ μέγιστα βλάπτεσθαι 15 παρενεχθέντας ὑπ᾽ αὐτῆς· ὅσα μὲν γὰρ ἀγρυπνῶν Ζεὺς ἐφρόντιζεν ὑπὲρ τῶν Τρώων, ταῦτ᾽ ἀπώλεσε μεθ᾽ ἡμέραν ὑφ᾽ ἡδονῆς κρατηθείς. καὶ Ἄρης ἀλκιμώτατος ὢν ὑπὸ τοῦ ἀσθενεστάτου Ἡφαίστου συνεποδίσθη καὶ ὦφλεν αἰσχύνην καὶ ζημίαν ἐκδοὺς ἑαυτὸν ἔρωσιν ἀλογίστοις· φησὶ γοῦν πρὸς τοὺς θεούς, ὅτ᾽ ἦλθον αὐτὸν θεασόμε- 20 νοι δεδεμένον (*Od.* 8.329–32)·

οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν· |
511c ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα, 330
ὠκύτατόν περ ἐόντα θεῶν οἳ Ὄλυμπον ἔχουσι,
χωλὸς ἐών, τέχνῃσι· τὸ καὶ ζωάγρι᾽ ὀφέλλει. 25

οὐδεὶς (Chamael. fr. [53] Martano) δὲ λέγει τὸν Ἀριστείδου βίον ἡδὺν ἀλλὰ τὸν Σμινδυρίδου τοῦ Συβαρίτου καὶ τὸν Σαρδαναπάλλου. καίτοι κατά γε τὴν δόξαν, φησὶν ἐν τῷ Περὶ Ἡδονῆς Θεόφραστος (fr. 551 Fortenbaugh), οὐχ ὁμοίως λαμπρός ἐστιν, ἀλλ᾽ οὐκ ἐτρύφησεν ὥσπερ ἐκεῖνοι· οὐδὲ τὸν Ἀγησιλάου τοῦ Λακεδαι- 30 μονίων βασιλέως ἀλλὰ μᾶλλον, εἰ ἔτυχε, τὸν Ἀνάνιος οὕτως

1 δὲ A : τε Porph. *Abst.* 2.20 ‖ **2** σμύρνοις A : σμύρνης M P Mus et Porph. *Abst.* 2.20 ‖ **6** εἶν᾽ Schweighäuser : εἶναι A ‖ **7** ἀκούσματ᾽ A : ἀκούομεν Wilamowitz : ἠκούσατ᾽ Kaibel | αἰεί A : ἀεί B M P Mus ‖ **16** ὁ Ζεὺς A : ὁ om. C E ‖ **18** ὁ Ἄρης A : ὁ om. C E ‖ **25** ζωάγρι᾽ A : μοιχάγρι᾽ Hom.

ἀοράτου κατὰ | τὴν δόξαν ὄντος, οὐδὲ τὸν τῶν ἡμιθέων τῶν ἐπὶ 511d
Τροίας ἀλλὰ πολλῷ μᾶλλον ⟨τὸν⟩ τῶν νῦν. καὶ τοῦτ᾽ εἰκότως· ὁ
μὲν γὰρ ἀκατάσκευος καὶ καθάπερ ἀνεύρετος ἦν οὔτ᾽ ἐπιμιξίας
οὔσης οὔτε τῶν τεχνῶν διηκριβωμένων, ὁ δὲ πᾶσιν ἐξηρτυμένος
5 πρὸς ῥᾳστώνην καὶ πρὸς ἀπόλαυσιν καὶ πρὸς τὰς ἄλλας διαγω-
γάς. [4] Πλάτων δ᾽ ἐν τῷ Φιλήβῳ (65c–d) φησίν· ἡδονὴ μὲν γὰρ
ἁπάντων ἀλαζονίστατον. ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδοναῖς ταῖς
περὶ τὰ ἀφροδίσια, ἃ δὴ μέγιστα δοκοῦσιν εἶναι, καὶ | τὸ ἐπιορκεῖν 511e
συγγνώμην εἴληφε παρὰ θεῶν, ὥσπερ καθάπερ παίδων τῶν
10 ἡδονῶν οὐδὲ τὸν λογισμὸν κεκτημένων. ἐν δὲ τῷ ὀγδόῳ τῆς Πολι-
τείας (559a–c) ὁ αὐτὸς Πλάτων πρότερος ὑπέδειξε τὸ ὑπὸ τῶν
Ἐπικουρείων θρυλούμενον, ὅτι τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ
⟨καὶ ἀναγκαῖαι, αἱ δὲ φυσικαὶ⟩ μέν, οὐκ ἀναγκαῖαι δέ, αἱ δὲ οὔτε
φυσικαὶ οὔτε ἀναγκαῖαι, γράφων οὕτως· "ἆρ᾽ οὖν οὐχὶ ἡ τοῦ
15 φαγεῖν μέχρις ὑγιείας καὶ εὐεξίας καὶ αὐτοῦ σίτου καὶ ὄψου ἀναγ-
καῖος ἂν εἴη; ἡ μέν γέ | που τοῦ σίτου κατ᾽ ἀμφότερα ἀναγκαία, ᾗ 511f
τε ὠφέλιμος ᾗ τε παῦσαι ζῶντας δυνατή;" "ναί." "ἡ δὲ ὄψου, εἴ
πῄ τινα ὠφέλειαν πρὸς εὐεξίαν παρέχεται;" "πάνυ μὲν οὖν." "τί
δαί; ἡ πέρα τούτων καὶ ἀλλοίων ἐδεσμάτων ἢ τοιούτων ἐπιθυμία,
20 δυνατὴ δὲ κολαζομένη ἐκ νέων πολλῶν ἀπαλλάττεσθαι, καὶ
βλαβερὰ μὲν σώματι, ‖ βλαβερὰ δὲ ψυχῇ πρός τε φρόνησιν καὶ 512a
πρὸς τὸ σωφρονεῖν, ἆρά γε ὀρθῶς καὶ ἀναγκαία ἂν καλοῖτο;"
"ὀρθότατα μὲν οὖν." [5] Ἡρακλείδης δ᾽ ὁ Ποντικὸς ἐν τῷ Περὶ
Ἡδονῆς (fr. 55 Wehrli = fr. 39 Schütrumpf) τάδε λέγει· οἱ τύραννοι
25 καὶ οἱ βασιλεῖς τῶν ἀγαθῶν ὄντες κύριοι καὶ πάντων εἰληφότες
πεῖραν τὴν ἡδονὴν προκρίνουσι μεγαλοψυχοτέρας ποιούσης τῆς
ἡδονῆς τὰς τῶν ἀνθρώπων φύσεις· ἅπαντες γοῦν οἱ τὴν ἡδονὴν

512b–c cf. Ael. *VH* 4.22

1 τὴν C E : om. A ‖ **2** ⟨τὸν⟩ τῶν Meineke : τὸν pro τῶν Kaibel ‖ **8** ἃ δὴ μέγιστα A C E : αἳ δὴ μέγισται Pl. ‖ **9** ὥσπερ A C E : ὡς Pl. ‖ **9–10** τῶν ἡδονῶν οὐδὲ τὸν λογισμὸν A : τῶν ἡδο[μν] οὐδὲ τὸν λογισμὸν C E : τῶν ἡδονῶν νοῦν οὐδὲ τὸν ὀλίγιστον Pl. ‖ **12** Ἐπικουρείων M P Mus : Ἐπικουρίων A **13** suppl. Kaibel ex [lm]A[mg] ὅτι τῶν ἡδονῶν αἱ μὲν φυσικαὶ καὶ ἀναγκαῖαι, αἱ δὲ κτλ, cf. D.L. 10.149 ‖ **15** σίτου καὶ ὄψου A : σίτου τε καὶ ὄψου Pl. **18** ὠφέλειαν A : ὠφέλιαν Pl. ‖ **18–19** τί δαί A : τί δὲ Pl. ‖ **22** πρὸς A : om. Pl. | καὶ A : οὐκ Pl. ‖ **23** ἐν τῷ M P Mus : ἐκ τῶν A ‖ **25** τῶν A C E : πάντων Kaibel

τιμῶντες καὶ τρυφᾶν προηρημένοι μεγαλόψυχοι καὶ μεγαλοπρε-
512b πεῖς εἰσιν, ὡς Πέρσαι καὶ | Μῆδοι· μάλιστα γὰρ τῶν ἄλλων
ἀνθρώπων τὴν ἡδονὴν οὗτοι καὶ τὸ τρυφᾶν τιμῶσιν ἀνδρειότατοι
καὶ μεγαλοψυχότατοι τῶν βαρβάρων ὄντες· ἐστὶ γὰρ τὸ μὲν
ἥδεσθαι καὶ τὸ τρυφᾶν ἐλευθέρων, ἀνίησι γὰρ τὰς ψυχὰς καὶ αὔξει, 5
τὸ δὲ πονεῖν δούλων καὶ ταπεινῶν· διὸ καὶ συστέλλονται οὗτοι καὶ
τὰς φύσεις. καὶ ἡ Ἀθηναίων πόλις, ἕως ἐτρύφα, μεγίστη τε ἦν καὶ
μεγαλοψυχοτάτους ἔτρεφεν ἄνδρας· ἁλουργῆ μὲν γὰρ ἠμπίσχοντο
ἱμάτια, ποικίλους δ᾽ ὑπέδυνον χιτῶνας, κορύμβους δ᾽ ἀναδούμενοι |
512c τῶν τριχῶν χρυσοῦς τέττιγας περὶ τὸ μέτωπον καὶ τὰς κόμας 10
ἐφόρουν· ὀκλαδίας τε αὐτοῖς δίφρους ἔφερον οἱ παῖδες, ἵνα μὴ
καθίζοιεν ὡς ἔτυχε· καὶ τοιοῦτοι οἱ τὴν ἐν Μαραθῶνι νικήσαντες
μάχην καὶ μόνοι τὴν τῆς Ἀσίας ἁπάσης δύναμιν χειρωσάμενοι.
καὶ οἱ φρονιμώτατοι δέ, φησί, καὶ μεγίστην δόξαν ἐπὶ σοφίᾳ
ἔχοντες μέγιστον ἀγαθὸν τὴν ἡδονὴν εἶναι νομίζουσι, Σιμωνίδης 15
(*PMG* 584) μὲν οὑτωσὶ λέγων·

> τίς γὰρ ἁδονᾶς ἄτερ θνη-
> τῶν βίος ποθεινὸς ἢ ποί-
> α τυραννίς; |
> 512d τᾶσδ᾽ ἄτερ οὐδὲ θεῶν ζηλωτὸς αἰών, 20

Πίνδαρος (fr. 126) ⟨δὲ⟩ παραινῶν Ἱέρωνι τῷ Συρακοσίων ἄρχοντι·

> μηδ᾽ ἀμαύρου (φησί) τέρψιν ἐν βίῳ· πολύ τοι
> φέριστον ἀνδρὶ τερπνὸς αἰών.

καὶ Ὅμηρος (cf. *Od.* 9.5–8) δὲ τὴν εὐφροσύνην καὶ τὸ εὐφραίνεσθαι
τέλος φησὶν εἶναι χαριέστερον, ὅταν δαιτυμόνες μὲν ἀοιδοῦ ἀκουά- 25
ζωνται, παρὰ δὲ πλήθωσι τράπεζαι. τοὺς δὲ θεούς φησιν (e.g. *Il.*

512b–c Eust. p. 1282.36–7 = IV.663.10–13

2 τῶν ἄλλων A : πάντων C E ‖ **3** τὸ τρυφᾶν A : τὴν τρυφὴν C E ‖ **4** μεγαλοψυχότατοι, i.e. μεγαλοψυχό^{ττ} C B : μεγαλοψυχό^{ττ} E : μεγαλοψυχότεροι, i.e. μεγαλοψυχό^{τρ} A | βαρβάρων A : ἀνθρώπων C E ‖ **7** μὲν post ἕως praeb. C E **9** ὑπέδυνον A C E Eust. : ἐνέδυνον Ael. ‖ **10** κόμας A C E Eust. : κόρρας Birt **12** οὗτοι ἦσαν οἱ τοιοῦτοι οἱ (v.ll.) A C E : τοιοῦτοι δὲ ὄντες Ael. : οὗτοι ἦσαν οἱ τοιοῦτοι delevi : οἱ τοιοῦτοι del. Kaibel : τοιοῦτοι ἦσαν οἱ Wilamowitz | ἐν delendum est ‖ **17** ἁδονᾶς A C E : ἁδονῆς A^{s} ‖ **17–18** θνητῶν A C E : θνατῶν Stephanus ‖ **21** ⟨δὲ⟩ addidi ‖ **22** μηδ᾽ C E : μηδὲ A

6.138) εἶναι ῥεῖα ζώοντας — τὸ δὲ ῥεῖα ἐστὶν ἀπόνως — ὥσπερ ἐνδεικνύμενος ὅτι μέγιστόν ἐστι τῶν κακῶν ἡ περὶ τὸ ζῆν ταλαιπωρία καὶ ὁ πόνος· | [6] διόπερ καὶ Μεγακλείδης (*FHG* iv.443–4) 512e ἐπιτιμᾷ τοῖς μεθ' Ὅμηρον καὶ Ἡσίοδον ποιηταῖς ὅσοι περὶ 5 Ἡρακλέους εἰρήκασιν ὡς στρατοπέδων ἡγεῖτο καὶ πόλεις ᾕρει· ὃς μεθ' ἡδονῆς πλείστης τὸν μετ' ἀνθρώπων βίον διετέλεσε, πλείστας μὲν γυναῖκας γήμας, ἐκ πλείστων δὲ λάθρᾳ παρθένων παιδοποιησάμενος· εἴποι γὰρ ἄν τις πρὸς τοὺς οὐ ταῦτα παραδεχομένους· "πόθεν, ὦ οὗτοι, τὴν περὶ τὰς ἐδωδὰς αὐτῷ σπουδὴν ἀνατίθετε, ἢ 10 πόθεν παρῆλθεν εἰς τοὺς ἀνθρώπους τὸ τῆς λοιβαίας κύλικος | μηδὲν ὑπολείπεσθαι, εἰ μὴ τὰ περὶ τὰς ἡδονὰς ἐδοκίμαζεν; ἢ διὰ 512f τί τὰ θερμὰ λουτρὰ τὰ φαινόμενα ἐκ τῆς γῆς πάντες Ἡρακλέους φασὶν εἶναι ἱερά, ἢ διὰ τί τὰς μαλακὰς στρωμνὰς Ἡρακλέους κοίτας εἰώθασι καλεῖν, εἰ κατεφρόνει τῶν ἡδέως ζώντων;" τοῦτον 15 οὖν, φησίν, οἱ νεώτεροι κατασκευάζουσιν ἐν λῃστοῦ σχήματι μόνον περιπορευόμενον ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ ταῦτα πλάσαι πρῶτον Στησίχορον τὸν Ἱμεραῖον (*PMG* 229). ‖ καὶ Ξάνθος 513a δ' ὁ μελοποιός (*PMG* 699) πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ 20 ταύτην αὐτῷ περιτίθησι τὴν στολὴν ἀλλὰ τὴν Ὁμηρικήν. πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρέστειαν καλουμένην. Ἀντισθένης (fr. 110 Decleva Caizzi = *SSR* V A 127) δὲ τὴν ἡδονὴν ἀγαθὸν εἶναι φάσκων προσέθηκε τὴν ἀμεταμέλητον. [7] (Dioscurid. fr. XVIII Weber) ὁ δὲ παρὰ Ὁμήρῳ 25 Ὀδυσσεὺς ἡγεμὼν δοκεῖ γεγενῆσθαι Ἐπικούρῳ τῆς πολυθρυλήτου ἡδονῆς, ὅσπερ φησίν (*Od.* 9.5–11)· |

> οὐ γὰρ ἐγώ γέ τί φημι τέλος χαριέστερον εἶναι 5 513b
> ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
> δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
> 30 ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι

512f Eust. p. 1279.6–8 = IV.650.12–15 | **513a** Eust. p. 1261.46–7 = IV.588.4
513a–b Eust. p. 1612.30 = i.319.6

4 ποιηταῖς A : om. C E, fort. ut glossa delendum ‖ **14** τῶν ἡδέως ζώντων A C E : fort. τοῦ ἡδέως ζώειν ‖ **15** οἱ νεώτεροι C E : ἕτεροι δὲ τῶν μάλιστα νεωτέρων Eust. : οἱ νέοι ποιηταὶ A ‖ **24** παρὰ τῷ Ὁμήρῳ A : τῷ om. C E B
28 ὅταν εὐφροσύνη A, cf. 1.16d : ὅτ' ἐϋφροσύνη Hom.

σίτου καὶ κρειῶν, μέθυ δ᾽ ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος παρέχῃσι καὶ ἐγχείῃ δεπάεσσι. 10
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

ὁ δὲ Μεγακλείδης φησὶ τὸν Ὀδυσσέα καθομιλοῦντα τοὺς καιροὺς
513c ὑπὲρ τοῦ δοκεῖν ὁμοήθη τοῖς | Φαίαξιν εἶναι τὸ ἁβροδίαιτον αὐτῶν 5
ἀσπάζεσθαι προπυθόμενον Ἀλκίνου (*Od.* 8.248–9)·

αἰεὶ δ᾽ ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε
εἵματά τ᾽ ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί·

μόνως γὰρ οὕτως ᾠήθη ὧν ἤλπιζε μὴ ⟨ἂν⟩ διαμαρτεῖν. τοιοῦτός
ἐστι καὶ ὁ παραινῶν Ἀμφιλόχῳ τῷ παιδί (Pi. fr. 43)· 10

ὦ τέκνον, ποντίου θηρὸς πετραίου
χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει·
τῷ παρεόντι δ᾽ ἐπαινήσαις ἑκὼν |
513d ἄλλοτ᾽ ἀλλοῖα φρόνει. 5 15

ὁμοίως φησὶ καὶ Σοφοκλῆς ἐν Ἰφιγενείᾳ (fr. 307)·

νόει πρὸς ἀνδρὶ σῶμα, πολύπους ὅπως
πέτρᾳ, τραπέσθαι γνησίου φρονήματος.

καὶ Θέογνις (215)·

πολύπου ὀργὴν ἴσχε πολυπλόκου. 20

(Dioscurid. fr. XIX Weber) εἴσι δ᾽ οἵ φασι ταύτης εἶναι τῆς γνώμης
τὸν Ὅμηρον προτάττοντα τοῦ σπουδαίου βίου πολλάκις τὸν καθ᾽
ἡδονὴν λέγοντα (*Il.* 4.1–4)·

οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυσέῳ ἐν δαπέδῳ· μετὰ δέ σφισι πότνια Ἥβη | 25

513c–d Eust. p. 1594.28–30 = i.294.37–9

2 παρέχῃσι A : φορέῃσι Hom. ‖ **4** τοὺς καιροὺς A C E : τοῖς καιροῖς Kaibel
5 ὁμοήθη A[pc] : ὁμοή[θ] C E : ὁμοιοήθη A[ac] : ὁμοήθης A[rec.] ‖ **6** τοῦ Ἀλκίνου A C
E : τοῦ delevi ‖ **9** ⟨ἂν⟩ add. Kaibel ‖ **17** σῶμα A : χρῶμα Reiske | πολύπους
A : πουλύπους Schweighäuser ‖ **19** ὁ Θέογνις A : ὁ om. C E ‖ **20** πολύπου A
C E : πουλύπου Thgn. et Musurus | πολυπλόκου C E M P Mus : πουλυπλόκου
A

νέκταρ ἐῳνοχόει, τοὶ δὲ χρυσέοις δεπάεσσι 513e
δειδέχατ' ἀλλήλους.

καὶ Μενέλαος δὲ παρ' αὐτῷ φησιν (*Od.* 4.178–9)·

οὐδέ κεν ἡμέας
5 ἄλλο διέκρινεν φιλέοντέ τε τερπομένω τε.

καί (*Od.* 9.162 = 557)·

ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ·

διόπερ καὶ ⟨ὁ⟩ Ὀδυσσεὺς τρυφὴν καὶ λαγνείαν τέλος τοῦ βίου παρὰ τῷ Ἀλκινόῳ τίθεται (*Od.* 9.5–11). [**8**] διαβόητοι δὲ ἐπὶ τρυφῇ
10 ἐγένοντο πρῶτοι πάντων | ἀνθρώπων Πέρσαι, ὧν καὶ οἱ βασιλεῖς 513f
ἐχείμαζον μὲν ἐν Σούσοις, ἐθέριζον δὲ ἐν Ἐκβατάνοις. κληθῆναι δὲ τὰ Σοῦσά φησιν Ἀριστόβουλος (*FGrH* 139 F 18) καὶ Χάρης (*FGrH* 125 F 11) διὰ τὴν ὡραιότητα τοῦ τόπου· σοῦσον γὰρ εἶναι τῇ Ἑλλήνων φωνῇ τὸ κρίνον. ἐν Περσεπόλει δὲ διέτριβον ⟨τὸ⟩ φθινό-
15 πωρον καὶ ἐν Βαβυλῶνι τὸ λοιπὸν τοῦ ἐνιαυτοῦ μέρος. καὶ οἱ Πάρθων δὲ βασιλεῖς ἐαρίζουσι μὲν ἐν Ῥάγαις, χειμάζουσι δ' ἐν Βαβυλῶνι τὸ λοιπὸν τοῦ ἐνιαυτοῦ. ‖ καὶ τὸ παράσημον δὲ ὃ ἐπετί- 514a
θεντο τῇ κεφαλῇ οἱ τῶν Περσῶν βασιλεῖς οὐδ' αὐτὸ ἠρνεῖτο τὴν τῆς ἡδυπαθείας ἀπόλαυσιν· κατεσκευάζετο γάρ, ὥς φησι Δίνων
20 (*FGrH* 690 F 25a), ἐκ σμύρνης καὶ τοῦ καλουμένου λαβύζου. εὐώδης δ' ἐστὶν ἡ λάβυζος καὶ πολυτιμοτέρα τῆς σμύρνης. ὁπότε δὲ καὶ ἀπὸ τοῦ ἅρματος κατίοι, φησί (*FGrH* 690 F 26), ⟨ὁ⟩ βασιλεύς, οὔτε καθήλλετο ὀλίγου ὄντος ἐπὶ τὴν γῆν τοῦ ὕψους οὔτε διὰ χειρῶν ἐρειδόμενος, ἀλλ' ἀεὶ αὐτῷ χρυσοῦς δίφρος ἐτίθετο, καὶ τούτῳ
25 ἐπιβαίνων κατήει· καὶ ὁ βασιλέως διφροφόρος εἰς | τοῦτο εἵπετο· 514b
φυλάσσουσί τε αὐτὸν καὶ τριακόσιαι γυναῖκες, ὡς ἱστορεῖ ὁ

514b Eust. p. 1572.48–50 = i.266.35–7

3 ὁ Μενέλαος A : ὁ delevi ‖ **5** τε[1] C E Mus et Hom. : om. A ‖ **8** ⟨ὁ⟩ addidi **14** διέτριβον C E : διατρίβουσι A | ⟨τὸ⟩ add. Kaibel ‖ **15** lac. intra ἐν Βαβυλῶνι et τὸ λοιπὸν stat. Casaubon (⟨ἐν Ἑκατομπύλῳ δὲ διάγουσι⟩ tent.) λοιπὸν B, cf. infra : λεῖπον A C E ‖ **17** λοιπὸν C B : λεῖπον A : μέρος. καὶ … τοῦ ἐνιαυτοῦ om. E ‖ **20** εὐώδης A : εὐώ[δ] C E : εὐῶδες Kaibel ‖ **21** πολυτιμοτέρα C E et Hsch. κ 2618 : πολυτιμότερον A ‖ **22** ⟨ὁ⟩ addidi ‖ **24** ἀεὶ C E B M P Mus : αἰεὶ A ‖ **26** τριακόσιαι ⟨ἑξήκοντα⟩ Meineke, cf. 13.557b

Κυμαῖος Ἡρακλείδης ἐν πρώτῃ Περσικῶν (*FGrH* 689 F 1). αὗται δὲ τὰς μὲν ἡμέρας κοιμῶνται, ἵνα νυκτὸς ἐγρηγορῶσι, τῆς δὲ νυκτὸς ᾄδουσαι καὶ ψάλλουσαι διατελοῦσι λύχνων καιομένων· χρῆται δὲ αὐταῖς καὶ παλλακίσιν ὁ βασιλεὺς ⟨...⟩ διὰ τῆς τῶν μηλοφόρων αὐλῆς. ἦσαν δὲ οὗτοι τῶν δορυφόρων καὶ τῷ γένει 5 πάντες Πέρσαι, ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες, χίλιοι τὸν ἀριθμόν, ἀριστίνδην ἐκλεγόμενοι ἐκ τῶν μυρίων Περσῶν τῶν 514c Ἀθανάτων | καλουμένων. καὶ διήει διὰ τῆς τούτων αὐλῆς πεζὸς ὑποτιθεμένων ψιλοταπίδων Σαρδιανῶν ἐφ᾽ ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν ἢ ὁ βασιλεύς. ὅτε δὲ εἰς τὴν ἐσχάτην αὐλὴν ἔλθοι, 10 ἀνέβαινεν ἐπὶ ἅρμα, ἐνίοτε δὲ καὶ ἐφ᾽ ἵππον· πεζὸς δὲ οὐδέποτε ἑωράθη ἔξω τῶν βασιλείων. εἰ δὲ ἐπὶ θήραν ἐξίοι, καὶ αἱ παλλακίδες αὐτῷ συνεξῄεσαν. ὁ δὲ θρόνος ἐφ᾽ ᾧ ἐχρημάτιζε καθήμενος χρυσοῦς ἦν, ὃν περιειστήκεσαν τέσσαρες κιονίσκοι λιθοκόλλητοι 514d χρυσοῖ, ἐφ᾽ ὧν διετέτατο ἱμάτιον ποικίλον | πορφυροῦν. **[9]** 15 Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τετάρτῳ Βίων (fr. 49 Wehrli) προειπὼν περὶ τῆς Μήδων τρυφῆς καὶ ὅτι διὰ ταύτην πολλοὺς εὐνουχίσαιεν τῶν περικτιόνων, ἐπιφέρει καὶ τὴν παρὰ Μήδων γενέσθαι Πέρσαις μηλοφορίαν μὴ μόνον ὧν ἔπαθον τιμωρίαν ἀλλὰ καὶ τῆς τῶν δορυφορούντων τρυφῆς εἰς ὅσον ἦλθον ἀνανδρίας ὑπόμνημα· 20 δύναται γάρ, ὡς ἔοικεν, ἡ παράκαιρος ἅμα καὶ μάταιος περὶ τὸν βίον τρυφὴ καὶ τοὺς ταῖς λόγχαις καθωπλισμένους ἀγύρτας ἀποφαίνειν. καὶ προελθὼν δὲ γράφει (fr. 51a Wehrli)· τοῖς γοῦν 514e πορίσασί τι αὐτῷ ἡδὺ βρῶμα διδοὺς | ἆθλα τοῦ πορισθέντος οὐχ ἑτέραις ἡδύνων ταῦτα τιμαῖς παρετίθει, πολὺ δὲ μᾶλλον αὐτὸς 25 ἀπέλαυε αὐτῶν νοῦν ἔχων· τοῦτο μὲν γάρ ἐστιν ὁ λεγόμενος,

514c Eust. p. 1057.10 = III.841.9–11 | **514e–f** Eust. p. 1484.12–16 = i.148.42–149.1

2 ἵνα νυκτὸς ἐγρηγορῶσι A C E : fort. ut glossa delenda ‖ **4** παλλακίσιν vel παλλακαῖς Meineke : πολλάκις A C : πο^λλ^ E | lac. indic. Dobree : fort. ὁ βασιλεὺς ⟨... ὁ βασιλεὺς⟩ ‖ **7** ἀριστίνδην C E M P Mus : ἀριστήδην A **8** Ἀθανάτων C E M P Mus : Ἀσιανατῶν A ‖ **10** ὁ C E : om. A Eust. **11** ἅρμα] τὸ ἅρμα A : ἅρ^μ^ E : ἅρματος C | ἵππον C E : ἵππου A ‖ **14** περιειστήκεσαν M P Mus : περιϊστήκεσαν A : περιειστήκεισαν C E ‖ **19** μόνον B M P Mus : μόνων A ‖ **21** μάταιος αὐτῶν A : αὐτῶν delevi ‖ **26** ἀπέλαυε scripsi : ἀπολαύειν A : ἀπολαύων Wehrli | νοῦν ἔχων A : νοῦν οὐκ ἔχων 12.529d

οἶμαι, καὶ Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος. Χάρης δ' ὁ Μιτυληναῖος ἐν τῇ πέμπτῃ τῶν Περὶ Ἀλέξανδρον Ἱστοριῶν (*FGrH* 125 F 2), εἰς τοῦτο, φησίν, ἧκον τρυφῆς οἱ τῶν Περσῶν βασιλεῖς ὥστε ἔχεσθαι τῆς βασιλικῆς κλίνης ὑπὲρ κεφαλῆς οἴκημά τι πεντάκλι-
5 νον ἐν ᾧ χρυσίου πεντακισχίλια | διὰ παντὸς ἔκειτο τάλαντα, καὶ 514f
τοῦτο ἐκαλεῖτο προσκεφάλαιον βασιλικόν· καὶ πρὸς ποδῶν ἕτερον οἴκημα τρίκλινον οὗ τάλαντα τρισχίλια ἔκειτο ἀργυρίου, καὶ προσηγορεύετο βασιλικὸν ὑποπόδιον. ἦν δ' ἐν τῷ κοιτῶνι καὶ λιθοκόλλητος ἄμπελος χρυσῆ ὑπὲρ τῆς κλίνης (τὴν δ' ἄμπελον
10 ταύτην Ἀμύντας φησὶν ἐν τοῖς Σταθμοῖς (*FGrH* 122 F 6) καὶ βότρυας ἔχειν ἐκ τῶν πολυτελεστάτων ψήφων συντεθειμένους) οὐ μακράν τε ταύτης ἀνακεῖσθαι ‖ κρατῆρα χρυσοῦν, Θεοδώρου τοῦ 515a
Σαμίου ποίημα. Ἀγαθοκλῆς δ' ἐν τρίτῳ Περὶ Κυζίκου (*FGrH* 472 F 3) ἐν Πέρσαις φησὶν εἶναι καὶ ⟨τὸ⟩ χρυσοῦν καλούμενον ὕδωρ, εἶναι
15 δὲ τοῦτο λιβάδας ἑβδομήκοντα καὶ μηδένα πίνειν ἀπ' αὐτοῦ ἢ μόνον ⟨τὸν⟩ βασιλέα καὶ τὸν πρεσβύτατον αὐτοῦ τῶν παίδων· τῶν δὲ ἄλλων ἐάν τις πίῃ, θάνατος ἡ ζημία. [**10**] Ξενοφῶν δὲ ἐν ὀγδόῳ Παιδείας (*Cyr.* 8.8.15–17), ἐχρῶντο, φησίν, ἔτι τότε τῇ ἐκ Περσῶν παιδείᾳ καὶ τῇ Μήδων στολῇ καὶ ἁβρότητι. νῦν δὲ τὴν μὲν ἐκ
20 Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυμένην, τὴν | δὲ τῶν 515b
Μήδων μαλακίαν διασῴζονται. σαφηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν· ἐκείνοις γὰρ πρῶτον μὲν οὐκέτι τὰς εὐνὰς μόνον ἀρκεῖ μαλακῶς ὑποστόρνυσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ ταπίδων τιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ'
25 ὑπείκωσιν αἱ τάπιδες. καὶ μὴν τὰ πεττόμενα ἐπὶ τράπεζαν ὅσα τε πρότερον εὕρητο, οὐδὲν αὐτῶν ἀφῄρηται ἄλλα τε καινὰ ἀεὶ ἐπιμηχανῶνται, καὶ ὄψα γε ὡσαύτως· καὶ γὰρ καινοποιητὰς ἀμφοτέρων τούτων κέκτηνται. ἀλλὰ | καὶ ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ 515c
σῶμα καὶ πόδας αὐτοὺς ἀρκεῖ ἐσκεπάσθαι, ἀλλὰ καὶ περὶ ἄκραις
30 ταῖς χερσὶ χειρῖδας δασείας καὶ δακτυλήθρας ἔχουσιν. ἔν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς οὔθ' αἱ τῶν δένδρων οὔθ' αἱ τῶν

515a Eust. p. 1220.19–21 = IV.446.23–447.1

1 καὶ[1] om. 12.529d ‖ **5** ἔκειτο Dindorf, cf. A ἔκειτο infra : ἔκειντο A C E Eust. ‖ **6** πρὸς A : πρὸ C E Eust. ‖ **7** ἔκειτο A : ἔκειντο C E B Eust. ‖ **8** ἔν τι τῷ A : τι om. C E ‖ **14** ⟨τὸ⟩ add. Kaibel ex Eust. ‖ **16** ⟨τὸν⟩ addidi ‖ **26** καινὰ ἀεὶ B M P Mus : καινὰ αἰεὶ A : ἀεὶ καινὰ Xen. ‖ **29** αὐτοὺς A : αὐτοῖς Xen.

πετρῶν σκιαί, ἀλλ' ἐν ταύταις ἑτέρας σκιάδας ἄνθρωποι μηχανώμενοι αὐτοῖς παρεστᾶσι. κἀν τοῖς ἑξῆς (*Cyr.* 8.8.19–20) δέ φησι περὶ αὐτῶν οὑτωσί· νῦν δὲ στρώματα πλείω ἔχουσιν ἐπὶ τῶν ἵππων ἢ ἐπὶ τῶν εὐνῶν· οὐ γὰρ τῆς ἱππείας οὕτως, ὡς τοῦ μαλα-
515d κῶς | καθῆσθαι ἐπιμέλονται. καὶ τοὺς θυρωροὺς δὲ καὶ τοὺς 5
σιτοποιοὺς καὶ τοὺς ὀψοποιοὺς καὶ οἰνοχόους καὶ παρατιθέντας καὶ ἀναιροῦντας καὶ κατακοιμίζοντας καὶ ἀνιστάντας καὶ τοὺς κοσμητὰς οἳ ὑποχρίουσί τε καὶ ἐντρίβουσιν αὐτοὺς καὶ τἄλλα ῥυθμίζουσι. [**11**] Λυδοὶ δὲ εἰς τοσοῦτον ἦλθον τρυφῆς ὡς καὶ πρῶτοι γυναῖκας εὐνουχίσαι, ὡς ἱστορεῖ Ξάνθος ὁ Λυδὸς (*FGrH* 10
765 T 5) ἢ ὁ τὰς εἰς αὐτὸν ἀναφερομένας Ἱστορίας συγγεγραφώς· Διονύσιος δ' ὁ Σκυτοβραχίων ⟨ἦν⟩ (*FGrH* 32 T 6 = test. 4 Rusten),
515e ὡς Ἀρτέμων φησὶν ὁ Κασσανδρεὺς ἐν | τῷ Περὶ Συναγωγῆς Βιβλίων (fr. 9, *FHG* iv.342) ἀγνοῶν ὅτι Ἔφορος ὁ συγγραφεὺς (*FGrH* 70 F 180) μνημονεύει αὐτοῦ ὡς παλαιοτέρου ὄντος καὶ 15
Ἡροδότῳ τὰς ἀφορμὰς δεδωκότος· ὁ γοῦν Ξάνθος ἐν τῷ δευτέρῳ τῶν Λυδιακῶν (*FGrH* 765 F 4a) Ἀνδραμύτην φησὶ τὸν Λυδῶν βασιλέα πρῶτον γυναῖκας εὐνουχίσαντα χρῆσθαι αὐταῖς ἀντὶ ἀνδρῶν εὐνούχων. Κλέαρχος δ' ἐν τῷ τετάρτῳ Περὶ Βίων (fr. 43a Wehrli), Λυδοί, φησί, διὰ τρυφὴν παραδείσους κατασκευασάμενοι 20
καὶ κηπαίους αὐτοὺς ποιήσαντες ἐσκιατροφοῦντο, τρυφερώτερον |
515f ἡγησάμενοι τὸ μηδ' αὐτοῖς ὅλως ἐπιπίπτειν τὰς τοῦ ἡλίου αὐγάς. καὶ τέλος πόρρω προάγοντες ὕβρεως τὰς τῶν ἄλλων γυναῖκας καὶ παρθένους εἰς τὸν τόπον τὸν διὰ τὴν πρᾶξιν Ἀγκῶνα κληθέντα συνάγοντες ὕβριζον. καὶ τέλος τὰς ψυχὰς ἀποθηλυνθέντες 25
ἠλλάξαντο τὸν τῶν γυναικῶν βίον, διόπερ καὶ γυναῖκα τύραννον ὁ βίος εὕρετο αὐτοῖς, μίαν τῶν ὑβρισθεισῶν, Ὀμφάλην, ἥτις πρώτη

515f–16a, 515e Eust.(1) p. 1082.32–5 = III.917.26–918.2 | **515f–16a** Eust.(2) p. 1082.29–31 = III.917.20–4

1 σκιάδας A et Xen.[DF] : σκιὰς Xen.[cett.] : del. Kaibel ‖ **11** τὰς εἰς αὐτὸν Meineke : εἰς αὐτὸν τὰς A ‖ **12** ⟨ἦν⟩ addidi ‖ **16** γοῦν scripsi : δ' οὖν A | τῷ δευτέρῳ scripsi : τῇ δευτέρᾳ A ‖ **17** Ἀνδραμύτην A : Ἀνδραμύτου (structura mutata) C E : Ἀδραμύτην Casaubon, cf. St.Byz. α 60 | τὸν M P Mus, cf. (structura mutata) C E τοῦ : τῶν A ‖ **19** τῷ τετάρτῳ scripsi : τῇ τετάρτῃ A **21** κηπαίους A C E : ἀνηλίους Kaibel ‖ **22** αὐτοῖς ὅλως A C E : ὅλως αὐτοῖς Meineke ‖ **23** τέλος (iterum infra) del. Kaibel ‖ **24** Ἀγκῶνα M P, cf. 12.516a Γλυκὺν Ἀγκῶνα : ἀγῶνα γρ.M : Ἀγνεῶνα A C E Eust.(1)

κατῆρξε μὲν τῆς εἰς Λυδοὺς πρεπούσης τιμωρίας· τὸ γὰρ ὑπὸ γυναικὸς ἄρχεσθαι ὑβριζομένους σημεῖόν ἐστι βίας. οὖσα οὖν καὶ αὐτὴ ἀκόλαστος ‖ καὶ ἀμυνομένη τὰς γενομένας αὐτῇ πρότερον 516a ὕβρεις τοῖς ἐν τῇ πόλει δούλοις τὰς τῶν δεσποτῶν παρθένους
5 ἐξέδωκεν ἐν ᾧ τόπῳ πρὸς ἐκείνων ὑβρίσθη. εἰς τοῦτον οὖν συναθροίσασα μετ' ἀνάγκης συγκατέκλεισε τοῖς δούλοις τὰς δεσποίνας· ὅθεν οἱ Λυδοὶ τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι τὸν τόπον καλοῦσι Γλυκὺν Ἀγκῶνα. οὐ μόνον δὲ Λυδῶν γυναῖκες ἄφετοι οὖσαι τοῖς ἐντυχοῦσιν ἀλλὰ καὶ Λοκρῶν τῶν Ἐπιζεφυρίων,
10 ἔτι δὲ τῶν περὶ Κύπρον καὶ πάντων ἁπλῶς τῶν ἑταιρισμῷ | τὰς 516b ἑαυτῶν κόρας ἀφοσιούντων † παλαιᾶς τινος ὕβρεως ἔοικεν εἶναι πρὸς ἀλήθειαν ὑπόμνημα καὶ τιμωρίας. πρὸς ἣν εἷς τῶν Λυδῶν εὐγενὴς ἀνὴρ ὁρμήσας καὶ τῇ παρ' αὐτοῖς βασιλείᾳ βαρυνθείς, τοῦ μὲν Μίδου ὑπ' ἀνανδρείας καὶ τρυφῆς καὶ ἐν πορφύρᾳ κειμένου καὶ
15 ταῖς γυναιξὶν ἐν τοῖς ἱστοῖς συνταλασιουργοῦντος, Ὀμφάλης δὲ πάντας τοὺς συγκατακλιθέντας αὐτῇ ξενοκτονούσης, ἀμφοτέρους ἐκόλασε, τὸν μὲν ὑπὸ ἀπαιδευσίας κεκωφημένον τῶν ὤτων ἐξελκύσας, ὃς διὰ τὴν τοῦ φρονεῖν | ἔνδειαν τοῦ πάντων ἀναισθητοτάτου 516c ζῴου τὴν ἐπωνυμίαν ἔσχε· τὴν δὲ ⟨…⟩ [12] πρῶτοι δὲ Λυδοὶ καὶ
20 τὴν καρύκην ἐξεῦρον, περὶ ἧς τῆς σκευασίας οἱ τὰ Ὀψαρτυτικὰ συνθέντες εἰρήκασι, Γλαῦκός τε ὁ Λοκρὸς καὶ Μίθαικος καὶ Διονύσιος Ἡρακλεῖδαί τε δύο, γένος Συρακόσιοι, καὶ Ἆγις καὶ Ἐπαίνετος καὶ Διονύσιος, ἔτι τε Ἡγήσιππος καὶ Ἐρασίστρατος (fr. 290 Garofalo) καὶ Εὐθύδημος καὶ Κρίτων, πρὸς τούτοις δὲ Στέφανος,
25 Ἀρχύτας, Ἀκεσίας, Διοκλῆς (fr. dub. 234 van der Eijk), Φιλιστίων (fr. 13 Wellmann)· τοσούτους γὰρ οἶδα γράψαντας Ὀψαρτυτικά. καὶ κάνδαυλον δέ τινα ἔλεγον | οἱ Λυδοί, οὐχ ἕνα ἀλλὰ τρεῖς· 516d

516d–e Eust. p. 1144.17–19 = IV.180.21–181.1

6 συγκατέκλεισε A C E Eust.(2) : συγκατέκλινε Wilamowitz ‖ **8** Γυναικῶν Ἀγῶνα Γλυκὺν Ἀγκῶνα (v.ll.) A C E : Γυναικῶν Ἀγκῶνα ἢ Ἀγῶνα, ἔτι δὲ καὶ Γλυκὺν Ἀγκῶνα Eust.(2) : Γυναικῶν Ἀγῶνα del. Schweighäuser ‖ **12** τιμωρίας B : τιμωρία A : τιμωρ E : τιμωρίαν C ‖ **13** Μίδου βασιλείᾳ A C E : Μίδου ut glossam delevi ‖ **14** ἀνανδρείας P Mus : ἀνδρείας A : ἀνανδρίας C E ‖ **18** ἀναισθητοτάτου C E M P Mus : αἰσθητοτάτου A ‖ **19** ἔσχε … δὲ[1] ⟨..[16]..⟩ C : ἔσχε· ⟨..[4]..⟩ τὴν δέ ⟨..[4]..⟩ E : ἔσχεν A ‖ **20** καρύκην C E[mg] : καρύκκην A E ‖ **23** καὶ Διονύσιος del. Kaibel ‖ **25** Ἀρχύτας Ἀκεσίας A : Ἀκέστιος (v.l.) del. Kaibel, cf. Ar. fr. 934 : Ἀκεστίας Millis

οὕτως ἐξήσκηντο πρὸς τὰς ἡδυπαθείας. γίνεσθαι δ᾽ αὐτόν φησιν ὁ Ταραντῖνος Ἡγήσιππος ἐξ ἑφθοῦ κρέως καὶ κνηστοῦ ἄρτου καὶ Φρυγίου τυροῦ ἀνήθου τε καὶ ζωμοῦ πίονος. μνημονεύει δ᾽ αὐτοῦ Ἄλεξις ἐν Παννυχίδι ἢ Ἐρίθοις (fr. 178)· μάγειρος δ᾽ ἐστὶν ὁ προσδιαλεγόμενος· 5

(A.) ὅτι δέ σοι παρὰ τοῦτο κάνδαυλόν τινα
παραθήσομεν. (B.) κάνδαυλον; οὐκ ἐδήδοκα
οὐδ᾽ ἀκήκο᾽ οὐδέποτε.
(A.) θαυμαστὸν ἐμὸν εὕρημα· πάνυ πολὺν δ᾽ ἐγὼ |
516e ἐὰν παραθῶ σοι, προσκατέδει τοὺς δακτύλους 5 10
σαυτῷ γε χαίρων. ἔρια μὲν ποιήσομεν —
(B.) ἄνθρωπε, ποίει λευκὰ καὶ βλέπ᾽ εἰς —
(A.) ἐπὰν ἀπὸ τῶν κοινῶν, ταρίχους, ἰχθύων,
κρεῶν, βατανίων, εὐθέως
δίπυρον παραθήσεις, ᾠὸν ἐπιτετμημένον, 10 15
πυόν, μέλιτος ὀξύβαφον. ἀποταγηνιῶ
τυροῦ τροφάλια χλωρὰ Κυθνίου παρατεμών,
βοτρύδιόν τι, χόριον, ἐν ποτηρίῳ
γλυκύν· τὸ τοιοῦτον γὰρ ἀεί πως μέρος |
516f ἐπιπαίζεται, κεφαλὴ δὲ δείπνου γίνεται — 15 20
(B.) ἄνθρωπ᾽ ἐπίπαιζε· μόνον ἀλλ᾽ ἀπαλλάγηθί μου
κανδαύλους λέγων καὶ χόρια καὶ
βατάνια † πᾶσαν τὴν ἡδονήν.

μνημονεύει τοῦ κανδαύλου καὶ Φιλήμων ἐν Παρεισιόντι (fr. 63) οὕτω· 25

τοὺς ἐν τῇ πόλει
μάρτυρας ἔχω γὰρ ὅτι μόνος φύσκην ποιῶ,
κάνδαυλον, ᾠά, θρῖον † εν στενω. † τί
τούτων διάπτωμ᾽ ἐγένετ᾽ ἢ ἁμάρτημα τί; ‖

8 οὐδέποτε A : οὐδεπώποτε Pierson ‖ **10** προσκατέδει Dindorf : προσκατεδεῖ A C : προσκατεδῇ Eust. : προσκατεδῆ E* ‖ **12** βλέπ᾽ εἰς Dobree : βλέπεις A **18** χόριον Schweighäuser, cf. v. 17 χόρια : † χορειον † A ‖ **19** γλυκύν A : fort. γλεῦκον ‖ **20** γίνεται A : γίγνεται Dindorf ‖ **21** ἄνθρωπ᾽ Musurus : ἄνθρωπε A | ἀλλ᾽ del. Casaubon ‖ **24** Παρεισιόντι Schweighäuser, cf. 4.170e : Παριόντι A ‖ **28** ᾠά θρῖον] ὠά, θρίον M P Mus : † ωαθριον † A ‖ **29** ἐγένετ᾽ Schweighäuser : ἐγένετο A

καὶ Νικόστρατος ἐν Μαγείρῳ (fr. 16.1–2)· 517a

ὃς μέλανα ποιεῖν ζωμὸν οὐκ ἠπίστατο,
θρῖον δὲ καὶ κάνδαυλον.

καὶ Μένανδρος Τροφωνίῳ (fr. 351.10–11)·

5 Ἰωνικὸς πλούταξ ὑπόστασις ποιῶν
κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

καὶ εἰς τοὺς πολέμους δὲ ἐξιόντες οἱ Λυδοὶ παρατάττονται μετὰ συρίγγων καὶ αὐλῶν, ὥς φησιν Ἡρόδοτος (1.17.1). καὶ Λακεδαιμόνιοι δὲ μετ᾽ αὐλῶν ἐξορμῶσιν ἐπὶ τοὺς πολέμους, καθάπερ 10 Κρῆτες μετὰ | λύρας. [13] Ἡρακλείδης δ᾽ ὁ Κυμαῖος ὁ τὰ Περσικὰ 517b συγγράψας ἐν τοῖς ἐπιγραφομένοις Παρασκευαστικοῖς (*FGrH* 689 F 4) εἰπὼν ὡς ὁ ἐν τῇ λιβανοφόρῳ χώρᾳ βασιλεὺς αὐτόνομός τέ ἐστι καὶ οὐδενὸς ὑπήκοος, γράφει καὶ ταῦτα· οὗτος δ᾽ ὑπερβάλλει τῇ τρυφῇ καὶ ῥᾳθυμίᾳ· διατρίβει τε γὰρ ἀεὶ ἐν τοῖς βασιλείοις ἐν 15 τρυφῇ καὶ δαπάνῃ τὸν βίον διάγων, καὶ πράττει οὐδὲν πρᾶγμα οὐδὲ ⟨τοῖς⟩ πολλοῖς πλησιάζει, ἀλλὰ δικαστὰς αὐτοῖς ἀποδεικνύει. καὶ ἐάν τις αὐτοὺς ἡγῆται μὴ δικαίως δεδικακέναι, | ἔστι θυρὶς ἐν 517c τῷ ὑψηλοτάτῳ τῶν βασιλείων καὶ αὕτη ἁλύσει δέδεται. ὁ οὖν ἡγούμενος ἀδίκως δεδικάσθαι ἐπιλαμβάνεται τῆς ἁλύσεως καὶ 20 ἕλκει τὴν θυρίδα, καὶ ὁ βασιλεύς, ἐπειδὰν αἴσθηται, εἰσκαλεῖ καὶ αὐτὸς δικάζει. καὶ ἐὰν φαίνωνται οἱ δικασταὶ ἀδίκως δικάσαντες, ἀποθνήσκουσιν· ἐὰν δὲ δικαίως, ὁ κινήσας τὴν θυρίδα ἀπόλλυται. τὰ δ᾽ ἀναλώματα λέγεται τῆς ἡμέρας εἰς τὸν βασιλέα καὶ τὰς περὶ αὐτὸν γυναῖκας καὶ φίλους γίνεσθαι τάλαντα πεντεκαίδεκα Βαβυ- 25 λώνια. | [14] παρὰ δὲ Τυρρηνοῖς ἐκτόπως τρυφήσασιν ἱστορεῖ 517d Τίμαιος ἐν τῇ πρώτῃ (*FGrH* 566 F 1b) ὅτι αἱ θεράπαιναι γυμναὶ τοῖς ἀνδράσι διακονοῦνται. Θεόπομπος δὲ ἐν τῇ τρίτῃ ⟨καὶ⟩ τεσσαρακοστῇ τῶν Ἱστοριῶν (*FGrH* 115 F 204) καὶ νόμον εἶναί φησι παρὰ τοῖς Τυρρηνοῖς κοινὰς ὑπάρχειν τὰς γυναῖκας, ταύτας

5 ὑπόστασις A : ὑποστάσεις M P Mus et 4.132e | ποιῶν A C E : ποιῶ Coraes **14** ἀεὶ E B M P Mus : αἰεὶ A : om. C ‖ **15** οὐδὲν C E : οὐδέον A : οὐδὲ ἓν Musurus | ⟨αὐτὸς⟩ add. Wilamowitz, vide infra ‖ **16** ⟨τοῖς⟩ add. Meineke αὐτοῖς Schweighäuser : αὐτὸς A C E : αὐτὸς post πρᾶγμα supra transpos. Wilamowitz ‖ **27–8** τρίτῃ ⟨καὶ⟩ τεσσαρακοστῇ scripsi : τεσσαρακοστῇ τρίτῃ A

δ᾿ ἐπιμελεῖσθαι σφόδρα τῶν σωμάτων καὶ γυμνάζεσθαι πολλάκις
καὶ μετ᾿ ἀνδρῶν, ἐνίοτε δὲ καὶ πρὸς ἑαυτάς· οὐ γὰρ αἰσχρὸν εἶναι
αὐταῖς φαίνεσθαι γυμναῖς· δειπνεῖν δὲ αὐτὰς οὐ παρὰ τοῖς ἀνδράσι
517e τοῖς ἑαυτῶν ἀλλὰ παρ᾿ οἷς ἂν | τύχωσι τῶν παρόντων, καὶ προπί-
νουσιν οἷς ἂν βουληθῶσιν· εἶναι δὲ καὶ πιεῖν δεινὰς καὶ τὰς ὄψεις 5
πάνυ καλάς· τρέφειν τε τοὺς Τυρρηνοὺς πάντα τὰ γινόμενα παιδία
οὐκ εἰδότας ὅτου πατρός ἐστιν ἕκαστον. ζῶσι δὲ καὶ οὗτοι τὸν
αὐτὸν τρόπον τοῖς θρεψαμένοις, πότους τὰ πολλὰ ποιούμενοι καὶ
πλησιάζοντες ταῖς γυναιξὶν ἁπάσαις. οὐδὲν δ᾿ αἰσχρόν ἐστι Τυρρη-
νοῖς οὐ μόνον αὐτοὺς ἐν τῷ μέσῳ τι ποιοῦντας ἀλλ᾿ οὐδὲ πάσχον- 10
τας †· ἐπιχώριον γὰρ καὶ τοῦτο παρ᾿ αὐτοῖς ἐστι. καὶ τοσούτου
δέουσιν αἰσχρὸν ὑπολαμβάνειν ὥστε καὶ λέγουσιν, ὅταν ὁ μὲν
517f δεσπότης τῆς οἰκίας ἀφροδισιάζηται, ζητῇ δέ τις αὐτόν, | ὅτι
πάσχει τὸ καὶ τό, προσαγορεύοντες αἰσχρῶς τὸ πρᾶγμα. ἐπειδὰν
δὲ συνουσιάζωσι καθ᾿ ἑταιρίας ἢ κατὰ συγγενείας, ποιοῦσιν οὕτω· 15
πρῶτον μὲν ὅταν παύσωνται πίνοντες καὶ μέλλωσι καθεύδειν,
εἰσάγουσι παρ᾿ αὐτοὺς οἱ διάκονοι τῶν λύχνων ἔτι καιομένων ὁτὲ
μὲν ἑταίρας, ὁτὲ δὲ παῖδας πάνυ καλούς, ὁτὲ δὲ καὶ ⟨τὰς⟩ γυναῖ-
κας· ὅταν δὲ τούτων ἀπολαύσωσιν, αὖθις νεανίσκους ἀκμάζοντας,
οἳ πλησιάζουσιν ἐκείνοις. ἀφροδισιάζουσι δὲ καὶ ποιοῦνται τὰς 20
συνουσίας ὁτὲ μὲν ὁρῶντες ἀλλήλους, ὡς δὲ τὰ πολλὰ καλύβας
περιβάλλοντες περὶ τὰς κλίνας, αἳ πεπλεγμέναι εἰσὶν ἐκ ῥάβδων, ‖
518a ἐπιβέβληται δ᾿ ἄνωθεν ἱμάτια. καὶ πλησιάζουσι μὲν σφόδρα καὶ
ταῖς γυναιξί, πλεῖον μέντοι γε χαίρουσι συνόντες τοῖς παισὶ καὶ
τοῖς μειρακίοις· καὶ γὰρ γίνονται παρ᾿ αὐτοῖς πάνυ καλοὶ τὰς 25
ὄψεις, ἅτε τρυφερῶς διαιτώμενοι καὶ λεαινόμενοι τὰ σώματα. |
518b πάντες δὲ οἱ πρὸς ἑσπέραν οἰκοῦντες βάρβαροι πιττοῦνται καὶ
ξυροῦνται τὰ σώματα· καὶ παρά γε τοῖς Τυρρηνοῖς ἐργαστήρια
κατεσκεύασται πολλὰ καὶ τεχνῖται τούτου τοῦ πράγματός εἰσιν,
ὥσπερ παρ᾿ ἡμῖν οἱ κουρεῖς· παρ᾿ οὓς ὅταν εἰσέλθωσι, παρέχουσιν 30

4 ἂν M P Mus : ἐὰν A C E ‖ **5** ἂν M P Mus : ἐὰν A C E ‖ **6** τε C E : δὲ A
11 ⟨φαίνεσθαι⟩ intra πάσχοντας et ἐπιχώριον add. M P Mus ‖ **14** προσ-
αγορεύοντες Kaibel : προσαγορεύσαντες A | αἰσχρῶς A : fort. ἀναισχύντως
15 ἑταιρίας Dindorf : ἑταιρείας A ‖ **18** ⟨τὰς⟩ addidi ‖ **19** αὖθις αὐτοῖς (v.ll.)
A : αὐτοῖς del. Dindorf : αὐτοῖς ⟨εἰσάγουσιν⟩ Meineke ‖ **20** αὐτοῖς ἐκείνοις
(v.ll.) A : αὐτοῖς delevi : αὐτοὶ ἐκείνοις Kaibel ‖ **22** πεπλεγμέναι ⟨μέν⟩ Kaibel
23 ἐπιβέβληται Meineke : περιβέβληται A ‖ **24** πλεῖον scripsi : πολὺ A :
πολὺ μέντοι γε ⟨μᾶλλον⟩ Kaibel, ducente Meineke (πολὺ ⟨μᾶλλον⟩ μέντοι γε)

ἑαυτοὺς πάντα τρόπον οὐθὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας. χρῶνται δὲ τούτῳ τῷ νόμῳ πολλοὶ καὶ τῶν Ἑλλήνων τῶν τὴν Ἰταλίαν οἰκούντων μαθόντες παρὰ Σαυνιτῶν καὶ Μεσαπίων. ὑπὸ δὲ τῆς τρυφῆς | οἱ Τυρρηνοί, ὡς Ἄλκιμος (*FGrH* 560 F 3) 518c
5 ἱστορεῖ, πρὸς αὐλὸν καὶ μάττουσι καὶ πυκτεύουσι καὶ μαστιγοῦσι. [15] διαβόητοι δ' εἰσὶν ἐπὶ τρυφῇ καὶ αἱ τῶν Σικελῶν τράπεζαι, οἵτινες καὶ τὴν παρ' αὑτοῖς θάλατταν λέγουσιν εἶναι γλυκεῖαν, χαίροντες τοῖς ἐξ αὐτῆς γινομένοις ἐδέσμασιν, ὥς φησι Κλέαρχος ἐν πέμπτῳ Βίων (fr. 59 Wehrli). περὶ δὲ Συβαριτῶν τί δεῖ καὶ
10 λέγειν; παρ' οἷς πρώτοις εἰσήχθησαν εἰς τὰ βαλανεῖα λουτροχόοι καὶ παραχύται πεπεδημένοι, τοῦ μὴ θᾶττον ἰέναι καὶ ὅπως μὴ σπεύδοντες κατακαίωσι τοὺς λουομένους. πρῶτοι δὲ Συβαρῖται καὶ τὰς ποιούσας ψόφον τέχνας οὐκ εἴων ἐπιδημεῖν τῇ πόλει, οἷον χαλκέων καὶ τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως | αὐτοῖς πανταχόθεν 518d
15 ἀθόρυβοι ὦσιν οἱ ὕπνοι· οὐκ ἐξῆν δ' οὐδ' ἀλεκτρυόνα ἐν τῇ πόλει τρέφεσθαι. ἱστορεῖ δὲ περὶ αὐτῶν Τίμαιος (*FGrH* 566 F 48) ὅτι ἀνὴρ Συβαρίτης εἰς ἀγρόν ποτε πορευόμενος ἔφη ἰδὼν τοὺς ἐργάτας σκάπτοντας αὐτὸς ῥῆγμα λαβεῖν· πρὸς ὃν ἀποκρίνασθαί τινα τῶν ἀκουσάντων· "αὐτὸς δὲ σοῦ διηγουμένου ἀκούων πεπονε-
20 κέναι τὴν πλευράν." ἐν Κρότωνι δὲ σκάπτοντί τινι τὴν τῶν ἀθλούντων κόνιν ἐπιστάντες τινὲς Συβαριτῶν ἐθαύμαζον λέγοντες, εἰ τηλικαύτην ἔχοντες πόλιν οἰκέτας μὴ κέκτηνται τοὺς σκάψοντας ἑαυτοῖς τὴν παλαίστραν. ἄλλος δὲ Συβαρίτης παραγενόμενος | εἰς Λακεδαίμονα καὶ κληθεὶς εἰς φιδίτιον, ἐπὶ τῶν ξύλων κατακεί- 518e
25 μενος καὶ δειπνῶν μετ' αὐτῶν πρότερον μὲν ἔφη καταπεπλῆχθαι τὴν τῶν Λακεδαιμονίων πυνθανόμενος ἀνδρείαν, νῦν δὲ θεασάμενος νομίζειν μηδὲν τῶν ἄλλων αὐτοὺς διαφέρειν· καὶ γὰρ τὸν ἀνανδρότατον μᾶλλον ἂν ἑλέσθαι ἀποθανεῖν ἢ τοιοῦτον βίον ζῶντα καρτερεῖν. [16] ἔθος δὲ παρ' αὐτοῖς καὶ τοὺς παῖδας μέχρι τῆς τῶν

518c Eust. p. 1146.35–6 = IV.188.14–16 | **518c–d** Eust. p. 1150.15–17 = IV.202.15–18 | **518d** Eust. p. 1113.63–4 = IV.77.13–14 | **518e–f** Eust. p. 1523.63 = i.200.10–11

1 τοὺς ὁρῶντας A : τοὺς παρόντας Kaibel ‖ **3** καὶ τῶν A C E : καὶ del. Schweighäuser ‖ **3–4** Μεσαπίων M P Mus : Μεσαππίων A C E ‖ **7** θάλατταν A : θάλασσάν C E ‖ **13** οὐκ εἴων scripsi : οὐκ ἐῶσιν A : ἐξώρισαν C E Eust. ‖ **16** τοῦτο καὶ Ἀλκίφρων ἐν τῷ Περὶ Παλαιᾶς Τρυφῆς καὶ τῶν Ἄλλων Σχεδὸν Ἁπάντων lmAmg ‖ **24** φιδίτιον Schweighäuser : φειδίτιον A C E

ἐφήβων ἡλικίας ἁλουργίδας τε φορεῖν καὶ πλοκαμῖδας ἀναδεδεμέ-
νους χρυσοφορεῖν· ἐπιχωριάζειν δὲ παρ᾽ αὐτοῖς διὰ τὴν τρυφὴν
518f ἀνθρωπάρια μικρὰ καὶ τοὺς † σκοπαίους †, ὥς φησιν ὁ | Τίμαιος
(*FGrH* 566 F 49), τοὺς καλουμένους παρά τισι στίλπωνας, καὶ
κυνάρια Μελιταῖα, ἅπερ αὐτοῖς καὶ ἕπεσθαι εἰς τὰ γυμνάσια. πρὸς 5
οὓς καὶ τοὺς ὁμοίους τούτοις Μασσανάσσης ὁ τῶν Μαυρουσίων
βασιλεὺς ἀπεκρίνατο, ὥς φησι Πτολεμαῖος ἐν ὀγδόῳ Ὑπομνημά-
των (*FGrH* 234 F 8), ζητοῦντας συνωνεῖσθαι πιθήκους· "παρ᾽ ὑμῖν,
ὦ οὗτοι, αἱ γυναῖκες οὐ τίκτουσι παιδία;" παιδίοις γὰρ ἔχαιρεν ὁ
519a Μασσανάσσης ‖ καὶ εἶχε παρ᾽ αὐτῷ τρεφόμενα τῶν υἱῶν (πολλοὶ 10
δὲ ἦσαν) τὰ τέκνα καὶ τῶν θυγατέρων ὁμοίως. καὶ πάντα ταῦτα
αὐτὸς ἔτρεφε μέχρι τριῶν ἐτῶν, μεθ᾽ ἃ ἀπέπεμπε πρὸς τοὺς
γεγεννηκότας παραγινομένων ἄλλων. τὰ δ᾽ αὐτὰ ἔφη καὶ Εὔβου-
λος ὁ κωμικὸς ἐν Χάρισιν (fr. 114) οὕτω·

> καὶ γὰρ πόσῳ κάλλιον, ἱκετεύω, τρέφειν 15
> ἄνθρωπόν ἐστ᾽ ἄνθρωπον, ἂν ἔχῃ βίον,
> ἢ χῆνα πλατυγίζοντα καὶ κεχηνότα
> ἢ στρουθὸν ἢ πίθηκον, ἐπίβουλον κακόν. |

519b καὶ Ἀθηνόδωρος δὲ ἐν τῷ Περὶ Σπουδῆς καὶ Παιδιᾶς (*FGrH* 746 F 3)
Ἀρχύταν φησὶ τὸν Ταραντῖνον (A8 Huffmann), πολιτικὸν ἅμα καὶ 20
φιλόσοφον γενόμενον, πλείστους οἰκέτας ἔχοντα ἀεὶ τούτοις παρὰ
τὴν δίαιταν ἀφιεμένοις εἰς τὸ συμπόσιον ἥδεσθαι. ἀλλ᾽ οἱ Συβαρῖ-
ται ἔχαιρον τοῖς Μελιταίοις κυνιδίοις καὶ ἀνθρώποις οὐκ ἀνθρώ-
ποις, [17] ἐφόρουν δὲ καὶ ἱμάτια Μιλησίων ἐρίων πεποιημένα,
ἀφ᾽ ὧν δὴ καὶ αἱ φιλίαι ταῖς πόλεσιν ἐγένοντο, ὡς ὁ Τίμαιος 25
(*FGrH* 566 F 50) ἱστορεῖ· ἠγάπων γὰρ τῶν μὲν ἐξ Ἰταλίας Τυρρη-
519c νούς, τῶν | δ᾽ ἔξωθεν τοὺς Ἴωνας, ὅτι τρυφῇ προσεῖχον. οἱ δ᾽

518f, 519b Eust. p. 1822.34–5 = ii.148.42–3 | **519b** cf. Ael. *VH* 12.15
519b–c *Suda* σ 1271

3 σκοπαίους A : σκωπαίους C E : σκωπαῖοι (structura mutata) Eust. Τίμαιος Schweighäuser : Τίμων A C E ‖ **6** Μασσανάσσης A : Μασανάσσης C E M[pc] P Mus ‖ **8** ζητοῦντας scripsi : ζητοῦσι A ‖ **10** Μασσανάσσης A : Μασανάσσης M P Mus : Μαυρούσιος C E ‖ **19** Παιδιᾶς P Mus : Παιδείας A **20** Ἀρχύταν B : Ἀρχύτην A : Ἀρχύτας (structura mutata) C E ‖ **21** ἀεὶ C E B M P Mus : αἰεὶ A | τούτοις A C E : τοῖς αὐτῶν παιδίοις Ael. ‖ **24** ἐφόρουν δ᾽ οἱ Συβαρῖται A : οἱ Συβαρῖται om. C E ‖ **27** ἔξωθεν A C E et *Suda* : ἔωθεν C[s] E[s]

ἱππεῖς τῶν Συβαριτῶν ὑπὲρ τοὺς πεντακισχιλίους ὄντες ἐπόμ-
πευον ἔχοντες κροκωτοὺς ἐπὶ τοῖς θώραξι, καὶ τοῦ θέρους οἱ νεώτε-
ροι αὐτῶν εἰς τὰ τῶν νυμφῶν ἄντρα τῶν Λουσιάδων ἀποδημοῦντες
διετέλουν μετὰ πάσης τρυφῆς. οἱ δ' εὔποροι αὐτῶν, ὁπότε εἰς
5 ἀγρὸν παραβάλλοιεν, καίπερ ἐπὶ ζευγῶν πορευόμενοι τὴν ἡμερη-
σίαν πορείαν ἐν τρισὶν ἡμέραις διήνυον. ἦσαν δέ τινες αὐτοῖς καὶ
τῶν εἰς τοὺς ἀγροὺς φερουσῶν ὁδῶν κατάστεγοι. τοῖς | δὲ πλεί- 519d
στοις αὐτῶν ὑπῆρξαν οἰνῶνες ἐγγὺς τῆς θαλάσσης, εἰς οὓς δι'
ὀχετῶν τῶν οἴνων ἐκ τῶν ἀγρῶν ἀφειμένων τὸν μὲν ἔξω τῆς
10 χώρας πιπράσκεσθαι, τὸν δὲ εἰς τὴν πόλιν τοῖς πλοίοις διακομίζε-
σθαι. ἐποιοῦντο δὲ καὶ δημοσίᾳ πολλὰς καὶ πυκνὰς ἑστιάσεις, καὶ
τοὺς λαμπρῶς φιλοτιμηθέντας χρυσοῖς στεφάνοις ἐτίμων καὶ
τούτους ἀνεκήρυττον ἐν ταῖς δημοσίαις θυσίαις καὶ τοῖς ἀγῶσι,
προσκηρύττοντες οὐκ εὔνοιαν ἀλλὰ τὴν εἰς | τὰ δεῖπνα χορηγίαν· 519e
15 ἐν οἷς στεφανοῦσθαι καὶ τῶν μαγείρων τοὺς ἄριστα τὰ παρατε-
θέντα διασκευάσαντας. παρὰ Συβαρίταις δ' εὑρέθησαν καὶ πύελοι,
ἐν αἷς κατακείμενοι ἐπυριῶντο. πρῶτοι δὲ καὶ ἀμίδας ἐξεῦρον, ἃς
εἰσέφερον εἰς τὰ συμπόσια. καταγελῶντες δὲ τῶν ἀποδημούντων
ἐκ τῶν πατρίδων αὐτοὶ ἐσεμνύνοντο ἐπὶ τῷ γεγηρακέναι ἐπὶ ταῖς
20 τῶν ποταμῶν γεφύραις. [18] δοκεῖ δὲ μέγα τῆς εὐδαιμονίας
αἴτιον εἶναι ὅτι ἐκ τῆς χώρας ἀλιμένου τῆς θαλάσσης παρηκούσης
καὶ | τῶν καρπῶν σχεδὸν ἁπάντων ὑπὸ τῶν πολιτῶν καταναλι- 519f
σκομένων ⟨...⟩ ὅ τε τῆς πόλεως τόπος καὶ ὁ παρὰ τοῦ θεοῦ χρησ-
μὸς συμπαροξῦναι πάντας ἐκτρυφῆσαι καὶ ποιῆσαι ζῆσαι ὑπὲρ τὸ
25 μέτρον ἐκλελυμένως. ἡ δὲ πόλις αὐτῶν ἐν κοίλῳ κειμένη τοῦ μὲν
θέρους ἕωθέν τε καὶ πρὸς ἑσπέραν ψῦχος ὑπερβάλλον εἶχε, τὸ δὲ
μέσον τῆς ἡμέρας καῦμα ἀνύποιστον· ὥστε τοὺς πλείστους αὐτῶν

3 ἄντρα A : λουτρὰ Kaibel ‖ **5** παραβάλλοιεν A : παραβάλοιεν C E : μεταβάλλοιεν Kaibel ‖ **8** ὑπῆρξαν scripsi : ὑπάρχουσιν A : ἦσαν C E **9** ἀφειμένων A : ἀφει$^{\mu\nu}$ vel ἀφει$^{\mu\nu(o\nu)}$ C E : ἀφιεμένων Kaibel ‖ **11** ἐποιοῦντο C E : ποιοῦνται A | πυκνὰς A : ποικίλας Kaibel ‖ **12** ἐτίμων C E : τιμῶσι A **13** ἀνεκήρυττον C E : ἀνακηρύττουσιν A ‖ **14** εὔνοιαν ⟨εἰς τὸν δῆμον⟩ Schweighäuser ‖ **18** δὲ τῶν, i.e. ΔΕΤΩΝ C E M P Mus : λέγων, i.e. ΛΕΓΩΝ A ‖ **20–1** μέγα (i.e. ΜΕΓΑ) ... αἴτιον Musurus, Kaibel : μετὰ (i.e. ΜΕΤΑ) ... αὐτῶν A : fort. μετὰ ... αὐτῶν αἴτιον ‖ **22–3** καταναλισκομένων ⟨ὀλίγα πάνυ ἐξήγετο⟩, ὁ δὲ Kaibel ‖ **25** δὲ A C E : γὰρ Kaibel, ducente Schweighäuser **26** εἶχε scripsi : ἔχει A C E

520a ὑπειληφέναι πρὸς ὑγίειαν διαφέρειν τοὺς πότους· ‖ ὅθεν καὶ ῥηθῆναι ὅτι τὸν βουλόμενον ἐν Συβάρει μὴ πρὸ μοίρας ἀποθανεῖν οὔτε δυόμενον οὔτε ἀνίσχοντα τὸν ἥλιον ὁρᾶν δεῖ. ἔπεμψαν δέ ποτε καὶ εἰς θεοῦ τοὺς χρησομένους, ὧν ἦν εἷς Ἄμυρις, πυνθανόμενοι μέχρι τίνος εὐδαιμονήσουσι. καὶ ἡ Πυθία ἔφη (Delphic Oracle 5 Q122 Fontenrose)·

εὐδαίμων, σὺ μὲν αἰεὶ |
520b ἐν θαλίῃσιν ἔσῃ τιμῶν γένος αἰὲν ἐόντων.
εὖτ᾿ ἂν δὴ πρότερον θνητὸν θεοῦ ἄνδρα σεβίσσῃς,
τηνίκα σοι πόλεμός τε καὶ ἐμφύλιος στάσις ἥξει. 10

τούτων ἀκούσαντες ἔδοξαν λέγειν αὐτοῖς τὸν θεὸν ὡς οὐδέποτε παύσοιντο τρυφῶντες· οὐδέποτε γὰρ τιμήσειν ἄνθρωπον μᾶλλον
520c θεοῦ. ἐγένετ᾿ οὖν αὐτοῖς | τῆς τύχης ἡ μεταβολὴ ἐπεί τις τῶν οἰκετῶν τινα μαστιγῶν καὶ τοῦτον καταφυγόντα εἰς τὰ ἱερὰ πάλιν ἐμαστίγου· ὡς δὲ τὸ τελευταῖον κατέδραμεν ἐπὶ τὰ τοῦ πατρὸς 15 αὐτοῦ μνήματα, ἀφῆκεν αἰδεσθείς. ἐξαναλώθησαν δὲ φιλοτιμούμενοι πρὸς ἑαυτοὺς τρυφαῖς, καὶ ἡ πόλις δὲ πρὸς ἁπάσας τὰς ἄλλας ἡμιλλᾶτο περὶ τρυφῆς. εἶτα μετ᾿ οὐ πολὺ γινομένων αὐτοῖς σημείων πολλῶν καὶ ⟨τῆς⟩ ἀπωλείας, περὶ ἧς νῦν οὐ κατεπείγει λέγειν, διεφθάρησαν. [**19**] εἰς τηλικοῦτο δ᾿ ἦσαν τρυφῆς ἐληλακό- 20 τες ὡς καὶ παρὰ τὰς εὐωχίας τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι. τοῦτ᾿ οὖν εἰδότες οἱ Κροτωνιᾶται, ὅτε αὐτοῖς ἐπολέμουν, ὡς
520d καὶ Ἀριστοτέλης ἱστορεῖ | διὰ τῆς Πολιτείας αὐτῶν (fr. 583 Rose = fr. 600.1 Gigon), ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέλος· συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ. καὶ 25 ἅμα αὐλούντων ἀκούοντες οἱ ἵπποι οὐ μόνον ἐξωρχήσαντο, ἀλλὰ καὶ τοὺς ἀναβάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας.

520a–c *Suda*(1) α 1684; cf. St.Byz. σ 302 | **520c** *Suda*(2) σ 1271 | **520c–d** cf. Ael. *NA* 16.23 | **520d–f** cf. Iul.Afr. *Cest.* 1.11

1 πότους Dobree : ποταμοὺς A C : ποτμ E ‖ **4** εἷς Ἄμυρις Adam ex *Suda*(1) : † ἴσαμυρις † A ‖ **7** εὐδαίμων, Συβαρῖτα, πανευδαίμον, σὺ St.Byz. ‖ **9** δὴ A et St.Byz. : δὲ Schweighäuser | σεβίσσῃς A : σεβίζῃ St.Byz. ‖ **10** ἐμφύλιος A et St.Byz. : ἔμφυλος Porson ‖ **12** παύσοιντο Kaibel : παύσαιντο A : παύσεσθαι (structura mutata) C E ‖ **19** ⟨τῆς⟩ add. Casaubon | οὐ κατεπείγει Schaefer : οὐκέτ᾿ ἐπείγει A ‖ **21** ἐθίσαι A C E : διδάσκειν *Suda*

τὰ ὅμοια ἱστορεῖ καὶ περὶ Καρδιανῶν ὁ Λαμψακηνὸς Χάρων ἐν δευτέρῳ Ὥρων (*FGrH* 262 F 1) γράφων οὕτω· Βισάλται εἰς Καρδίην ἐστρατεύσαντο καὶ ἐνίκησαν. ἡγεμὼν δὲ τῶν Βισαλτέων ἦν Νάρις. οὗτος δὲ παῖς ὢν ἐν τῇ Καρδίῃ ἐπράθη καί τινι Καρδι-
5 ηνῷ δουλεύσας κορσωτεὺς ἐγένετο. Καρδιηνοῖς δὲ λόγιον ἦν ὡς Βισάλται ἀπίξονται | ἐπ' αὐτούς, καὶ πυκνὰ περὶ τούτου 520e διελέγοντο ἐν τῷ κορσωτηρίῳ ἱζάνοντες. καὶ ἀποδρὰς ἐκ τῆς Καρδίης εἰς τὴν πατρίδα τοὺς Βισάλτας ἔστειλεν ἐπὶ τοὺς Καρδιηνοὺς ἀποδειχθεὶς ἡγεμὼν ὑπὸ τῶν Βισαλτέων. οἱ δὲ Καρδιηνοὶ
10 πάντες τοὺς ἵππους ἐδίδαξαν ἐν τοῖς συμποσίοις ὀρχεῖσθαι ὑπὸ τῶν αὐλῶν, καὶ ἐπὶ τῶν ὀπισθίων ποδῶν ἱστάμενοι τοῖς προσθίοις ὠρχοῦντο ἐξεπιστάμενοι τὰ αὐλήματα. ταῦτ' οὖν ἐπιστάμενος ὁ Νάρις ἐκτήσατο ἐκ τῆς Καρδίης αὐλητρίδα, καὶ ἀφικομένη ἡ αὐλητρὶς εἰς τοὺς Βισάλτας ἐδίδαξε πολλοὺς αὐλητάς· μεθ' ὧν δὴ
15 καὶ στρατεύεται ἐπὶ τὴν Καρδίην. | καὶ ἐπειδὴ ἡ μάχη συνειστή- 520f κει, ἐκέλευσεν αὐλεῖν τὰ αὐλήματα ὅσα οἱ ἵπποι τῶν Καρδιηνῶν ἐξεπισταίατο. καὶ ἐπεὶ ἤκουσαν οἱ ἵπποι τοῦ αὐλοῦ, ἔστησαν ἐπὶ τῶν ὀπισθίων ποδῶν καὶ πρὸς ὀρχησμὸν ἐτράποντο. τῶν δὲ Καρδιηνῶν ἡ ἰσχὺς ἐν τῇ ἵππῳ ἦν, καὶ οὕτως ἐνικήθησαν. ‖ Συβα- 521a
20 ριτῶν δέ τις εἰς Κρότωνά ποτε διαπλεῦσαι βουληθεὶς ἐκ τῆς Συβάρεως ἰδιόστολον ἐναυλώσατο πλοῖον ἐφ' ᾧ οὔτε ῥαντισθήσεται οὔτ' ἐμβήσεται ἕτερος καὶ ἐφ' ᾧ τὸν ἵππον ἀναλήψεται. τοῦ δ' οὕτω συμφωνήσαντος ἐνεβίβασέ τε τὸν ἵππον καὶ ὑποστορέσαι τῷ ζῴῳ ἐκέλευσεν. ἔπειτα τινὸς τῶν προπεμπόντων ἐδεῖτο συμπλεῦσαι
25 αὐτῷ λέγων ὅτι· "προδιεστειλάμην τῷ πορθμεῖ ἵνα παρὰ τὴν γῆν πλέῃ"· ὁ δὲ ἀπεκρίνατο ὅτι· "μόλις ἄν σου ὑπήκουσα, εἰ παρὰ τὴν

1 ἱστορεῖ C E : ἱστόρησε A ‖ **4** Νάρις, i.e. ΝΑΡΙΣ Kaibel (cf. infra), ducente Cobet : † ηαρις †, i.e. ΗΑΡΙΣ A : Ὄναρις M P Mus (cf. infra) | Καρδίῃ Schweighäuser : Καρδίᾳ A ‖ **5** κορσωτεὺς (hapax legomenon) A : κορσωτὴς (cf. κορσωτηρίῳ infra) vel κορσεὺς Kaibel ‖ **11** ⟨ὥσπερ χειρονομέοντες⟩ post τοῖς προσθίοις add. Kaibel ex Iul.Afr. ‖ **12–13** ὁ Νάρις Cobet : ὁναρις A : Ὄναρις B M P Mus ‖ **17** ἐξεπισταίατο A : ἐξεπίσταιντο C E ‖ **18** ὀρχησμὸν C E : ὀρχισμὸν A | συνήθως τοῖς προσθίοις ποσὶ καὶ ἀποσεισαμένων τοὺς ἐπιβάτας post τραπομένων (pro ἐτράποντο structura mutata) praeb. C E, cf. Iul.Afr. ‖ **19–20,1** Συβαριτῶν δέ τις … παρὰ τὴν γῆν πλεῖν] "haec nec loco commodo posita et per se tam insipida tamque male graeca, ut interpolatoris Byzantini potius quam Athenaei esse videantur" Kaibel : ap. 12.522a post ἐπεχείρουν τοὺς ἀθλητάς praeb. C E

θάλασσαν ἔμελλες πεζεύειν καὶ μὴ παρὰ τὴν γῆν πλεῖν." [**20**]
521b Φύλαρχος δ' | ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν (*FGrH* 81 F
45) εἰπὼν ὅτι παρὰ Συρακοσίοις νόμος ἦν τὰς γυναῖκας μὴ
κοσμεῖσθαι χρυσῷ μηδ' ἀνθινὰ φορεῖν μηδ' ἐσθῆτας ἔχειν πορφυ-
ρᾶς ἐχούσας παρυφὰς ἐὰν μή τις αὐτῶν συγχωρῇ ἑταίρα εἶναι 5
κοινή, καὶ ὅτι ἄλλος ἦν νόμος τὸν ἄνδρα μὴ καλλωπίζεσθαι μηδ'
ἐσθῆτι περιέργῳ χρῆσθαι καὶ διαλλαττούσῃ ἐὰν μὴ ὁμολογῇ
μοιχεύειν ἢ κίναιδος εἶναι, καὶ τὴν ἐλευθέραν μὴ ἐκπορεύεσθαι
ἡλίου δεδυκότος ἐὰν μὴ μοιχευθησομένην. ἐκωλύετο δὲ καὶ ἡμέρας
521c ἐξιέναι ἄνευ τῶν | γυναικονόμων ἀκολουθούσης αὐτῇ μιᾶς 10
θεραπαινίδος. Συβαρῖται, φησίν, ἐξοκείλαντες εἰς τρυφὴν ἔγραψαν
νόμον τὰς γυναῖκας εἰς τὰς ἑορτὰς καλεῖν καὶ τοὺς εἰς τὰς θυσίας
καλοῦντας πρὸ ἐνιαυτοῦ τὴν κλῆσιν ποιεῖσθαι, ἵνα ἀξίως ποιούμε-
νοι τοῦ χρόνου τὴν παρασκευὴν τῶν τε ἱματίων καὶ τοῦ λοιποῦ
κόσμου προάγωσιν οὕτως εἰς τὰς κλήσεις· εἰ δέ τις τῶν ὀψοποιῶν 15
ἢ μαγείρων ἴδιον εὕροι βρῶμα καὶ περιττόν, ἐξουσίαν μὴ εἶναι
χρήσασθαι τούτῳ ἑτέρῳ πρὸ ἐνιαυτοῦ ἀλλ' ⟨ἢ⟩ αὐτῷ τῷ εὑρόντι,
521d τὸν χρόνον τοῦτον ὅπως ὁ πρῶτος εὑρὼν καὶ τὴν | ἐργασίαν ἔχοι,
πρὸς τὸ τοὺς ἄλλους φιλοπονοῦντας αὐτοὺς ὑπερβάλλεσθαι τοῖς
τοιούτοις· ὡσαύτως δὲ μηδὲ τοὺς τὰς ἐγχέλεις πωλοῦντας τέλος 20
αὐτοὺς ἀποτίνειν μηδὲ τοὺς θηρεύοντας. τὸν αὐτὸν τρόπον καὶ
τοὺς τὴν πορφύραν τὴν θαλαττίαν βάπτοντας καὶ τοὺς εἰσάγοντας
ἀτελεῖς ἐποίησαν. [**21**] πάνυ οὖν ἐξοκείλαντες εἰς ὕβριν τὸ τελευ-
ταῖον παρὰ Κροτωνιατῶν τριάκοντα πρεσβευτῶν ἡκόντων ἅπαν-
τας αὐτοὺς ἀπέκτειναν καὶ πρὸ τοῦ τείχους τὰ σώματα ἐξέρριψαν 25

521b Eust. p. 1185.6–8 = IV.331.19–332.4 | **521c** Eust. p. 1752.35–8 = ii.63.19–21 | **521d–f** Eust. p. 1266.53–6 = IV.607.6–11

4 ἔχειν del. Kaibel ‖ **6** κοινή ut glossam del. Meineke ‖ **12** ⟨περὶ τοῦ⟩ post νόμον add. Jacoby ‖ **13–14** τὴν κλῆσιν ποιεῖσθαι, ἵνα ἀξίως ποιούμενοι τοῦ χρόνου τὴν παρασκευὴν Casaubon, cf. Plu. *Mor.* 147e Συβαρῖται μὲν γὰρ ὡς ἔοικε πρὸ ἐνιαυτοῦ τὰς κλήσεις ποιοῦνται τῶν γυναικῶν, ὅπως ἐκγένοιτο κατὰ σχολὴν παρασκευασαμέναις ἐσθῆτι καὶ χρυσῷ φοιτᾶν ἐπὶ τὸ δεῖπνον : τὴν παρασκευὴν ποιεῖσθαι, ἵνα ἀξίως ποιούμενοι τοῦ χρόνου A : τὴν παρασκευὴν ποιεῖσθαι C E : ποιούμεναι pro ποιούμενοι Schweighäuser **13–14** ποιούμενοι A : fort. ποιησάμενοι ‖ **16** ἴδιον C E B M P Eust. Mus : ἥδιον A | τὴν ἐξουσίαν A : τὴν om. C E ‖ **17** ἑτέρῳ scripsi : ἕτερον A C E : del. Wilamowitz | ⟨ἢ⟩ add. Wilamowitz ‖ **18** ἔχοι scripsi : ἔχῃ vel ἔχη A C E **20** ἐνομοθέτησαν post ὡσαύτως praeb. C E ‖ **21** αὐτοὺς C E : om. A

καὶ ὑπὸ θηρίων εἴασαν διαφθαρῆναι. | αὕτη δ᾽ αὐτοῖς καὶ τῶν 521e
κακῶν ἐγένετο ἀρχὴ μηνίσαντος τοῦ δαιμονίου· ἔδοξαν γοῦν μετ᾽
ὀλίγας ἡμέρας πάντες αὐτῶν οἱ ἄρχοντες τὴν αὐτὴν ἰδεῖν ὄψιν ἐν
τῇ αὐτῇ νυκτί, τὴν Ἥραν ἰδόντες ἐλθοῦσαν εἰς μέσην τὴν ἀγορὰν
5 καὶ ἐμοῦσαν χολήν, ἀνέβλυσε δὲ καὶ αἵματος πηγὴ ἐν τῷ ἱερῷ
αὐτῆς. καὶ οὐδὲ οὕτως ἔληξαν τῆς ὑπερηφανίας ἕως πάντες ὑπὸ
Κροτωνιατῶν ἀπώλοντο. Ἡρακλείδης δ᾽ ὁ Ποντικὸς ἐν τῷ Περὶ
Δικαιοσύνης (fr. 49 Wehrli = fr. 22 Schütrumpf) φησί· Συβαρῖται
τὴν Τήλυος τυραννίδα καταλύσαντες τοὺς μετασχόντας | τῶν 521f
10 πραγμάτων ἀναιροῦντες καὶ φονεύοντες ἐπὶ τῶν βωμῶν ἅπαντες
† καὶ ἐπὶ τοῖς φόνοις τούτοις ἀπεστράφη μὲν τὸ τῆς Ἥρας
ἄγαλμα, τὸ δὲ ἔδαφος ἀνῆκε πηγὴν αἵματος, ὥστε τὸν σύνεγγυς
ἅπαντα τόπον κατεχάλκωσαν θυρίσι βουλόμενοι στῆσαι τὴν τοῦ
αἵματος ἀναφοράν· διόπερ ἀνάστατοι ἐγένοντο καὶ διεφθάρησαν
15 ἅπαντες, οἱ καὶ τὸν τῶν Ὀλυμπίων ‖ τῶν πάνυ ἀγῶνα ἀμαυρῶσαι 522a
ἐθελήσαντες· καθ᾽ ὃν γὰρ ἄγεται καιρὸν ἐπιτηρήσαντες ἄθλων
ὑπερβολῇ ὡς αὑτοὺς καλεῖν ἐπεχείρουν τοὺς ἀθλητάς. [**22**] καὶ
Κροτωνιᾶται δ᾽, ὥς φησι Τίμαιος (*FGrH* 566 F 44), μετὰ τὸ ἐξελεῖν
Συβαρίτας ἐξώκειλαν εἰς τρυφήν, ὥστε καὶ τὸν ἄρχοντα αὐτῶν
20 περιιέναι κατὰ τὴν πόλιν ἁλουργίδα ἠμφιεσμένον καὶ ἐστεφανω-
μένον χρυσῷ στεφάνῳ, ὑποδεδεμένον λευκὰς κρηπῖδας. οἱ δὲ οὐ
διὰ τρυφήν φασι τοῦτο γεγονέναι ἀλλὰ διὰ Δημοκήδη τὸν ἰατρόν,
ὃς τὸ μὲν γένος ἦν Κροτωνιάτης, | Πολυκράτει δὲ τῷ Σαμίων 522b
τυράννῳ συνὼν καὶ μετὰ τὸν ἐκείνου θάνατον αἰχμαλωτισθεὶς ὑπὸ
25 Περσῶν ἀνήχθη ὡς βασιλέα Ὀροίτου τὸν Πολυκράτη ἀποκτείναν-
τος. θεραπεύσας δ᾽ ὁ Δημοκήδης Ἄτοσσαν τὴν Δαρείου μὲν
γυναῖκα, Κύρου δὲ θυγατέρα, τὸν μαστὸν ἀλγήσασαν ᾔτησε
ταύτην δωρεὰν καταπεμφθῆναι εἰς τὴν Ἑλλάδα ὡς ἐπανελευσόμε-
νος, καὶ τυχὼν ἧκεν εἰς Κρότωνα· βουλομένου τε αὐτόθι καταμέ-
30 νειν, ἐπιλαβομένου τινὸς τῶν Περσῶν καὶ | λέγοντος ὅτι βασιλέως 522c
εἴη δοῦλος, ἐκεῖνον μὲν ἀφείλαντο οἱ Κροτωνιᾶται, ἐκδύσαντες δὲ
τὴν στολὴν τοῦ Πέρσου ἐνέδυσαν τὸν ὑπηρέτην τοῦ πρυτανεύοντος·
ἐξ οὗ δὴ Περσικὴν ἔχων στολὴν περιέρχεται ταῖς ἑβδόμαις τοὺς
βωμοὺς μετὰ τοῦ πρυτάνεως οὐ τρυφῆς χάριν οὐδὲ ὕβρεως ἀλλ᾽

4 τὴν[1] γὰρ A : γὰρ delevi : fort. τὴν γὰρ Ἥραν εἶδον ‖ **10–11** lac. post ἅπαντες indic. Kaibel

ἐπηρείας τῆς εἰς τοὺς Πέρσας τοῦτο πράττοντες. ὕστερον δὲ καὶ οἱ Κροτωνιᾶται, φησὶν ὁ Τίμαιος (*FGrH* 566 F 45), ἐπεχείρησαν τὴν Ὀλυμπικὴν πανήγυριν καταλῦσαι τῷ αὐτῷ χρόνῳ προθέντες 522d ἀργυρικὸν | σφόδρα πλούσιον ἀγῶνα. οἱ δὲ Συβαρίτας τοῦτο ποιῆσαι λέγουσι. [23] Ταραντίνους δέ φησι Κλέαρχος ἐν τετάρτῳ 5 Βίων (fr. 48 Wehrli) ἀλκὴν καὶ δύναμιν κτησαμένους εἰς τοσοῦτο τρυφῆς προελθεῖν ὥστε τὸν ὅλον χρῶτα παραλεαίνεσθαι καὶ τῆς ψιλώσεως ταύτης τοῖς λοιποῖς κατάρξαι. ἐφόρουν δέ, φησί, καὶ παρυφῆ διαφανῆ πάντες, οἷς νῦν ὁ τῶν γυναικῶν ἁβρύνεται βίος. ὕστερον δ' ὑπὸ τῆς τρυφῆς εἰς ὕβριν ποδηγηθέντες ἀνάστατον 10 522e μητρόπολιν Ἰαπύγων ἐποίησαν | Κάρβιναν, ἐξ ἧς παῖδας καὶ παρθένους καὶ τὰς ἐν ἀκμῇ γυναῖκας ἀθροίσαντες εἰς τὰ τῶν Καρβινατῶν ἱερὰ σκηνοποιησάμενοι γυμνὰ πᾶσι τῆς ἡμέρας τὰ σώματα παρεῖχον θεωρεῖν· καὶ ὁ βουλόμενος καθάπερ εἰς ἀτυχῆ παραπηδῶν ἀγέλην ἐθοινᾶτο ταῖς ἐπιθυμίαις τὴν τῶν ἀθροισθέν- 15 των ὥραν πάντων μὲν ὁρώντων, μάλιστα δὲ ὧν ἥκιστα ἐκεῖνοι προσεδόκων, θεῶν. οὕτω δὲ τὸ δαιμόνιον ἠγανάκτησεν ὥστε Ταραντίνων τοὺς ἐν Καρβίνῃ παρανομήσαντας ἐκεραύνωσε | 522f πάντας. καὶ μέχρι καὶ νῦν ἐν Τάραντι ἑκάστη τῶν οἰκιῶν ὅσους ὑπεδέξατο τῶν εἰς Ἰαπυγίαν ἐκπεμφθέντων, τοσαύτας ἔχει στήλας 20 πρὸ τῶν θυρῶν· ἐφ' αἷς καθ' ὃν ἀπώλοντο χρόνον οὔτ' οἰκτίζονται τοὺς ἀποιχομένους οὔτε τὰς νομίμους χέονται χοάς, ἀλλὰ θύουσι Διὶ Καταιβάτῃ. [24] Ἰαπύγων δ' αὖ, τὸ γένος ἐκ Κρήτης ὄντων, 523a κατὰ Γλαύκου ζήτησιν ἀφικομένων καὶ κατοικησάντων, οἱ ‖ μετὰ τούτους λήθην λαβόντες τῆς Κρητῶν περὶ τὸν βίον εὐκοσμίας εἰς 25 τοσοῦτο τρυφῆς, εἶθ' ὕστερον ὕβρεως ἦλθον ὥστε πρῶτοι τὸ

522d Eust. p. 1436.46, 49–50 = i.85.35, 38–9 | **523a** Eust. p. 1094.49 = IV.12.22–3

1 τοῦτο πράττοντες del. Wilamowitz, et lac. post ὕστερον δὲ indic. Kaibel **8** κατάρξαι A : προκατάρξαι C E ‖ **9** παρυφῆ scripsi : παρυφὴν A C E Eust. : παρυφίδα Kaibel ‖ **10** ὕστερον C E : δεύτερον A ‖ **11** μητρόπολιν scripsi : μίαν πόλιν A : μίαν πό^{λ} C E ‖ **13** Καρβινατῶν M P Mus : Καρβινιατῶν A **19** ἑκάστη M P Mus : ἑκάστη A | ὅσους Musurus : οὓς οὐχ A ‖ **20** ὑπεδέξατο Schweighäuser : ὑπεδέξαντο A : ἀπεδέξατο Meineke ‖ **21** θυρῶν A : πυλῶν Wilamowitz ‖ **22** τὰς M P Mus : τοὺς A ‖ **23** Καταιβάτῃ M Mus : Καταιβάτη P : Κατηβάτη A | δ' Kaibel : τε A | ὄντων Meineke : ὂν τῶν A C E **24** Γλαύκου A C E : Δαιδάλου Schweighäuser ‖ **26** τοσοῦτο E : τοῦτο A C

πρόσωπον ἐντριψάμενοι καὶ προκόμια περιθετὰ λαβόντες στολὰς μὲν ἀνθινὰς φορῆσαι, τὸ δὲ ἐργάζεσθαι καὶ πονεῖν αἰσχρὸν νομίσαι· καὶ τοὺς μὲν πολλοὺς αὐτῶν καλλίονας τὰς οἰκίας ποιῆσαι τῶν ἱερῶν, | τοὺς δ' ἡγεμόνας ἐφυβρίζοντας τὸ θεῖον 523b
5 πορθεῖν ἐκ τῶν ἱερῶν τὰ τῶν θεῶν ἀγάλματα προειπόντας μεθίστασθαι τοῖς κρείττοσι· διόπερ ἐξ οὐρανοῦ βαλλόμενοι πυρὶ καὶ χαλκῷ ταύτην διέδοσαν τὴν φήμην· ἐφάνη γὰρ † ην † μέχρι πόρρω κεχαλκευμένα τῶν ἐξ οὐρανοῦ βελῶν, καὶ πάντες οἱ ἀπ' ἐκείνων μέχρι τήμερον ἐν χρῷ κεκαρμένοι καὶ πένθιμον στολὴν
10 ἀμπεχόμενοι ζῶσι | πάντων τῶν πρὶν ὑπαρξάντων ἀγαθῶν σπανί- 523c ζοντες. [25] Ἴβηρες δὲ καίτοι ἐν τραγικαῖς στολαῖς καὶ ποικίλαις προϊόντες καὶ χιτῶσι ποδήρεσι χρώμενοι οὐδὲν ἐμποδίζονται τῆς πρὸς τοὺς πολέμους ῥώμης. Μασσαλιῶται δ' ἐθηλύνθησαν τὸν αὐτὸν Ἴβηρσι τῆς ἐσθῆτος φοροῦντες κόσμον· ἀσχημονοῦσι γοῦν
15 διὰ τὴν ἐν ταῖς ψυχαῖς μαλακίαν καὶ τρυφὴν γυναικοπαθοῦντες· ὅθεν καὶ παροιμία παρῆλθε "πλεύσειας εἰς Μασσαλίαν." καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, ἣν πρότερον κατέσχον οἱ ἀπὸ Τροίας ἐλθόντες, ὕστερον δ' ὑπὸ Κολοφωνίων ⟨…⟩, ὥς φησι Τίμαιος (*FGrH* 566 F 51) καὶ Ἀριστοτέλης (fr. 584 Rose = fr. 601 Gigon), εἰς
20 τρυφὴν ἐξώκειλαν οὐχ ἧσσον Συβαριτῶν· καὶ γὰρ | ἰδίως παρ' 523d αὐτοῖς ἐπεχωρίασε φορεῖν ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι, καὶ ἐκαλοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος (*Il.* 16.419) τοὺς ἀζώστους ἀμιτροχί- τωνας καλεῖ. καὶ Ἀρχίλοχος δ' ὁ ποιητὴς (fr. 22 West[2]) ὑπερτεθαύ-
25 μακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν· περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἥσσονός φησιν·

οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐφίμερος
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

523c–d Eust. p. 1056.61–3 = III.840.13–16

1 περιθετὰ τε A : τε om. C E Eust. ‖ **2** ἐργάζεσθαι Kaibel : ἐργάσασθαι A C E | αἰσχρὸν Meineke : αἴσχιον A C E ‖ **4** ἡγεμόνας τῶν Ἰαπύγων A : τῶν Ἰαπύγων ut glossam delevi ‖ **6** βαλλόμενοι A : ἐβλήθησαν C E : fort. βληθέντες ‖ **7** † γαρ ην † A : γάρ τινα Kaibel ‖ **11** τραγικαῖς, i.e. ΤΡΑΓ- P Mus : † τρατικαις †, i.e. ΤΡΑΤ- A : στρατηγικαῖς C E B ‖ **13** οἱ τὸν A : οἱ om. C E ‖ **15** καὶ Kaibel : διὰ A C E ‖ **17** πρότερον scripsi : πρῶτοι A C E **18** lac. indic. Casaubon : Κολοφώνιοι pro ὑπὸ Κολοφωνίων Schweighäuser **21** ἐπεχωρίασε(ν) A C Eust. : ἐπεχωριάσας E : ἐπεχωρίαζεν Kaibel

ὠνομάσθη δ᾽ ἡ Σῖρις, ὡς μὲν Τίμαιός (*FGrH* 566 F 52) φησι καὶ Εὐριπίδης ἐν Δεσμώτιδι Μελανίππῃ (fr. 496), ἀπὸ γυναικός τινος
523e Σίριδος· ὡς δ᾽ Ἀρχίλοχος, ἀπὸ ποταμοῦ. | οὐκ ὀλίγον δὲ πρὸς τὴν τρυφὴν καὶ τὴν εὐδαιμονίαν τοῦ σύμπαντος τούτου κλίματος καὶ τὸ πλῆθος ἐγένετο τῶν ἀνθρώπων· διὸ καὶ Μεγάλη Ἑλλὰς 5 ἐκλήθη πᾶσα σχεδὸν ἡ κατὰ τὴν Ἰταλίαν κατοίκησις. [**26**] Μιλήσιοι δ᾽ ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος (*FGrH* 70 F 183), καὶ τάς τε ἐφ᾽ Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον Πόντον κατῴκισαν πόλεσι λαμπραῖς· καὶ πάντες ἐπὶ τὴν Μίλητον ἔθεον. ὡς δὲ ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερρύη 10 τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης (fr. 557 Rose = fr.
523f 565.1 Gigon). | καὶ παροιμία τις ἐγεννήθη ἐπ᾽ αὐτῶν·

πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι. (cf. Ar. *Pl.* 1002)

Ἡρακλείδης δ᾽ ὁ Ποντικὸς ἐν δευτέρῳ Περὶ Δικαιοσύνης (fr. 50 Wehrli = fr. 23 Schütrumpf) φησίν· ἡ Μιλησίων πόλις περιπέπτω- 15 κεν ἀτυχίαις διὰ τρυφὴν βίου καὶ πολιτικὰς ἔχθρας· οἳ τὸ ἐπιεικὲς
524a οὐκ ἀγαπῶντες ἐκ ῥιζῶν ‖ ἀνεῖλον τοὺς ἐχθρούς· στασιαζόντων γὰρ τῶν τὰς οὐσίας ἐχόντων καὶ τῶν δημοτῶν, οὓς ἐκεῖνοι Γέργιθας ἐκάλουν, πρῶτον μὲν κρατήσας ὁ δῆμος καὶ τοὺς πλουσίους ἐκβαλὼν καὶ συναγαγὼν τὰ τέκνα τῶν φυγόντων εἰς ἁλωνίας 20 βουσὶ συνηλοίησαν καὶ παρανομωτάτῳ θανάτῳ διέφθειραν. τοιγάρτοι πάλιν οἱ πλούσιοι κρατήσαντες ἅπαντας ὧν κύριοι κατέστησαν μετὰ τῶν τέκνων κατεπίττωσαν, ὧν καιομένων φασὶν ἄλλα τε πολλὰ γενέσθαι τέρατα καὶ ἐλαίαν ἱερὰν αὐτομάτην |
524b ἀναφθῆναι· διόπερ ὁ θεὸς ἐπὶ πολὺν χρόνον ἀπήλαυνεν αὐτοὺς τοῦ 25 μαντείου, καὶ ἐπερωτώντων διὰ τίνα αἰτίαν ἀπελαύνονται εἶπε (Didyma Oracle 3 Fontenrose)·

523e–f Eust. p. 1358.8–12 = IV.929.22–930.2 | **524a–b** Eust. p. 1433.41–4 = i.81.19–23 | **524b** Eust. p. 1358.8–12 = IV.929.22–930.2

2 Δεσμώτιδι ἡ Μελανίππῃ A : ἡ del. Dindorf, cf. 14.613d ‖ **6** ⟨Ἑλλήνων⟩ κατοίκησις Meineke ‖ **9** ἐπὶ A : ὑπὸ C E : εἰς Eust. ‖ **11** ὁ Ἀριστοτέλης A : ὁ om. C E Eust. ‖ **20–1** συναγαγών, βουσὶ (om. συναγαγόντες) C E : συναγαγὼν ... βοῦς συναγαγόντες (v.ll.) A : συναγαγὼν ... βοῦς τε ἐπαγαγόντες Casaubon : συναγαγὼν ... βοῦς εἰσαγαγόντες Kaibel ‖ **22** τοιγάρτοι A : τοιγαροῦν C E ‖ **25** ἀπήλαυνεν αὐτοὺς τοῦ Musurus : ἀπήλαυνεν αὖ τοῦ A : ἀπηλαύνοντο τοῦ (structura mutata) C E : fort. ἀπήλαυνεν ἀπὸ τοῦ

καί μοι Γεργίθων τε φόνος μέλει ἀπτολεμίστων
πισσήρων τε μόρος καὶ δένδρεον ἀειθαλές.

Κλέαρχος δὲ ἐν τετάρτῳ Βίων (fr. 45 Wehrli) ζηλώσαντάς φησι τοὺς Μιλησίους τὴν Κολοφωνίων τρυφὴν διαδοῦναι καὶ τοῖς
5 πλησιοχώροις, ἔπειτ' ὀνειδιζομένους λέγειν ἑαυτοῖς· "οἴκοι τὰ Μιλήσια κἀπιχώρια καὶ | μὴ ἐν τῷ μέσῳ." [27] καὶ περὶ Σκυθῶν 524c δ' ἑξῆς ὁ Κλέαρχος (fr. 46 Wehrli) τάδε ἱστορεῖ· μόνον δὲ νόμοις κοινοῖς πρῶτον ἔθνος ἐχρήσατο τὸ Σκυθῶν. εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν διὰ τὴν ὕβριν· ἐτρύφησαν μὲν γὰρ ὡς
10 οὐδένες ἕτεροι τῶν πάντων εὐροίας καὶ πλούτου καὶ τῆς λοιπῆς αὐτοὺς χορηγίας κατασχούσης. τοῦτο δὲ δῆλον ἐκ τῆς ἔτι καὶ νῦν ὑπολειπούσης περὶ τοὺς ἡγεμόνας αὐτῶν ἐσθῆτός τε καὶ διαίτης. τρυφήσαντες δὲ καὶ μάλιστα δὴ καὶ πρῶτοι πάντων τῶν ἀνθρώπων | ἐπὶ τὸ τρυφᾶν ὁρμήσαντες εἰς τοσοῦτο προῆλθον ὕβρεως 524d
15 ὥστε πάντων τῶν ἀνθρώπων εἰς οὓς ἀφίκοιντο ἠκρωτηρίαζον τὰς ῥῖνας· ἀφ' ὧν οἱ ἀπόγονοι μεταστάντες ἔτι καὶ νῦν ἀπὸ τοῦ πάθους ἔχουσι τὴν ἐπωνυμίαν. αἱ δὲ γυναῖκες αὐτῶν τὰς Θρᾳκῶν τῶν πρὸς ἑσπέραν καὶ ἄρκτον περιοικούντων γυναῖκας ἐποίκιλλον τὰ σώματα περόναις γραφὴν ἐνεῖσαι· ὅθεν πολλοῖς ἔτεσιν ὕστερον αἱ
20 ὑβρισθεῖσαι τῶν Θρᾳκῶν γυναῖκες ἰδίως ἐξηλείψαντο τὴν συμφορὰν | προσαναγραψάμεναι τὰ λοιπὰ τοῦ χρωτός, ἵν' ὁ τῆς ὕβρεως 524e καὶ τῆς αἰσχύνης ἐπ' αὐταῖς χαρακτὴρ εἰς ποικιλίαν καταριθμηθεὶς κόσμου προσηγορίᾳ τοὔνειδος ἐξαλείψῃ. πάντων δὲ οὕτως ὑπερηφάνως προέστησαν ὥστε οὐδένων ἄδακρυς ἡ τῆς δουλείας
25 ὑπουργία γινομένη διήγγειλεν εἰς τοὺς ἐπιγινομένους τὴν ἀπὸ

524d–e Eust. p. 1960.15–17 = ii.321.28–30 | **524e–f** Eust. p. 1292.63–4 = IV.701.17–19

1 ἀπτολεμίστων C E : ἀπτολεμίστω A ‖ **2** πισσήρων A : πισσηρός C E : πισσηροῦ (structura mutata) Eust. | ἀειθαλές A C E : ἀειθαλοῦς (structura mutata) Eust. : ἀειθαλλές B : αἰεὶ ἀθαλλές Schweighäuser ‖ **8** ⟨καὶ⟩ πρῶτον Kaibel ‖ **10** εὐροίας Schweighäuser (εὐρροίας iam Musurus) : εὐβοίας A **12** ὑπολειπούσης B M P Mus : ὑπολιπούσης A ‖ **14** τοσοῦτο scripsi : τοῦτο A C E ‖ **15** ἀφίκοιντο A : ἀφίκοντο C E ‖ **16** ἀφ' del. Kaibel ‖ **18** περιοικούντων Kaibel : τῶν περιοίκων A : τῶν del. Wyttenbach ‖ **21** προσαναγραψάμεναι A C E Eust. : προσκαταγραψάμεναι Kaibel ‖ **22–3** καταριθμηθεὶς C E B M P Mus : ἀριθμηθεὶς Eust. : καταριθμηθηεὶς A ‖ **25** γινομένη C E B, cf. ἐπιγινομένους infra : γιγνομένη A

Σκυθῶν ῥῆσιν οἵα τις ἦν. διὰ τὸ πλῆθος οὖν τῶν κατασχουσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων ὄλβον
524f καὶ τὰς κόμας περιεσπάσθησαν, παντὸς ἔθνους | οἱ ἔξω τὴν ἐφ' ὕβρει κουρὰν ἀπεσκυθίσθαι προσηγόρευσαν. [**28**] τοὺς δὲ σύμπαντας Ἴωνας ἐπισκώπτων Καλλίας (fr. 8) ἢ Διοκλῆς ἐν Κύκλωψί 5 φησι·

> τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεζος Ἰωνία; εἴφ' ὅτι
> πράσσει.

καὶ Ἀβυδηνοὶ δὲ — Μιλησίων δ' εἰσὶν ἄποικοι — ἀνειμένοι τὴν δίαιτάν εἰσι καὶ κατεαγότες, ὡς παρίστησιν Ἕρμιππος ἐν Στρατι- 10 ώταις (fr. 57)·

> (A.) χαῖρ', ὦ διαπόντιον
> στράτευμα, τί πράττομεν; † ὧν
> τὰ μὲν πρὸς ὄψιν μαλακῶς
> † ἔχειν ἀπὸ σώματος ‖ 15
> 525a κόμῃ τε νεανικῇ 5
> σφρίγει τε βραχιόνων.
> (B.) ᾔσθου τὸν Ἄβυδον ὡς
> ἀνὴρ γεγένηται;

καὶ Ἀριστοφάνης Τριφάλητι (fr. 556) παρακωμῳδῶν πολλοὺς τῶν 20 Ἰώνων·

> ἔπειθ' ὅσοι παρῆσαν ἐπίσημοι ξένοι
> ἐπηκολούθουν κἠντιβόλουν προσκείμενοι·
> "ὅπως ἔχων τὸν παῖδα πωλήσει 'ς Χίον,"
> ἕτερος δ'· "ὅκως ἐς Κλαζομενάς," ἕτερος δ'· "ὅκως | 25
> 525b εἰς Ἔφεσον," οἱ δ'· "εἰς Ἄβυδον." ἦν δ' ἐκεῖνα † πανθόδω †. 5

524f Eust. p. 1358.13–14 = IV.930.4–5

9 δὲ C E : om. A ‖ **12** χαῖρ' ὦ Dobree : χαίρω A ‖ **13** στράτευμα, τί πράττομεν Dobree (στράτευμά τι πραττομένων iam M) : † στρατευματι † πρατττομένων A ‖ **16** κόμῃ τε νεανικῇ Musurus : κόμη τε νεανικὴ A **23** κἠντιβόλουν M P Mus : καὶ ἠντιβόλουν A : κἠντεβόλουν Cobet ‖ **24** ὅπως A : ὅκως Musurus, cf. v. 4 ὅκως ‖ **26** εἰς[1] ... εἰς A : ἐς ... ἐς Schweighäuser, ducente Toup | οἱ A : ὁ Meineke

περὶ δὲ τῶν Ἀβυδηνῶν Ἀντιφῶν ἐν τῷ Κατὰ Ἀλκιβιάδου Λοιδο-
ρίας (fr. 67 Blass–Thalheim) γράφει οὕτως· ἐπειδὴ ἐδοκιμάσθης
ὑπὸ τῶν ἐπιτρόπων, παραλαβὼν παρ᾽ αὐτῶν τὰ σαυτοῦ χρήματα
ᾤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέος ἴδιον σαυτοῦ πραξόμενος
5 οὐδὲν οὔτε προξενίας οὐδεμιᾶς ἕνεκεν, ἀλλὰ τῇ σαυτοῦ παρανομίᾳ
καὶ ἀκολασίᾳ τῆς γνώμης ὁμοίους ἔργων τρόπους μαθησόμενος
παρὰ τῶν ἐν Ἀβύδῳ γυναικῶν, ὅπως ἐν τῷ ἐπιλοίπῳ βίῳ σαυτοῦ
ἔχοις χρῆσθαι αὐτοῖς. | [29] ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς 525c
τῷ Μαιάνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι, ὥς φησι Καλλῖνος ἐν τοῖς
10 Ἐλεγείοις (fr. 3 West²) καὶ Ἀρχίλοχος (fr. 20 West²)· ἑάλωσαν γὰρ
ὑπὸ Ἐφεσίων. καὶ περὶ αὐτῶν δὲ τῶν Ἐφεσίων Δημόκριτος ὁ
Ἐφέσιος ἐν τῷ προτέρῳ Περὶ τοῦ ἐν Ἐφέσῳ Ναοῦ (*FGrH* 267 F 1)
διηγούμενος περὶ τῆς χλιδῆς αὐτῶν καὶ ὧν ἐφόρουν βαπτῶν
ἱματίων γράφει καὶ τάδε· τὰ δὲ τῶν Ἰώνων ἰοβαφῆ καὶ πορφυρᾶ
15 καὶ κρόκινα ῥόμβοις ὑφαντά· αἱ δὲ κεφαλαὶ κατ᾽ ἴσα διειλημμέναι
ζῴοις· καὶ σαράπεις μήλινοι καὶ | πορφυροῖ καὶ λευκοί, οἱ δὲ 525d
ἁλουργεῖς· καὶ καλασίρεις Κορινθιουργεῖς· εἰσὶ δ᾽ αἱ μὲν πορφυραῖ
τούτων, αἱ δὲ ἰοβαφεῖς, αἱ δὲ ὑακίνθιναι· λάβοι δ᾽ ἄν τις καὶ
φλογίνας καὶ θαλασσοειδεῖς. ὑπάρχουσι δὲ καὶ Περσικαὶ καλασί-
20 ρεις, αἵπερ εἰσὶ κάλλισται πασῶν. ἴδοι δ᾽ ἄν τις, φησί, καὶ τὰς
καλουμένας ἀκταίας, ὅπερ ἐστὶ καὶ πολυτελέστατον ἐν τοῖς Περσι-
κοῖς περιβλήμασιν. ἐστὶ δὲ τοῦτο σπαθητὸν ἰσχύος καὶ κουφότη-
τος χάριν· καταπέπασται δὲ χρυσοῖς κέγχροις· οἱ δὲ κέγχροι
νήματι πορφυρῷ πάντες | εἰς τὴν εἴσω μοῖραν ἅμματ᾽ ἔχουσιν ἀνὰ 525e
25 μέσον. τούτοις πᾶσι χρῆσθαί φησι τοὺς Ἐφεσίους ἐπιδόντας εἰς
τρυφήν. [30] περὶ δὲ τῆς Σαμίων τρυφῆς Δοῦρις (*FGrH* 76 F 60)
ἱστορῶν παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας περὶ
τοῖς βραχίοσι καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων ἐβάδιζον
κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. τὸ

525c–d Eust.(1) p. 1387.44 = i.14.18–19 | **525c–d** Eust.(2) p. 1390.40 = i.18.36–7 | **525d** Eust. p. 1390.42 = i.18.38–9

3 σαυτοῦ M P Mus, cf. σαυτοῦ ter infra : αὐτοῦ A ‖ **7** σαυτοῦ A : del. Wilamowitz ‖ **11** ὁ C E : om. A ‖ **15** κεφαλαὶ A : στεφάναι Kaibel **18** ὑακίνθιναι Casaubon : ὑακινθίνας (structura mutata) C E Eust.(1–2) : ὑάκινθοι A ‖ **23** καταπέπασται, i.e. -ΠΑΣ- Dalechamps (*conspersum*) : καταπέπλασται, i.e. -ΠΛΑΣ- A C E ‖ **29** κατεκτενισμένοι C E B Mus : κατεκνενισμένοι A

δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε· "βαδίζειν ⟨εἰς⟩ Ἡραῖον ἐμπεπλεγμένον". ἐστὶ δὲ τὰ τοῦ Ἀσίου ἔπη (fr. 13, pp. 130–1 Bernabé) οὕτως ἔχοντα· |

525f
οἳ δ' αὔτως φοιτέεσκον, ὅπως πλοκάμους κτενίσαιντο,
εἰς Ἥρας τέμενος πεπυκασμένοι εἵμασι καλοῖς. 5
χιονέοισι χιτῶσι πέδον χθονὸς εὐρέος εἶχον,
χρύσειαι δὲ κορύμβαι ἐπ' αὐτῶν τέττιγες ὥς,
χαῖται δ' ᾐωρεῦντ' ἀνέμῳ χρυσέοις ἐνὶ δεσμοῖς, 5
δαιδάλεοι δὲ χλιδῶνες ἄρ' ἀμφὶ βραχίοσιν † ησαντες †
ὑπασπίδιον πολεμιστήν. 10

Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἡδονῆς (fr. 57 Wehrli = fr. 41 Schütrumpf) ‖ 526a Σαμίους φησὶ καθ' ὑπερβολὴν τρυφήσαντας διὰ τὴν πρὸς ἀλλήλους μικροψυχίαν ὥσπερ Συβαρίτας τὴν πόλιν ἀπολέσαι. [**31**] Κολοφώνιοι δέ, ὥς φησι Φύλαρχος (*FGrH* 81 F 66), τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενοι, προήεσαν 15 διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, ὡς καὶ Ξενοφάνης (fr. 3 West[2]) φησίν·

ἀφροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶν,
ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆς, | 20
526b
ᾔεσαν εἰς ἀγορὴν παναλουργέα φάρε' ἔχοντες,
οὐ μείους ὥσπερ χίλιοι εἰς ἐπίπαν,
αὐχαλέοι, χαίτῃσιν † ἀγαλλομεν † εὐπρεπέεσσιν 5
ἀσκητοῖς ὀδμὴν χρήμασι δευόμενοι.

2 ⟨εἰς⟩ add. Meineke, cf. εἰς Ἥρας τέμενος infra ‖ **4** φοιτέεσκον A : φοίτεσκον B M P Mus ‖ **5** Ἥρας A : Ἥρης Naeke | πεπυκασμένοι B P Mus : πεποικασμένοι (vox nihili) A ‖ **7** v. 4 post v. 5 transpos. Naeke ‖ **8** δ' ᾐωρεῦντ' ἀνέμῳ Dindorf, ducente Casaubon : δ' † ωρευντανεμῳ † A ‖ **9** δαιδάλεοι δὲ χλιδῶνες A : δαιδαλέας δὲ χλιδῶνας Ebert | βραχίοσιν † ησαντες † A : βραχίοσ' ἔσαντες Ebert ‖ **13** μικροψυχίαν scripsi : μικρολογίαν A : φιλοτιμίαν Kaibel ‖ **19** ἀφροσύνας A : ἀβροσύνας JGSchneider ‖ **20** ἦσαν ἄνευ Dindorf : † ησσανευ † A : ἦσσαν εὐ- M : ἦσαν εὐ- P : ἦσαν ἐπὶ Musurus ‖ **22** ὥσπερ A : ἤπερ P Mus | χίλιοι A : χείλιοι Hiller | εἰς A : ὡς Schweighäuser **23** χαίτῃσιν M P Mus : † χαιτισιν † A ‖ **24** χρήμασι A : χρίμασι Musurus (χρίσμασι iam B)

οὕτω δ᾽ ἐξελύθησαν διὰ τὴν ἄκαιρον μέθην ὥστε τινὲς αὐτῶν οὔτε ἀνατέλλοντα τὸν ἥλιον οὔτε δυόμενον ἑωράκεσαν· νόμον τε ἔθεντο, ὃς ἔτι καὶ ἐφ᾽ ἡμῶν ἦν, τὰς αὐλητρίδας καὶ τὰς ψαλτρίας | καὶ 526c
πάντα τὰ τοιαῦτα τῶν ἀκροαμάτων τὰ μισθώματα λαμβάνειν ἀπὸ
5 πρωὶ μέχρι μέσου ἡμέρας καὶ μέχρι λύχνων ἀφῶν· ἀπὸ δὲ τούτου τὴν λοιπὴν νύκτα ἦσαν πρὸς τῷ μεθύειν. Θεόπομπος δ᾽ ἐν πεντεκαιδεκάτῃ Ἱστοριῶν (*FGrH* 115 F 117) χιλίους φησὶν ἄνδρας αὐτῶν ἁλουργεῖς φοροῦντας στολὰς ἀστυπολεῖν, ὃ δὴ καὶ βασιλεῦσι σπάνιον τότ᾽ ἦν καὶ περισπούδαστον· ἰσοστάσιος γὰρ ἦν ἡ
10 πορφύρα πρὸς ἄργυρον ἐξεταζομένη. τοιγαροῦν διὰ τὴν τοιαύτην ἀγωγὴν ἐν τυραννίδι καὶ στάσεσι γενόμενοι αὐτῇ ⟨τῇ⟩ πατρίδι διεφθάρησαν. ταὐτὰ εἴρηκε | περὶ αὐτῶν καὶ Διογένης ὁ Βαβυλώ- 526d
νιος ἐν τῷ πρώτῳ τῶν Νόμων (fr. 53, *SVF* iii.221). κοινῶς δὲ περὶ πάντων τῶν Ἰώνων ⟨τῆς⟩ τρυφῆς Ἀντιφάνης ἐν Δωδώνῃ (fr. 91)
15 τάδε λέγει·

πόθεν οἰκήτωρ, ἤ τις Ἰώνων
τρυφεραμπεχόνων ἁβρὸς ἡδυπαθὴς
ὄχλος ὥρμηται;

Θεόφραστος δ᾽ ἐν τῷ Περὶ Ἡδονῆς (fr. 549 Fortenbaugh) καὶ δὴ
20 καὶ τοὺς Ἴωνάς φησι διὰ τὴν ὑπερβολὴν τῆς τρυφῆς ⟨…⟩ ἔτι καὶ νῦν ἡ χρυσῆ παροιμία διαμεμένηκε. [32] καὶ τῶν παρωκεανιτῶν δέ τινάς φησι Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν (*FGrH* 115 F 62) ἁβροδιαίτους γενέσθαι. περὶ δὲ Βυζαντίων | καὶ Καλχηδονίων ὁ 526e
αὐτός φησι Θεόπομπος τάδε· ἦσαν δὲ οἱ Βυζάντιοι καὶ διὰ τὸ
25 δημοκρατεῖσθαι πολὺν ἤδη χρόνον καὶ πόλιν ἐπ᾽ ἐμπορίου κειμένην ἔχειν καὶ τὸν δῆμον ἅπαντα περὶ τὴν ἀγορὰν καὶ τὸν λιμένα διατρίβειν ἀκόλαστοι καὶ συνουσιάζειν καὶ πίνειν εἰθισμένοι ἐπὶ τῶν καπηλείων. Καλχηδόνιοι δὲ πρὶν μὲν μετασχεῖν αὐτοῖς τῆς πολιτείας ἅπαντες ἐν ἐπιτηδεύμασι καὶ βίῳ βελτίονι διετέλουν
30 ὄντες. ἐπεὶ δὲ τῆς δημοκρατίας τῶν Βυζαντίων ἐγεύσαντο, διεφθάρησαν εἰς τρυφὴν καὶ τὸν καθ᾽ ἡμέραν βίον ἐκ σωφρονεστάτων | καὶ 526f

2 ἑωράκεσαν scripsi : ἑωράκασι A C E ‖ **5** μέσου A, cf. Th. 3.80.2, D.L. 8.33 : μέσης B M P Mus : μεσούσης Kaibel ‖ **8** ὃ δὴ Coraes : ὅθεν A C E : fort. οἷον **11** ⟨τῇ⟩ addidi ‖ **14** ⟨τῆς⟩ addidi ‖ **20** lac. stat. Casaubon ‖ **25** τὴν πόλιν A C E : τὴν delevi : fort. τὴν πόλιν … κεῖσθαι (pro κειμένην ἔχειν) ‖ **28** καπηλείων C E B : καπηλίων A ‖ **31** lac. post τρυφὴν indic. Kaibel

μετριωτάτων φιλοπόται καὶ πολυτελεῖς γενόμενοι. κἀν τῇ πρώτῃ δὲ πρὸς ταῖς εἴκοσι τῶν Φιλιππικῶν (*FGrH* 115 F 132) τὸ τῶν Ὀμβρικῶν φησιν ἔθνος — ἐστὶ δὲ περὶ τὸν Ἀδρίαν — ἐπιεικῶς
527a εἶναι ἁβροδίαιτον παραπλησίως τε βιοτεύειν τοῖς Λυδοῖς ‖ χώραν τε ἔχειν ἀγαθήν, ὅθεν προελθεῖν εἰς εὐδαιμονίαν. [33] περὶ δὲ 5 Θετταλῶν λέγων ἐν τῇ τετάρτῃ (*FGrH* 115 F 49) φησὶν ὅτι ζῶσιν οἱ μὲν σὺν ταῖς ὀρχηστρίσι καὶ ταῖς αὐλητρίσι διατρίβοντες, οἱ δ᾽ ἐν κύβοις καὶ πότοις καὶ ταῖς τοιαύταις ἀκολασίαις διημερεύοντες· καὶ μᾶλλον σπουδάζουσιν ὅπως ὄψων παντοδαπῶν τὰς τραπέζας παραθήσονται πλήρεις ἢ τὸν αὑτῶν βίον ὅπως παρασχήσονται 10 κεκοσμημένον. Φαρσάλιοι δὲ πάντων, φησίν, ἀνθρώπων εἰσὶν ἀργότατοι καὶ πολυτελέστατοι. ὡμολόγηνται δ᾽ οἱ Θετταλοί, ὡς |
527b καὶ Κριτίας (88 B 31 D.–K.) φησί, πάντων Ἑλλήνων πολυτελέστατοι γεγενῆσθαι περί τε τὴν δίαιταν καὶ τὴν ἐσθῆτα· ὅπερ αὐτοῖς αἴτιον ἐγένετο κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας ζηλώ- 15 σαντας τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν. περὶ δὲ Αἰτωλῶν Πολύβιος μὲν ἐν τρισκαιδεκάτῃ Ἱστοριῶν (13.1.1) φησιν ὡς διὰ τὴν τῶν πολέμων συνέχειαν καὶ τὴν τῶν βίων πολυτέλειαν κατάχρεοι ἐγένοντο. Ἀγαθαρχίδης δ᾽ ἐν δωδεκάτῃ Ἱστοριῶν (*FGrH* 86 F 6), Αἰτωλοί, φησί, τοσούτῳ τῶν λοιπῶν ἑτοιμότερον 20
527c ἔχουσι πρὸς | θάνατον ὅσῳπερ καὶ ζῆν πολυτελῶς ἐκτενέστερον ζητοῦσι τῶν ἄλλων. [34] διαβόητοι δ᾽ εἰσὶ περὶ τρυφὴν Σικελιῶταί τε καὶ Συρακόσιοι, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Δαιταλεῦσιν (fr. 225.1–3)·

> ἀλλ᾽ οὐ γὰρ ἐμάθετε ταῦτ᾽ ἐμοῦ πέμποντος ἀλλὰ μᾶλλον 25
> πίνειν, ἔπειτ᾽ ᾄδειν κακῶς, Συρακοσίαν τράπεζαν
> Συβαρίτιδάς τ᾽ εὐωχίας καὶ "Χῖον ἐκ Λακαινᾶν".

527b Eust. p. 1321.7–8 = IV.801.19–21 | **527b** Eust. p. 1534.13 = i.214.7
527c–d Eust. p. 1358.6 = IV.929.18–20

1 φιλοπόται C E M P Mus : φιλοπῶται A ‖ **7** ταῖς[1] … ταῖς[2] A, cf. 12.532d ἐν τοῖς αὐλητριδίοις καὶ παρὰ ταῖς ἑταίραις : om. C E, fort delenda **10** παραθήσονται B M P Mus : παραθήσωνται A | παρασχήσονται P Mus : παρασχήσωνται A ‖ **14** τὴν ἐσθῆτα A : ἐσθῆ[τ] E : αἰσθῆ[τ] C : τὰς ἐσθῆτας 14.662f ‖ **21** καὶ ἐκτενέστερον A C E : καὶ del. Meineke ‖ **25** ἐμάθετε ταῦτα A : ἔμαθε ταῦτ᾽ Elmsley

Πλάτων δ' ἐν ταῖς Ἐπιστολαῖς (*VII* 326b–c) φησι· ταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς Ἰταλίαν τε καὶ Σικελίαν ἦλθον, ὅτε πρῶτον ἀφικόμην. | ἐλθόντα δέ με ὁ ταύτῃ βίος οὐδαμῇ οὐδαμῶς ἤρεσε, 527d δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν καὶ μηδέποτε κοιμώμενον
5 μόνον νύκτωρ, καὶ ὅσα τούτων ἐπιτηδεύματα συνέπεται τῷ βίῳ· ἐκ γὰρ τούτων τῶν ἐθῶν οὔτ' ἂν φρόνιμος οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, σώφρων δ' οὐδ' ἂν μελλῆσαι ποτὲ γενέσθαι. κἀν τρίτῳ δὲ Πολιτείας (404d) γράφει οὕτω· Συρακοσίαν δέ, ὦ φίλε, τράπεζαν καὶ
10 Σικελικὴν ποικιλίαν ὄψου, ὡς ἔοικας, οὐκ αἰνεῖς· ψέγεις δὲ καὶ Κορινθίαν κόρην φίλην εἶναι ἀνδράσι | μέλλουσιν εὖ σώματος ἕξειν 527e καὶ Ἀττικῶν πεμμάτων τὰς δοκούσας εἶναι εὐπαθείας. [35] Ποσειδώνιος δ' ἑκκαιδεκάτῃ Ἱστοριῶν (*FGrH* 87 F 10 = fr. 62a Edelstein–Kidd = fr. 157a Theiler) περὶ τῶν κατὰ τὴν Συρίαν
15 πόλεων λέγων ὡς ἐτρύφων γράφει καὶ ταῦτα· τῶν γοῦν ἐν ταῖς πόλεσιν ἀνθρώπων διὰ τὴν εὐβοσίαν τῆς χώρας ἀπὸ τῆς περὶ τὰ ἀναγκαῖα κακοπαθείας ⟨…⟩ συνόδους νεμόντων πλείονας, ἐν αἷς εὐωχοῦντο συνεχῶς, τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρώμενοι, ἀλειφόμενοι ἐλαίῳ πολυτελεῖ καὶ μύροις, τοῖς δὲ γραμματείοις —
20 οὕτω γὰρ | ἐκάλουν τὰ κοινὰ τῶν συνδείπνων — ὡς ἐν οἰκητηρίοις 527f ἐνδιαιτώμενοι, καὶ τὸ πλεῖστον τῆς ἡμέρας γαστριζόμενοι ἐν αὐτοῖς οἴνοις καὶ βρώμασιν, ὥστε καὶ προσαποφέρειν πολλά, καὶ καταυλούμενοι πρὸς χελωνίδος πολυκρότου ψόφον, ὥστε τὰς πόλεις ὅλας τοιούτοις κελάδοις συνηχεῖσθαι. Ἀγαθαρχίδης δ' ἐν τῇ
25 πέμπτῃ ⟨καὶ⟩ τριακοστῇ τῶν Εὐρωπιακῶν (*FGrH* 86 F 16), Ἀρυκανδεῖς, φησί, ‖ Λυκίας ὅμοροι ὄντες Λιμυρεῦσι διὰ τὴν περὶ 528a τὸν βίον ἀσωτίαν καὶ πολυτέλειαν κατάχρεοι γενόμενοι καὶ διὰ τὴν ἀργίαν καὶ φιληδονίαν ἀδυνατοῦντες ἀποδοῦναι τὰ δάνεια προσέκλιναν ταῖς Μιθριδάτου ἐλπίσιν ἆθλον ἕξειν νομίσαντες

527d Eust. p. 1832.61 = ii.161.25

5 τούτων A C E : τούτῳ M P Mus et Pl. ‖ **8** μελλῆσαι C E et Pl. : μελῆσαι A **17** lac. statui ‖ **19** ἀλειφόμενοι δ' A et 5.210f (δέ) : ἀλείφεσθαι δ' (structura mutata) C E : δ' del. Meineke | γραμματείοις E et 5.210f : γραμματίοις A C **20** ὡς ἐν A : ἐν C E : ὡς 5.210f ‖ **21** καὶ A C E : del. Kaibel | πλεῖστον B M : πλεῖον A C E ‖ **23** καταυλούμενοι scripsi : καταυλουμένους A | πολυκρότου ψόφον A : πολυκρότους ψόφους Kaibel ‖ **25** πέμπτῃ ⟨καὶ⟩ τριακοστῇ scripsi : τριακοστῇ πέμπτῃ A

χρεῶν ἀποκοπάς. ἐν δὲ τῇ πρώτῃ καὶ τριακοστῇ (*FGrH* 86 F 14) Ζακυνθίους φησὶν ἀπείρους εἶναι πολέμου διὰ τὸ ἐν εὐπορίᾳ καὶ πλούτῳ τρυφῶντας ἐθίζεσθαι. [36] Πολύβιος δ' ἐν τῇ ἑβδόμῃ
528b (7.1.1–3) φησὶ Καπυησίους τοὺς ἐν | Καμπανίᾳ διὰ τὴν ἀρετὴν τῆς γῆς πλοῦτον περιβαλομένους ἐξοκεῖλαι εἰς τρυφὴν καὶ πολυτέ- 5 λειαν ὑπερβαλλομένους τὴν περὶ Κρότωνα καὶ Σύβαριν παραδεδομένην φήμην. οὐ δυνάμενοι οὖν, φησί, φέρειν τὴν παροῦσαν εὐδαιμονίαν ἐκάλουν τὸν Ἀννίβαν· διόπερ ὑπὸ Ῥωμαίων ἀνήκεστα ἔπαθον. Πετηλῖνοι δὲ τηρήσαντες τὴν πρὸς Ῥωμαίους πίστιν εἰς τοσοῦτο καρτερίας ἦλθον πολιορκούμενοι ὑπ' Ἀννίβα ὥστε μετὰ τὸ 10
528c πάντα μὲν τὰ κατὰ τὴν πόλιν δέρματα καταφαγεῖν, | ἁπάντων δὲ τῶν κατὰ τὴν πόλιν δένδρων τοὺς φλοιοὺς καὶ τοὺς ἁπαλοὺς πτόρθους ἀναλῶσαι, ἕνδεκα μῆνας ὑπομείναντες τὴν πολιορκίαν οὐδενὸς βοηθοῦντος οὐδὲ συνευδοκοῦντος Ῥωμαίων παρέδοσαν ἑαυτούς. [37] τοὺς δὲ Κουρῆτας φησὶ Φύλαρχος διὰ τῆς ἑνδεκάτης 15 τῶν Ἱστοριῶν (*FGrH* 81 F 23) Αἰσχύλον (fr. 313) ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας·

> χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·
> ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν. |

528d Ἀγάθων δ' ἐν τῷ Θυέστῃ (*TrGF* 39 F 3) τοὺς τὴν Πρώνακτος 20 θυγατέρα μνηστεύοντας τοῖς τε λοιποῖς πᾶσιν ἐξησκημένους ἐλθεῖν καὶ κομῶντας τὰς κεφαλάς, ἐπεὶ δ' ἀπέτυχον τοῦ γάμου·

> κόμας ἐκειράμεσθα (φησί) μάρτυρας τρυφῆς,
> ἧ που ποθεινὸν χρῆμα παιζούσῃ φρενί·
> ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος 25
> Κούρητες εἶναι κουρίμου χάριν τριχός.

καὶ Κυμαῖοι δὲ οἱ ἐν Ἰταλίᾳ, ὥς φησιν Ὑπέροχος (*FGrH* 576 F 1) ἢ
528e ὁ ποιήσας τὰ εἰς αὐτὸν ἀναφερόμενα Κυμαϊκά, | διετέλεσαν χρυσο-

528c–d Eust. p. 1292.54–61 = IV.701.9–14

1 πρώτῃ καὶ τριακοστῇ scripsi : τριακοστῇ καὶ πρώτῃ A ‖ **4** φησὶ C E : om. A ‖ **5** περιβαλομένους Schweighäuser : περιβαλλομένους A ‖ **6** τὴν C E B M P Mus : τῇ A ‖ **8** ἀνήκεστα δεινὰ A : δεινὰ (glossa) om. C E ‖ **12** ἁπαλοὺς, i.e. ΑΠΑΛ- C E : ἁπλοῦς, i.e. ΑΠΛ- A ‖ **13** καὶ ἕνδεκα A : καὶ om. C E **14** συνευδοκοῦντος A C E : συνευδοκούντων Bedrot ‖ **15** φησὶ C E : om. A **23** φησί M P Mus : φησίν A : φη(σί) C E B : om. Eust. : φασί Schweighäuser

φοροῦντες καὶ ἀνθιναῖς ἐσθῆσι χρώμενοι καὶ μετὰ γυναικῶν εἰς τοὺς ἀγροὺς ἐξιόντες ἐπὶ ζευγῶν ὀχούμενοι. περὶ μὲν οὖν ἐθνῶν καὶ πόλεων τρυφῆς τοσαῦτα μνημονεύω. [38] περὶ δὲ τῶν κατ᾽ ἄνδρα τάδ᾽ ἤκουσα. Κτησίας ἐν τρίτῳ Περσικῶν (*FGrH* 688 F 1n)
5 καὶ πάντας μέν φησι τοὺς βασιλεύσαντας τῆς Ἀσίας περὶ τρυφὴν σπουδάσαι, μάλιστα δὲ Νινύαν τὸν Νίνου καὶ Σεμιράμιδος υἱόν. καὶ οὗτος οὖν ἔνδον μένων καὶ τρυφῶν ὑπ᾽ οὐδενὸς ἑωρᾶτο εἰ μὴ ὑπὸ τῶν εὐνούχων | καὶ τῶν ἰδίων γυναικῶν. τοιοῦτος δὲ ἦν καὶ 528f
Σαρδανάπαλλος, ὃν οἱ μὲν Ἀνακυνδαράξεω λέγουσιν υἱόν, οἱ δὲ
10 Ἀναβαραξάρου. ὅτε δὴ οὖν Ἀρβάκης, εἷς τῶν ὑπ᾽ αὐτὸν στρατηγῶν, Μῆδος γένος, διεπράξατο διά τινος τῶν εὐνούχων Σπαραμείζου θεάσασθαι Σαρδανάπαλλον καὶ μόλις αὐτῷ ἐπετράπη ἐκείνου ⟨οὐκ⟩ ἐθελήσαντος, ὡς εἰσελθὼν εἶδεν αὐτὸν ἐψιμυθιωμένον καὶ κεκοσμημένον γυναικιστὶ καὶ μετὰ τῶν παλλακίδων ξαίνοντα
15 πορφύραν ‖ ἀναβάδην τε μετ᾽ αὐτῶν καθήμενον, τὰς ὀφρῦς ⟨…⟩, 529a
γυναικείαν δὲ στολὴν ἔχοντα καὶ κατεξυρημένον τὸν πώγωνα καὶ κατακεκισηρισμένον — ἦν δὲ καὶ γάλακτος λευκότερος καὶ ὑπεγέγραπτο τοὺς ὀφθαλμούς — ἐπεὶ δὲ καὶ προσεῖδε τὸν Ἀρβάκην τὰ λευκὰ ἐπαναβαλὼν τοῖν ὀφθαλμοῖν, οἱ μὲν πολλοί, ὧν ἐστι καὶ
20 Δοῦρις (*FGrH* 76 F 42), ἱστοροῦσιν ὑπὸ τούτου ἀγανακτήσαντος, εἰ τοιοῦτος αὐτῶν βασιλεύει, συγκεντηθέντα ἀποθανεῖν. Κτησίας (*FGrH* 688 F 1q) δὲ λέγει εἰς πόλεμον αὐτὸν καταστῆναι καὶ ἀθροίσαντα πολλὴν στρατιὰν καὶ καταλυθέντα | ὑπὸ τοῦ Ἀρβάκου 529b
τελευτῆσαι ἑαυτὸν ἐμπρήσαντα ἐν τοῖς βασιλείοις πυρὰν νήσαντα
25 ὕψος τεσσάρων πλέθρων, ἐφ᾽ ἧς ἐπέθηκε χρυσᾶς κλίνας ἑκατὸν καὶ πεντήκοντα καὶ ἴσας τραπέζας καὶ ταύτας χρυσᾶς. ἐποίησε δὲ ἐν τῇ πυρᾷ καὶ οἴκημα ἑκατόμπεδον ἐκ ξύλων, κἀνταῦθα κλίνας

528f–9a Eust. p. 1489.14–16 = i.156.6–8

4 τρίτῳ, i.e. γʹ scripsi : τρίτῃ, i.e. γʹ A ‖ **6** Σεμιράμιδος C E B M P Mus et Euseb. : Σεμειράμιδος A ‖ **10** Ἀρβάκης A C E : Ἀρσάκης C^s E^s ‖ **13** ⟨οὐκ⟩ add. Kaibel | εἶδεν αὐτὸν ὁ Μῆδος A : ὁ Μῆδος (glossam) om. C E ‖ **15** lac. indic. Casaubon : ⟨ὑπογεγραμμένον⟩ Kaibel ‖ **18** προσεῖδε Casaubon : προσῖδεν A **19** ἐπαναβαλὼν Potter ex Clem.Al. *Paid.* 3.11.70 (ἐπαναβάλλοντα) : ἐπαναλαβὼν A | τοῖν ὀφθαλμοῖν Meineke : τῶν ὀφθαλμῶν Clem.Al. Poll. 2.60 : τοῖς ὀφθαλμοῖς A ‖ **22** δὲ C E B M P Mus : om. A ‖ **27** ἑκατόμπεδον Schweighäuser : ἑκατόνπεδον A : ἑκατόμποδον C E B | κἀνταῦθα A C E : fort. κἀν τούτῳ, vide infra

ὑπεστόρεσε καὶ κατεκλίθη ἐνταῦθα αὐτός τε μετὰ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ αἱ παλλακίδες ἐν ταῖς ἄλλαις κλίναις· τοὺς γὰρ τρεῖς υἱοὺς καὶ δύο θυγατέρας ὁρῶν τὰ πράγματα κακούμενα
529c προπεπόμφει εἰς Νίνον | πρὸς τὸν ἐκεῖ βασιλέα δοὺς αὐτοῖς τρισχίλια χρυσίου τάλαντα. ἐπεστέγασε δὲ τὸ οἴκημα δοκοῖς 5 μεγάλαις τε καὶ παχείαις, ἔπειτα ἐν κύκλῳ περιέθηκε πολλὰ ξύλα καὶ παχέα, ὥστε μὴ εἶναι ἔξοδον. ἐνταῦθα ἐπέθηκε μὲν χρυσίου μυριάδας χιλίας, ἀργυρίου δὲ μυρίας μυριάδας ταλάντων καὶ ἱμάτια καὶ πορφύρας καὶ στολὰς παντοδαπάς. ἔπειτα ὑφάψαι ἐκέλευε τὴν πυράν· καὶ ἐκαίετο πεντεκαίδεκα ἡμέρας. οἱ δὲ 10 ἐθαύμαζον ὁρῶντες τὸν καπνὸν καὶ ἐδόκουν αὐτὸν θυσίας ἐπιτε-
529d λεῖν· ταῦτα | δὲ μόνοι ᾔδεσαν οἱ εὐνοῦχοι. ὁ μὲν οὖν Σαρδανάπαλλος ἐκτόπως ἡδυπαθήσας ὡς ἐνῆν γενναίως ἐτελεύτησε. [39] Κλέαρχος (fr. 51d Wehrli) δὲ περὶ τοῦ Περσῶν βασιλέως διηγούμενος ὅτι τοῖς αὐτῷ πορίσασιν ἡδύ τι βρῶμα ἆθλα ἐτίθει νοῦν οὐκ 15 ἔχων· τοῦτο γάρ ἐστιν ὁ λεγόμενος, οἶμαι, Διὸς ἅμα καὶ βασιλέως ἐγκέφαλος· ὅθεν ὁ πάντων εὐδαιμονέστατος Σαρδανάπαλλος, ὁ παρ' ὅλον τὸν βίον τιμήσας τὰς ἀπολαύσεις, καὶ τελευτήσας δείκνυσιν ἐν τῷ τοῦ μνήματος τύπῳ τοῖς δακτύλοις οἵου καταγέ-
529e λωτός ἐστιν | ἄξια τὰ τῶν ἀνθρώπων πράγματα, οὐκ ἄξια ὄντα 20 ψόφου δακτύλων ὃν πεποίηται ποιούμενος δὶς ἐν χορῷ ⟨...⟩ ἡ περὶ τὰ λοιπὰ σπουδή. φαίνεται οὖν οὐκ ἄπρακτος γενόμενος Σαρδανάπαλλος· καὶ γὰρ ἐπιγέγραπται αὐτοῦ τῷ μνήματι· Σαρδανάπαλλος Ἀνακυνδαράξεω Ἀγχιάλην ἔδειμε καὶ Ταρσὸν μιῇ ἡμέρῃ, ἀλλὰ νῦν τέθνηκεν. Ἀμύντας δὲ ἐν τρίτῳ Σταθμῶν (*FGrH* 122 F 2) 25 ἐν τῇ Νίνῳ φησὶν εἶναι χῶμα ὑψηλόν, ὅπερ κατασπάσαι Κῦρον ἐν τῇ πολιορκίᾳ ἀντιχωννύντα τῇ πόλει· λέγεσθαι δὲ τὸ χῶμα τοῦτ'
529f εἶναι Σαρδαναπάλλου τοῦ βασιλεύσαντος | Νίνου, ἐφ' οὗ καὶ ἐπιγεγράφθαι ἐν στήλῃ λιθίνῃ Χαλδαϊκοῖς γράμμασιν ὃ μετενεγκεῖν Χοιρίλον ἔμμετρον ποιήσαντα, εἶναι δὲ τοῦτο· ἐγὼ δὲ ἐβασί- 30 λευσα καὶ ἄχρι ἑώρων τοῦ ἡλίου φῶς ἔπιον, ἔφαγον, ἠφροδισίασα,

1 ἐνταῦθα A : om. C E : ἐν ταύταις Kaibel ‖ **4** προπεπόμφει A : πεπόμφει C E : προ⟨εκ⟩πεπόμφει Jacoby | Νίνον vel Νῖνον A C E : Παφλαγονίαν Euseb. **9** ἱμάτια καὶ πορφύρας καὶ στολὰς A : ἱμάτια, πορφύρας καὶ στολὰς C E : fort. ἱμάτια πορφυρᾶ καὶ στολὰς vel ἱμάτια καὶ πορφυρᾶς στολὰς **10** ἡμέρας C E : ἡμέραις A ‖ **15** οὐκ A C E : om. 12.514e, del. Müller ‖ **21** lac. stat. Wehrli ‖ **31** ⟨τὸ⟩ φῶς Kaibel

εἰδὼς τόν τε χρόνον ὄντα ‖ βραχὺν ὃν ζῶσιν οἱ ἄνθρωποι καὶ 530a
τοῦτον πολλὰς ἔχοντα μεταβολὰς καὶ κακοπαθείας, καὶ ὧν ἂν
καταλίπω ἀγαθῶν ἄλλοι ἕξουσι τὰς ἀπολαύσεις· διὸ κἀγὼ ἡμέραν
οὐδεμίαν παρέλιπον τοῦτο ποιῶν. Κλείταρχος δ' ἐν τῇ τετάρτῃ
5 τῶν Περὶ Ἀλέξανδρον (*FGrH* 137 F 2) γήρᾳ τελευτῆσαί φησι
Σαρδανάπαλλον μετὰ τὴν ἀπόπτωσιν τῆς Σύρων ἀρχῆς. | Ἀριστό- 530b
βουλος (*FGrH* 139 F 9a) δ', ἐν Ἀγχιάλῃ, ἣν ἐδείματο, φησί, Σαρδα-
νάπαλλος, Ἀλέξανδρος ἀναβαίνων εἰς Πέρσας κατεστρατοπεδεύ-
σατο. καὶ ἦν οὐ πόρρω τὸ τοῦ Σαρδαναπάλλου μνημεῖον, ἐφ' οὗ
10 ἑστάναι τύπον λίθινον συμβεβληκότα τῆς δεξιᾶς χειρὸς τοὺς
δακτύλους, ὡς ἂν ἀποκροτοῦντα, ἐπιγεγράφθαι δ' αὐτῷ Ἀσσυρίοις
γράμμασι· Σαρδανάπαλλος Ἀνακυνδαράξεω παῖς Ἀγχιάλην καὶ
Ταρσὸν ἔδειμεν ἡμέρῃ μιᾷ. ἔσθιε, πῖνε, | παῖζε· ὡς τἄλλα τούτου 530c
οὐκ ἄξια (τοῦ ἀποκροτήματος ἔοικε λέγειν). [**40**] οὐ μόνος δὲ ὁ
15 Σαρδανάπαλλος διετέθρυπτο ἀλλὰ καὶ Ἀνδρόκοττος ὁ Φρύξ· καὶ
γὰρ οὗτος ἐνεδύετο ἀνθινὴν ἐσθῆτα καὶ γυναικὸς εὐπρεπέστερον
ἐκοσμεῖτο, ὡς Μνασέας φησὶν ἐν τρίτῳ Εὐρώπης (fr. 14, *FHG*
iii.152 = fr. 5 Cappelletto). Κλέαρχος δ' ἐν πέμπτῳ Βίων (fr. 53
Wehrli) Σάγαρίν φησι τὸν Μαριανδυνὸν ὑπὸ τρυφῆς σιτεῖσθαι μὲν
20 μέχρι γήρως ἐκ τοῦ τῆς τιτθῆς στόματος, ἵνα μὴ μασώμενος
πονέσειεν, οὐ πώποτε δὲ τὴν χεῖρα κατωτέρω | τοῦ ὀμφαλοῦ 530d
προενέγκασθαι· διὸ καὶ Ἀριστοτέλης (test. 51b Düring) Ξενοκρά-
την τὸν Χαλκηδόνιον (fr. 68 Isnarde Parente) σκώπτων ὅτι οὐρῶν
οὐ προσῆγε τὴν χεῖρα τῷ αἰδοίῳ ἔλεγε·

25 χεῖρες μὲν ἁγναί, φρὴν δ' ἔχει μίασμά τι. (E. *Hipp.* 317)

Κτησίας (*FGrH* 688 F 6) δὲ ἱστορεῖ Ἄνναρον τὸν βασιλέως ὕπαρχον
καὶ τῆς Βαβυλωνίας δυναστεύσαντα στολῇ χρῆσθαι γυναικείᾳ καὶ
κόσμῳ, καὶ ὅτι βασιλέως δούλῳ ὄντι αὐτῷ εἰς τὸ δεῖπνον εἰσῄεσαν

530b–c Eust. p. 1602.17 = i.305.41–2 | **530b–c** Str. 14.672

11 ἀποκροτοῦντα Niese ex Str., cf. ἀποκροτήματος infra : ἐπικροτοῦντα A C E ‖ **12** Ἀνακυνδαράξεω M P Mus, cf. 8.335f, 12.529e et Str. : Ἀνακυνδαράξου A C E ‖ **13** μιᾷ A C E : μιῇ P Mus et Str. ~ St.Byz. α 53 ‖ **14** τοῦ ἀποκροτήματος ἔοικε λέγειν A : ἔοικε δὲ λέγειν τοῦ ἀποκροτήματος C E : τοῦ ἀποκροτήματος Str. ~ St.Byz. α 53 : del. (glossam) Jacoby ‖ **16** ἐνεδύετο Kaibel : ἐνεδύσατο A : ἐνεδέδυτο C E ‖ **21** κατωτέρω C E : κατώτερον A ‖ **25** δ' C E B M P Mus et Eur. : δὲ A | μίασμά τι C E B et Eur. : μιάσματα A

πεντήκοντα καὶ ἑκατὸν ψάλλουσαι καὶ ᾄδουσαι γυναῖκες· ἔψαλλον δὲ αὗται καὶ ᾖδον ἐκείνου δειπνοῦντος. | Φοῖνιξ δ' ὁ Κολοφώνιος ποιητὴς περὶ Νίνου λέγων ἐν τῷ πρώτῳ τῶν Ἰάμβων (fr. 1, pp. 231–2 Powell) φησίν·

530e

ἀνὴρ Νίνος τις ἐγένεθ', ὡς ἐγὼ κλύω, 5
Ἀσσύριος, ὅστις εἶχε χρυσίου πόντον,
τάλαντα πολλῷ πλέονα Κασπίης ψάμμου,
ὃς οὐκ ἴδ' ἀστέρ' † ὀυδιζωνεδιζητο †
οὐ πὰρ μάγοισι πῦρ ἱερὸν ἀνέστησεν, 5
ὥσπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων· 10
οὐ μυθιήτης, οὐ δικασπόλος κεῖνος·
οὐ λεωλογεῖν ἐμάνθαν', οὐκ ἀμιθρῆσαι, |
530f ἀλλ' ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν
κἠρᾶν, τὰ δ' ἄλλα πάντα κατὰ πετρῶν ὤθει. 10
ὡς δ' ἀπέθαν' ὡνήρ, πᾶσι κατέλιπε ῥῆσιν 15
ὅκου Νίνος νῦν ἐστι καὶ τὸ σῆμ' ᾄδει·
"ἄκουσον, εἴτ' Ἀσσύριος εἴτε καὶ Μῆδος
εἶς ἢ Κοραξὸς ἢ 'πὸ τῶν ἄνω λιμνῶν
Ἰνδὸς κομήτης· οὐ γὰρ ἀλλὰ κηρύσσω· 15
ἐγὼ Νίνος πάλαι ποτ' ἐγενόμην πνεῦμα, 20
νῦν δ' οὐκέτ' οὐδέν, ἀλλὰ γῆ πεποίημαι·
ἔχω δ' ὁκόσον ἔδαισα χὠκόσ' ἤεισα
χὠκόσσ' ἐράσθην,
τὰ δ' ὄλβι' ἡμέων δήιοι συνελθόντες ‖ 20
531a φέρουσιν ὥσπερ ὠμὸν ἔριφον αἱ Βάκχαι· 25
ἐγὼ δ' ἐς Ἀΐδην οὔτε χρυσὸν οὔθ' ἵππον
οὔτ' ἀργυρῆν ἅμαξαν ᾠχόμην ἕλκων·
σποδὸς δὲ πολλὴ χὠ μιτρηφόρος κεῖμαι."

530e Eust. p. 1484.16–18 = i.149.1–3 | **531a–e** cf. Ael. *VH* 7.2

1 ψάλλουσαι καὶ ᾄδουσαι (glossam) del. Kaibel ‖ **5** ἐγένεθ' M[s] P Mus : ἐγένετο A | κλύω A : 'κούω Meineke ‖ **6** χρυσίου C E B Mus : χρυσείου A **7** τάλαντα πολλῷ] † ταλλα πολλον † A : τάλαντα εἶχε πολλῷ C E Eust. πλέονα A : πλείονα C E Eust. : πλεῦνα Meineke ‖ **11** μυθιήτης Schweighäuser (μυθιητής scripsit) : † μυθηητης † A : μὴ θυητὴς M P Mus : μυήθη C E ‖ **19** Ἰνδὸς A : Σινδὸς Schweighäuser ‖ **22** ὁκόσον C E : ὁκόσσον A | ἔδαισα A : ἔδεσα C E : ἔπαισα Kaibel | χὠκόσ' Naeke, cf. C E ὁκόσον infra : χωκόσσ' A ‖ **26** Ἀΐδην A C E : Αἴδην Musurus ‖ **28** πολλὴ A : πελλὴ Meineke

[41] Θεόπομπος δ' ἐν πεντεκαιδεκάτῃ Φιλιππικῶν Ἱστοριῶν (*FGrH* 115 F 114) Στράτονά φησι τὸν Σιδωνίων βασιλέα ὑπερβαλεῖν ἡδυπαθείᾳ καὶ τρυφῇ πάντας ἀνθρώπους· οἷα γὰρ τοὺς Φαίακας Ὅμηρος (e.g. *Od.* 7.136–7; 8.71–3) ποιεῖν μεμυθολόγηκεν
5 ἑορτάζοντας καὶ πίνοντας καὶ κιθαρῳδῶν καὶ ῥαψῳδῶν ἀκροωμένους, τοιαῦτα | καὶ ὁ Στράτων διετέλει ποιῶν πολὺν χρόνον. καὶ 531b τοσούτῳ μᾶλλον ἐκείνων παρακεκινήκει πρὸς τὰς ἡδονάς, ὅσον οἱ μὲν Φαίακες, ὥς φησιν Ὅμηρος, μετὰ τῶν οἰκείων γυναικῶν καὶ θυγατέρων ἐποιοῦντο τοὺς πότους, ὁ δὲ Στράτων μετ' αὐλητρίδων
10 καὶ ψαλτριῶν καὶ κιθαριστριῶν κατεσκεύαστο τὰς συνουσίας. καὶ μετεπέμπετο πολλὰς μὲν ἑταίρας ἐκ Πελοποννήσου, πολλὰς δὲ μουσουργοὺς ἐξ Ἰωνίας, ἑτέρας δὲ παιδίσκας ἐξ ἁπάσης τῆς Ἑλλάδος, τὰς μὲν ᾠδικάς, τὰς δὲ ὀρχηστρικάς· | ὧν εἴθιστο μετὰ τῶν 531c φίλων ἀγῶνας τιθέναι καὶ μεθ' ὧν συνουσιάζων διέτριβε, χαίρων
15 μὲν τῷ βίῳ τῷ τοιούτῳ καὶ δοῦλος ὢν φύσει τῶν ἡδονῶν, ἔτι δὲ μᾶλλον πρὸς τὸν Νικοκλέα φιλοτιμούμενος· ἐτύγχανον γὰρ ὑπερφιλοτίμως ἔχοντες πρὸς ἀλλήλους καὶ σπουδάζων ἑκάτερος αὐτὸς ἥδιον καὶ ῥᾳθυμότερον ποιεῖσθαι τὸν βίον· οἵ γε προῆλθον εἰς τοσαύτην ἅμιλλαν, ὡς ἡμεῖς ἀκούομεν, ὥστε πυνθανόμενοι
20 παρὰ τῶν ἀφικνουμένων τάς τε παρασκευὰς τῶν οἰκιῶν καὶ τὰς πολυτελείας | τῶν θυσιῶν τὰς παρ' ἑκατέρῳ γινομένας ἐφιλονίκουν 531d ὑπερβαλέσθαι τοῖς τοιούτοις ἀλλήλους. ἐσπούδαζον δὲ δοκεῖν εὐδαίμονες εἶναι καὶ μακαριστοί· οὐ μὴν περί γε τὴν τοῦ βίου τελευτὴν διηυτύχησαν, ἀλλ' ἀμφότεροι βιαίῳ θανάτῳ διεφθάρη-
25 σαν. Ἀναξιμένης δ' ἐν τῷ ἐπιγραφομένῳ Βασιλέων Μεταλλαγαὶ (*FGrH* 72 F 18) περὶ τοῦ Στράτωνος τὰ αὐτὰ ἱστορήσας διημιλλῆσθαί φησιν αὐτὸν Νικοκλεῖ τῷ τῆς ἐν Κύπρῳ Σαλαμῖνος | βασιλεύσαντι ἐσπουδακότι περὶ τρυφὴν καὶ ἀσέλγειαν, ἀποθανεῖν 531e τ' ἀμφοτέρους βιαίως. [42] ἐν δὲ τῇ πρώτῃ τῶν Φιλιππικῶν
30 Θεόπομπος (*FGrH* 115 F 31) περὶ Φιλίππου λέγων φησί· καὶ

2 Σιδωνίων Schweighäuser : Σιδώνιον A : Σιδώνιος (structura mutata) C E et Ael. ‖ **2–3** ὑπερβαλεῖν Kaibel : ὑπερβάλλειν A : ὑπερέβαλεν (structura mutata) C : ὑπερέβα[λ] (structura mutata) E : ὑπερβαλέσθαι Ael. ‖ **7** ὅσον Kaibel, ducente Schweighäuser (ὅσῳ), cf. C E πλὴν ὅσον (narratione breviata) : ὅθεν A : ὥς τε Musurus ‖ **10** κατεσκεύαστο A, cf. εἴθιστο infra : κατεσκευάσατο B : κατεσκευάζετο Kaibel ‖ **15** μὲν καὶ A : καὶ delevi : μὲν καὶ ⟨αὐτὸς⟩ et καὶ infra del. Kaibel ‖ **21** ἐφιλονίκουν Kaibel : ἐφιλονείκουν A **22** ὑπερβαλέσθαι Ael. : ὑπερβάλλεσθαι A

τριταῖος εἰς Ὀνόκαρσιν ἀφικνεῖται, χωρίον τι τῆς Θρᾴκης ἄλσος ἔχον πολὺ κατεσκευασμένον καλῶς καὶ πρὸς τὸ ἐνδιαιτηθῆναι κεχαρισμένον ἄλλως τε καὶ τὴν θερινὴν ὥραν· ἦν γὰρ καὶ τῶν ὑπὸ Κότυος προκριθέντων, ὃς ἁπάντων τῶν βασιλέων τῶν ἐν τῇ Θρᾴκῃ γεγενημένων μάλιστα πρὸς ἡδυπαθείας καὶ τρυφὰς 5
531f ὥρμησε, καὶ περιιὼν | τὴν χώραν ὅπου κατίδοι τόπους δένδρεσι συσκίους καὶ καταρρύτους ὕδασι, τούτους κατεσκεύασεν ἑστιατόρια· καὶ φοιτῶν εἰς ἑκάστους ὁπότε τύχοι θυσίας τε τοῖς θεοῖς ἐποιεῖτο καὶ συνῆν μετὰ τῶν ὑπάρχων, εὐδαίμων καὶ μακαριστὸς ὢν ἕως εἰς Ἀθηνᾶν βλασφημεῖν καὶ πλημμελεῖν ἐπεχείρησε. 10 διηγεῖταί τε ἑξῆς ὁ συγγραφεὺς ὅτι δεῖπνον κατεσκεύασεν ὁ Κότυς ὡς γαμουμένης αὐτῷ τῆς Ἀθηνᾶς, καὶ θάλαμον κατασκευάσας
532a ἀνέμενε μεθύων τὴν θεόν. ἤδη δ᾽ ἔκφρων γενόμενος ἔπεμπέ ‖ τινα τῶν δορυφόρων ὀψόμενον εἰ παραγέγονεν ἡ θεὸς εἰς τὸν θάλαμον. ἀφικομένου δὲ ἐκείνου καὶ εἰπόντος μηδένα εἶναι ἐν τῷ θαλάμῳ 15 τοξεύσας τοῦτον ἀπέκτεινε καὶ ἄλλον δεύτερον ἐπὶ τοῖς αὐτοῖς, ἕως ὁ τρίτος συνεὶς παραγενομένην ἔφη πάλαι τὴν θεὸν αὐτὸν ἀναμένειν. ὁ δὲ βασιλεὺς οὗτός ποτε καὶ ζηλοτυπήσας τὴν αὑτοῦ γυναῖκα ταῖς αὑτοῦ χερσὶν ἀνέτεμε τὴν ἄνθρωπον ἀπὸ τῶν αἰδοίων ἀρξάμενος. [43] ἐν δὲ τῇ τρισκαιδεκάτῃ τῶν Φιλιππικῶν 20
532b (Theopomp. *FGrH* 115 F 105) περὶ Χαβρίου τοῦ Ἀθηναίου | ἱστορῶν φησιν· οὐ δυνάμενος δὲ ζῆν ἐν τῇ πόλει τὰ μὲν διὰ τὴν ἀσέλγειαν καὶ τὴν πολυτέλειαν τὴν αὑτοῦ τὴν περὶ τὸν βίον, τὰ δὲ διὰ τοὺς Ἀθηναίους· ἅπασι γάρ εἰσι χαλεποί· διὸ καὶ εἵλοντο αὐτῶν οἱ ἔνδοξοι ἔξω τῆς πόλεως καταβιοῦν, Ἰφικράτης μὲν ἐν Θρᾴκῃ, 25 Κόνων δ᾽ ἐν Κύπρῳ, Τιμόθεος δ᾽ ἐν Λέσβῳ, Χάρης δ᾽ ἐν Σιγείῳ,

532a Eust. p. 1258.42–4 = IV.577.23–578.1

2 ἐνδιαιτηθῆναι Meineke : διαιτηθῆναι A ‖ **7–8** ἑστιατόρια C E M P Mus : ἱστιατόρια A ‖ **10** τὴν Ἀθηνᾶν A : τὴν om. C E ‖ **17** παραγενομένην Kaibel : παραγενόμενος A C E ‖ **19** τὴν ἄνθρωπον A C E Eust. : fort. ut glossa delenda ‖ **21** Χαβρίου τοῦ Ἀθηναίου M P Mus : Χαβρίου τοῦ Ἀθηναίων A : Χαβρίας ὁ Ἀθηναῖος (structura mutata) C E : Χαβρίου τοῦ Ἀθηναίων ⟨στρατηγοῦ⟩ Kaibel ‖ **23** διὰ τὴν πολυτέλειαν A : διὰ delevi ‖ **24** χαλεποί ⟨τοῖς εὐδοκιμοῦσι⟩ Meineke, cf. Nep. *Chabr.* 3.3 *libenter de iis detrahant, quos eminere videant altius* ‖ **25** ἔνδοξοι ⟨πάντες⟩ vel ⟨σχεδὸν ἅπαντες⟩ Jacoby, cf. Nep. *Chabr.* 3.4 *sed omnes fere principes fecerunt idem* ‖ **26** Σιγείῳ C E M P Mus : Σιγίῳ A

καὶ αὐτὸς ὁ Χαβρίας ἐν Αἰγύπτῳ. καὶ περὶ τοῦ Χάρητος ἐν τῇ
πέμπτῃ καὶ τεσσαρακοστῇ (Theopomp. *FGrH* 115 F 213) φησι·
Χάρητός τε νωθροῦ τε ὄντος καὶ βραδέος, | καίτοι γε καὶ πρὸς 532c
τρυφὴν ἤδη ζῶντος· ὅς γε περιήγετο στρατευόμενος αὐλητρίδας
5 καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας, καὶ τῶν χρημάτων τῶν εἰσφερο-
μένων εἰς τὸν πόλεμον τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ᾽
αὐτοῦ κατέλειπεν Ἀθήνησι τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα
γράφουσι καὶ τῶν ἰδιωτῶν τοῖς δικαζομένοις· ἐφ᾽ οἷς ὁ δῆμος ὁ
τῶν Ἀθηναίων οὐδεπώποτε ἠγανάκτησεν, ἀλλὰ διὰ ταῦτα καὶ
10 μᾶλλον αὐτὸν ἠγάπα. καὶ δικαίως· καὶ γὰρ αὐτοὶ τοῦτον τὸν |
τρόπον ἔζων, ὥστε τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις καὶ παρὰ 532d
ταῖς ἑταίραις διατρίβειν, τοὺς δὲ μικρῷ ἐκείνων πρεσβυτέρους ἐν
πότοις ⟨καὶ⟩ κύβοις καὶ ταῖς τοιαύταις ἀσωτίαις, τὸν δὲ δῆμον
ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανο-
15 μίας ἤπερ εἰς τὴν τῆς πόλεως διοίκησιν. ἐν δὲ τῷ ἐπιγραφομένῳ
τοῦ Θεοπόμπου συγγράμματι Περὶ τῶν ἐκ Δελφῶν Συληθέντων
Χρημάτων (*FGrH* 115 F 249), Χάρητι, φησί, τῷ Ἀθηναίῳ † διὰ
Λυσάνδρου † τάλαντα ἑξήκοντα, ἀφ᾽ ὧν ἐδείπνισεν Ἀθηναίους | ἐν 532e
τῇ ἀγορᾷ θύσας τὰ ἐπινίκια τῆς γενομένης μάχης πρὸς τοὺς
20 Φιλίππου ξένους· ὧν ἡγεῖτο μὲν Ἀδαῖος ὁ Ἀλεκτρυὼν ἐπικαλούμε-
νος, περὶ οὗ καὶ Ἡρακλείδης ὁ τῶν κωμῳδιῶν ποιητὴς (fr. 1)
μέμνηται οὕτως·

Ἀλεκτρυόνα τὸν τοῦ Φιλίππου παραλαβὼν
ἀωρὶ κοκκύζοντα καὶ πλανώμενον
25 κατέκοψεν· οὐ γὰρ εἶχεν οὐδέπω λόφον.
ἕνα κατακόψας μάλα συχνοὺς ἐδείπνισε
Χάρης Ἀθηναίων τόθ᾽· ὡς γενναῖος ἦν. | 5

532d–e Eust. p. 1479.34–8 = i.142.9–14

3 καίτοι γε A : καί τι Wilamowitz ‖ **7** κατέλειπεν Cobet : κατέλειπε C E : κατέλιπεν A ‖ **9–10** καὶ μᾶλλον αὐτὸν ἠγάπα τῶν πολιτῶν A : τῶν πολιτῶν delevi : καὶ μάλιστ᾽ αὐτὸν ἠγάπα τῶν πολιτῶν Kaibel ‖ **11** καὶ A, cf. 12.527a σὺν ταῖς ὀρχηστρίσι καὶ ταῖς αὐλητρίσι : om. C E : τοῖς et ταῖς fort. delenda **12** μικρῷ C E : μικρὸν A ‖ **12–13** ἐν πότοις ⟨καὶ⟩ κύβοις Kaibel ex 12.527a ἐν κύβοις καὶ πότοις : ἐν πότοις ἔν τε τοῖς κύβοις A : ἐν κύβοις C E : fort. ἐν πότοις τε ⟨καὶ⟩ κύβοις ‖ **17–18** διὰ Λυσάνδρου A : διαναλωθῆναι Schweighäuser : διαλυθῆναι Wichers ‖ **20** ὁ C E : om. A ‖ **21** ὁ Ἡρακλείδης A : ὁ om. C E Eust. ‖ **27** Ἀθηναίων A : Ἀθηναίους C E Eust.

532f τὰ αὐτὰ ἱστορεῖ καὶ Δοῦρις (*FGrH* 76 F 35). [44] Ἰδομενεὺς (*FGrH* 338 F 3) δέ φησι καὶ τοὺς Πεισιστρατίδας Ἱππίαν καὶ Ἵππαρχον εὑρεῖν θαλίας καὶ κώμους· διὸ καὶ ἵππων καὶ ἑταίρων πολλῶν ἐπιπολάσαι τὸ πλῆθος παρ᾽ αὐτοῖς· ὅθεν βαρεῖαν αὐτῶν γενέσθαι τὴν ἀρχήν. καίτοι ὁ πατὴρ αὐτῶν Πεισίστρατος μετρίως ἐχρῆτο 5 ταῖς ἡδοναῖς, ὥστε οὔτ᾽ ἐν τοῖς χωρίοις οὔτ᾽ ἐν τοῖς κήποις 533a φύλακας ἐφίστατο, ὡς Θεόπομπος ‖ ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ (*FGrH* 115 F 135), ἀλλ᾽ εἴα τὸν βουλόμενον εἰσιόντα ἀπολαύειν καὶ λαμβάνειν ὧν δεηθείη· ὅπερ ὕστερον ἐποίησε καὶ Κίμων μιμησάμενος ἐκεῖνον. περὶ οὗ καὶ αὐτοῦ ἱστορῶν ἐν τῇ 10 δεκάτῃ τῶν Φιλιππικῶν (*FGrH* 115 F 89) ὁ Θεόπομπός φησι· Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστα φύλακα, ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται καὶ λαμβάνωσιν εἴ τινος δέοιντο τῶν ἐν τοῖς 533b χωρίοις. | ἔπειτα τὴν οἰκίαν παρεῖχε κοινὴν ἅπασι· καὶ δεῖπνον 15 ἀεὶ εὐτελὲς παρασκευάζεσθαι πολλοῖς ἀνθρώποις, καὶ τοὺς ἀπόρους προσιόντας τῶν Ἀθηναίων εἰσιόντας δειπνεῖν. ἐθεράπευε δὲ καὶ τοὺς καθ᾽ ἑκάστην ἡμέραν αὐτοῦ τι δεομένους, καὶ λέγουσιν ὡς περιήγετο μὲν ἀεὶ νεανίσκους δύ᾽ ἢ τρεῖς ἔχοντας κέρματα τούτοις τε διδόναι προσέταττεν, ὁπότε τις προσέλθοι αὐτοῦ δεόμε- 20 νος. καί φασι μὲν αὐτὸν καὶ εἰς ταφὴν εἰσφέρειν, ποιεῖν δὲ καὶ 533c τοῦτο πολλάκις, ὁπότε τῶν πολιτῶν τινα ἴδοι κακῶς | ἠμφιεσμένον, κελεύειν αὐτῷ μεταμφιέννυσθαι τῶν νεανίσκων τινὰ τῶν συνακολουθούντων αὐτῷ. ἐκ δὴ τούτων ἁπάντων ηὐδοκίμει καὶ πρῶτος ἦν τῶν πολιτῶν. ὁ δὲ Πεισίστρατος καὶ ἐν πότοις βαρὺς 25 ἐγένετο, ὅθεν καὶ τὸ Ἀθήνησι τοῦ Διονύσου πρόσωπον ἐκείνου τινές φασιν εἰκόνα. [45] Περικλέα δὲ τὸν Ὀλύμπιόν φησιν

533b Eust. p. 1376.24–5 = IV.989.18–990.2

3 εὑρεῖν θαλίας καὶ κώμους A : εὐημερεῖν θαλίαις καὶ κώμοις Jacoby ἑταίρων Meineke : ἑταιρῶν Casaubon : ἑτέρων A ‖ **6** ὥστε vel ὥστ᾽ A C E : ὅς γε Meineke | οὔτ᾽[2] … οὔτ᾽ scripsi : οὐδ᾽ … οὐδ᾽ A : οὐδ᾽ … ἢ C E ‖ **7** ἐφίστατο P Mus : ἐφίστα A C E : καθίστα Meineke, cf. infra ‖ **16** ἀεὶ C E B M P Mus : αἰεὶ A ‖ **17** προσιόντας τῶν Ἀθηναίων εἰσιόντας A : εἰσιόντας om. B : προσιόντας del. Kaibel, cf. Plut. *Cim.* 10 ἐφ᾽ ὃ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει ‖ **19** ἀεὶ C E B Eust. : αἰεὶ A : om. M P Mus ‖ **20** αὐτοῦ A : αὐτῷ C E : αὐτοῦ ⟨τι⟩ Kaibel : του Wilamowitz ‖ **25** πότοις Wilamowitz : πολλοῖς A C E ‖ **26** ὅθεν scripsi : ὅπου A C E : ὅτου (“tum ἐκείνου fort. delendum”) Kaibel

Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἡδονῆς (fr. 59 Wehrli = fr. 43 Schütrumpf = Antisth. Socr. *SSR* V A 144 = *FGrH* 1004 F 7c) ὡς ἀπήλλαξεν ἐκ τῆς οἰκίας τὴν γυναῖκα καὶ τὸν μεθ' ἡδονῆς βίον προείλετο ᾤκει τε μετ' Ἀσπασίας | τῆς ἐκ Μεγάρων ἑταίρας καὶ τὸ 533d
5 πολὺ μέρος τῆς οὐσίας εἰς ταύτην κατανάλωσε. Θεμιστοκλῆς δὲ οὔπω Ἀθηναίων μεθυσκομένων οὐδ' ἑταίραις χρωμένων ἐκφανῶς τέθριππον ζεύξας ἑταιρίδων διὰ τοῦ Κεραμεικοῦ πληθύοντος ἑωθινὸς ἤλασεν. ἀμφιβόλως δ' αὐτὸ εἴρηκεν Ἰδομενεύς (*FGrH* 338 F 4b), εἴτε ἑταίρας τέσσαρας συνυπέζευξεν ὡς ἵππους εἴτ' ἀνεβίβασεν
10 αὐτὰς ἐπὶ τὸ τέθριππον. Πόσσις δ' ἐν τρίτῳ Μαγνητικῶν (*FGrH* 480 F 1) τὸν Θεμιστοκλέα φησὶν ἐν Μαγνησίᾳ τὴν στεφανηφόρον | ἀρχὴν ἀναλαβόντα θῦσαι Ἀθηνᾷ καὶ τὴν ἑορτὴν Παναθήναια 533e ὀνομάσαι καὶ Διονύσῳ Χοοπότῃ θυσιάσαντα καὶ τὴν Χοῶν ἑορτὴν αὐτόθι καταδεῖξαι. Κλέαρχος δὲ ἐν πρώτῳ Περὶ Φιλίας (fr. 17
15 Wehrli) τὸν Θεμιστοκλέα φησὶ τρίκλινον οἰκοδομησάμενον περικαλλέστατον ἀγαπᾶν ⟨ἂν⟩ ἔφησεν, εἰ τοῦτον φίλων πληρώσειε. [**46**] Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἀνακρέοντος (fr. 36 Wehrli = fr. 39 Martano) προθεὶς τό· (Anacr. *PMG* 372)

ξανθῇ δ' Εὐρυπύλῃ μέλει
20 ὁ περιφόρητος Ἀρτέμων,

τὴν προσηγορίαν ταύτην λαβεῖν ⟨φησι⟩ τὸν | Ἀρτέμωνα διὰ τὸ 533f τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης· καὶ γὰρ Ἀνακρέων (*PMG* 388) αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαί φησιν ἐν τούτοις·

πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,
25 καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶν καὶ ψιλὸν περὶ
πλευρῇσι βοός,
νεόπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισι
κἀθελοπόρνοισιν ‖ ὁμιλέων ὁ πονηρὸς ὁ Ἀρτέμων, 5 534a
κίβδηλον εὑρίσκων βίον,

533e Eust. p. 1490.42–3 = i.157.46–158.2

8 ὁ Ἰδομενεύς A : ὁ om. C E ‖ **9** τέσσαρας C E : τέτταρας A ‖ **13** Χοοπότῃ Casaubon : Χοοπώτῃ A ‖ **16** ⟨ἂν⟩ add. Kaibel ‖ **21** ⟨φησι⟩ addidi ‖ **25** ὠσὶν A : ὠσὶ M P Mus ‖ **27** νεόπλυτον C E : νεόπλουτον A : νήπλυτον Schoemann **28** κἀθελοπόρνοισιν Kaibel, ducente Barnes (κἠθελοπόρνοισιν) : καὶ ἐθελοπόρνοισιν A C E | ὁ[2] A : del. Musurus

πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ᾿ ἐν τροχῷ,
πολλὰ δ᾿ ἐν † ὤτω † σκυτίνῳ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ᾿ ἐκτετιλμένος·
νῦν δ᾿ ἐπιβαίνει σατινέων χρύσεα † φαρέων καθέρματα 10
534b παῖς Κύκης καὶ σκιαδίσκην ἐλεφαντίνην | φορεῖ 5
γυναιξὶν αὔτως.

[47] περὶ δὲ τοῦ καλοῦ Ἀλκιβιάδου Σάτυρος (fr. 1, *FHG* iii.160 = fr. 20 Schorn) ἱστορῶν, λέγεται, φησίν, ὅτι ἐν Ἰωνίᾳ μὲν ὢν Ἰώνων ἐφαίνετο τρυφερώτερος, ἐν Θήβαις δὲ σωμασκῶν καὶ γυμναζόμενος τῶν Θηβαίων αὐτῶν μᾶλλον Βοιώτιος, ἐν Θετταλίᾳ δὲ 10 ἱπποτροφῶν καὶ ἡνιοχῶν τῶν Ἀλευαδῶν ἱππικώτερος, ἐν Σπάρτῃ δὲ καρτερίαν καὶ ἀφέλειαν ἐπιτηδεύων ἐνίκα τοὺς Λάκωνας, ὑπερῆρε δὲ καὶ τὴν τῶν Θρᾳκῶν ἀκρατοποσίαν. τὴν δὲ αὐτοῦ 534c γυναῖκα πειρῶν ὡς ἕτερος | ἔπεμψεν αὐτῇ χιλίους Δαρεικούς. κάλλιστος δὲ ὢν τὴν μορφὴν κόμην τε ἔτρεφεν ἐπὶ πολὺ τῆς 15 ἡλικίας καὶ ὑποδήματα παρηλλαγμένα ἐφόρει, ἃ ἀπ᾿ αὐτοῦ Ἀλκιβιάδεις καλεῖται. ὅτε δὲ χορηγοίη, πομπεύων ἐν πορφυρίδι εἰς τὸ θέατρον ἐθαυμάζετο οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν ἀλλὰ καὶ ὑπὸ τῶν γυναικῶν· διὸ καὶ Ἀντισθένης ὁ Σωκρατικὸς (*SSR* V A 198 = *FGrH* 1004 F 1) ὡς ἂν αὐτὸς αὐτόπτης γεγονὼς ἰσχυρὸν αὐτὸν καὶ 20 ἀνδρώδη καὶ εὐπαίδευτον καὶ τολμηρὸν καὶ ὡραῖον ἐφ᾿ ἡλικίας 534d γενέσθαι φησίν. εἰς | δὲ τὰς ἀποδημίας ὁπότε στέλλοιτο, τέσσαρσι τῶν συμμαχίδων πόλεων ὥσπερ θεραπαίναις ἐχρῆτο· σκηνὴν μὲν γὰρ αὐτῷ Περσικὴν ἔπησσον Ἐφέσιοι, τροφὴν δὲ τοῖς ἵπποις αὐτοῦ Κεῖοι παρεῖχον, ἱερεῖα δὲ παρίστασαν εἰς τὰς θυσίας καὶ 25

534b Eust. p. 1594.36–8 = i.295.1–3 | **534d** Plut. *Alc.* 12.1

2 πολλὰ δ᾿ ἐν † ὤτω † σκυτίνῳ A : πολλὰ δὲ νώτῳ σκυθίνῳ M P : πολλάκις δὲ C E : πολλὰ δὲ νῶτον σκυτίνῃ Elmsley, Bergk ‖ **4** φαρέων A : φορέων Bedrot ‖ **8** Ἰώνων add. M P Mus : fort. τρυφερώτατος, i.e. τρυφερώ^ττ pro τρυφερώτερος, i.e. τρυφερώ^τρ ‖ **12** ἀφέλειαν Hemsterhuis : ἀσφάλειαν A C E **13** ὑπερῆρε C E B : ὑπερῆρε A | ἀκρατοποσίαν C E : ἀκρατοπωσίαν A **17** Ἀλκιβιάδεις scripsi : Ἀλκιβιάδες A : Ἀλκιβιάδης C E | καλεῖται] fort. ἐκαλεῖτο ‖ **18** εἰσιὼν εἰς τὸ θέατρον A C E : εἰσιὼν ut glossam del. Kaibel **20** ἂν, i.e. ΑΝ A C E : δή, i.e. ΔΗ Kaibel | γεγονὼς τοῦ Ἀλκιβιάδου A : τοῦ Ἀλκιβιάδου (glossam) om. C E ‖ **21** εὐπαίδευτον Dalechamps (*optimis institutis eruditum*) : ἀπαίδευτον A C E | ἡλικίας ⟨πάσης⟩ Kaibel, cf. Plut. **25** Κῖοι vel Κίοι, i.e. Κεῖοι A C E : Χῖοι Casaubon, cf. Plut.

κρεανομίας Κυζικηνοί, Λέσβιοι δὲ οἶνον παρεῖχον καὶ τὰ ἄλλα τὰ πρὸς τὴν καθ' ἡμέραν δίαιταν. ἀφικόμενος δ' Ἀθήνησιν ἐξ Ὀλυμπίας δύο πίνακας ἀνέθηκεν, Ἀγλαοφῶντος γραφήν· ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα στεφανούσας αὐτόν, ἐν δὲ θατέρῳ |
5 Νεμέα ἦν καθημένη καὶ ἐπὶ τῶν γονάτων αὐτῆς Ἀλκιβιάδης 534e καλλίων φαινόμενος τῶν γυναικείων προσώπων. καὶ στρατηγῶν δὲ ἔτι καλὸς εἶναι ἤθελεν· ἀσπίδα γοῦν εἶχεν ἐκ χρυσοῦ καὶ ἐλέφαντος πεποιημένην, ἐφ' ἧς ἦν ἐπίσημον Ἔρως κεραυνὸν ἠγκυλημένος. ἐπικωμάσας δέ ποτε ὡς Ἄνυτον ἐραστὴν ὄντα καὶ
10 πλούσιον συνεπικωμάζοντος αὐτῷ τῶν ἑταίρων ἑνὸς Θρασύλλου (τῶν πενήτων δ' οὗτος ἦν), προπιὼν τῷ Θρασύλλῳ τὰ ἡμίση τῶν ποτηρίων τῶν ἐπὶ τῷ κυλικείῳ προκειμένων ἐκέλευσε τοὺς | ἀκολούθους ἀποφέρειν πρὸς τὸν Θράσυλλον· εἶθ' οὕτω φιλοφρονη- 534f σάμενος τὸν Ἄνυτον ἀπηλλάσσετο. ὁ δὲ Ἄνυτος πάνυ ἐλευθερίως
15 καὶ ἐρωτικῶς λεγόντων τινῶν ὡς ἀγνώμονα εἴη πεποιηκὼς Ἀλκιβιάδης, "οὐ μὰ Δί'," ἔφη, "ἀλλ' εὐγνωμονέστατα· ἔχων γὰρ ἐξουσίαν ἅπαντα λαβεῖν τὰ ἡμίση κατέλιπε." [48] Λυσίας δὲ ὁ ῥήτωρ (fr. 8 Carey) περὶ τῆς τρυφῆς αὐτοῦ λέγων φησίν· ἐκπλεύσαντες γὰρ κοινῇ Ἀξίοχος καὶ Ἀλκιβιάδης εἰς Ἑλλήσποντον
20 ἔγημαν ἐν Ἀβύδῳ δύο ὄντε Μεδοντιάδα ‖ τὴν Ἀβυδηνὴν καὶ 535a ξυνῳκείτην. ἔπειτα αὐτοῖν γίνεται θυγάτηρ, ἣν οὐκ ἔφαντο δύνασθαι γνῶναι ὁποτέρου εἴη. ἐπεὶ δὲ ἦν ἀνδρὸς ὡραία, ξυνεκοιμῶντο καὶ ταύτῃ, καὶ εἰ μὲν χρῷτο καὶ ἔχοι Ἀλκιβιάδης, Ἀξιόχου ἔφασκεν εἶναι θυγατέρα· εἰ δὲ Ἀξίοχος, Ἀλκιβιάδου. κεκωμῴδηται
25 δὲ καὶ ὑπὸ Εὐπόλιδος ὡς καὶ ἀκόλαστος πρὸς γυναῖκας ἐν Κόλαξιν (fr. 171) οὕτως·

> (A.) Ἀλκιβιάδης ἐκ τῶν γυναικῶν ἐξίτω. | (B.) τί ληρεῖς; 535b
> οὐκ οἴκαδ' ἐλθὼν τὴν σεαυτοῦ γυμνάσεις δάμαρτα;

καὶ Φερεκράτης (fr. 164) δέ φησιν·

6 τῶν γυναικείων προσώπων A C E : fort. τῶν γυναικῶν τὸ πρόσωπον **7** fort. ἔτι ⟨μᾶλλον⟩ vel ἔτι καλλίων | χρυσοῦ C E : χρυσίου A ‖ **12** κυλικείῳ M P Mus : κυλικίῳ A ‖ **14** Ἄνυτον M P Mus : αὐτὸν A ‖ **16** εὐγνωμονέστατα· ἔχων γὰρ C E : εὐγνώμονα ἔχων A ‖ **20** Μεδοντιάδα, i.e. -ΙΑΔΑ A C E : Μεδοντίδος (structura alia) 13.574d, ut hic Μεδοντίδα, i.e. -ΙΔΑ ‖ **22** γνῶναι A C E : διαγνῶναι Kaibel ‖ **24** ἔφασκεν A : fort. ἔφασκον ‖ **25** καί[2] del. Meineke

οὐκ ὢν ἀνὴρ γὰρ Ἀλκιβιάδης, ὡς δοκεῖ,
ἀνὴρ ἁπασῶν τῶν γυναικῶν ἐστι νῦν.

ἐν Σπάρτῃ δὲ ὢν ἔφθειρε τὴν Ἄγιδος τοῦ βασιλέως γυναῖκα Τιμαίαν· ἐπιπληττόντων δ᾽ αὐτῷ τινων οὐκ ἀκρασίας ἕνεκεν συνελθεῖν ἔφη ἀλλ᾽ ἵνα ὁ γενόμενος ἐξ αὐτοῦ βασιλεύσῃ τε τῆς 5 Σπάρτης καὶ μηκέτι λέγωνται οἱ βασιλεῖς ἀφ᾽ Ἡρακλέους ἀλλ᾽ 535c ἀπ᾽ Ἀλκιβιάδου. στρατηγῶν δὲ | συμπεριήγετο αὐτῷ τήν τε Λαΐδος τῆς Κορινθίας μητέρα Τιμάνδραν καὶ Θεοδότην τὴν Ἀττικὴν ἑταίραν. [49] μετὰ δὲ τὴν φυγὴν κυρίους Ἀθηναίους ποιήσας τοῦ Ἑλλησπόντου καὶ πλείους τῶν πεντακισχιλίων 10 Πελοποννησίους λαβὼν ἀνέπεμψεν εἰς τὰς Ἀθήνας· κατιών τε μετὰ ταῦτα εἰς τὴν πατρίδα ἐστεφάνωσε τὰς Ἀττικὰς τριήρεις θαλλῷ καὶ μίτραις καὶ ταινίαις, καὶ ἀναψάμενος τὰς αἰχμαλώτους ναῦς ἠκρωτηριασμένας εἰς διακοσίας ἱππαγωγούς τε ἄγων 535d σκύλων καὶ ὅπλων | Λακωνικῶν καὶ Πελοποννησιακῶν μεστὰς 15 εἰσέπλει. ἡ δὲ τριήρης ἐφ᾽ ἧς αὐτὸς κατέπλει μέχρι μὲν τῶν κλείθρων τοῦ Πειραιέως προέτρεχεν ἁλουργοῖς ἱστίοις. ὡς δ᾽ ἐντὸς ἦν καὶ τὰς κώπας ἔλαβον οἱ ἐρέται, Χρυσόγονος μὲν ηὔλει τὸ τριηρικὸν ἐνδεδυκὼς τὴν Πυθικὴν στολήν, Καλλιππίδης δ᾽ ὁ τραγῳδὸς ἐκέλευε τὴν ἐπὶ τῆς σκηνῆς στολὴν ἠμφιεσμένος· διὸ 20 καὶ χαριέντως εἶπέ τις· "οὔτ᾽ ἂν δύο Λυσάνδρους ὑπήνεγκεν ἡ Σπάρτη οὔτ᾽ ἂν δύ᾽ Ἀλκιβιάδας Ἀθῆναι." ἐμιμεῖτο δὲ Ἀλκιβιάδης | 535e τὸν Παυσανίου Μηδισμὸν καὶ καθομιλῶν Φαρνάβαζον τὴν Περσικὴν ἐνεδύετο στολὴν καὶ τὴν Περσικὴν ἔμαθε φωνήν, καθάπερ καὶ Θεμιστοκλῆς. [50] Δοῦρις δ᾽ ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν 25 Ἱστοριῶν (*FGrH* 76 F 14), Παυσανίας μέν, φησίν, ὁ τῶν Σπαρτιατῶν βασιλεὺς καταθέμενος τὸν πάτριον τρίβωνα τὴν Περσικὴν ἐνεδύετο στολήν. ὁ δὲ Σικελίας τύραννος Διονύσιος ξυστίδα καὶ χρυσοῦν στέφανον † ἐπὶ περόνῃ μετελάμβανε τραγικόν †.

535c Eust. p. 1068.27 = III.876.20–1 | **535d** Eust. p. 1083.27 = III.920.14–15
535d Eust. p. 214.1–2 = I.325.27–8 | **535d** cf. Ael. *VH* 11.7

2 ἀνὴρ Blaydes : ἀνὴρ A C E ‖ **17** προέτρεχεν C E : προσέτρεχεν A ‖ **20** ἐπὶ A C E : ἀπὸ Kaibel ‖ **22** Ἀλκιβιάδης A : om. C E, fort. ut glossa delendum **24** ἐνεδύετο Meineke : ἐνεδύσατο A C E ‖ **29** ἐπὶ περόνῃ A : ⟨καὶ⟩ ἐπιπόρπημα Hullemann, cf. Phot. ξ 72 = *Suda* ξ 169 ξυστὶς ... τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα

Ἀλέξανδρος δ᾽ ὡς τῆς Ἀσίας ἐκυρίευσε, Περσικαῖς ἐχρῆτο | στολαῖς. Δημήτριος δὲ πάντας ὑπερέβαλλε· τὴν μὲν γὰρ ὑπόδεσιν 535f
ἣν εἶχε κατεσκευάζετο ἐκ πολλοῦ δαπανήματος· ἦν γὰρ κατὰ μὲν
τὸ σχῆμα τῆς ἐργασίας σχεδὸν ἐμβάτης πίλημα λαμβάνων τῆς
5 πολυτελεστάτης πορφύρας, τούτῳ δὲ χρυσοῦ πολλὴν ἐνύφαινον
ποικιλίαν ὀπίσω καὶ ἔμπροσθεν ἐνιέντες οἱ τεχνῖται. αἱ δὲ χλαμύ-
δες αὐτοῦ ἦσαν ὄρφνινον ἔχουσαι τὸ φέγγος τῆς χρόας, τὸ δὲ πᾶν
ἐνύφαντο χρυσοῦς ἀστέρας ἔχον καὶ τὰ δώδεκα ζῴδια. ‖ μίτρα δὲ 536a
χρυσόπαστος ἦν ⟨καὶ⟩ καυσίαν ἁλουργῆ οὖσαν ἔσφιγγεν ἐπὶ τὸ
10 νῶτον φέρουσα τὰ τελευταῖα καταβλήματα τῶν ὑφασμάτων.
γινομένων δὲ τῶν Δημητρίων Ἀθήνησιν ἐγράφετο ἐπὶ τοῦ
προσκηνίου ἐπὶ τῆς Οἰκουμένης ὀχούμενος. Νύμφις δ᾽ ὁ Ἡρακλε-
ώτης ἐν ἕκτῳ τῶν περὶ τῆς πατρίδος (*FGrH* 432 F 9), Παυσανίας,
φησίν, ὁ περὶ Πλαταιὰς νικήσας Μαρδόνιον, τὰ τῆς Σπάρτης
15 ἐξελθὼν νόμιμα καὶ εἰς ὑπερηφανίαν ἐπιδοὺς περὶ Βυζάντιον
διατρίβων τὸν χαλκοῦν κρατῆρα τὸν ἀνακείμενον τοῖς | θεοῖς τοῖς 536b
ἐπὶ τοῦ στόματος ἱδρυμένοις, ὃν ἔτι καὶ νῦν εἶναι συμβαίνει,
ἐτόλμησεν ἐπιγράψαι ὡς αὐτὸς ἀναθείς, ὑποθεὶς τόδε τὸ
ἐπίγραμμα ('Simon.' *FGE* 835–8) διὰ τὴν τρυφὴν καὶ ⟨τὴν⟩ ὑπερη-
20 φανίαν ἐπιλαθόμενος αὐτοῦ·

μνᾶμ᾽ ἀρετᾶς ἀνέθηκε Ποσειδάωνι ἄνακτι 835
Παυσανίας ἄρχων Ἑλλάδος εὐρυχόρου
πόντου ἐπ᾽ Εὐξείνου, Λακεδαιμόνιος γένος, υἱὸς
Κλεομβρότου, ἀρχαίας Ἡρακλέος γενεᾶς.

25 [51] ἐτρύφησε δὲ καὶ Φάραξ ὁ Λακεδαιμόνιος, ὡς | Θεόπομπος ἐν 536c
τῇ τεσσαρακοστῇ (*FGrH* 115 F 192) ἱστορεῖ· καὶ ταῖς ἡδοναῖς οὕτως

536a Eust. p. 570.8–9 = II.121.9–10

2 ὑπερέβαλλε C E B : ὑπερέβαλεν A ‖ **3** κατεσκευάζετο Kaibel : κατεσκεύαζεν A C E : κατεσκεύασεν M P Mus ‖ **4** πίλημα Musurus : πίλημμα A ‖ **7** τὸ δὲ πᾶν ὁ πόλος A : ὁ πόλος (glossam) del. Vollgraff ‖ **8** ἔχον Vollgraf : ἔχων A **9** ⟨καὶ⟩ addidi : ἡ vel ἣ pro ἦν M P Mus : ἦν, ⟨ἣ⟩ Schweighäuser ‖ **10** φέρουσα Schweighäuser : φέρουσαν A ‖ **16** τὸν χαλκοῦν κρατῆρα τὸν ἀνακείμενον Kaibel : τὸν χαλκοῦν τὸν ἀνακείμενον κρατῆρα A : τὸν χαλκοῦν Ποσειδῶνος κρατῆρα C E ‖ **18** ἀναθείς A C E : ἀναθείη Wilamowitz ‖ **19** ⟨τὴν⟩ addidi **21** μνᾶμ᾽ ἀρετᾶς A : μνῆμ᾽ ἀρετῆς A[s] ‖ **23** Εὐξείνου B M P Mus : Εὔξενου A

ἀσελγῶς ἐχρήσατο καὶ χύδην ὥστε πολὺ μᾶλλον διὰ τὴν αἰτίαν ταύτην αὐτὸν ὑπολαμβάνεσθαι Σικελιώτην ἢ διὰ τὴν πατρίδα Σπαρτιάτην. ἐν δὲ τῇ δευτέρᾳ καὶ πεντηκοστῇ (*FGrH* 115 F 232) φησὶν ὡς Ἀρχίδαμος ὁ Λάκων ἀποστὰς τῆς πατρίου διαίτης συνειθίσθη ξενικῶς καὶ μαλακῶς· διόπερ οὐκ ἠδύνατο τὸν οἴκοι 5 βίον ὑπομένειν, ἀλλ' ἐσπούδαζεν ἀεὶ δι' ἀκρασίαν ἔξω διατρίβειν.
536d καὶ Ταραντίνων πρεσβευσαμένων περὶ συμμαχίας ἔσπευσε | συνεξελθεῖν αὐτοῖς βοηθός· κἀκεῖ γενόμενος καὶ ἐν τῷ πολέμῳ ἀποθανὼν οὐδὲ ταφῆς κατηξιώθη καίτοι Ταραντίνων πολλὰ χρήματα ὑποσχομένων τοῖς πολεμίοις ὑπὲρ τοῦ ἀνελέσθαι αὐτοῦ τὸ σῶμα. 10 Φύλαρχος δὲ ἐν τῇ δεκάτῃ τῶν Ἱστοριῶν (*FGrH* 81 F 20) Θρᾳκῶν φησι τῶν καλουμένων Κροβύζων βασιλέα γενέσθαι Ἰσάνθην τρυφῇ πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβαλλόμενον· ἦν δὲ καὶ πλούσιος καὶ καλός. ἐν δὲ τῇ δευτέρᾳ καὶ εἰκοστῇ (*FGrH* 81 F 40) ὁ αὐτὸς Πτολε-
536e μαῖόν φησι τὸν δεύτερον Αἰγύπτου | βασιλεύσαντα πάντων σεμνό- 15 τατον γενόμενον τῶν δυναστῶν καὶ παιδείας εἴ τινα καὶ ἄλλον καὶ αὐτὸν ἐπιμεληθέντα οὕτως ἐξαπατηθῆναι τὴν διάνοιαν καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι καὶ λέγειν ὅτι μόνος εὕροι τὴν ἀθανασίαν. κατατεινόμενον οὖν ὑπὸ ποδάγρας πλείους ἡμέρας, ὥς ποτ' οὖν 20 ἐρράισε καὶ κατεῖδε διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους καὶ τὰ τυχόντα προσφερομένους ἐπί τε τῆς ἄμμου χύδην ἐρριμμένους, εἶπεν· "ὦ τάλας ἐγώ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι." [52] περὶ δὲ Καλλίου καὶ τῶν
536f τούτου κολάκων | φθάνομεν καὶ πρότερον εἰπόντες (5.218b–c)· ἀλλ' 25 ἐπεὶ καινῶς Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἡδονῆς (fr. 58 Wehrli = fr. 42 Schütrumpf) ἱστορεῖ περὶ αὐτοῦ, ἄνωθεν ἀναλαβὼν διηγήσομαι. ὅτε τὸ πρῶτον εἰς Εὔβοιαν ἐστράτευσαν οἱ Πέρσαι, τότε, ὥς φασιν, Ἐρετριεὺς ἀνὴρ Διόμνηστος κύριος ἐγένετο τῶν τοῦ στρατηγοῦ χρημάτων· ἔτυχε γὰρ ἐν τῷ ἀγρῷ τῷ ἐκείνου 30
537a σκηνῶν καὶ τὰ χρήματα εἰς οἴκημά τι θέμενος τῆς οἰκίας· ‖ τελευ-

536e Eust. p. 1363.19–21 = IV.946.9–12 | **536e** Eust. p. 1542.38–41 = i.227.23–6

1–2 τὴν αἰτίαν ταύτην A : ταύτην C E : τὴν δίαιταν Maas ‖ **5** συνειθίσθη scripsi : συνηθίσθη A : συνειθίσθαι C E : συνήσθη B M P ‖ **6** ἀεὶ C E B M P Mus : αἰεὶ A ‖ **20–1** οὖν ἐρράισε A : ἐρράισε C : ἐρράιζε E : ἀνερράισε Meineke ‖ **21** κατεῖδε vel κατεῖδεν C E B Mus : κατίδεν A

τησάντων δὲ πάντων διέλαθεν ἔχων ὁ Διόμνηστος τὸ χρυσίον. ἐπεὶ δὲ πάλιν ὁ τῶν Περσῶν βασιλεὺς ἀπέστειλεν εἰς τὴν Ἐρέτριαν στράτευμα προστάξας ἀνάστατον ποιῆσαι τὴν πόλιν, εἰκότως ὑπεξετίθεντο ὅσοι χρημάτων ηὐπόρουν. οἱ οὖν καταλελειμμένοι
5 τῆς τοῦ Διομνήστου οἰκίας παρ᾽ Ἱππόνικον τὸν Καλλίου τὸν Ἄμμωνα ἐπικαλούμενον ὑπεξέθεντο τὰ χρήματα | εἰς τὰς Ἀθήνας, 537b
καὶ ἀνασκευασθέντων ὑπὸ τῶν Περσῶν ἁπάντων ⟨τῶν⟩ Ἐρετριέων κατέσχον οὗτοι τὰ χρήματα πολλὰ ὄντα. ὥστε Ἱππόνικος ὁ ἀπ᾽ ἐκείνου γεγονὼς τοῦ τὴν παρακαταθήκην λαβόντος ᾔτησεν
10 Ἀθηναίους ποτὲ ἐν ἀκροπόλει τόπον ἵν᾽ οἰκοδομήσηται τοῖς χρήμασιν ὅπου κείσεται, ὡς οὐκ ἀσφαλὲς ὂν ἐν ἰδιωτικῇ οἰκίᾳ πολλὰ χρήματα εἶναι. καὶ ἔδοσαν Ἀθηναῖοι· νουθετηθεὶς δ᾽ ὑπὸ τῶν φίλων μετενόησε. τούτων οὖν τῶν χρημάτων Καλλίας κύριος γενόμενος καὶ πρὸς ἡδονὴν βιώσας — ποῖοι γὰρ οὐ κόλακες ἢ τί
15 πλῆθος οὐχ ἑταίρων περὶ αὐτὸν ἦσαν, ποίας δὲ δαπάνας οὐχ ὑπερεώρα | ἐκεῖνος; — ἀλλ᾽ ὅμως εἰς τοσοῦτον αὐτὸν ⟨ἀπορίας⟩ 537c
περιέστησεν ὁ περὶ ἡδονὴν βίος ὥστε μετὰ γρᾳδίου βαρβάρου διατελεῖν ἠναγκάσθη καὶ τῶν ἀναγκαίων τῶν καθ᾽ ἡμέραν ἐνδεὴς γενόμενος τὸν βίον ἐτελεύτησε. τὸν δὲ Νικίου, φησί, τοῦ Περγα-
20 σῆθεν πλοῦτον ἢ τὸν Ἰσχομάχου τίνες ἀπώλεσαν; οὐκ Αὐτοκλέης καὶ Ἐπικλέης, οἳ μετ᾽ ἀλλήλων ζῆν προελόμενοι καὶ πάντ᾽ ἐν ἐλάττονι ποιούμενοι τῆς ἡδονῆς, ἐπειδὴ πάντα κατανάλωσαν, κώνειον πιόντες ἅμα τὸν βίον ἐτελεύτησαν; [53] περὶ δὲ τῆς Ἀλεξάνδρου τοῦ | πάνυ τρυφῆς Ἔφιππος μὲν ὁ Ὀλύνθιος ἐν τῷ 537d
25 Περὶ τῆς Ἡφαιστίωνος καὶ Ἀλεξάνδρου Τελευτῆς (*FGrH* 126 F 4) φησιν ὅτι ἐν τῷ παραδείσῳ ἔκειτο αὐτῷ χρυσοῦς θρόνος καὶ κλῖναι ἀργυρόποδες, ἐφ᾽ ὧν καθεζόμενος ἐχρημάτιζε μετὰ τῶν ἑταίρων. Νικοβούλη (*FGrH* 127 F 2) δέ φησιν ὅτι παρὰ τὸ δεῖπνον πάντες οἱ

537b–c cf. Ael. *VH* 4.23

2 Ἐρέτριαν Dindorf : Ἐρέτρειαν A ‖ **3** γενέσθαι ποιῆσαι A : γενέσθαι om. M P : ποιῆσαι (v.l.) del. Schweighäuser, ducente Casaubon ‖ **7** ⟨τῶν⟩ add. M P Mus ‖ **11** λέγων ὡς A C E : λέγων del. Meineke ‖ **12** ἔδοσαν ⟨ἂν⟩ Wilamowitz ‖ **13** οὖν ὄντων τῶν (v.ll. οὖν τῶν et ὄντων) A : ὄντων om. C E M P Mus ‖ **16** ἐκεῖνος scripsi : κεῖνος A : ᾿κεῖνος B | ⟨ἀπορίας⟩ add. Meineke ex Ael. ὁ πρὸς ἡδονὴν βίος ἐς ἀπορίαν περιέστησεν ‖ **23** κώνειον C E M P Mus et Ael. : κώνιον A | κατανάλωσαν· ἐτελεύτησαν (v.ll.) A : ἀπέθανον C E : ἐτελεύτησαν om. M P Mus : κατανάλωσαν del. Schweighäuser

ἀγωνισταὶ ἐσπούδαζον τέρπειν τὸν βασιλέα· καὶ ὅτι ἐν τῷ τελευ-
ταίῳ δείπνῳ αὐτὸς ὁ Ἀλέξανδρος ἐπεισόδιόν τι ἀπομνημονεύσας
ἐκ τῆς Εὐριπίδου Ἀνδρομέδας ἠγωνίσατο καὶ τὸν ἄκρατον προθύ-
537e μως προπίνων καὶ τοὺς ἄλλους | ἠνάγκαζεν. Ἔφιππος (*FGrH* 126
F 5) δέ φησιν ὡς Ἀλέξανδρος καὶ τὰς ἱερὰς ἐσθῆτας ἐφόρει ἐν τοῖς 5
δείπνοις, ὁτὲ μὲν τὴν τοῦ Ἄμμωνος πορφυρίδα καὶ περισχιδεῖς καὶ
κέρατα καθάπερ ὁ θεός, ὁτὲ δὲ τὴν τῆς Ἀρτέμιδος, ἣν καὶ ἐπὶ τοῦ
ἅρματος ἐφόρει πολλάκις ἔχων τὴν Περσικὴν στολὴν ὑποφαίνων
ἄνωθεν τῶν ὤμων τό τε τόξον καὶ τὴν σιβύνην, ἐνίοτε δὲ καὶ τὴν
τοῦ Ἑρμοῦ· τὰ μὲν ἄλλα σχεδὸν καὶ καθ' ἑκάστην ἡμέραν 10
χλαμύδα τε πορφυρᾶν καὶ χιτῶνα μεσόλευκον καὶ τὴν καυσίαν
537f ἔχουσαν τὸ διάδημα | τὸ βασιλικόν, ἐν δὲ τῇ συνουσίᾳ τά τε
πέδιλα καὶ τὸν πέτασον ἐπὶ τῇ κεφαλῇ καὶ τὸ κηρύκειον ἐν τῇ
χειρί, πολλάκις δὲ καὶ λεοντῆν καὶ ῥόπαλον ὥσπερ Ἡρακλῆς. τί
οὖν θαυμαστὸν εἰ καὶ καθ' ἡμᾶς Κόμμοδος ὁ αὐτοκράτωρ ἐπὶ τῶν 15
ὀχημάτων παρακείμενον εἶχε τὸ Ἡράκλειον ῥόπαλον ὑπεστρωμέ-
νης αὐτῷ λεοντῆς καὶ Ἡρακλῆς καλεῖσθαι ἤθελεν Ἀλεξάνδρου τοῦ
Ἀριστοτελικοῦ τοσούτοις αὑτὸν ἀφομοιοῦντος θεοῖς, ἀτὰρ καὶ τῇ
Ἀρτέμιδι; ἔρρανε δὲ ὁ Ἀλέξανδρος καὶ μύρῳ σπουδαίῳ καὶ οἴνῳ
538a εὐώδει τὸ δάπεδον, ‖ ἐθυμιᾶτο δὲ αὐτῷ σμύρνα καὶ τὰ ἄλλα θυμιά- 20
ματα, εὐφημία δὲ καὶ σιγὴ κατεῖχε πάντας ὑπὸ δέους τοὺς παρόν-
τας· ἀφόρητος γὰρ ἦν καὶ φονικός· ἐδόκει γὰρ εἶναι μελαγχολι-
κός. ἐν Ἐκβατάνοις δὲ ποιήσας τῷ Διονύσῳ θυσίαν καὶ πάντων
δαψιλῶς ἐν τῇ θοίνῃ παρασκευασθέντων † καὶ Σατραβάτης ὁ
σατράπης τοὺς στρατιώτας εἱστίασε πάντας. ἀθροισθέντων δὲ 25
πολλῶν ἐπὶ τὴν θέαν, φησὶν ὁ Ἔφιππος, κηρύγματα ἐγίνετο
538b ὑπερήφανα καὶ τῆς Περσικῆς ὑπεροψίας αὐθαδέστερα· | ἄλλων
γὰρ ἄλλο τι ἀνακηρυττόντων καὶ στεφανούντων τὸν Ἀλέξανδρον
εἷς τις τῶν ὁπλοφυλάκων ὑπερπεπαικὼς πᾶσαν κολακείαν κοινω-
σάμενος τῷ Ἀλεξάνδρῳ ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν ὅτι· 30

537f Eust. p. 1522.5 = i.197.28–9 | **538b–e** cf. Ael. *VH* 8.7

2 ἀπομνημονεύσας Kaibel : μνημονεύσας A ‖ **6** περισχιδεῖς A : περισχιδῆ C E B : πολυσχιδεῖς Jacoby ‖ **14** ὁ Ἡρακλῆς A : ὁ om. C E ‖ **19** ἔρρανε C E : ἔρανε A ‖ **21** δὲ C E : τε A ‖ **24** Σατραβάτης A : Ἀτροβάτης Arr. *An.* 3.8.4 : Ἀτροπάτης D.S. 18.3.3 : *Atropatos* Justin. 13.4.13 ‖ **29** ὁπλοφυλάκων Schweighäuser, cf. infra : ὀπισθοφυλάκων A

"Γόργος ὁ ὁπλοφύλαξ Ἀλέξανδρον Ἄμμωνος υἱὸν στεφανοῖ χρυσί-
οις τρισχιλίοις· καὶ ὅταν Ἀθήνας πολιορκῇ, μυρίαις πανοπλίαις
καὶ τοῖς ἴσοις καταπέλταις καὶ πᾶσι τοῖς ἄλλοις βέλεσιν εἰς τὸν
πόλεμον ἱκανοῖς." [54] Χάρης δ' ἐν τῇ δεκάτῃ τῶν Περὶ Ἀλέξαν-
5 δρον Ἱστοριῶν (*FGrH* 125 F 4), ὅτε, φησίν, εἷλε Δαρεῖον, γάμους |
συνετέλεσεν ἑαυτοῦ τε καὶ τῶν ἄλλων φίλων ἐνενήκοντα καὶ δύο 538c
θαλάμους κατασκευασάμενος ἐν τῷ αὐτῷ τόπῳ. ἦν δὲ ὁ οἶκος
ἑκατοντάκλινος, ἐν ᾧ ἑκάστη ἦν κλίνη κεκοσμημένη στολῇ
γαμικῇ εἴκοσι μνῶν ἀργυρᾶ· ἡ δὲ αὐτοῦ χρυσόπους ἦν. συμπαρέ-
10 λαβε δὲ εἰς τὸ συμπόσιον καὶ τοὺς ἰδιοξένους ἅπαντας καὶ
κατέκλινεν ἀντιπροσώπους ἑαυτῷ τε καὶ τοῖς ἄλλοις νυμφίοις, τὴν
δὲ λοιπὴν δύναμιν πεζήν τε καὶ ναυτικὴν καὶ τὰς πρεσβείας καὶ
τοὺς παρεπιδημοῦντας ἐν τῇ αὐλῇ. | κατεσκεύαστο δὲ ὁ οἶκος 538d
πολυτελῶς καὶ μεγαλοπρεπῶς ἱματίοις τε καὶ ὀθονίοις πολυτελέ-
15 σιν, ὑπὸ δὲ ταῦτα πορφυροῖς καὶ φοινικοῖς χρυσοϋφέσι. τοῦ δὲ
μένειν τὴν σκηνὴν ⟨ἕνεκα⟩ ὑπέκειντο κίονες εἰκοσαπήχεις περίχρυ-
σοι καὶ διάλιθοι καὶ περιάργυροι. περιεβέβληντο δὲ ἐν τῷ
περιβόλῳ πολυτελεῖς αὐλαῖαι ζῳωτοὶ καὶ διάχρυσοι κανόνας
ἔχουσαι περιχρύσους καὶ περιαργύρους. τῆς δ' αὐλῆς ἦν τὸ περίμε-
20 τρον στάδιοι τέσσαρες. ἐγίνετο δὲ τὰ δεῖπνα πρὸς σάλπιγγα τότε
μὲν ἐν τοῖς γάμοις, καὶ ἄλλως | δ' ἀεὶ ὅτε τύχοι σπονδοποιούμενος, 538e
ὥστε πᾶν εἰδέναι τὸ στρατόπεδον. ἐπὶ πέντε δὲ ἡμέρας ἐπετελέ-
σθησαν οἱ γάμοι, καὶ ἐλειτούργησαν πάνυ πολλοὶ καὶ βαρβάρων
καὶ Ἑλλήνων, καὶ οἱ ἀπὸ τῆς Ἰνδικῆς θαυματοποιοὶ ἦσαν διαπρέ-
25 ποντες ⟨...⟩ Σκύμνος ⟨ὁ⟩ Ταραντῖνος καὶ Φιλιστίδης ⟨ὁ⟩ Συρακό-
σιος Ἡράκλειτός τε ὁ Μιτυληναῖος· μεθ' οὓς ἐπεδείξατο ῥαψῳδὸς
Ἄλεξις ⟨ὁ⟩ Ταραντῖνος. παρῆλθον δὲ καὶ ψιλοκιθαρισταὶ Κρατῖνος
⟨ὁ⟩ Μηθυμναῖος, Ἀριστώνυμος ⟨ὁ⟩ Ἀθηναῖος, Ἀθηνόδωρος ⟨ὁ⟩
Τήιος. ἐκιθαρῴδησαν δὲ Ἡράκλειτός τε ὁ Ταραντῖνος καὶ Ἀριστο-
30 κράτης | ὁ Θηβαῖος. αὐλῳδοὶ δὲ παρῆλθον Διονύσιος ὁ Ἡρακλεώ- 538f

1–2 χρυσίοις scripsi : χρυσοῖς A ‖ **2** πολιορκῇ A : πολιορκήσῃ Wilamowitz
9 ἀργυρᾶ C E : ἀργυρᾷ A : ἀργυρόπους ἦν Ael. ‖ **12** δὲ M P : τε A C E
⟨ἱππικὴν καὶ⟩ ναυτικὴν Kaibel, cf. Ael. δυνάμεις αἱ πεζαὶ καὶ αἱ ναυτικαὶ καὶ
οἱ ἱππεῖς ‖ **16** ⟨ἕνεκα⟩ addidi ‖ **21** ἀεὶ scripsi : αἰεὶ A | σπονδοποιούμενος
Dindorf : σπενδοποιούμενος A ‖ **25** lac. indic. Kaibel : καὶ ἔδοξαν δὲ αὐτοὶ
κρατεῖν τῶν ἄλλων τῶν ἀλλαχόθεν add. Ael. : fort. ἀπὸ τῆς Ἰνδικῆς delenda
sunt | ⟨ὁ⟩ hic et 28 infra ex 1.20a addidi

της, Ὑπέρβολος ⟨ὁ⟩ Κυζικηνός. παρῆλθον δὲ καὶ αὐληταί, οἳ πρῶτον τὸ Πυθικὸν ηὔλησαν, εἶθ' ἑξῆς μετὰ τῶν χορῶν, Τιμόθεος, Φρύνιχος, Καφισίας, Διόφαντος, ἔτι δὲ Εὔιος ὁ Χαλκιδεύς. καὶ ἔκτοτε οἱ πρότερον καλούμενοι Διονυσοκόλακες Ἀλεξανδροκόλακες ἐκλήθησαν διὰ τὰς τῶν δώρων ὑπερβολάς· ἐφ' οἷς καὶ ἥσθη ὁ 5 Ἀλέξανδρος. ὑπεκρίθησαν δὲ τραγῳδοὶ μὲν Θεσσαλὸς καὶ Ἀθηνό-539a δωρος ‖ καὶ Ἀριστόκριτος, κωμῳδοὶ δὲ Λύκων καὶ Φορμίων καὶ Ἀρίστων. παρῆν δὲ καὶ Φασίμηλος ὁ ψάλτης. οἱ δὲ πεμφθέντες, φησί, στέφανοι τηνικαῦτα ὑπὸ τῶν πρεσβευτῶν καὶ τῶν λοιπῶν ταλάντων ἦσαν μυρίων πεντακισχιλίων. [55] Πολύκλειτος δ' ὁ 10 Λαρισαῖος ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν (*FGrH* 128 F 1) καὶ ἐπὶ 539b χρυσῆς κλίνης κοιμᾶσθαί φησι τὸν Ἀλέξανδρον | καὶ αὐλητρίδας αὐτῷ καὶ αὐλητὰς ἀεὶ ἕπεσθαι ἐπὶ τὸ στρατόπεδον· καὶ πίνειν ἄχρι τῆς ἕω. Κλέαρχος δ' ἐν τοῖς Περὶ Βίων (fr. 50 Wehrli) περὶ Δαρείου λέγων τοῦ καθαιρεθέντος ὑπὸ τοῦ Ἀλεξάνδρου φησίν· ὁ 15 Περσῶν βασιλεὺς ἀθλοθετῶν τοῖς τὰς ἡδονὰς αὐτῷ γνωρίζουσιν ὑπὸ πάντων τῶν ἡδέων ἡττωμένην ἀπέδειξε τὴν βασιλείαν, καὶ καταγωνιζόμενος ἑαυτὸν οὐκ ᾔσθετο πρότερον ἢ τὸ σκῆπτρον 539c ἕτεροι λαβόντες ἀνεκηρύχθησαν. | Φύλαρχος δ' ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν (*FGrH* 81 F 41) καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος 20 ἐν τῷ δεκάτῳ Περὶ Ἀσίας (*FGrH* 86 F 3) καὶ τοὺς ἑταίρους φασὶ τοὺς Ἀλεξάνδρου ὑπερβαλλούσῃ τρυφῇ χρήσασθαι· ὧν εἷς ὢν καὶ Ἅγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι καὶ τοῖς ὑποδήμασιν ἐφόρει. Κλεῖτος δ' ὁ Λευκὸς καλούμενος ὅτε χρηματίζειν μέλλοι, ἐπὶ πορφυρῶν ἱματίων διαπεριπατῶν τοῖς ἐντυγχάνουσι 25 διελέγετο. Περδίκκᾳ δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τοῖς μεγέθεσιν, ὑφ' αἷς περιλαμβάνοντες τόπον ἐν ταῖς καταστρατοπεδείαις ἐγυμνάζοντο. ἠκολούθει δὲ

539c Eust. p. 869.59–60 = III.278.23–6 | **539c–f** cf. Ael. *VH* 9.3

3 Καφισίας Dindorf, ducente Schweighäuser (Καφησίας), cf. 14.629b : Σκαφισίας A ‖ **4** Διονυσοκόλακες A, cf. 6.254b : Διονυσιοκόλακες C E, cf. 6.249e–f, 10.435e ‖ **8** Φασίμηλος A : Φρασίμηλος vel Φρασίδημος Kaibel **9** τηνικαῦτα C E : om. A ‖ **13** ἀεὶ C E B M P Mus : αἰεὶ A ‖ **16** γνωρίζουσιν A C E : πορίζουσιν Kaibel, cf. 12.514e, 529d ‖ **21** φασὶ Jacoby : φησὶ A, cf. 10.442b, 11.501e ‖ **23** καὶ τοῖς ὑποδήμασιν A C E Eust. : om. Ael., ut glossam del. Kaibel ‖ **28** τόπον ⟨εὐμεγέθη⟩ Jacoby ex Ael. | καταστρατοπεδείαις C E : καταστρατοπεδιαῖς A

αὐτοῖς καὶ ὑποζύγια πολλὰ κόνιν κομίζοντα πρὸς τὴν | ἐν τῇ παλαίστρᾳ χρείαν. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοκυνήγοις οὖσιν αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν, αἷς περιιστάντες τὰς θήρας ἐκυνήγουν. τὰς δὲ χρυσᾶς πλατάνους καὶ τὴν χρυσῆν ἄμπελον ὑφ' 539d
5 ἣν οἱ Περσῶν βασιλεῖς ἐχρημάτιζον πολλάκις καθήμενοι, σμαραγδίνους βότρυς ἔχουσαν καὶ τῶν Ἰνδικῶν ἀνθράκων ἄλλων τε παντοδαπῶν λίθων ὑπερβαλλόντων ταῖς πολυτελείαις, ἐλάττω φησὶν ὁ Φύλαρχος φαίνεσθαι τῆς καθ' ἡμέραν ἑκάστοτε γινομένης παρ' Ἀλεξάνδρῳ δαπάνης· ἦν γὰρ αὐτοῦ ἡ σκηνὴ κλινῶν ἑκατόν,
10 χρυσοῖ δὲ κίονες πεντήκοντα κατεῖχον αὐτήν, οἱ δὲ ὑπερτείνοντες οὐρανίσκοι | διάχρυσοι ποικίλμασιν ἐκπεπονημένοι πολυτελέσιν ἐσκέπαζον τὸν ἄνω τόπον. καὶ πρῶτοι μὲν Πέρσαι πεντακόσιοι μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεσαν πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι· μετὰ δὲ τούτους τοξόται τὸν ἀριθμὸν χίλιοι, 539e
15 οἱ μὲν φλόγινα ἐνδεδυκότες, οἱ δὲ ὑσγινοβαφῆ, πολλοὶ δὲ καὶ κυάνεα εἶχον περιβόλαια. προειστήκεσαν δὲ τούτων ἀργυράσπιδες Μακεδόνες πεντακόσιοι. κατὰ δὲ μέσην τὴν σκηνὴν χρυσοῦς ἐτίθετο δίφρος, ἐφ' οὗ καθήμενος ἐχρημάτιζεν Ἀλέξανδρος τῶν σωματοφυλάκων πανταχόθεν ἐφεστηκότων. ἔξωθεν δὲ κύκλῳ τῆς
20 σκηνῆς τὸ | τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφειστήκει καὶ Μακεδόνες χίλιοι Μακεδονικὰς στολὰς ἔχοντες, εἶτα μύριοι Πέρσαι· τό τε τὴν πορφύραν ἔχον πλῆθος εἰς πεντακοσίους ἦν, οἷς 539f

539d–e Eust. p. 1004.60 = III.698.25–6 | **539f–40a** Eust. p. 1213.60–3 = IV.425.8–12

1 τὰ τὴν κόνιν A : τὰ τὴν om. C E et Ael. ‖ **1–2** τῇ παλαίστρᾳ A : παλαί^στρ E : παλαίστραις C, cf. Ael. ἐς τὰ γυμνάσια λυσιτελής ‖ **6** ἔχουσαν Schweighäuser, cf. 12.514f : ἐχούσας A C E ‖ **7** ἐλάττω A : ἐλάττους ... κατὰ πολὺ C E ‖ **9** αὐτοῦ A : αὐτῷ C E ‖ **11** ἐκπεπονημένοι Polyaen., cf. Ael. ἐκπεπόνητο : ἐκπεμπόμενοι A ‖ **13** εἱστήκεσαν A C E et Ael. : ἵσταντο Polyaen. ‖ **15** ὑσγινοβαφῆ E B M P et Polyaen. : ὑσγηνοβαφῆ C : ὑσσινοβαφῆ A ‖ **16** προειστήκεσαν A : προειστήκεισαν C E : προΐσταντο Polyaen. | οἱ ante ἀργυράσπιδες praeb. Ael. ‖ **18** καθήμενος A C E et Ael. : προκαθήμενος Polyaen. | ὁ Ἀλέξανδρος A : om. Polyaen. : ὁ om. C E et Ael. ‖ **20** ἐφειστήκει C E Mus : ἐφεστήκει A et Polyaen. ‖ **21–2** εἶτα μύριοι Πέρσαι A C E : ἐπὶ τούτοις πεντακόσιοι Σούσιοι πορφυροσχήμονες, καὶ μετὰ τούτους ἐν κύκλῳ πάντων Πέρσαι μύριοι οἱ κάλλιστοι καὶ μέγιστοι, κεκαλλωπισμένοι παντὶ κόσμῳ Περσικῷ, πάντες ἀκινάκας ἔχοντες Polyaen. ‖ **22** τε A : καὶ ἔδει 5.210e : δὲ Kaibel

Ἀλέξανδρος ἔδωκε φορεῖν τὴν στολὴν ταύτην. τοσούτων δὲ ὄντων καὶ τῶν φίλων καὶ τῶν θεραπευόντων οὐδεὶς ἐτόλμα προσπορεύεσθαι Ἀλεξάνδρῳ· τοιοῦτον ἐγεγόνει τὸ περὶ αὐτὸν ἀξίωμα. ἔγραψε δὲ καί ποτε Ἀλέξανδρος καὶ ταῖς ἐν Ἰωνίᾳ πόλεσι καὶ πρώτοις
540a Χίοις, ‖ ὅπως αὐτῷ πορφύραν ἀποστείλωσιν· ἤθελε γὰρ τοὺς 5
ἑταίρους ἅπαντας ἁλουργὰς ἐνδῦσαι στολάς. ἀναγνωσθείσης δὲ τῆς ἐπιστολῆς Χίοις παρὼν Θεόκριτος ὁ σοφιστὴς νῦν ἐγνωκέναι ἔφη τὸ παρ᾽ Ὁμήρῳ (*Il.* 5.83) εἰρημένον·

ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

[**56**] Ἀντίοχον δὲ τὸν Γρυπὸν ἐπικαλούμενον βασιλέα φησὶ Ποσει- 10
δώνιος ἐν τῇ ὀγδόῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν (*FGrH* 87 F 21a = fr. 72a Edelstein–Kidd = fr. 180a Theiler) τὰς ἐπὶ Δάφνῃ πανηγύρεις
540b ἐπιτελοῦντα ὑποδοχὰς λαμπρὰς ἐπιτελεῖν, | ἐν αἷς τὸ μὲν πρῶτον ἀναδόσεις ἐγίνοντο ὁλομελῶν βρωμάτων, εἶτ᾽ ἤδη καὶ ζώντων χηνῶν καὶ λαγωῶν καὶ δορκάδων. ἀνεδίδοντο δέ, φησί, καὶ χρυσοῖ 15
στέφανοι τοῖς δειπνοῦσι καὶ ἀργυρωμάτων πλῆθος καὶ θεραπόντων καὶ ἵππων καὶ καμήλων· ἔδει τε ἀναβάντα ἐπὶ τὴν κάμηλον ἕκαστον πιεῖν καὶ λαβεῖν τήν τε κάμηλον καὶ τὰ ἐπὶ τὴν κάμηλον καὶ τὸν παρεστῶτα παῖδα. ἐν δὲ τῇ τεσσαρεσκαιδεκάτῃ (*FGrH* 87 F 9a = fr. 61a Edelstein–Kidd = fr. 151a Theiler) περὶ τοῦ ὁμωνύμου 20
αὐτοῦ Ἀντιόχου λέγων τοῦ ἐπ᾽ Ἀρσάκην εἰς Μηδίαν στρατεύσαν-
540c τός | φησιν ὅτι ὑποδοχὰς ἐποιεῖτο καθ᾽ ἡμέραν ὀχλικάς, ἐν αἷς χωρὶς τῶν ἀναλισκομένων καὶ ἐκφατνιζομένων σωρευμάτων ἕκαστος ἀπέφερε τῶν ἑστιατόρων ὁλομελῆ κρέα χερσαίων τε καὶ πτηνῶν καὶ θαλαττίων ζῴων ἀδιαίρετα ἐσκευασμένα, ἅμαξαν 25
πληρῶσαι δυνάμενα· καὶ μετὰ ταῦτα μελιπήκτων καὶ στεφάνων ἐκ σμύρνης καὶ λιβανωτοῦ ⟨σὺν⟩ ἀνδρομήκεσι λημνίσκων χρυσῶν πιλήμασι πλήθη. [**57**] Κλύτος δ᾽ ὁ Ἀριστοτελικὸς ἐν τοῖς Περὶ

540c Eust. p. 1236.5 = IV.499.2 | **540c** Eust. p. 1784.44–5 = ii.103.9

4 ποτε Kaibel : τότε A | καὶ ταῖς A : καί om. C E M P Mus ‖ **7** σοφιστὴς Valesius : σοφὸς A C E Eust. ‖ **14** ἐγίνοντο scripsi : ἐγίγνοντο A **15** λαγωῶν C E P Mus : λαγῳῶν A ‖ **17** ἔδει τε A C E : καὶ ἔδει 5.210e **18** ἕκαστον πιεῖν A C E : πιεῖν ἕκαστον 5.210e | τήν τε Meineke : τε τὴν A C E : τε om. 5.210e, del. Kaibel ‖ **27** ⟨σὺν⟩ add. Schweighäuser ex 5.210d **27–8** χρυσῶν πιλήμασι A : πιλήμασιν χρυσοῖς 5.210d

Μιλήτου (*FGrH* 490 F 2) Πολυκράτην φησὶ τὸν Σαμίων τύραννον ὑπὸ | τρυφῆς τὰ πανταχόθεν συνάγειν, κύνας μὲν ἐξ Ἠπείρου, 540d αἶγας δὲ ἐκ Σκύρου, ἐκ δὲ Μιλήτου πρόβατα, ὗς δ' ἐκ Σικελίας. Ἄλεξις δ' ἐν τρίτῳ Σαμίων Ὥρων (*FGrH* 539 F 2) ἐκ πολλῶν
5 πόλεών φησι κοσμηθῆναι τὴν Σάμον ὑπὸ τοῦ Πολυκράτους, κύνας μὲν Μολοττικὰς καὶ Λακαίνας εἰσαγαγόντος, αἶγας δ' ἐκ Σκύρου καὶ Νάξου, πρόβατα δ' ἐκ Μιλήτου καὶ τῆς Ἀττικῆς. μετεστέλλετο δέ, φησί, καὶ τεχνίτας ἐπὶ μισθοῖς μεγίστοις. πρὸ δὲ τοῦ τυραννῆσαι κατασκευασάμενος στρωμνὰς πολυτελεῖς | καὶ ποτή- 540e
10 ρια ἐπέτρεπε χρῆσθαι τοῖς ἢ γάμον ἢ μείζονας ὑποδοχὰς ποιουμένοις. ἐκ πάντων οὖν τούτων ἄξιον θαυμάζειν τὸν τύραννον, ὅτι οὐδαμόθεν ἀναγέγραπται γυναῖκας ἢ παῖδας μεταπεμψάμενος, καίτοι περὶ τὰς τῶν ἀρρένων ὁμιλίας ἐπτοημένος, ὥστε καὶ ἀντερᾶν Ἀνακρέοντι τῷ ποιητῇ ὅτε καὶ δι' ὀργὴν ἀπέκειρε τὸν
15 ἐρώμενον. πρῶτος δ' ὁ Πολυκράτης καὶ ναῦς τινας πήξας ἀπὸ τῆς πατρίδος Σαμίας ἐκάλεσε. Κλέαρχος (fr. 44 Wehrli) δέ φησιν ὡς Πολυκράτης ὁ τῆς ἁβρᾶς Σάμου τύραννος διὰ | τὴν περὶ τὸν βίον 540f ἀκολασίαν ἀπώλετο ζηλώσας τὰ Λυδῶν μαλακά· ὅθεν τῷ ἐν Σάρδεσιν Ἀγκῶνι Γλυκεῖ προσαγορευομένῳ τὴν παρὰ τοῖς Σαμί-
20 οις λαύραν ἀντικατεσκεύασεν ἐν τῇ πόλει, καὶ τοῖς Λυδῶν ἄνθεσιν ἀντέπλασε τὰ διαγγελθέντα Σαμίων ἄνθεα. τούτων δὲ ἡ μὲν Σαμίων λαύρα στενωπή τις ἦν γυναικῶν δημιουργῶν καὶ τῶν πρὸς ἀπόλαυσιν καὶ ἀκρασίαν πάντων ὄντως ἐνέπλησε τὴν Ἑλλάδα· ‖ τὰ δὲ Σαμίων ἄνθη γυναικῶν καὶ ἀνδρῶν † κάλλη 541a
25 διάφορα, ἔτι δὲ τῆς συμπάσης πόλεως ἐν ἑορταῖς τε καὶ μέθαις †

540f Eust.(1) p. 1082.36–8 = III.918.2–6 | **540f** Eust.(2) p. 1922.1–2 = ii.275.34–5

1 Σαμίων C E : Σάμιον A ‖ **2** τὰ πανταχόθεν A : τὰ πάντα C E : πάντα πανταχόθεν Kaibel ‖ **4** Ὥρων Musurus : Ὅρων A ‖ **8** μεγίστοις A : μεγάλοις C E ‖ **13** ὥστε scripsi : ὡς A C E ‖ **15** τινας C E : om. A ‖ **16** Σαμίας A C E : Σαμαίνας Meineke, cf. Hsch. σ 132, 147 ‖ **18–19** ἐν Σάρδεσιν Kaibel (τ' ἐν scripsit) : μὲν Σαρδέων A : Σαρδέων C E : τῶν Σάρδεων Eust.(1) ‖ **20** τοῖς Kaibel : τῶν A ‖ **20–1** ἄνθεσιν ἀντέπλασε scripsi : ἄνθεσι πάντ' ἔπλησε A : ἄνθεσιν ἀντέπλεξε Meineke ‖ **22** στενωπή Toup : στενή A Eust.(1) : στενήν (structura mutata) C E Eust.(2) | ⟨ἣ⟩ καὶ Kaibel ‖ **23** πάντων βρωμάτων A : βρωμάτων ut glossam delevi ‖ **24–5** τὰ δὲ Σαμίων ἄνθη … μέθαις] γυναικῶν καὶ ἀνδρῶν ⟨εὐωχηρήρια ἦν⟩ κάλλει διάφορα scripsit et lac. post μέθαις indic. Kaibel

καὶ ταῦτα μὲν ὁ Κλέαρχος· οἶδα δὲ κἀγὼ παρὰ τοῖς ἐμοῖς Ἀλεξανδρεῦσι λαύραν τινὰ καλουμένην μέχρι καὶ νῦν Εὐδαιμόνων, ἐν ᾗ πάντα τὰ πρὸς τρυφὴν ἐπωλεῖτο. [58] Ἀλκισθένην δὲ τὸν Συβαρίτην φησὶν Ἀριστοτέλης ἐν τοῖς Θαυμασίοις (838ᵃ15–21) ὑπὸ τρυφῆς ἱμάτιον τοιοῦτο κατασκευάσαι τῇ πολυτελείᾳ ὡς προτίθε- 5 σθαι αὐτὸ ἐπὶ Λακινίου ἐν τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπο-
541b ρεύονται | πάντες Ἰταλιῶται, καὶ τῶν δεικνυμένων πάντων ἐκεῖνο θαυμάζεσθαι· οὗ φασι κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἱστορεῖ δὲ καὶ Πολέμων περὶ αὐτοῦ ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν ἐν 10 Καρχηδόνι Πέπλων (fr. 85 Preller). περὶ δὲ Σμινδυρίδου τοῦ Συβαρίτου καὶ τῆς τούτου τρυφῆς ἱστόρησεν Ἡρόδοτος ἐν τῇ ἕκτῃ (6.127.1) ὡς ἀποπλέων ἐπὶ τὴν μνηστείαν τῆς Κλεισθένους τοῦ Σικυωνίων τυράννου θυγατρὸς Ἀγαρίστης, φησίν, ἀπὸ μὲν
541c Ἰταλίης Σμινδυρίδης ὁ Ἱπποκράτεος Συβαρίτης, | ὃς ἐπὶ πλεῖστον 15 δὴ χλιδῆς εἷς ἀνὴρ ἀφίκετο· εἵποντο γοῦν αὐτῷ χίλιοι μάγειροι καὶ ὀρνιθευταί. ἱστορεῖ περὶ αὐτοῦ καὶ Τίμαιος ἐν τῇ ἑβδόμῃ (*FGrH* 566 F 9). περὶ δὲ τῆς Διονυσίου τοῦ νεωτέρου ⟨τοῦ⟩ Σικελίας τυράννου τρυφῆς Σάτυρος ὁ Περιπατητικὸς ἱστορῶν ἐν τοῖς Βίοις (fr. 2, *FHG* iii.160 = fr. 21 Schorn) πληροῦσθαί φησι παρ' αὐτῷ 20 τριακοντακλίνους οἴκους ὑπὸ τῶν εὐωχουμένων. καὶ Κλέαρχος δὲ ἐν τῷ τετάρτῳ τῶν Βίων (fr. 47 Wehrli) γράφει οὕτω· Διονύσιος δ'

541c Eust. p. 1213.47 = IV.424.4–5 | **541c–e** cf. Ael. *VH* 9.8

3 Ἀλκισθένην A : Ἀλκισθένης (structura mutata) C E : Ἀλκισθένη Musurus : Ἀλκιμένει (structura alia) Arist. *Mir.* 838ᵃ¹⁵ ‖ **4** τοῖς περὶ τρυφῆς Θαυμασίοις (v.ll.) A : ἐν τῷ Περὶ Τρυφῆς C E : περὶ τρυφῆς del. Casaubon **5** κατασκευάσαι A : κατεσκεύασ⁽ᵉᵛ⁾ (structura mutata) C ; κατεσκεύαζεν (structura mutata) E : κατασκευασθῆναι (structura alia) [Arist.] *Mir.* 838ᵃ¹⁵ : κατασκευάσασθαι Schweighäuser ‖ **6** ἐπὶ Λακινίου ἐν τῇ πανηγύρει A : ἐν πανηγύρεσι C E : ἐπὶ Λακινίῳ τῇ πανηγύρει Arist. *Mir.* 838ᵃ¹⁶–17 **7** μάλιστα post δεικνυμένων praeb. [Arist.] *Mir.* 838ᵃ¹⁸ ‖ **13** ἀποπλέων A : fort. vel ἀπόπλει vel e.g. ἀπὸ πολλῶν ‖ **15** ⟨ἦλθε⟩ post Ἰταλίης add. Kaibel ex Hdt. ἀπὸ μὲν δὴ Ἰταλίης ἦλθε Σμινδυρίδης | Ἱπποκράτεος M P Mus et Hdt. : Ἱπποκράτειος A ‖ **16–17** εἵποντο γοῦν αὐτῷ χίλιοι μάγειροι καὶ ὀρνιθευταί A : χίλιοι μάγειροι καὶ ὀρνιθευταὶ εἵποντο C E : καὶ ἐπάγεσθαι χιλίους μὲν μαγείρους, τοσούτους δὲ ὀρνιθευτάς, καὶ ἁλιεῖς χιλίους Ael. : om. Hdt. ‖ **17** τῇ ἑβδόμῃ M : τῇ ζ, i.e. ἑβδόμῃ P : ἑβδόμῃ Mus : τῇ τῆς ἑβδόμης A ‖ **18** ⟨τοῦ⟩ add. Kaibel ‖ **21** post οἴκους lac. stat. Kaibel, e.g. ⟨Π⟩

ὁ Διονυσίου ἁπάσης γενόμενος Σικελίας ἀλάστωρ εἰς τὴν Λοκρῶν πόλιν παρελθὼν οὖσαν αὐτῷ | μητρόπολιν (Δωρὶς γὰρ ἡ μήτηρ αὐτοῦ τὸ γένος ἦν Λοκρίς) στρώσας οἶκον τῶν ἐν τῇ πόλει τὸν μέγιστον ἑρπύλλοις καὶ ῥόδοις μετεπέμπετο μὲν ἐν μέρει τὰς Λοκρῶν παρθένους, καὶ γυμνὸς μετὰ γυμνῶν οὐδὲν αἰσχύνης παρέλιπεν ἐπὶ τοῦ στρώματος κυλινδούμενος. τοιγαροῦν μετ᾽ οὐ πολὺν χρόνον οἱ ὑβρισθέντες γυναῖκα καὶ τέκνα ἐκείνου λαβόντες ὑποχείρια ἐπὶ τῆς ὁδοῦ στήσαντες μεθ᾽ ὕβρεως ἐνηκολάσταινον αὐτοῖς· καὶ ἐπεὶ τῆς ὕβρεως πλήρεις ἐγένοντο, κεντήσαντες ὑπὸ τοὺς τῶν χειρῶν ὄνυχας βελόναις ἀνεῖλον αὐτούς. καὶ τελευτησάντων | τὰ μὲν ὀστᾶ κατέκοψαν ἐν ὅλμοις, τὰ δὲ λοιπὰ κρεανομησάμενοι ἐπηράσαντο πάντες τοῖς μὴ γευσαμένοις αὐτῶν· ὅθεν πρὸς τὴν ἀνόσιον ἀρὰν κατήλεσαν αὐτῶν τὰς σάρκας, τὰ δὲ λείψανα κατεπόντωσαν. αὐτὸς δὲ Διονύσιος τέλος μητραγυρτῶν καὶ τυμπανοφορούμενος οἰκτρῶς τὸν βίον κατέστρεψεν. εὐλαβητέον οὖν τὴν καλουμένην τρυφὴν οὖσαν τῶν βίων ἀνατροπὴν ἁπάντων τε † ὀλέθριον ἡγεῖσθαι τὴν ὕβριν. [59] Διόδωρος δ᾽ ὁ Σικελιώτης ἐν τοῖς Περὶ Βιβλιοθήκης (11.25.4) | Ἀκραγαντίνους φησὶ κατασκευάσαι Γέλωνι κολυμβήθραν πολυτελῆ τὴν περίμετρον ἔχουσαν σταδίων ἑπτά, βάθος δὲ πηχῶν εἴκοσι, εἰς ἣν ἐπαγομένων ποταμίων καὶ κρηναίων ὑδάτων ἰχθυοτροφεῖον εἶναι καὶ πολλοὺς παρέχεσθαι ἰχθῦς εἰς τὴν τρυφὴν καὶ ἀπόλαυσιν τῷ Γέλωνι· καθίπτασθαι δὲ καὶ κύκνων πλῆθος εἰς αὐτήν, ὡς

541d 541e 541f

541d–e Eust.(1) p. 1345.33–6 = IV.888.1–6 | **541e** Eust.(2) p. 1368.59 = IV.965.20 | **541e** Eust.(3) p. 1824.11–12 = ii.150.39–40

7 γυναῖκα καὶ τέκνα ἐκείνου A C E : τὴν γυναῖκα τοῦ Διονυσίου καὶ τὰς θυγατέρας Ael. | ἐκείνου A C E : τἀκείνου Kaibel ‖ **9** κεντήσαντες scripsi : κεντοῦντες A C E Eust.(1) et Ael. | αὐτὰς post κεντοῦντες praeb. Ael. **11–12** κρεανομησάμενοι Meineke : κρέα νεμησάμενοι vel κρεανεμησάμενοι A E Eust.(1–2) : κρεαμεμησάμενοι C : τὰ κρέα τῶν ὀστῶν ἀφελόντες Ael. **12** πάντες A : om. C E Eust.(1) et Ael. : πᾶσι Meineke ‖ **13** κατήλεσαν C E : καταλέσαντες (structura mutata) Eust.(1) : κατηλέησαν A | ἵν᾽ ἡ τροφὴ σιτοποιουμένων κατεδεσθῇ post σάρκας praeb. A C E : ut glossam delevi : ὅθεν … κατεδεσθῇ del. Kaibel ‖ **15** τυμπανοφορούμενος A C E : τυμπανιζόμενος ἢ τύμπανον κρούων Eust.(3) : κρούων τύμπανα Ael. : τυμπανοφορῶν Schweighäuser ‖ **19** τὴν περίμετρον D.S. : τὸ περίμετρον A : περίμετρον C E ‖ **21** ποταμίων C E et D.S. : ποταμῶν A ‖ **22** τρυφὴν A C E : τροφὴν B et D.S.

γίνεσθαι ἐπιτερπεστάτην τὴν θέαν. ὕστερον δὲ αὕτη διεφθάρη καταχωσθεῖσα. Δοῦρις δὲ ἐν τῇ δεκάτῃ τῶν Περὶ Ἀγαθοκλέα
542a (*FGrH* 76 F 19) ‖ καὶ πλησίον Ἱππωνίου πόλεως ἄλσος τι δείκνυσθαι κάλλει διάφορον καὶ κατάρρυτον ὕδασιν, ἐν ᾧ καὶ τόπον τινὰ εἶναι καλούμενον Ἀμαλθείας Κέρας, ὃ τὸν Γέλωνα κατασκευάσαι. 5 Σιληνὸς δ᾽ ὁ Καλλαντιανὸς ἐν τρίτῳ Σικελικῶν (*FGrH* 175 F 4) περὶ Συρακούσας φησὶ κῆπον εἶναι πολυτελῶς κατεσκευασμένον ὃν καλεῖσθαι Μῦθον, ἐν ᾧ χρηματίζειν Ἱέρωνα τὸν βασιλέα. ἡ δὲ Πανορμῖτις τῆς Σικελίας κῆπος προσαγορεύεται διὰ τὸ εἶναι πᾶσα πλήρης δένδρων ἡμέρων, ὥς φησι Καλλίας ἐν ὀγδόῃ τῶν | 10
542b Περὶ Ἀγαθοκλέα Ἱστοριῶν (*FGrH* 564 F 2). Ποσειδώνιος δ᾽ ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν (*FGrH* 87 F 7 = fr. 59 Edelstein–Kidd = fr. 136a Theiler) περὶ Δαμοφίλου λέγων τοῦ Σικελιώτου, δι᾽ ὃν ὁ δουλικὸς ἐκινήθη πόλεμος, ὅτι τρυφῆς ἦν οἰκεῖος, γράφει καὶ ταῦτα· τρυφῆς οὖν δοῦλος ἦν καὶ κακουργίας διὰ μὲν τῆς χώρας 15 τετρακύκλους ἀπήνας περιαγόμενος καὶ ἱππέας καὶ θεράποντας ὡραίους καὶ παραδρομὴν ἀνάγωγον κολάκων τε καὶ παίδων στρατιωτικῶν. ὕστερον δὲ πανοικίᾳ ἐφυβρίστως κατέστρεψε τὸν βίον ὑπὸ τῶν οἰκετῶν περιυβρισθείς. [**60**] Δημήτριος δ᾽ ὁ Φαληρεύς (fr. 34 Wehrli = fr. 43A Fortenbaugh–Schütrumpf), ὥς φησι 20
542c Δοῦρις | ἐν τῇ ἑκκαιδεκάτῃ τῶν Ἱστοριῶν (*FGrH* 76 F 10), χιλίων καὶ διακοσίων ταλάντων κατ᾽ ἐνιαυτὸν κύριος γενόμενος καὶ ἀπὸ τούτων βραχέα δαπανῶν εἰς τοὺς στρατιώτας καὶ τὴν τῆς πόλεως διοίκησιν τὰ λοιπὰ πάντα διὰ τὴν ἔμφυτον ἀκρασίαν ἠφάνιζε θοίνας καθ᾽ ἑκάστην ἡμέραν λαμπρὰς ἐπιτελῶν καὶ πλῆθός τι 25 συνδείπνων ἔχων. καὶ ταῖς μὲν δαπάναις ταῖς εἰς τὰ δεῖπνα τοὺς

542a Eust.(1) p. 1293.59 = IV.704.26–705.1 | **542a** Eust.(2) p. 1516.18–20 = i.190.41–3 | **542b–c** Eust. p. 1887.42–4 = ii.231.45–232.1 | **542b–d** cf. Ael. *VH* 9.9 | **542b** Eust. p. 1236.14–15 = IV.499.16–17

2 δεκάτῃ A : δ´, i.e. τετάρτῃ Hullemann ‖ **6** Καλλαντιανὸς B, cf. *Suda* κ 1165 : Καλλατιανὸς A ‖ **7** Συρακούσας M P Mus : Συρακούσης B : Συρακούσσας A : Συρακούσαις (structura mutata) C : Συρακού^{σ} (structura mutata) E ‖ **9** τῆς Σικελίας πᾶσα A C E : πᾶσα delevi : τῆς Σικελίας del. Jacoby ("o[der] πάσης?") ‖ **10** πᾶσα A C E : om. Eust.(2) ‖ **16** ἱππέας scripsi, ducente Schweighäuser (*equites*) : ἵππους A C E ‖ **19–20** Δημήτριος δ᾽ (δὲ C E : om. Eust.) ὁ Φαληρεύς A C E Eust. : Δημήτριος ὁ Πολιορκητὴς Ael. **25** "aut τι delendum aut adiectivum velut ὑπερβάλλον addendum" Kaibel

Μακεδόνας ὑπερέβαλε, τῇ δὲ καθαρειότητι Κυπρίους καὶ Φοίνικας· ῥάσματά τε μύρων ἔπιπτεν ἐπὶ τὴν γῆν, ἀνθινά τε πολλὰ τῶν ἐδαφῶν | ἐν τοῖς ἀνδρῶσι κατεσκευάζετο διαπεποικιλμένα ὑπὸ δημιουργῶν. ἦσαν δὲ καὶ πρὸς γυναῖκας ὁμιλίαι σιωπώμεναι καὶ νεανίσκων ἔρωτες νυκτερινοί, καὶ ὁ τοῖς ἄλλοις τιθέμενος θεσμοὺς Δημήτριος καὶ τοὺς βίους τάττων ἀνομοθέτητον ἑαυτῷ τὸν βίον κατεσκεύαζεν. ἐπεμελεῖτο δὲ καὶ τῆς ὄψεως τήν τε τρίχα τὴν ἐπὶ τῆς κεφαλῆς ξανθιζόμενος καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων ἑαυτόν· ἠβούλετο γὰρ τὴν ὄψιν ἱλαρὸς καὶ τοῖς ἀπαντῶσιν ἡδὺς | φαίνεσθαι. ἐν δὲ τῇ πομπῇ τῶν Διονυσίων, ἣν ἔπεμψεν ἄρχων γενόμενος, ᾖδεν χορὸς εἰς αὐτὸν ποιήματα Σείρωνος τοῦ Σολέως ἐν οἷς ἡλιόμορφος προσηγορεύετο (*PMG* 845)·

> ἐξόχως δ' εὐγενέτας ἡλιόμορφος ζαθεοῖς
> ἄρχων σε τιμαῖς γεραίρει.

Καρύστιος δὲ ὁ Περγαμηνὸς ἐν τρίτῳ Ὑπομνημάτων (fr. 10, *FHG* iv.358), Δημήτριος, φησίν, ὁ Φαληρεὺς Ἱμεραίου τοῦ ἀδελφοῦ ἀναιρεθέντος ὑπ' Ἀντιπάτρου αὐτὸς μετὰ Νικάνορος διέτριβεν αἰτίαν ἔχων ὡς τὰ ἐπιφάνεια τοῦ ἀδελφοῦ θύων. Κασσάνδρῳ δὲ γενόμενος φίλος μέγα ἴσχυσε. καὶ κατ' | ἀρχὰς μὲν ἦν αὐτοῦ τὸ ἄριστον ὀξύβαφα παντοδαπὰς ἐλάας ἔχοντα καὶ τυρὸν νησιωτικόν· ὡς δ' ἐπλούτησε, Μοσχίωνα τὸν ἄριστον τῶν τότε μαγείρων καὶ δειπνοποιῶν ἐωνήσατο, καὶ τοσαῦτα ἦν τὰ παρασκευαζόμενα καθ'

542e Eust. pp. 1557.64–1558.1 = i.247.8–10 | **542f** Eust. p. 1402.11–12 = i.36.13–14

1 ὑπερέβαλε B M P Mus : ὑπερέβαλλε A : ὑπερβαλών (structura mutata) C E καθαρειότητι C E : καθαριότητι A ‖ **2** ἀνθινά M P Mus : † ἄνθια † A ‖ **4** αὐτῷ post γυναῖκας praeb. C E ‖ **6** Δημήτριος A : om. C E, fort. ut glossa delendum ‖ **11** χορὸς A : ὁ χορὸς C E : ὁ δὲ πανηγυρικὸς χορός Eust. **12** ποιήματα … ἐν οἷς A : ποιήματα ἐν οἷς C E : ποίημα τὸ …, ἐν ᾧ Page Σείρωνος A : Σειρόμενος B : Σειρώμενος M P Mus* : Καστορίωνος Leopardi **14** δ' Dindorf : δὲ A : τε C E Eust. | ἡλιόμορφος Kuhn, cf. ἡλιόμορφος προσηγορεύετο supra : ἡλιόμορφον (structura mutata) Eust. : ἠπιόμορφος A : ἠπιόμοιρος C E B M P ‖ **15** σε τιμαῖς A : τιμαῖς σε Page ‖ **17** Ἱμεραίου A[rec.] M P Mus : Ἱμαιρέου A ‖ **19** τοῦ ἀδελφοῦ A : αὐτοῦ (i.e. Ἀντιπάτρου) Kaibel Κασσάνδρῳ A : Κασάνδρῳ M P Mus ‖ **21** νησιωτικόν B M P Mus : νησσιωτικόν A ‖ **23** ἐν δείπνοις intra τὰ et παρασκευαζόμενα praeb. C E

ἡμέραν ὥστε χαρισαμένου τῷ Μοσχίωνι τὰ λείψανα Μοσχίων ἐν ἔτεσι δύο τρεῖς συνοικίας ἐωνήσατο παῖδάς τε ἐλευθέρους ὕβριζε καὶ γυναῖκας τὰς τῶν ἐπιφανεστάτων. ἐζηλοτύπουν δὲ πάντες οἱ παῖδες τὸν ἐρώμενον αὐτοῦ Δίογνιν· καὶ τοσοῦτον ἦν τῷ Δημη-τρίῳ προσελθεῖν ὥστε μετ᾽ ἄριστον αὐτοῦ περιπατήσαντος παρὰ 5
543a τοὺς Τρίποδας ‖ συνῆλθον εἰς τὸν τόπον παῖδες οἱ κάλλιστοι ταῖς ἑξῆς ἡμέραις ἵν᾽ ὀφθεῖεν αὐτῷ. [**61**] Νικόλαος δ᾽ ὁ Περιπατητικὸς ἐν τῇ δεκάτῃ καὶ ἑκατοστῇ τῶν Ἱστοριῶν (*FGrH* 90 F 77a) Λεύκολ-λόν φησιν ἀφικόμενον εἰς Ῥώμην καὶ θριαμβεύσαντα λόγον τε ἀποδόντα τοῦ πρὸς Μιθριδάτην πολέμου ἐξοκεῖλαι εἰς πολυτελῆ 10
δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης τρυφῆς τε πρῶτον εἰς ἅπαν Ῥωμαίοις ἡγεμόνα γενέσθαι καρπωσάμενον δυεῖν βασιλέων ⟨τὸν⟩
543b πλοῦτον. διαβόητος δ᾽ ἦν παρὰ Ῥωμαίοις καὶ | Σίττιος ἐπὶ τρυφῇ καὶ μαλακίᾳ, ὥς φησι Ῥουτίλιος (fr. 6, *FHG* iii.200)· περὶ γὰρ Ἀπικίου προειρήκαμεν (1.7a–c). Παυσανίαν δὲ καὶ Λύσανδρον ἐπὶ 15
τρυφῇ διαβοήτους γενέσθαι σχεδὸν πάντες ἱστοροῦσι· διόπερ καὶ Ἆγις ἐπὶ Λυσάνδρου ἔφη ὅτι· "δεύτερον τοῦτον ἡ Σπάρτη φέρει Παυσανίαν." Θεόπομπος δὲ ἐν τῇ δεκάτῃ τῶν Ἑλληνικῶν (*FGrH* 115 F 20) τἀναντία φησὶ περὶ τοῦ Λυσάνδρου, ὅτι φιλόπονος ἦν καὶ θεραπεύειν δυνάμενος καὶ ἰδιώτας καὶ βασιλεῖς σώφρων ὢν καὶ 20
τῶν ἡδονῶν ἁπασῶν κρείττων· γενόμενος γοῦν τῆς Ἑλλάδος
543c σχεδὸν ἁπάσης κύριος | ἐν οὐδεμιᾷ φανήσεται τῶν πόλεων οὔτε πρὸς τὰς ἀφροδισίους ἡδονὰς ὁρμήσας οὔτε μέθαις καὶ πότοις ἀκαίροις χρησάμενος. [**62**] οὕτω δὲ παρὰ τοῖς ἀρχαίοις τὰ τῆς τρυφῆς καὶ τῆς πολυτελείας ἠσκεῖτο ὡς καὶ Παρράσιον τὸν 25
ζωγράφον πορφύραν ἀμπέχεσθαι χρυσοῦν στέφανον ἐπὶ τῆς κεφαλῆς ἔχοντα, ὡς ἱστορεῖ Κλέαρχος ἐν τοῖς Βίοις (fr. 42 Wehrli)· οὗτος γὰρ παρὰ μέλος ὑπὲρ τὴν γραφικὴν τρυφήσας λόγῳ τῆς

543c–d Eust. p. 1594.12–15 = i.294.18–22 | **543c–f** cf. Ael. *VH* 9.11

4 Δίογνιν A C* E : Θέογνιν M P Mus ‖ **6** παῖδες οἱ κάλλιστοι Kaibel : παῖδες κάλλιστοι A : οἱ παῖδες C E ‖ **8** ἑκατοστῇ Valesius : εἰκοστῇ A ‖ **11** ἅπαν A : ἅπαντα Kaibel ‖ **12–13** πλοῦτον Μιθριδάτου καὶ Τιγράνου A C E : Μιθριδάτου καὶ Τιγράνου ut glossam delevi et ⟨τὸν⟩ addidi ‖ **15** Παυσανίαν δὲ B M P Mus : Παυσανίαν τε A : καὶ Παυσανίας δὲ (structura mutata) C E **18** Θεόπομπος C E B M P Mus : Θεόπος A ‖ **19** τε post φιλόπονος praeb. C E ‖ **28** τρυφήσας A : τρυφῶν C E Eust.

ἀρετῆς ἀντελαμβάνετο καὶ ἐπέγραφε τοῖς ὑπ᾽ αὐτοῦ ἐπιτελουμένοις ἔργοις (*FGE* 279)· |

ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ᾽ ἔγραψε. 543d

καί τις ὑπεραλγήσας ἐπὶ τούτῳ παρέγραψε· "ῥαβδοδίαιτος ἀνήρ".
5 ἐπέγραψε δ᾽ ἐπὶ πολλῶν ἔργων αὑτοῦ καὶ τάδε (*FGE* 279–82)·

ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ᾽ ἔγραψε
Παρράσιος κλεινῆς πατρίδος ἐξ Ἐφέσου. 280
οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς ἀνέφυσε
γνήσιον Ἑλλήνων πρῶτα φέροντα τέχνης.

10 ηὔχησε δ᾽ ἀνεμεσήτως ἐν τούτοις (*FGE* 283–6)·

εἰ καὶ ἄπιστα | κλύουσι, λέγω τάδε· φημὶ γὰρ ἤδη 543e
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ
χειρὸς ὑφ᾽ ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν 285
οὖρος· ἀμώμητον δ᾽ οὐδὲν ἐγένετο βροτοῖς.

15 ἀγωνιζόμενος δέ ποτε πρὸς καταδεέστερον ἐν Σάμῳ τὸν Αἴαντα καὶ ἡττηθείς, συναχθομένων αὐτῷ τῶν φίλων ἔφη ὡς αὐτὸς μὲν ὀλίγον φροντίζοι, Αἴαντι δὲ συνάχθοιτο δεύτερον ἡττηθέντι. | ἐφόρει δὲ ὑπὸ τρυφῆς πορφυρίδα καὶ στρόφιον λευκὸν ἐπὶ τῆς 543f κεφαλῆς εἶχε σκίπωνί τε ἐπεστηρίζετο χρυσᾶς ἕλικας ἐμπεπαι-
20 σμένῳ χρυσοῖς τε ἀνασπαστοῖς ἐπέσφιγγε τῶν βλαυτῶν τοὺς ἀναγωγέας. ἀλλ᾽ οὐδὲ τὰ κατὰ τὴν τέχνην ἀηδῶς ἐποιεῖτο ἀλλὰ ῥᾳδίως, ὡς καὶ ᾄδειν γράφοντα, ὡς ἱστορεῖ Θεόφραστος ἐν τῷ Περὶ Εὐδαιμονίας (fr. 552B Fortenbaugh). τερατευόμενος δὲ ἔλεγεν, ὅτε τὸν ἐν Λίνδῳ Ἡρακλέα ἔγραφεν, ὡς ὄναρ αὐτῷ
25 ἐπιφαινόμενος ὁ θεὸς σχηματίζοι αὑτὸν πρὸς τὴν τῆς γραφῆς ἐπιτηδειότητα· ὅθεν καὶ ἐπέγραψε τῷ πίνακι (*FGE* 287–8)· ‖

οἷος δ᾽ ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν 544a

543e Eust. p. 1593.1–2 = i.292.37–8; Eust. p. 1698.60–3 = i.434.22–5
543f Eust. p. 995.26–8 = III.671.19–22; Eust. p. 1655.58–9 = i.378.15–16

5 αὑτοῦ scripsi : αὐτοῦ A C E ‖ **10–11** τούτοις· εἰ Schweighäuser : τούτοισι A ‖ **14** ἐγένετο A C E Eust. : ἐγίνετο M P : ἔγεντο Aristid. *or.* 28.88 et Musurus ‖ **18–19** ἐπὶ τῆς κεφαλῆς A : περὶ τὴν κεφαλὴν C E ‖ **19** ἐπεστηρίζετο C E Eust. : ἐστηρίζετο A ‖ **27** ἐννύχιον A C E : ἐννύχιος C[s] E[s]

Παρρασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾶν.

[63] καὶ φιλοσόφων δὲ αἱρέσεις ὅλαι τῆς περὶ τὴν τρυφὴν αἱρέσεως ἀντεποιήσαντο· καὶ ἥ γε Κυρηναϊκὴ καλουμένη ἀπ' Ἀριστίππου τοῦ Σωκρατικοῦ (frr. 157; 207 Mannebach = *SSR* IV A 174) τὴν ἀρχὴν λαβοῦσα, ὃς ἀποδεξάμενος τὴν ἡδυπάθειαν ταύτην τέλος 5 εἶναι ἔφη καὶ ἐν αὐτῇ τὴν εὐδαιμονίαν βεβλῆσθαι· καὶ μονόχρονον αὐτὴν εἶναι, παραπλησίως τοῖς ἀσώτοις οὔτε τὴν μνήμην τῶν | 544b γεγονυιῶν ἀπολαύσεων πρὸς αὐτὸν ἡγούμενος οὔτε τὴν ἐλπίδα τῶν ἐσομένων, ἀλλ' ἑνὶ μόνῳ τὸ ἀγαθὸν κρίνων τῷ παρόντι, τὸ δὲ ἀπολελαυκέναι καὶ ἀπολαύσειν οὐδὲν νομίζων πρὸς αὐτόν, τὸ μὲν 10 ὡς οὐκέτ' ὄν, τὸ δὲ οὔπω καὶ ἄδηλον· ὁποῖον καὶ οἱ τρυφῶντες πάσχουσι τὸ παρὸν εὖ ποιεῖν ἀξιοῦντες. ὡμολόγησε δ' αὐτοῦ τῷ δόγματι καὶ ὁ βίος (fr. 78 Mannebach = *SSR* IV A 53), ὃν ἐβίωσεν ἐν πάσῃ τρυφῇ καὶ πολυτελείᾳ μύρων καὶ ἐσθήτων καὶ γυναικῶν· Λαΐδα γοῦν ἀναφανδὸν εἶχε τὴν ἑταίραν καὶ ταῖς Διονυσίου 15 544c πολυτελείαις | ἔχαιρε καίτοι πολλάκις ἐνυβριζόμενος· Ἡγήσανδρος (fr. 18, *FHG* iv.417 = *SSR* IV A 36) γοῦν φησιν ὡς (fr. 42B Mannebach) καὶ ἀδόξου ποτὲ κλισίας παρ' αὐτῷ τυχὼν ἤνεγκεν, ἐρωτήσαντός τε τοῦ Διονυσίου τί φαίνεται ἡ κατάκλισις, πρὸς τὴν χθὲς ἔφησε παραπλησίαν εἶναι. "ἐκείνη τε γάρ", ἔφησεν, "ἀδοξεῖ 20 τήμερον χωρισθεῖσα ἐμοῦ, χθὲς δὲ πασῶν ἦν ἐνδοξοτάτη δι' ἡμᾶς· αὕτη τε τήμερον καὶ ἔνδοξος γέγονε διὰ τὴν ἡμετέραν παρουσίαν, χθὲς δὲ ἠδόξει μὴ παρόντος ἐμοῦ." καὶ ἐν ἄλλοις δέ φησιν ὁ Ἡγήσανδρος· Ἀρίστιππος (fr. 40B Mannebach) ῥαινόμενος μὲν ὑπὸ | 544d τῶν τοῦ Διονυσίου θεραπόντων, σκωπτόμενος δ' ἐπὶ τῷ ἀνέχεσθαι 25 ὑπ' Ἀντιφῶντος, "εἰ δ' ἁλιευόμενος ἐτύγχανον," ἔφη, "καταλιπὼν τὴν ἐργασίαν ἂν ἀπῆλθον;" διέτριβε δ' ὁ Ἀρίστιππος (fr. 108 Mannebach = *SSR* IV A 20) τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν· διὸ καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασί (2.1.21–34) φησιν ὅτι πολλάκις ἐνουθέτει αὐτὸν Σωκράτης καὶ τὴν ἠθοποιίαν πλάσας τῆς 30 Ἀρετῆς καὶ τῆς Ἡδονῆς εἰσῆγεν. ὁ δ' Ἀρίστιππος (fr. 57D Mannebach = *SSR* IV A 96) ἐπὶ τῆς Λαΐδος ἔλεγεν· "ἔχω καὶ οὐκ ἔχομαι." καὶ (fr. 58B Mannebach) παρὰ Διονυσίῳ διηνέχθη τισὶ

22 τε C E : δὲ A | καὶ A : om. C E ‖ **25** τῷ Menagius : τὸ A ‖ **29** ὁ Ξενοφῶν A : ὁ delevi ‖ **30** ὁ Σωκράτης A C E : ὁ delevi | πλάσας A C E : fort. delendum

περὶ τῆς ἐκλογῆς τῶν τριῶν γυναικῶν. καὶ (fr. 93C Mannebach = *SSR* IV A 31) μύροις ἐλούετο καὶ ἔφασκεν ὅτι (E. *Ba.* 317–18)· |

κἀν βακχεύμασιν 544e
οὖσ᾽ ἥ γε σώφρων οὐ διαφθαρήσεται.

5 κωμῳδῶν δὲ αὐτὸν Ἄλεξις ἐν Γαλατείᾳ (fr. 37 = Aristipp. fr. 5 Mannebach = *SSR* IV A 9) ποιεῖ τινα θεράποντα διηγούμενον περί τινος τῶν μαθητῶν τάδε·

ὁ δεσπότης οὑμὸς περὶ λόγους γάρ ποτε
διέτριψεν μειρακίσκος ὢν καὶ φιλοσοφεῖν
10 ἐπέθετο. Κυρηναῖος ἦν ἐνταῦθα,
ὥς φασ᾽, Ἀρίστιππός τις, σοφιστὴς εὐφυής, |
μᾶλλον δὲ πρωτεύων ἁπάντων τότε, 5 544f
ἀκολαστίᾳ τε τῶν γεγονότων διαφέρων.
τούτῳ τάλαντον δοὺς μαθητὴς γίνεται
15 ὁ δεσπότης, καὶ τὴν τέχνην μὲν οὐ πάνυ
ἐξέμαθε, τὴν δ᾽ ἀρτηρίαν συνήρπασεν.

Ἀντιφάνης δ᾽ ἐν Ἀνταίῳ (fr. 35) περὶ τῆς τῶν φιλοσόφων τρυφερότητος διαλεγόμενός φησιν·

(A.) ὦ τᾶν, κατανοεῖς τίς ποτ᾽ ἐστὶν οὑτοσὶ
20 ὁ γέρων; (B.) ἀπὸ τῆς μὲν ὄψεως Ἑλληνικός· ‖
λευκὴ χλανίς, φαιὸς χιτωνίσκος καλός, 545a
πιλίδιον ἁπαλόν, εὔρυθμος βακτηρία,
βεβαία τράπεζα. τί μακρὰ δεῖ λέγειν; ὅλως 5
αὐτὴν ὁρᾶν γὰρ τὴν Ἀκαδήμιαν δοκῶ.

25 **[64]** Ἀριστόξενος δ᾽ ὁ μουσικὸς ἐν τῷ Ἀρχύτα Βίῳ (fr. 50 Wehrli = Archyt. A9 Huffmann) ἀφι⟨κέσθαι φ⟩ησὶ παρὰ Διονυσίου τοῦ νεωτέρου πρεσβευτὰς πρὸς τὴν Ταραντίνων πόλιν, ἐν οἷς εἶναι καὶ

3 κἀν A : ἐν C E B : καὶ γὰρ ἐν Eur. ‖ **4** οὖσ᾽ Eur. et Mus : οὖσα A C E **5** Γαλατείᾳ M P Mus, cf. 7.314d : Γαλατίᾳ A ‖ **6** ποιεῖ A : παράγει C : παρά^{γ} E ‖ **9** διέτριψεν A : διέτριψε B Mus ‖ **11** ὥς φασ᾽, Ἀρίστιππός τις A : ὥς φησ᾽ Ἀρίστιππός τις M P Mus : τις, / ὥς φησ᾽, Ἀρίστιππος Schweighäuser **14** γίνεται A : γίγνεται Morelius ‖ **22** πιλίδιον A$^{rec.}$ C E B : πολίδιον A **23** βεβαία A C^{s} E^{s} : βαιὰ C E ‖ **24** Ἀκαδήμιαν A C : Ἀκαδη^{μ} E : Ἀκαδήμειαν Dindorf ‖ **25** Ἀρχύτα B M P Mus : Ἀρχύτᾳ A ‖ **26** ἀφι⟨κέσθαι φ⟩ησὶ Casaubon : ἀφίησι A

Πολύαρχον τὸν Ἡδυπαθῆ ἐπικαλούμενον, ἄνδρα περὶ τὰς σωματικὰς ἡδονὰς ἐσπουδακότα καὶ οὐ μόνον τῷ ἔργῳ ἀλλὰ καὶ τῷ
545b λόγῳ· ὄντα δὲ γνώριμον τῷ | Ἀρχύτᾳ καὶ φιλοσοφίας οὐ παντελῶς ἀλλότριον ἀπαντᾶν εἰς τὰ τεμένη καὶ συμπεριπατεῖν τοῖς περὶ τὸν Ἀρχύταν ἀκροώμενον τῶν λόγων. ἐμπεσούσης δέ ποτε ἀπορίας 5 καὶ σκέψεως περί τε τῶν ἐπιθυμιῶν καὶ τὸ σύνολον περὶ τῶν σωματικῶν ἡδονῶν ἔφη ὁ Πολύαρχος· "ἐμοὶ μέν, ὦ ἄνδρες, πολλάκις ἤδη πέφηνεν ἐπισκοποῦντι κομιδῇ τὸ τῶν ἀρετῶν τούτων κατασκεύασμα καὶ πολὺ τῆς φύσεως ἀφεστηκὸς εἶναι· ἡ γὰρ φύσις ὅταν φθέγγηται τὴν ἑαυτῆς φωνήν, ἀκολουθεῖν κελεύει 10
545c ταῖς ἡδοναῖς | καὶ τοῦτό φησιν εἶναι νοῦν ἔχοντος· τὸ δὲ ἀντιτείνειν καὶ καταδουλοῦσθαι τὰς ἐπιθυμίας οὔτ᾽ ἔμφρονος οὔτε εὐτυχοῦς οὔτε ξυνιέντος εἶναι τίς ποτε ἐστὶν ἡ τῆς ἀνθρωπίνης φύσεως σύστασις. τεκμήριον δ᾽ ἰσχυρὸν εἶναι τὸ πάντας ἀνθρώπους, ὅταν ἐξουσίας ἐπιλάβωνται μέγεθος ἀξιόχρεων ἐχούσης, ἐπὶ τὰς σωμα- 15 τικὰς ἡδονὰς καταφέρεσθαι καὶ τοῦτο νομίζειν τέλος εἶναι τῆς ἐξουσίας, τὰ δὲ ἄλλα πάντα σχεδὸν ἁπλῶς εἰπεῖν ἐν παρέργων
545d τίθεσθαι χώρᾳ. προφέρειν δ᾽ ἔξεστι νῦν μὲν τοὺς Περσῶν | βασιλεῖς καὶ εἴ τίς που τυραννίδος ἀξιολόγου κύριος ὢν τυγχάνει, πρότερον δὲ τούς τε Λυδῶν καὶ τοὺς Μήδων καὶ ἔτι ἀνώτερον καὶ τοὺς 20 Σύρων, οἷς οὐδὲν γένος ἡδονῆς ἀζήτητον γενέσθαι, ἀλλὰ καὶ δῶρα παρὰ τοῖς Πέρσαις προκεῖσθαι λέγεται τοῖς δυναμένοις ἐξευρίσκειν καινὴν ἡδονήν. καὶ μάλα ὀρθῶς· ταχὺ γὰρ ἡ ἀνθρωπίνη φύσις ἐμπίπλαται τῶν χρονιζουσῶν ἡδονῶν, κἂν ὦσι σφόδρα διηκριβωμέναι· ὥστε ἐπεὶ μεγάλην ἔχει δύναμιν ἡ καινότης πρὸς τὸ μείζω 25
545e φανῆναι τὴν ἡδονήν, | οὐκ ὀλιγωρητέον, ἀλλὰ πολλὴν ἐπιμέλειαν αὐτῆς ποιητέον. διὰ ταύτην δὲ τὴν αἰτίαν πολλὰ μὲν ἐξηυρέθησαν βρωμάτων εἴδη, πολλὰ δὲ πεμμάτων, πολλὰ δὲ θυμιαμάτων καὶ μύρων, πολλὰ δὲ ἱματίων καὶ στρωμάτων καὶ ποτηρίων καὶ τῶν

545e Eust. p. 1389.10 = i.16.16–17

8 κομιδῇ ⟨ἄτοπον⟩ Capps : κομιδῇ ⟨κενὸν⟩ Wilamowitz ‖ **13** εἶναι Casaubon : εἰδέναι A ‖ **17** παρέργων Meineke : παρέργῳ A C : παρέρ^{γ} E : παρέργου Kaibel ‖ **19** νῦν δὲ καὶ A : νῦν δὲ del. Schweighäuser ‖ **20** τοὺς Μήδων Kaibel : τῶν Μήδων A : Μήδων C E ‖ **26** οὐκ ὀλιγωρητέον οὖν A : οὖν del. Meineke ‖ **27** ἐξηυρέθησαν scripsi : ἐξευρεθῆναι A ‖ **29** ποτηρίων δὴ καὶ A : δὴ om. C E : ποτηρίων δὲ καὶ Kaibel : fort. ποτηρίων ⟨καὶ⟩ δὴ καὶ

ἄλλων σκευῶν· πάντα γὰρ δὴ ταῦτα συμβάλλεταί τινας ἡδονάς, ὅταν ᾖ ἡ ὑποκειμένη ὕλη τῶν θαυμαζομένων ὑπὸ τῆς ἀνθρωπίνης φύσεως· ὃ δὴ πεπονθέναι δοκεῖ ὅ τε χρυσὸς καὶ ἄργυρος καὶ τὰ πολλὰ τῶν εὐοφθάλμων τε καὶ σπανίων, ὅσα | καὶ κατὰ τὰς 545f
5 ἀπεργαζομένας τέχνας διηκριβωμένα φαίνεται." [65] εἰπὼν δὲ τούτοις ἑξῆς τὰ περὶ τῆς θεραπείας τῆς τοῦ Περσῶν βασιλέως, οἵους καὶ ὅσους ἔχει θεραπευτῆρας, καὶ περὶ τῆς τῶν ἀφροδισίων αὐτοῦ χρήσεως καὶ τῆς περὶ τὸν χρῶτα αὐτοῦ ὀδμῆς καὶ τῆς εὐμορφίας καὶ τῆς ὁμιλίας καὶ περὶ τῶν θεωρημάτων καὶ τῶν
10 ἀκροαμάτων, εὐδαιμονέστατον ἔφη κρῖναι τῶν νῦν τὸν τῶν Περσῶν βασιλέα· "πλεῖσται γάρ εἰσιν αὐτῷ καὶ τελειόταται παρεσκευασμέναι ἡδοναί. δεύτερον δέ", φησί, "τὸν ἡμέτερον τύραννον θείη τις ἂν καίπερ πολὺ λειπόμενον· ἐκείνῳ μὲν γὰρ ἥ τε Ἀσία ὅλη χορηγεῖ ⟨…⟩, τὸ δὲ Διονυσίου ‖ χορηγεῖον παντελῶς ἂν 546a
15 εὐτελές τι φανείη πρὸς ἐκεῖνο συγκρινόμενον. ὅτι μὲν οὖν περιμάχητός ἐστιν ὁ τοιοῦτος βίος φανερὸν ἐκ τῶν συμβεβηκότων· Σύρους μὲν γὰρ Μῆδοι μετὰ τῶν μεγίστων κινδύνων ἀφείλοντο τὴν βασιλείαν οὐκ ἄλλου τινὸς ἕνεκα ἢ τοῦ κυριεῦσαι τῆς Σύρων ἐξουσίας, Μήδους δὲ Πέρσαι διὰ τὴν αὐτὴν αἰτίαν· αὕτη δ' ἐστὶν ἡ
20 τῶν σωματικῶν ἡδονῶν ἀπόλαυσις. οἱ δὲ νομοθέται ὁμαλίζειν βουληθέντες τὸ τῶν ἀνθρώπων γένος καὶ μηδένα τῶν πολιτῶν τρυφᾶν ἀνακῦψαι | πεποιήκασι τὸ τῶν ἀρετῶν εἶδος· καὶ ἔγραψαν 546b νόμους περὶ συναλλαγμάτων καὶ τῶν ἄλλων ὅσα ἐδόκει πρὸς τὴν πολιτικὴν κοινωνίαν ἀναγκαῖα εἶναι καὶ δὴ καὶ περὶ ἐσθῆτος καὶ
25 τῆς λοιπῆς διαίτης, ὅπως ᾖ ὁμαλής. πολεμούντων οὖν τῶν νομοθετῶν τῷ τῆς πλεονεξίας γένει πρῶτον μὲν ὁ περὶ τὴν δικαιοσύνην ἔπαινος ηὐξήθη, καὶ πού τις καὶ ποιητὴς ἐφθέγξατο (E. fr. 486(a))·

δικαιοσύνας τὸ χρύσεον πρόσωπον.

30 καὶ πάλιν (S. fr. 12.1–2)·

545f–6a Eust. p. 1562.57 = i.253.35–6 | **546b** Eust. p. 1389.11–12 = i.16.17–18

1 συμβάλλεταί Wilamowitz : συμβάλλεσθαί A C E ‖ **12–13** τὸν ἡμέτερον τύραννον M P Mus : τὸν ὑμέτερον τύραννον A : τὸν νεώτερον Διονύσιον C : τὸν νεω^{τρ} Διονύ$^{(ον)}$ E ‖ **14** lac. stat. Casaubon ‖ **15** πρὸς ⟨τὸ⟩ ἐκείνου Kaibel **17** ἀφείλοντο Meineke : ἀφείλαντο A ‖ **23** τῶν ἄλλων καὶ A : καὶ om. C E

τὸ χρύσεον ὄμμα τὸ τᾶς δίκας.

546c ἀπεθεώθη δὲ καὶ αὐτὸ τὸ τῆς δίκης ὄνομα· ὥστε παρ' ἐνίοις | καὶ βωμοὺς καὶ θυσίας γίνεσθαι Δίκῃ. μετὰ ταύτην δὲ καὶ σωφροσύνην καὶ ἐγκράτειαν ἐπεισεκώμασαν καὶ πλεονεξίαν ἐκάλεσαν τὴν ἐν ἀπολαύσεσιν ὑπεροχήν, ὥστε τὸν πειθαρχοῦντα τοῖς νόμοις καὶ τῇ 5 τῶν πολλῶν φήμῃ μετριάζειν περὶ τὰς σωματικὰς ἡδονάς." [**66**] καὶ Δοῦρις δέ φησιν ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν (*FGrH* 76 F 15) ὡς ἦν τὸ παλαιὸν τοῖς δυνάσταις ἐπιθυμία τῆς μέθης, διὸ ποιεῖν τὸν Ὅμηρον τῷ Ἀγαμέμνονι λοιδορούμενον τὸν Ἀχιλλέα καὶ λέγοντα (*Il.* 1.225)· 10

οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων. |

546d καὶ τὸν θάνατον δ' ἀποσημαίνων τοῦ βασιλέως φησίν (*Od.* 11.419–20)·

ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
κείμεθα, 15

δεικνύων καὶ τὸν θάνατον αὐτοῦ παρ' αὐταῖς ταῖς ἐπιθυμίαις τῆς μέθης γενόμενον. φιλήδονος ἦν καὶ Σπεύσιππος (test. 39b Tarán) ὁ Πλάτωνος συγγενὴς καὶ διάδοχος τῆς σχολῆς· Διονύσιος γοῦν ὁ τῆς Σικελίας τύραννος ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ κατὰ τῆς φιληδονίας αὐτοῦ εἰπὼν καὶ φιλαργυρίαν αὐτῷ ὀνειδίζει καὶ τὸν 20 Λασθενείας τῆς Ἀρκαδικῆς ἔρωτα, ἥτις καὶ Πλάτωνος ἠκηκόει. [**67**] οὐ μόνος δ' Ἀρίστιππος (fr. 195 Mannemann = *SSR* IV A 203) |
546e καὶ οἱ ἀπ' αὐτοῦ τὴν κατὰ κίνησιν ἡδονὴν ἠσπάζοντο ἀλλὰ καὶ Ἐπίκουρος καὶ οἱ ἀπὸ τούτου. καὶ ἵνα μὴ τοὺς καταιγισμοὺς λέγω

546e Eust. p. 1910.39–41 = ii.261.19–21

1 τὸ χρύσεον ὄμμα τὸ τᾶς (vel τὰς) δίκας A C E : τὸ χρύσεον δὲ τᾶς δίκας (vel Δίκας) / δέδορκεν ὄμμα Stob. 1.3.37 ‖ **2** δὲ A C E : γὰρ Kaibel **3–4** σωφροσύνην καὶ ἐγκράτειαν A C E : Σωφροσύνη καὶ Ἐγκράτεια Cobet **4** ἐπεισεκώμασαν A C E : ἐπεισεκόμασαν Bedrot : ἐπεισεκόμισαν Schweighäuser ‖ **5** πειθαρχοῦντα C E B M P Mus : πιθαρχοῦντα A ‖ **7** τρίτῃ καὶ εἰκοστῇ scripsi : εἰκοστῇ καὶ τρίτῃ A ‖ **16** παρ' αὐταῖς ταῖς ἐπιθυμίαις A : παρ' αὐτὰς τὰς ἐπιθυμίας Kaibel : fort. παρ' αὐτῶν τῶν ἐπιθυμῶν vel παρ' αὐτῆς τῆς ἐπιθυμίας vel παρὰ ταύτης τῆς ἐπιθυμίας ‖ **20** εἰπὼν A : διεξερχόμενος 7.279e : ἐπεξιὼν Kaibel

καὶ τὰ ἐπεντρώματα ἅπερ πολλάκις προφέρεται ὁ Ἐπίκουρος, καὶ τοὺς γαργαλισμοὺς καὶ τὰ νύγματα ἃ ἐν τῷ Περὶ Τέλους (fr. 413, p. 280 Usener) εἴρηκε, τούτων μνηθήσομαι· φησὶ γάρ (fr. 67, p. 120 Usener)· οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν ἀφαιρῶν μὲν τὰς
5 διὰ χυλῶν ἡδονάς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι' ἀκροαμάτων, ἀφαιρῶν δὲ καὶ τὰς διὰ μορφῆς | κατ' ὄψιν ἡδείας 546f κινήσεις. καὶ Μητρόδωρος ἐν ταῖς Ἐπιστολαῖς (fr. 39 Körte) φησι· περὶ γαστέρα, ὦ φυσιολόγε Τιμόκρατες, περὶ γαστέρα ὁ κατὰ φύσιν βαδίζων λόγος τὴν ἅπασαν ἔχει σπουδήν. καὶ ὁ Ἐπίκουρος
10 (fr. 409, p. 278 Usener = 21M Long–Sedley) δέ φησιν· ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή· καὶ τὰ σοφὰ τὰ περισσὰ ἐπὶ ταύτην ἔχει τὴν ἀναφοράν. κἀν τῷ Περὶ Τέλους (fr. 70, p. 123 Usener) δὲ πάλιν φησί· τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς καὶ τὰ τοιουτότροπα ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ
15 παρασκευάζῃ, χαίρειν ἐατέον, σαφῶς ὑπουργὸν ἐν τούτοις ποιῶν τὴν ἀρετὴν τῆς ἡδονῆς ‖ καὶ θεραπαίνης τάξιν ἐπέχουσαν. κἀν 547a ἄλλοις δέ φησι (fr. 512, p. 315 Usener)· προσπτύω τῷ καλῷ καὶ τοῖς κενῶς αὐτὸ θαυμάζουσιν ὅταν μηδεμίαν ἡδονὴν ποιῇ. [**68**] καλῶς ἄρα ποιοῦντες Ῥωμαῖοι οἱ πάντα ἄριστοι Ἀλκαῖον καὶ
20 Φιλίσκον τοὺς Ἐπικουρείους ἐξέβαλον τῆς πόλεως Λευκίου τοῦ Ποστουμίου ὑπατεύοντος δι' ἃς εἰσηγοῦντο ἡδονάς. ὁμοίως δὲ καὶ Μεσσήνιοι κατὰ ψήφισμα ἐξέωσαν τοὺς Ἐπικουρείους, Ἀντίοχος | δὲ ὁ βασιλεὺς καὶ πάντας τοὺς φιλοσόφους τῆς αὑτοῦ βασιλείας 547b γράψας τάδε· βασιλεὺς Ἀντίοχος Φανίᾳ. ἐγράψαμεν ὑμῖν καὶ
25 πρότερον ὅπως μηδεὶς ᾖ φιλόσοφος ἐν τῇ πόλει μηδ' ἐν τῇ χώρᾳ. πυνθανόμεθα δὲ οὐκ ὀλίγους εἶναι καὶ τοὺς νέους λυμαίνεσθαι διὰ τὸ μηθὲν πεποιηκέναι ὑμᾶς ὧν ἐγράψαμεν περὶ τούτων. ὡς ἂν οὖν λάβῃς τὴν ἐπιστολήν, σύνταξον κήρυγμα ποιήσασθαι ὅπως οἱ μὲν φιλόσοφοι πάντες ἀπαλλάξονται ἐκ τῶν τόπων ἤδη, τῶν δὲ
30 νεανίσκων ὅσοι ἂν ἁλίσκωνται πρὸς τούτοις γινόμενοι κρεμήσον-

547a cf. Ael. *VH* 9.12 | **547b** Eust. p. 1214.41–2 = IV.428.1–3

1 ἐπεντρώματα A C E Eust. : ἐπικεντρώματα Meineke ‖ **11–12** τὰ[1] … περισσὰ A C E : τὰ σοφὰ καὶ τὰ περιττὰ 7.280a ‖ **19** Ἀλκαῖον Ael. : Ἄλκιον A : Ἄλιον C E ‖ **20** Ἐπικουρείους C E M P Mus et Ael. : Ἐπικουρίους A **22** Ἐπικουρείους C E M P Mus et Ael. : Ἐπικουρίους A ‖ **29** ἀπαλλάξονται Meineke : ἀπαλλάσσωνται A C E ‖ **30** ἂν Dindorf : ἐὰν A C E **30–66,1** διότι κρεμήσονται A C E : διότι del. Meineke

547c ται καὶ οἱ πατέρες αὐτῶν ἐν αἰτίαις ἔσονται ταῖς μεγίσταις· | καὶ μὴ ἄλλως γένηται. τῆς δ᾽ ἡδονῆς πρὸ Ἐπικούρου εἰσηγητὴς ἐγένετο Σοφοκλῆς ὁ ποιητὴς ἐν Ἀντιγόνῃ (1165–71) τοιαῦτα εἰπών·

τὰς γὰρ ἡδονὰς 1165 5
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ᾽ ἐγὼ
ζῆν τοῦτον, ἀλλ᾽ ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ᾽ οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ᾽ ἔχων. ἐὰν δ᾽ ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ᾽ ἐγὼ καπνοῦ σκιᾶς 1170 10
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν. |

547d [**69**] καὶ Λύκων δὲ ὁ Περιπατητικός (fr. 7 Wehrli), ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος (pp. 84–5 Wilamowitz = fr. 23 Dorandi), κατ᾽ ἀρχὰς ἐπιδημήσας παιδείας ἕνεκα ταῖς Ἀθήναις περὶ συμβολικοῦ κώθωνος καὶ πόσον ἑκάστη τῶν ἑταιρουσῶν ἐπράττετο 15 μίσθωμα ἀκριβῶς ἠπίστατο. ὕστερον δὲ καὶ τοῦ Περιπάτου προστὰς ἐδείπνιζε τοὺς φίλους ἀλαζονείᾳ καὶ πολυτελείᾳ πολλῇ χρώμενος· χωρὶς γὰρ τῶν παραλαμβανομένων εἰς αὐτὰ ἀκροαμάτων καὶ ἀργυρωμάτων καὶ στρωμνῆς ἡ λοιπὴ παρασκευὴ καὶ ἡ τῶν δείπνων περιεργία καὶ ὁ τῶν τραπεζοποιῶν καὶ μαγείρων | 20
547e ὄχλος τοσοῦτος ἦν ὥστε πολλοὺς ὀρρωδεῖν καὶ βουλομένους προσιέναι πρὸς τὴν διατριβὴν ἀνακόπτεσθαι καθάπερ εἰς πολίτευμα πονηρὸν καὶ χορηγιῶν καὶ λειτουργιῶν πλῆρες εὐλαβουμένους προσάγειν· ἔδει γὰρ ἄρξαι τε τὴν νομιζομένην ἐν τῷ Περιπάτῳ ἀρχὴν (αὕτη δ᾽ ἦν ἐπὶ τῆς εὐκοσμίας τῶν ἐπιχειρούντων) 25 τριάκονθ᾽ ἡμέρας, εἶτα τῇ ἕνῃ καὶ νέᾳ λαβόντα ἀφ᾽ ἑκάστου τῶν ἐπιχειρούντων ἐννέα ὀβολοὺς ὑποδέξασθαι μὴ μόνον αὐτοὺς τοὺς τὴν συμβολὴν εἰσενεγκόντας ἀλλὰ καὶ οὓς παρακαλέσειεν ὁ Λύκων, ἔτι δὲ καὶ τοὺς ἐπιμελῶς συναντῶντας τῶν πρεσβυτέρων |

2 γένηται Casaubon : γίνηται A C E : γένεται Mus ‖ **5–6** τὰς γὰρ ἡδονὰς ὅταν προδῶσιν ἄνδρες A C E : καὶ γὰρ ἡδοναὶ / ὅταν προδῶσιν ἀνδρός Soph. **6** τίθημ᾽ C E M P Mus et Soph. : τίθημι A ‖ **9** σχῆμ᾽ M P Mus et Soph. : σχῆμα A ‖ **17** ἀλαζονείᾳ C E M P Mus : ἀλαζονίᾳ A ‖ **20** τραπεζοποιῶν Meineke : τραπεζῶν A ‖ **22** καὶ καθάπερ A : καὶ del. Schweighäuser **23** χορηγιῶν M P Mus : χορηγίαν A : χορηγείαν B ‖ **24** προσάγειν A : προάγειν Meineke

εἰς τὴν σχολήν, ὥστε γίνεσθαι μηδὲ εἰς τὸν μυρισμὸν καὶ τοὺς 547f
στεφάνους ἱκανὸν τὸ ἐκλεγόμενον ἀργύριον· ἱεροποιῆσαί τε καὶ
τῶν Μουσείων ἐπιμελητὴν γενέσθαι. ἃ δὴ πάντα ἐφαίνετο λόγου
μὲν ἀλλότρια καὶ φιλοσοφίας εἶναι, τρυφῆς δὲ καὶ περιστάσεως
5 οἰκειότερα· καὶ γὰρ εἰ παρίεντό τινες τῶν μὴ δυναμένων εἰς ταῦτα
ἀναλίσκειν ἀπὸ βραχείας καὶ τῆς τυχούσης ὁρμώμενοι χορηγίας,
ὅ γ᾽ ἐθισμὸς ἱκανῶς ἦν ἄτοπος· οὐ γὰρ ἵνα συρρυέντες ἐπὶ τὸ αὐτὸ
τῆς ἕως ὄρθρου γενομένης τραπέζης ‖ ἀπολαύσωσιν ἢ χάριν 548a
ἐξοινίας ἐποιήσαντο τὰς συνόδους ταύτας οἱ περὶ Πλάτωνα καὶ
10 Σπεύσιππον (test. 35 Tarán), ἀλλ᾽ ἵνα φαίνωνται καὶ τὸ θεῖον
τιμῶντες καὶ † φυσικῶς † ἀλλήλοις συμπεριφερόμενοι, καὶ τὸ
πλεῖστον ἕνεκεν ἀνέσεως καὶ φιλολογίας. ἃ δὴ πάντα γέγονε
δεύτερα παρὰ τοῖς ὕστερον τῶν τε χλανίδων καὶ τῆς πολυτελείας
τῆς εἰρημένης· οὐ γὰρ ἔγωγε τοὺς λοιποὺς ὑπεξαιροῦμαι. ὁ δὲ
15 Λύκων ὑπ᾽ ἀλαζονείας καὶ ἐν τῷ ἐπιφανεστάτῳ τῆς πόλεως τόπῳ
ἐν τῇ Κόνωνος | οἰκίᾳ εἶχεν εἰκοσίκλινον οἶκον, ὃς ἦν ἐπιτήδειος 548b
αὐτῷ πρὸς τὰς ὑποδοχάς. ἦν δὲ ὁ Λύκων καὶ σφαιριστὴς ἀγαθὸς
καὶ ἐπιδέξιος. [70] περὶ δὲ Ἀναξάρχου Κλέαρχος ὁ Σολεὺς ἐν
πέμπτῳ Βίων (fr. 60 Wehrli) οὕτω γράφει· τῷ εὐδαιμονικῷ καλου-
20 μένῳ Ἀναξάρχῳ διὰ τὴν τῶν χορηγησάντων ἄγνοιαν περιπεσού-
σης ἐξουσίας γυμνὴ μὲν ᾠνοχόει παιδίσκη πρόσηβος ἡ προκρι-
θεῖσα διαφέρειν ὥρᾳ τῶν ἄλλων ἀνασύρουσα πρὸς ἀλήθειαν τὴν
τῶν οὕτως αὐτῇ χρωμένων ἀκρασίαν, ὁ δὲ σιτοποιὸς χειρῖδας
ἔχων | καὶ περὶ τῷ στόματι κημὸν ἔτριβε τὸ σταῖς, ἵνα μήτε ἱδρὼς 548c
25 ἐπιρρέοι μήτε τοῖς φυράμασιν ὁ τρίβων ἐμπνέοι· διὸ πρεπόντως ἄν

548a Eust. p. 1398.8–9 = i.30.1–3 | **548b** Eust. p. 1273.34 = IV.630.10–11
548b–c Eust. p. 1960.3–5 = ii.321.14–15 | **548c–d, f** Eust. p. 1413.47–51 = i.53.41–6

3 Μουσείων Koehler : μουσῶν A ‖ **7** γ᾽ ἐθισμὸς Wilamowitz : γε μισθὸς A
8 ὄρθρου Kaibel, ducente Casaubon (τοῦ ὄρθρου) : τοῦ θρίου A : τοῦ ὀρθρίου M P Mus ‖ **11** φυσικῶς A C E : φιλικῶς Eust. : μουσικῶς Bergk ‖ **13** παρὰ τοῖς Schweighäuser : παρ᾽ αὐτοῖς A ‖ **15** ἀλαζονείας B M P Mus : ἀλαζονίας A
19–20 τῷ εὐδαιμονικῷ καλουμένῳ Schweighäuser : τῶν εὐδαιμονικῶν καλουμένων A ‖ **24** μήτε E Eust. : μή τι C : μηδὲ A ‖ **25** ἐπιρρέοι C E Eust. : ἐπιρρέῃ A

τις εἴποι τῷ σοφῷ τούτῳ φιλοσόφῳ τὰ ἐκ τοῦ Ἀναξίλα Λυροποιοῦ (fr. 18)·

ξανθοῖς τε μύροις χρῶτα λιπαίνων,
χλανίδας θ' ἕλκων, βλαύτας σύρων,
βολβοὺς τρώγων, τυροὺς κάπτων, 5
ᾠὰ κολάπτων, κήρυκας ἔχων,
Χῖον πίνων, καὶ πρὸς τούτοις 5
ἐν σκυταρίοις ῥαπτοῖσι φορῶν
Ἐφεσήια γράμματα καλά.

[71] πόσῳ γὰρ τούτων βελτίων Γοργίας ὁ Λεοντῖνος (82 A 11 10
548d D.–K.), περὶ οὗ | φησιν ὁ αὐτὸς Κλέαρχος ἐν τῷ ὀγδόῳ τῶν Βίων (fr. 62 Wehrli) ὅτι διὰ τὸ σωφρόνως ζῆν σχεδὸν ὀγδοήκοντα ἔτη τῷ φρονεῖν συνεβίωσε. καὶ ἐπεί τις αὐτὸν ἤρετο τίνι διαίτῃ χρώμενος οὕτως ἐμμελῶς καὶ μετὰ αἰσθήσεως τοσοῦτον χρόνον ζήσειεν, "οὐδὲν πώποτε", εἶπεν, "ἡδονῆς ἕνεκεν πράξας." Δημήτριος δ' ὁ 15
Βυζάντιος ἐν τετάρτῳ Περὶ Ποιημάτων (*FHG* ii.624), Γοργίας, φησίν, ὁ Λεοντῖνος ἐρωτηθεὶς τί αὐτῷ γέγονεν αἴτιον τοῦ βιῶσαι πλείω τῶν ἑκατὸν ἐτῶν, ἔφη· "τὸ μηθὲν πώποτε ἑτέρου ἕνεκεν
548e πεποιηκέναι." Ὦχος δὲ πολὺν | χρόνον τὴν βασιλείαν καὶ τὴν λοιπὴν περὶ τὸν βίον χορηγίαν διαρκῆ κτησάμενος, ὡς τελευτῶν- 20
τος ἠρώτησεν ὁ πρεσβύτατος τῶν υἱῶν τί πράσσων τοσαῦτ' ἔτη διαφυλάξειε τὴν βασιλείαν, ἵνα καὶ αὐτὸς τοῦτο μιμοῖτο, "τὰ δίκαια πράττων", εἶπε, "πρὸς ἅπαντας ἀνθρώπους καὶ θεούς." Καρύστιος δ' ὁ Περγαμηνὸς ἐν Ἱστορικοῖς Ὑπομνήμασι (fr. 7, *FHG* iv.357–8), Κηφισόδωρος, φησίν, ὁ Θηβαῖος (*FGrH* 112 F 2) 25
Πολύδωρον τὸν Τήιον ἰατρὸν Ἀντιπάτρῳ συσσιτεῖν ψιλοτάπιδα
548f ἔχοντα Κρητικὴν εὐτελῆ ἐφ' | ἧς κατακεῖσθαι, κάδους δὲ χαλκοῦς καὶ ποτήρια ὀλίγα· γεγονέναι γὰρ ὀλιγοδίαιτον καὶ τρυφῆς

1 σοφῷ A C : σο^φ E : σώφρονι Kaibel | Ἀναξίλα Λυροποιοῦ, i.e. -ΙΛΑΛΥ- Casaubon, cf. 4.183b (Ἀναξίλα Αὐροποιοῦ iam M P Mus) : † ἀναξιλαυροποιου †, i.e. -ΙΛΑΥ- A ‖ **6** ᾠὰ κολάπτων A C E : ᾠ' ἐκλάπτων Meineke ‖ **10** βελτίων A : βέλτιον Kaibel ‖ **12** π´ A = ὀγδοήκοντα C E B Mus : ρ´, i.e. ἑκατὸν Wilamowitz, cf. πλείω τῶν ἑκατὸν ἐτῶν infra ‖ **18** ἑτέρου A C E : ἐντέρου Meineke ‖ **19** πολὺν χρόνον scripsi : πολλῷ χρόνῳ A **22** τοῦτο A : τοῦτον C E ‖ **27** ἔχοντα A : ἔχοντι Dutheil | κρικωτὴν καθάπερ τοὺς στρωματεῖς A : Κρητικὴν scripsi et καθάπερ τοὺς στρωματεῖς ut glossam delevi

ἀλλότριον. [72] Τιθωνὸν δ' ἀπὸ τῆς ἕω μέχρι δυσμῶν κοιμώμενον
μόλις ⟨αἱ⟩ ἐπιθυμίαι πρὸς ἑσπέραν ἐπήγειρον· ὅθεν Ἠοῖ συγκοι-
μᾶσθαι λεχθεὶς διὰ τὸ ταῖς ἐπιθυμίαις ἐμπεπλέχθαι ἐπὶ τῷ γήρᾳ
καθεῖρκται κρεμαστὸς ὢν πρὸς ἀλήθειαν ἐκ τούτων. ‖ καὶ Μελάν- 549a
5 θιος (*TrGF* 23 T 7b) δὲ τὸν αὑτοῦ τράχηλον κατατείνων ἀπήγχετο
ἐκ τῶν ἀπολαύσεων λιχνότερος ὢν τοῦ Ὀδυσσέως Μελανθίου.
πολλοὶ δὲ καὶ ἄλλοι πᾶν τὸ σῶμα διεστράφησαν διὰ τὰς ἀκαίρους
ἡδονάς, οἱ δὲ καὶ εἰς πάχος ἐπέδωκαν, ἄλλοι δὲ καὶ εἰς ἀναισθη-
σίαν διὰ πολλὴν τρυφήν· Νύμφις γοῦν ὁ Ἡρακλεώτης ἐν τῷ
10 δευτέρῳ Περὶ Ἡρακλείας (*FGrH* 432 F 10), Διονύσιος, φησίν, ὁ
Κλεάρχου τοῦ πρώτου τυραννήσαντος ἐν Ἡρακλείᾳ υἱὸς καὶ αὐτὸς
τῆς πατρίδος τυραννήσας ὑπὸ τρυφῆς καὶ τῆς καθ' ἡμέραν |
ἀδηφαγίας ἔλαθεν ὑπερσαρκήσας, ὥστε διὰ τὸ πάχος ἐν δυσπνοίᾳ 549b
αὐτὸν συσχεθῆναι καὶ πνιγμῷ· διὸ συνέταξαν οἱ ἰατροὶ κατασκευ-
15 άσαι βελόνας λεπτὰς τῷ μήκει διαφερούσας, ἃς διὰ τῶν πλευρῶν
καὶ τῆς κοιλίας διωθεῖσθαι ὅταν εἰς ὕπνον τύχῃ βαθύτερον
ἐμπεσών. μέχρι μὲν οὖν τινος ὑπὸ τῆς πεπωρωμένης ἐκ τοῦ
στέατος σαρκὸς οὐκ ἐνεποίει τὴν αἴσθησιν· εἰ δὲ πρὸς τὸν καθαρὸν
τόπον ἡ βελόνη διελθοῦσα ἔθιγε, τότε διηγείρετο. τοὺς δὲ χρημα-
20 τισμοὺς ἐποιεῖτο τοῖς βουλομένοις προτιθέμενος | κιβωτὸν τοῦ 549c
σώματος, ἵνα τὰ μὲν λοιπὰ μέρη κρύπτοι, τὸ δὲ πρόσωπον μόνον
ὑπερέχων διαλέγοιτο τοῖς ἀπαντῶσι. μνημονεύει δ' αὐτοῦ Μέναν-
δρος ἥκιστά γ' ὢν λοίδορος ἐν τοῖς Ἁλιεῦσι (fr. 25.1) τὸν μῦθον
ὑποστησάμενος ὑπέρ τινων φυγάδων ἐξ Ἡρακλείας·

549a Eust.(1) p. 1817.1–3 = ii.140.29–31; (2) p. 1241.36 = IV.520.2–3
549a–c cf. Ael. *VH* 9.13 | **549b–c** Eust. p. 962.26–31 = III.561.3–12

2 ⟨αἱ⟩ ἐπιθυμίαι Kaibel, cf. ταῖς ἐπιθυμίαις infra et C E Eust. τῇ ἐπιθυμίᾳ (structura mutata) : ἐπιθυμία, et ἐπήγειρεν infra B P Mus ‖ **3** lac. post ἐμπεπλέχθαι indic. Dindorf, ducente Schweighäuser ‖ **6** ἐκ A C E Eust.(1) : ἕνεκα Wilamowitz | λιχνότερος scripsi : κνισότερος A : κνισσότερος C E Eust.(1–2) : κνισολοιχότερος Kaibel ‖ **8** εἰς πάχος σώματος A : εἰς πάθος σώματος M P : σώματος ut glossam delevi ‖ **10** β´, i.e. δευτέρῳ A : ιβ´, i.e. δωδεκάτῳ Müller ‖ **13** ἔλαθεν A C E : λαθεῖν ἑαυτὸν (structura alia) Ael. **15** ἃς Schweighäuser : αἷς A C E : ταύτας (structura alia) Ael. ‖ **16** διωθεῖ-σθαι scripsi : διωθεῖν A C E ‖ **20** αὐτῷ προσιέναι post τοῖς βουλομένοις praeb. Ael. ‖ **21** κρύπτοι Meineke : κρύπτῃ A C E : κρύπτοιτο Kaibel, cf. Ael. ἀποκρύπτοιτο ‖ **23** γ', i.e. Γ Musurus : τ', i.e. Τ A

παχὺς γὰρ ὗς ἔκειτ᾽ ἐπὶ στόμα.

καὶ πάλιν (fr. 25.2)·

ἐτρύφησεν ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.

καὶ ἔτι (fr. 25.3–6)·

ἴδιον ἐπιθυμῶν — μόνος μοι θάνατος οὗτος φαίνεται 5
εὐθάνατος — ἔχοντα πολλὰς χολλάδας κεῖσθαι παχὺν |
549d ὕπτιον μόλις λαλοῦντα καὶ τὸ πνεῦμ᾽ ἔχοντ᾽ ἄνω, 5
ἐσθίοντα καὶ λέγοντα· "σήπομ᾽ ὑπὸ τῆς ἡδονῆς."

ἀπέθανε δὲ βιώσας ἔτη πέντε πρὸς τοῖς πεντήκοντα, ὧν ἐτυράννησε τρία καὶ τριάκοντα ἁπάντων τῶν πρὸ αὐτοῦ τυράννων πρᾳότητι καὶ ἐπιεικείᾳ διενηνοχώς. [73] τοιοῦτος ἐγεγόνει καὶ Πτολεμαῖος ὁ ἕβδομος Αἰγύπτου βασιλεύσας, ὁ αὐτὸν μὲν Εὐεργέτην ἀνακηρύττων, ὑπὸ δὲ Ἀλεξανδρέων Κακεργέτης ὀνομαζόμενος· Ποσειδώνιος γοῦν ὁ Στωϊκός (*FGrH* 87 T 10a = test. 7 Edelstein–Kidd) συναποδημήσας Σκιπίωνι τῷ Ἀφρικανῷ κληθέντι | 549e εἰς Ἀλεξάνδρειαν καὶ θεασάμενος αὐτὸν γράφει ἐν ἑβδόμῃ τῶν Ἱστοριῶν (*FGrH* 87 F 6 = fr. 58 Edelstein–Kidd = fr. 126 Theiler) οὕτω· διὰ δὲ τρυφὴν διέφθαρτο τὸ σῶμα ὑπὸ παχύτητος καὶ γαστρὸς μεγέθους, ἣν δυσπερίληπτον εἶναι συνέβαινεν· ἐφ᾽ ἧς χιτωνίσκον ἐνδεδυκὼς ποδήρη μέχρι τῶν καρπῶν χειρῖδας ἔχοντα ⟨...⟩· προήει δὲ οὐδέποτε πεζός, εἰ μὴ διὰ Σκιπίωνα. ὅτι δὲ τρυφῆς οὐκ ἦν ἀλλότριος ὁ βασιλεὺς οὗτος, αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ ἐν τῷ ὀγδόῳ τῶν Ὑπομνημάτων (*FGrH* 234 F 9) διηγούμενος ὅπως τε ἱερεὺς ἐγένετο τοῦ ἐν Κυρήνῃ Ἀπόλλωνος καὶ ὅπως δεῖπνον | 549f παρεσκεύασε τοῖς πρὸ αὐτοῦ γενομένοις ἱερεῦσι, γράφων οὕτως· Ἀρτεμίτια μεγίστη ἐν Κυρήνῃ ἑορτή, ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος (ἐνιαύσιος δ᾽ ἐστί) δειπνίζει τοὺς πρὸ αὐτοῦ ἱερευσαμένους καὶ παρατίθησιν ἑκάστῳ τρυβλίον· τοῦτο δ᾽ ἐστὶ κεραμεοῦν ἄγγος

(line numbers in margin: 10, 15, 20, 25)

549f Eust. p. 1271.25 = IV.621.25–6

21 ⟨προήει⟩ add. Dindorf : ⟨περιήει⟩ Kaibel | Σκιπίωνα A : σκίπωνα scripsit Posidon. ‖ **22** αὐτὸς A : καὶ αὐτὸς C E ‖ **26** μεγίστη ἐν Κυρήνῃ ἑορτὴ M P Mus : μεγίστη ἑορτὴ ἐν Κυρήνῃ ἑορτὴ A : μεγίστη ἑορτὴ ἐν Κυρήνῃ C E B : ἑορτὴ ἐν Κυρήνῃ del. Jacoby ‖ **28** τρυβλίον Meineke (τρύβλιον scripsit) : τρύβλια A

ἐπιδεχόμενον ὡς εἴκοσιν ἀρτάβας, ἐν ᾧ πολλὰ μὲν τῶν ἀγριμαίων
ἔγκειται πεπονημένα, πολλὰ δὲ καὶ τῶν ἡμέρων ὀρνίθων, ἔτι δὲ
θαλασσίων ἰχθύων ταρίχου τε ξενικοῦ πλείονα γένη· ‖ πολλάκις δέ 550a
τινες καὶ καθάριον ἀκολουθίσκον προσδιδόασιν. ἡμεῖς δὲ περιείλο-
5 μεν τὰ τοιαῦτα· φιάλας δ᾽ ὁλαργύρους κατασκευάσαντες, τὸ
τίμημα ἔχουσαν ἑκάστην ἧς προειρήκαμεν δαπάνης, ἵππον τε
κατεσκευασμένον σὺν ἱπποκόμῳ καὶ φαλάροις διαχρύσοις ἐδώκα-
μεν, καὶ παρεκαλέσαμεν ἕκαστον ἐπὶ αὐτοῦ καθεσθέντα οἴκαδ᾽
ἀπιέναι. εἰς πάχος δ᾽ ἐνδεδώκει καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος, ὁ τὴν
10 ἑαυτοῦ μητέρα ἀποκτείνας συμβασιλεύουσαν αὐτῷ· φησὶ γοῦν
περὶ αὐτοῦ Ποσειδώνιος | ἐν τῇ ἑβδόμῃ καὶ τεσσαρακοστῇ τῶν 550b
Ἱστοριῶν (*FGrH* 87 F 26 = fr. 77 Edelstein–Kidd = fr. 236 Theiler)
οὕτως· ὁ δὲ τῆς Αἰγύπτου δυνάστης μισούμενος μὲν ὑπὸ τῶν
ὄχλων, κολακευόμενος δ᾽ ὑπὸ τῶν περὶ αὐτόν, ἐν πολλῇ δὲ τρυφῇ
15 ζῶν, οὐδὲ πατεῖν οἷός τε ἦν εἰ μὴ δυσὶν ἐπαπερειδόμενος. εἰς δὲ
τὰς ἐν τοῖς συμποσίοις ὀρχήσεις ἀπὸ μετεώρων κλινῶν καθαλλό-
μενος ἀνυπόδητος συντονώτερον αὐτὰς τῶν ἠσκηκότων ἐποιεῖτο.
[74] Ἀγαθαρχίδης δ᾽ ἐν τῇ ἑκκαιδεκάτῃ Εὐρωπιακῶν (*FGrH* 86 F
7) Μάγαν φησὶ τὸν Κυρήνης βασιλεύσαντα ἔτη πεντήκοντα
20 ἀπολέμητον γενόμενον καὶ τρυφῶντα κατάσαρκον | γενέσθαι 550c
ἐκτόπως τοῖς ὄγκοις κατὰ τὸν ἔσχατον καιρὸν καὶ ὑπὸ τοῦ πάχους
ἀποπνιγῆναι δι᾽ ἀργίαν σώματος καὶ τῷ προσφέρεσθαι πλῆθος
τροφῆς. παρὰ δὲ Λακεδαιμονίοις ὁ αὐτὸς ἱστορεῖ διὰ τῆς ἑβδόμης
καὶ εἰκοστῆς (*FGrH* 86 F 10) οὐ τῆς τυχούσης ἀδοξίας νομίζεσθαι,
25 εἴ τις ἢ τὸ σχῆμα ἀνανδρότερον ἔχων ἢ τὸν ὄγκον τοῦ σώματος
προπετῆ ἐφαίνετο γυμνῶν κατὰ δέκα ἡμέρας παρισταμένων τοῖς

550b–c Eust. p. 962.26–31 = III.561.3–12 | **550c** cf. Ael. *VH* 14.7

1 ἀγριμαίων C E Eust. : ἀγριμέων A ‖ **2** δὲ[1] σῖτα A C E Eust. : σῖτα delevi : δ᾽ ἐστὶ Kaibel ‖ **3** θαλασσίων scripsi : θαλαττίων A ‖ **4** καθάριον ἀκολουθίσκον Casaubon : κιθάριον ἀκολουθίσκον A : κιθάριον ἢ κορδυλίσκον Kaibel **4–5** περιείλομεν τὰ τοιαῦτα Kaibel : † περιειλομενα † τοιαῦτα A : περιειλόμεθα ... τὰ τοιαῦτα C E : περιελόμεθα τοιαῦτα M P Mus ‖ **9** δ᾽ ἐνδεδώκει scripsi : δὲ ἐκδεδώκει C E : δὲ ἐδεδώκει A : δὲ ἐπεδεδώκει Schweighäuser ‖ **15** πατεῖν A C E : περιπατεῖν Kaibel : ἀποπατεῖν Capps ἐπαπερειδόμενος ἐπορεύετο A C E : ἐπορεύετο (glossam) del. Meineke : ἐπαπερειδόμενος fort. v.ll. ἐπερειδόμενος et ἀπερειδόμενος in unam confusae ‖ **17** συντονώτερον Kaibel : συντονωτέρας A C E ‖ **25** ἦν ἢ A C E : ἢ om. M P Mus : ἦν del. Casaubon ‖ **26** προπετῆ C E : προπετής A

ἐφόροις τῶν νέων. κἀφεώρων δ' οἱ ἔφοροι καὶ καθ' ἑκάστην ἡμέραν
550d καὶ τὰ | περὶ τὴν ἔνδυσιν καὶ τὴν στρωμνὴν τῶν νέων· εἰκότως. καὶ
ὀψοποιοὶ ἦσαν παρὰ Λακεδαιμονίοις ⟨πρὸς⟩ κρέως σκευασίας,
ἄλλου δ' οὐδενός. κἀν τῇ δὲ ἑβδόμῃ καὶ εἰκοστῇ ὁ Ἀγαθαρχίδης
(*FGrH* 86 F 11) ἔφη ὡς Λακεδαιμόνιοι Ναυκλείδην τὸν Πολυβιά- 5
δου παντελῶς ὑπερσαρκοῦντα τῷ σώματι καὶ παχὺν διὰ τρυφὴν
γενόμενον καταβιβάσαντες εἰς μέσην τὴν ἐκκλησίαν καὶ Λυσάν-
δρου πολλὰ ὀνειδίσαντος ἐν τῷ κοινῷ ὡς τρυφῶντι παρ' ὀλίγον
ἐξέβαλον ἐκ τῆς πόλεως ἀπειλήσαντες τοῦτο ποιήσειν εἰ μὴ τὸν
550e βίον ἐπανορθώσοιτο, | εἰπόντος τοῦ Λυσάνδρου ὅτι καὶ Ἀγησίλαος, 10
ὅτε διέτριβε περὶ τὸν Ἑλλήσποντον πολεμῶν τοῖς βαρβάροις,
ὁρῶν τοὺς Ἀσιαγενεῖς ταῖς μὲν στολαῖς πολυτελῶς ἠσκημένους,
τοῖς σώμασι δ' οὕτως ἀχρείους ὄντας, γυμνοὺς πάντας ἐκέλευσε
τοὺς ἁλισκομένους ἐπὶ τὸν κήρυκα ἄγειν καὶ χωρὶς πωλεῖν τὸν
τούτων ἱματισμόν, ὅπως οἱ σύμμαχοι γινώσκοντες διότι πρὸς μὲν 15
ἆθλα μεγάλα, πρὸς δ' ἄνδρας εὐτελεῖς ὁ ἀγὼν συνέστηκε προθυμό-
τερον ταῖς ψυχαῖς ὁρμῶσιν ἐπὶ τοὺς ἐναντίους. καὶ Πύθων δ' ὁ
550f Βυζάντιος ῥήτωρ, ὡς Λέων (*FGrH* 132 F 1) | ἱστορεῖ ὁ πολίτης
αὐτοῦ, πάνυ ἦν παχὺς τὸ σῶμα· καί ποτε στασιάζουσι πρὸς
ἀλλήλους τοῖς πολίταις παρακαλῶν εἰς φιλίαν ἔλεγεν· "ὁρᾶτέ με, 20
ἄνδρες πολῖται, οἷός εἰμι τὸ σῶμα· ἀλλὰ καὶ γυναῖκα ἔχω πολλῷ
ἐμοῦ παχυτέραν. ὅταν οὖν ὁμονοῶμεν, καὶ τὸ τυχὸν ἡμᾶς σκιμπό-
διον δέχεται· ἐὰν δὲ στασιάσωμεν, οὐδὲ ἡ σύμπασα οἰκία." [75]
551a πόσῳ οὖν κάλλιόν ἐστιν, ἀγαθὲ Τιμόκρατες, ‖ πενόμενον εἶναι
λεπτότερον ὧν καταλέγει Ἕρμιππος ἐν Κέρκωψιν (fr. 36) ἢ 25
ὑπερπλουτοῦντας τῷ Ταναγραίῳ κήτει ἐοικέναι, καθάπερ οἱ
προειρημένοι ἄνδρες. φησὶ δ' οὕτως ὁ Ἕρμιππος πρὸς τὸν Διόνυ-
σον τὸν λόγον ποιούμενος·

550d Eust. p. 884.3 = III.327.4–5; cf. Ael. *VH* 14.7 | **550e–f** Eust. p. 962.26–31 = III.561.3–12 | **551a–c** Eust. p. 1288.40–6 = IV.684.18–685.9

1 κἀφεώρων Kaibel : καθεώρων A C E ‖ **2** καὶ[3] γὰρ A : γὰρ delevi ‖ **3** ⟨πρὸς⟩ addidi ‖ **4** ἑβδόμῃ καὶ εἰκοστῇ A, sed cf. διὰ τῆς ἑβδόμης καὶ εἰκοστῆς supra : ὀγόῃ καὶ εἰκοστῇ CMüller : τῇ αὐτῇ δὲ Jacoby | ὁ Ἀγαθαρχίδης] ὁ Ἀγαθαρχίδας A : Ἀγαθαρχίδης B : Ἀγαθαρχίδας M P Mus ‖ **10** ἐπανορθώσοιτο Wilamowitz : ἐπανορθώσαιτο A C E ‖ **12** ταῖς Schweighäuser : τοὺς A : om. C E ‖ **15** γινώσκοντες scripsi : γιγνώσκοντες A ‖ **19** καὶ Βυζαντίοις A : Βυζαντίοις ut glossam del. Wilamowitz

νῦν οἱ γὰρ πενόμενοι
ἀνάπηρά σοι θύουσιν ἤδη βοΐδια
Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος.

καὶ Ἀριστοφάνης δ' ἐν Γηρυτάδῃ (fr. 156) λεπτοὺς τούσδε καταλέ-
5 γει οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν φησιν εἰς | Ἅιδου πέμπε- 551b
σθαι πρὸς τοὺς ἐκεῖ ποιητάς λέγων οὕτως·

(A.) εἰ καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
ἔτλη κατελθεῖν; (B.) ἕνα δ' ἀφ' ἑκάστης τέχνης
εἱλόμεθα κοινῇ γενομένης ἐκκλησίας
10 οὐ † σημαίνοντας ἀΐδοφοίτας καὶ θαμὰ
ἐκεῖσε φιλοχωροῦντας. (A.) εἰσὶ γάρ τινες 5
ἄνδρες παρ' ὑμῖν ἀΐδοφοῖται; (B.) νὴ Δία
μάλιστά γ'. (A.) ὥσπερ Θρᾳκοφοῖται; (B.) πάντ' ἔχεις.
(A.) καὶ τίνες ἂν εἶεν; (B.) πρῶτα μὲν Σαννυρίων |
15 ἀπὸ τῶν τραγῳδῶν, ἀπὸ δὲ τῶν τραγικῶν χορῶν 551c
Μέλητος, ἀπὸ δὲ τῶν κυλίκων Κινησίας. 10

εἶθ' ἑξῆς φησιν·

(A.) ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ὠχεῖσθ' ἄρα·
τούτους γάρ, ἢν πολλῷ ξυνέλθῃ, ξυλλαβὼν
20 ὁ τῆς διαρροίας ποταμὸς ἐξοιχήσεται.

περὶ δὲ τοῦ Σαννυρίωνος καὶ Στράττις ἐν Ψυχασταῖς (fr. 57) φησι·

Σαννυρίωνος σκυτίνην ἐπικουρίαν.

περὶ δὲ Μελήτου αὐτὸς ὁ Σαννυρίων ἐν Γέλωτι (fr. 2) λέγει οὕτω·

551b–c cf. Ael. *VH* 10.6

1 οἱ A C E Eust. : del. Cobet ‖ **3** Λεωτροφίδου C E Eust. et Σ[VEΓ] Ar. *Av.* 1046 : † λεωτρεφιδου † A ‖ **5** Ἅιδου A : Ἅδου C E ‖ **6–7** οὕτως· εἰ καὶ A : οὑτωσί· καὶ M P ‖ **10** οὐ σημαίνοντας αΐδοφοίτας A, cf. ἀΐδοφοίτας (structura mutata) C E : οὓς ᾔσμεν ὄντας ᾁδοφοίτας Tyrwhitt ‖ **12** ἀΐδοφοῖται A : ἀϊδοφοίτας (structura mutata) C E Eust. : ᾁδοφοῖται Meineke ‖ **13** γ' Schweighäuser : γε A : δ' M P Mus ‖ **15** τραγῳδῶν A, cf. C E Σαννυρίωνα τραγῳδόν (structura mutata) : τρυγῳδῶν Bentley, cf. Ael. Σαννυρίων ὁ κωμῳδίας ποιητής **16** κυλίκων A : κυκλικῶν Musurus : κυκλίων Ael. ‖ **18** ὠχεῖσθ' Bedrot (ᾠχεῖσθ' iam Musurus) : ᾤχεσθ A : ὀχεῖσθαι (structura mutata) C E Eust. **20** ἐξοιχήσεται A : οἰχήσεται Dawes

Μέλητον τὸν ἀπὸ Ληναίου νεκρόν.

551d [76] ἦν δ' ὄντως | λεπτότατος καὶ μακρότατος ὁ Κινησίας, εἰς ὃν καὶ ὅλον δρᾶμα γέγραφε Στράττις Φθιώτην Ἀχιλλέα αὐτὸν καλῶν διὰ τὸ ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ Φθιῶτα λέγειν. παίζων οὖν εἰς τὴν ἰδέαν αὐτοῦ ἔφη (Stratt. fr. 17)· 5

Φθιῶτ' Ἀχιλλεῦ.

ἄλλοι δ' αὐτόν, ὡς καὶ Ἀριστοφάνης (*Av.* 1378), πολλάκις εἰρήκασι φιλύρινον Κινησίαν διὰ τὸ φιλύρας λαμβάνοντα σανίδα συμπεριζώννυσθαι ἵνα μὴ κάμπτηται διά τε τὸ μῆκος καὶ τὴν ἰσχνότητα. ὅτι δὲ ἦν ὁ Κινησίας νοσώδης καὶ δεινὸς τἄλλα Λυσίας ὁ ῥήτωρ ἐν 10
551e τῷ | Ὑπὲρ Φανίου Παρανόμων ἐπιγραφομένῳ λόγῳ (fr. 195 Carey) εἴρηκε φάσκων αὐτὸν ἀφέμενον τῆς τέχνης συκοφαντεῖν καὶ ἀπὸ τούτου πλουτεῖν. ὅτι δὲ ὁ ποιητής ἐστι καὶ οὐχ ἕτερος, σαφῶς αὐτὸς ὢν σημαίνεται ἐκ τοῦ καὶ ἐπὶ ἀθεότητι κωμῳδούμενον ἐμφανίζεσθαι καὶ διὰ τοῦ λόγου τοιοῦτον δείκνυσθαι. λέγει δ' οὕτως ὁ ῥή- 15
τωρ· θαυμάζω δὲ εἰ μὴ βαρέως φέρετε ὅτι Κινησίας ἐστὶν ὁ τοῖς νόμοις βοηθός, ὃν ὑμεῖς πάντες ἐπίστασθε ἀσεβέστατον ἁπάντων
551f καὶ παρανομώτατον ἀνθρώπων γεγονέναι. οὐχ οὗτός ἐστιν | ὁ τοιαῦτα περὶ θεοὺς ἐξαμαρτάνων, ἃ τοῖς μὲν ἄλλοις αἰσχρόν ἐστι καὶ λέγειν, τῶν κωμῳδοδιδασκάλων ⟨δ'⟩ ἀκούετε καθ' ἕκαστον ἐνιαυτόν; 20
οὐ μετὰ τούτου ποτὲ Ἀπολλοφάνης καὶ Μυσταλίδης καὶ Λυσίθεος συνειστιῶντο μίαν ἡμέραν ταξάμενοι τῶν ἀποφράδων, ἀντὶ δὲ νουμηνιαστῶν κακοδαιμονιστὰς σφίσιν αὐτοῖς τοὔνομα θέμενοι, πρέπον μὲν ταῖς αὑτῶν τύχαις· οὐ μὴν ὡς τοῦτο διαπραξόμενοι τὴν διάνοιαν ἔσχον ἀλλ' ὡς καταγελῶντες τῶν θεῶν καὶ τῶν νόμων ‖ 25
552a τῶν ὑμετέρων. ἐκείνων μὲν οὖν ἕκαστος ἀπώλετο, ὥσπερ εἰκὸς τοὺς τοιούτους· τοῦτον δὲ τὸν ὑπὸ πλείστων γιγνωσκόμενον οἱ θεοὶ οὕτω διέθεσαν ὥστε τοὺς ἐχθροὺς βούλεσθαι αὐτὸν ζῆν μᾶλλον ἢ τεθνάναι, παράδειγμα τοῖς ἄλλοις, ἵν' εἰδῶσιν ὅτι τοῖς λίαν

6 Φθιῶτ' C E M P Mus : Φθιῶτα A ‖ **8** τὸ φιλύρας τοῦ ξύλου A C E : τοῦ ξύλου ut glossam del. Kaibel | λαμβάνοντα C E : λαμβάνοντας A ‖ **15** τοιοῦτον ⟨ὄντα⟩ Kaibel ‖ **17** βοηθός A : βοηθῶν Stephanopoulos ‖ **20** κωμῳδοδιδασκάλων Bedrot (κωμωδωδιδασκάλων vel κωμῳδωδιδασκάλων iam M P Mus) : κωμῳδιδασκάλων A | ⟨δ'⟩ add. Musurus ‖ **22** συνειστιῶντο Dindorf : συνεστιῶντο A ‖ **24** διαπραξόμενοι Kaibel : διαπραττόμενοι A ‖ **29** εἰδῶσιν P Mus : ἴδωσιν A : ἴδω C : ἴδ^{ω} E

ὑβριστικῶς πρὸς τὰ θεῖα διακειμένοις οὐκ εἰς τοὺς παῖδας ἀποτίθενται τὰς τιμωρίας, ἀλλ᾽ αὐτοὺς κακῶς ἀπολλύουσι μείζους καὶ χαλεπωτέρας καὶ τὰς συμφορὰς καὶ τὰς νόσους ἢ τοῖς ἄλλοις ἀνθρώποις προσβάλλοντες· τὸ μὲν γὰρ ἀποθανεῖν ἢ | καμεῖν 552b
5 νομίμως κοινὸν ἡμῖν ἅπασίν ἐστι, τὸ δ᾽ οὕτως ἔχοντα τοσοῦτον χρόνον διατελεῖν καὶ καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκοντα μὴ δύνασθαι τελευτῆσαι τὸν βίον τούτοις μόνοις προσήκει τοῖς τὰ τοιαῦτα ἅπερ οὗτος ἐξημαρτηκόσι. περὶ μὲν οὖν Κινησίου ταῦτα ὁ ῥήτωρ εἴρηκε. [77] λεπτότερος δ᾽ ἦν καὶ Φιλητᾶς ὁ Κῷος ποιητής
10 (test. 8 Sbardella = test. 22a Spanoudakis = adesp. com. fr. *122), ὃς καὶ διὰ τὴν τοῦ σώματος ἰσχνότητα σφαίρας ἐκ μολύβου πεποιημένας εἶχε περὶ τὼ πόδε, ὡς μὴ ὑπὸ ἀνέμου ἀνατραπείη. Πολέμων δ᾽ ὁ περιηγητὴς ἐν τῷ Περὶ | Θαυμασίων (fr. 84 Preller = fr. 1 552c Giannini) Ἀρχέστρατόν φησι τὸν μάντιν ἁλόντα ὑπὸ πολεμίων καὶ
15 ἐπὶ ζυγὸν ἀναβληθέντα ὀβολοῦ ὁλκὴν εὑρεθῆναι ἔχοντα· οὕτως ἦν ἰσχνός. ὁ δ᾽ αὐτὸς ἱστορεῖ ὡς καὶ Πανάρετος ἰατρῷ μὲν οὐδενὶ ὡμίλησεν, Ἀρκεσιλάου δ᾽ ἠκροᾶτο τοῦ φιλοσόφου, καὶ ὅτι συνεγένετο Πτολεμαίῳ τῷ Εὐεργέτῃ τάλαντα δώδεκα τὸν ἐνιαυτὸν λαμβάνων· ἦν δὲ ἰσχνότατος, ἄνοσος διατελέσας. Μητρόδωρος δ᾽ ὁ
20 Σκήψιος ἐν δευτέρῳ Περὶ Ἀλειπτικῆς (*FGrH* 184 F 6) Ἱππώνακτα τὸν ποιητὴν (test. 19 Degani) οὐ μόνον μικρὸν γενέσθαι τὸ σῶμα | ἀλλὰ καὶ λεπτόν, ἀκρότονον δ᾽ οὕτως ὡς πρὸς τοῖς ἄλλοις καὶ κενὴν 552d λήκυθον βάλλειν μέγιστόν τι διάστημα τῶν ἐλαφρῶν σωμάτων διὰ τὸ μὴ δύνασθαι τὸν ἀέρα τέμνειν οὐκ ἐχόντων βιαίαν τὴν φοράν.
25 λεπτὸς δ᾽ ἦν καὶ Φιλιππίδης, καθ᾽ οὗ λόγος ἐστὶν Ὑπερείδῃ τῷ ῥήτορι (p. 57 Jensen) λέγων αὐτὸν ἕνα τῶν πολιτευομένων εἶναι. ἦν δ᾽ εὐτελὴς τὸ σῶμα διὰ λεπτότητα, ὡς ὁ Ὑπερείδης ἔφη· Ἄλεξίς τ᾽ ἐν Θεσπρωτοῖς (fr. 93) φησιν·

552b cf. Ael. *VH* 9.14 | **552b–e** cf. Ael. *VH* 10.6 | **552b–c** Eust. p. 1288.40–6 = IV.684.18–685.9 | **552c–d** Eust. p. 1332.53–6 = IV.847.15–19 | **552d–e** Eust. p. 1646.14–18 = i.365.26–30

2 ἀπολλύουσι A C E : ἀπολύσασι Cobet ‖ **3** νόσους ⟨αὐτοῖς⟩ Kaibel **9** Φιλητᾶς Ael. : Φιλήτας C E M P Mus : Φιλίτας A ‖ **12** εἶχε C E et Ael. : ἔχει A : ἔχειν P Mus ‖ **16** οὐδενὶ C E : οὐδὲν A ‖ **17–18** συνεγένετο A C E : συνεγίνετο Kaibel ‖ **21** ποιητὴν A et Ael. : ποιητὴς (structura mutata) C E : πυκτὴν Hecker ‖ **27** τὸ σῶμα A C E : "videtur glossema" Kaibel

Ἑρμῆ θεῶν προπομπὲ καὶ Φιλιππίδου |
552e κληροῦχε, Νυκτός τ' ὄμμα τῆς μελαμπέπλου.

καὶ Ἀριστοφῶν Πλάτωνι (fr. 8)·

(A.) ἐν ἡμέραις αὐτὸν
τρισὶν ἰσχνότερον ἀποφανῶ Φιλιππίδου. 5
(B.) οὕτως ἐν ἡμέραις ὀλίγαις νεκροὺς ποιεῖς;

Μένανδρος δὲ Ὀργῇ (fr. 266)·

ὁ λιμὸς ὑμῶν τὸν καλὸν τοῦτον δακὼν
Φιλιππίδου λεπτότερον ἀποδείξει νεκρόν.

ὅτι δὲ καὶ πεφιλιππῶσθαι ἔλεγον τὸ λελεπτύνθαι Ἄλεξις ἐν 10
Μανδραγοριζομένῃ (fr. 148) φησί·

(A.) κακῶς ἔχει † στρουθὶς ἀκαρὴς νὴ Δί' εἶ †
552f πεφιλιππῶσθαι. (B.) μὴ | σὺ καινῶς μοι λάλει.
ὅσον οὐ τέθνηκε. (A.) τοῦ ταλαιπώρου πάθους.

πολλῷ οὖν κάλλιόν ἐστι τοιοῦτόν τινα εἶναι τὴν ἰδέαν ἢ ὥς φησιν 15
Ἀντιφάνης ἐν Αἰόλῳ (fr. 20)·

τοῦτον οὖν
δι' οἰνοφλυγίαν καὶ πάχος τοῦ σώματος
Ἀσκὸν καλοῦσι πάντες οὑπιχώριοι.

Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἡδονῆς (fr. 61 Wehrli = fr. 20
44 Schütrumpf) Δεινίαν φησὶ τὸν μυροπώλην διὰ τρυφὴν εἰς ἔρωτα
ἐμπεσόντα καὶ πολλὰ χρήματα ἀναλώσαντα, ὡς ἔξω τῶν ἐπιθυμιῶν ἐγένετο, ὑπὸ λύπης ἐκταραχθέντα ἐκτέμνειν αὑτοῦ τὰ

552f Eust. p. 1646.13–14 = i.365.25–6

4–5 αὐτὸν τρισὶν ἰσχνότερον A C E : τρισὶ τὸν δεῖνα ἰσχνότερον Eust. : τρισὶν / ἰσχνότερον αὐτὸν Jacobs ‖ **8** ὑμῶν A : ὑμῖν Bentley ‖ **10** πεφιλιππῶσθαι A C E Eust. : πεφιλιππιδῶσθαι Ael. ‖ **12** ἔχει A : ἔχεις Dalechamps (*habes*) στρουθὶς ἀκαρὴς B M P Mus : † στρουθις ακαρης † A ‖ **13** πεφιλιππῶσθαι A : πεφιλιππίδωσαι Casaubon, cf. Ael. πεφιλιππιδῶσθαι supra ‖ **14** ὅσον οὐ Toup : † οσομου † A : ὅσω μου B M P Mus | τέθνηκε A : τέθνηκα Toup **19** οὑπιχώριοι Dindorf : οἱ ἐπιχώριοι A C E Eust. ‖ **21** ἔρωτα A C E : ἔρωτας Wilamowitz ‖ **23** ἐκτέμνειν A : ἐξέτεμεν (structura mutata) C E, unde ἐκτεμεῖν Meineke

αἰδοῖα, ταῦτα πάντα ποιούσης ‖ τῆς ἀκολάστου τρυφῆς. [78] ἔθος 553a
δ᾽ ἦν Ἀθήνησι καὶ τοὺς πόδας τῶν τρυφώντων ἐναλείφειν μύροις,
ὡς Κηφισόδωρος μὲν ἐν Τροφωνίῳ (fr. 3.1–3) φησίν·

ἔπειτ᾽ ἀλείφεσθαι τὸ σῶμά μοι πρίω
5 μύρον ἴρινον καὶ ῥόδινον, ἄγαμαι, Ξανθία·
καὶ τοῖς ποσὶν χωρὶς πρίω μοι βάκκαριν.

Εὔβουλος δ᾽ ἐν Σφιγγοκαρίωνι (fr. 107)·

ἐν θαλάμῳ μαλακῶς κατακείμενον· ἐν δὲ κύκλῳ νιν
παρθενικὰ τρυφερὰ † χλανιδανα † μαλακὰ κατάθρυπτοι
10 τὸν πόδ᾽ ἀμαρακίνοισι μύροισι τρίψουσι τὸν ἐμόν. |

ἐν δὲ Προκρίδι (Eub. fr. 89) λέγει τις πῶς δεῖ ἐπιμελεῖσθαι τοῦ τῆς 553b
Προκρίδος κυνός, ὡς περὶ ἀνθρώπου τοῦ κυνὸς τὸν λόγον ποιούμε-
νος·

(Α.) οὔκουν ὑποστορεῖτε μαλακῶς τῷ κυνί;
15 κάτω μὲν ὑποβαλεῖτε τῶν Μιλησίων
ἐρίων, ἄνωθεν δ᾽ ἐπιβαλεῖτε ξυστίδα.
(Β.) Ἄπολλον. (Α.) εἶτα χόνδρον αὐτῷ δεύσετε
γάλακτι χηνός. (Β.) Ἡράκλεις. (Α.) καὶ τοὺς πόδας 5
ἀλείψατ᾽ αὐτοῦ τῷ Μεγαλλίῳ μύρῳ.

20 Ἀντιφάνης δὲ ἐν μὲν Ἀλκήστιδι (fr. 31) ἐλαίῳ τινὰ ποιεῖ | χριόμε- 553c
νον τοὺς πόδας. ἐν δὲ Μητραγύρτῃ (fr. 152) φησί·

τήν τε παῖδ᾽ ἀλείμματα
παρὰ τῆς θεοῦ λαβοῦσαν εἶτα τοὺς πόδας
ἐκέλευ᾽ ἀλείφειν πρῶτον, εἶτα τὰ γόνατα.
25 ὡς θᾶττον ἡ παῖς διήψατ᾽ αὐτοῦ τῶν ποδῶν
ἔτριψέ τ᾽, ἀνεπήδησεν. 5

553a Eust. p. 974.56 = III.603.11–12

4 τὸ σῶμά μοι πριῶ A : πριῶ τὸ σῶμά μοι 15.689f ‖ **6** βάκκαριν A : βάκχαριν M[s] P[s] et 15.689f ‖ **10** μύροισι A : μύροις Jacobs ‖ **11** Προκρίδι M P Mus : Προκρίδα A ‖ **12** τοῦ κυνὸς fort. delenda ‖ **16** δ᾽ M P Mus : δὲ A **19** ἀλείψατ᾽ A : ἀλείψετ᾽ Meineke | Μεγαλλίῳ C E : † μεγαλλιῳ † A : Μεγαλείῳ B M : Μεγαλλείῳ P ‖ **22** παῖδ᾽ M P Mus : παῖδα A ‖ **25** διήψατ᾽ A : δ᾽ ἥψατ᾽ Koppiers

καὶ ἐν Ζακύνθῳ (fr. 101)·

εἶτ᾽ οὐ δικαίως εἰμὶ φιλογύνης ἐγὼ
καὶ τὰς ἑταίρας ἡδέως πάσας ἔχω;
τουτὶ γὰρ αὐτὸ πρῶτον ὃ σὺ ποεῖς παθεῖν,
μαλακαῖς καλαῖς τε χερσὶ τριφθῆναι πόδας, | 5
553d πῶς οὐχὶ σεμνόν ἐστι; 5

καὶ ἐν Θορικίοις (fr. 105)·

(A.) λοῦται δ᾽ ἀληθῶς — (B.) ἀλλὰ τί;
(A.) ἐκ χρυσοκόλλη † τε κάλπιδος μύρῳ
Αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰς χεῖρας, 10
φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία,
σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα, 5
ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην,
ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

Ἀναξανδρίδης δὲ ἐν Πρωτεσιλάῳ (fr. 41)· 15

μύρῳ δὲ παρὰ Πέρωνος, οὗπερ ἀπέδοτο |
553e ἐχθὲς Μελανώπῳ, πολυτελοῦς † εναιπτιωι †,
ᾧ συναλείφει τοὺς πόδας Καλλιστράτου.

καὶ τὸν ἐπὶ Θεμιστοκλέους δὲ βίον Τηλεκλείδης ἐν Πρυτάνεσιν (fr. 25) ἁβρὸν ὄντα παραδίδωσι· Κρατῖνός τ᾽ ἐν Χείρωσι (fr. 257) τὴν 20 τρυφὴν ἐμφανίζων τὴν τῶν παλαιτέρων φησίν·

ἁπαλὸν δὲ σισύμβριον, ῥόδον ἢ κρίνον παρ᾽ οὖς ἐθάκει,
παρὰ χερσὶ δὲ μῆλον ἕκαστος ἔχων σκίπωνά τ᾽ ἠγόραζον.

[79] Κλέαρχος δ᾽ ὁ Σολεὺς ἐν τοῖς Ἐρωτικοῖς (fr. 25 Wehrli), διὰ τί, φησί, μετὰ χεῖρας ἄνθη καὶ μῆλα καὶ τὰ τοιαῦτα φέρομεν; 25

7 Θορικίοις Casaubon, cf. 15.689f Θορικίοις ἢ Διορύττοντί : † Θορυκιοις † A ‖ **9** χρυσοκόλλη τε A : χρυσοκολλήτου δὲ 15.689e : χρυσοκολλήτου γε Casaubon ‖ **10** τὰς χεῖρας A : τὰς χέρας Musurus : τὰ σκέλη 15.689e **12** σισυμβρίνῳ M P : σισιμβρίνω (vox nihili) A : σισυμβρίῳ 15.689f A et Musurus : σισύμβρινον (structura mutata) 15.689f C E ‖ **14** ἑρπυλλίνῳ M P Mus et 15.689f : † ἑρπυλενῳ † A | γόνυ B M P Mus et 15.689f : γύνυ (vox nihili) A ‖ **16** δὲ A : τε 12.553d ‖ **17** † εναιπτιωι † A : ἐν Αἰγυπτίῳ B Mus : Αἰγυπτίου 15.690a ‖ **18** συναλείφει A : νῦν ἀλείφει 15.690a ‖ **23** παρὰ A : μετὰ Meineke

πότερον ὅτι καὶ διὰ τῆς τούτων ἀγαπήσεως | ἡ φύσις μηνύει τοὺς 553f
τῆς ὥρας ἔχοντας τὴν ἐπιθυμίαν; διὰ τοῦτ᾽ οὖν οἱονεὶ δεῖγμα τῆς
ὄψεως τὰ ὡραῖα μετὰ χεῖρας ἔχουσι καὶ χαίρουσιν αὐτοῖς; ἢ δυοῖν
χάριν ταῦτα περιφέρουσιν; ἀρχή τε γὰρ ἐντυχίας καὶ παράδειγμα
5 τῆς βουλήσεως αὐτοῖς γίνεται διὰ τούτων, αἰτηθεῖσι μὲν τὸ
προσαγορευθῆναι, δοῦσι δὲ ⟨τὸ⟩ προϋπογράφειν ὅτι δεῖ καὶ αὐτοὺς
μεταδιδόναι τῆς ὥρας· ἡ γὰρ τῶν ὡραίων ἀνθῶν καὶ καρπῶν
αἴτησις ‖ εἰς ἀντίδοσιν τῆς τοῦ σώματος ὥρας προκαλεῖται τοὺς 554a
λαβόντας. ἢ τὴν τούτων ὥραν παραψυχὴν καὶ παραμυθίαν τῆς
10 τῶν ἐρωμένων ὥρας ταῖς ἐπιθυμίαις χαίροντες ἔχουσιν αὐτοῖς·
ἐκκρούεται γὰρ ὑπὸ τῆς τούτων παρουσίας ὁ τῶν ἐρωμένων πόθος.
εἰ μὴ ἄρα τοῦ περὶ αὐτοὺς κόσμου χάριν καθάπερ ἄλλο τι τῶν
πρὸς καλλωπισμὸν συντεινόντων ἔχουσί τε ταῦτα καὶ χαίρουσιν
αὐτοῖς· οὐ γὰρ μόνον στεφανουμένων τοῖς ὡραίοις ἄνθεσιν ἀλλὰ
15 καὶ μετὰ χεῖρας ἐχόντων τὸ πᾶν εἶδος ἐπικοσμεῖται. τάχα | δ᾽ ἴσως 554b
διὰ τὸ φιλοκάλους εἶναι· δηλοῖ δὲ τὸ τῶν καλῶν ἐρᾶν καὶ πρὸς τὰ
ὡραῖα φιλικῶς ἔχειν· καλὸν γὰρ τὸ τῆς ὀπώρας καὶ τὸ τῆς ὥρας
ὄντως πρόσωπον ἔν τε καρποῖσι καὶ ἄνθεσι θεωρούμενον. ἢ πάντες
οἱ ἐρῶντες οἷον ἐκτρυφῶντες ὑπὸ τοῦ πάθους καὶ ὡριαινόμενοι τοῖς
20 ὡραίοις ἁβρύνονται; φυσικὸν γὰρ δή τι τὸ τοὺς οἰομένους εἶναι
καλοὺς καὶ ὡραίους ἀνθολογεῖν. ὅθεν αἵ τε περὶ τὴν Φερσεφόνην
ἀνθολογεῖν λέγονται (*h.Cer.* 5–8) καὶ Σαπφώ (fr. 122) φησιν ἰδεῖν

ἄνθε᾽ ἀμέργουσαν παῖδ᾽ ἄγαν ἀπαλάν.

[80] οὕτω δ᾽ | ἐξήρτηντο τῶν ἡδυπαθειῶν οἱ τότε ὡς καὶ Καλλιπύ- 554c
25 γου Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι ἀπὸ τοιαύτης αἰτίας· ἀνδρὶ
ἀγροίκῳ ἐγένοντο δύο καλαὶ θυγατέρες. αὗται φιλονικήσασαί
ποτε πρὸς ἑαυτὰς προελθοῦσαι ἐπὶ τὴν λεωφόρον διεκρίνοντο

3 ὄψεως A : φύσεως Dalechamps (*naturae*) : ὀρέξεως Jacobs ‖ **4** ἐντυχίας Meineke : εὐτυχίας A ‖ **5** μὲν Musurus : δὲ A ‖ **6** ⟨τὸ⟩ add. Kaibel, ducente Meineke ‖ **7** fort. ⟨μετὰ⟩ τῶν ὡραίων ἀνθῶν καὶ καρπῶν ‖ **8** αἴτησις ⟨τὴν βούλησιν μηνύει τῶν αἰτούντων, ἡ δὲ παράληψις⟩ εἰς ἀντίδοσιν Kaibel **9–10** τῆς τῶν ἐρωμένων A : ἐπὶ del. Kaibel ‖ **10** χαίροντες ἔχουσιν A : ἔχοντες χαίρουσιν Wilamowitz ‖ **17** τὸ τῆς ὀπώρας καὶ Kaibel, ducente Casaubon : ὅτι τὰς ὀπώρας καὶ A : del. Dindorf ‖ **21** Φερσεφόνην A : Περσεφόνην B ‖ **23** ἀμέργουσαν A : ἀμέργοισαν Neue | ἀπαλάν A : ἀπαλήν A[s] M P Mus ‖ **26** φιλονικήσασαί Kaibel : φιλονεικήσασαί A C E

ποτέρα εἴη καλλιπυγοτέρα, καί ποτε παρίοντος νεανίσκου πατέρα
πρεσβύτην ἔχοντος ἐπέδειξαν ἑαυτὰς καὶ τούτῳ. καὶ ὃς θεασάμε-
νος ἔκρινε τὴν πρεσβυτέραν, ἧς καὶ εἰς ἔρωτα ἐμπεσὼν ἐλθὼν εἰς
ἄστυ κλινήρης γίνεται καὶ διηγεῖται τὰ γεγενημένα τῷ ἀδελφῷ |
554d ἑαυτοῦ ὄντι νεωτέρῳ. ὁ δὲ καὶ αὐτὸς ἐλθὼν εἰς τοὺς ἀγροὺς καὶ 5
θεασάμενος τὰς παῖδας ἐρᾷ καὶ αὐτὸς τῆς ἑτέρας. ὁ οὖν πατὴρ ἐπεὶ
παρακαλῶν αὐτοὺς ἐνδοξοτέρους λαβεῖν γάμους οὐκ ἔπειθεν,
ἄγεται ἐκ τοῦ ἀγροῦ τὰς παῖδας αὐτοῖς πείσας ἐκείνων τὸν πατέρα
καὶ ζεύγνυσι τοῖς υἱοῖς. αὗται οὖν ὑπὸ τῶν πολιτῶν Καλλίπυγοι
ἐκαλοῦντο, ὡς καὶ ὁ Μεγαλοπολίτης Κερκιδᾶς ἐν τοῖς Ἰάμβοις (fr. 10
14, p. 213 Powell) ἱστορεῖ λέγων·

ἦν καλλιπύγων ζεῦγος ἐν Συρακούσαις.

αὗται οὖν ἐπιλαβόμεναι οὐσίας λαμπρᾶς ἱδρύσαντο Ἀφροδίτης
554e ἱερὸν καλέσασαι Καλλίπυγον τὴν | θεόν, ὡς ἱστορεῖ καὶ Ἀρχέλαος
ἐν τοῖς Ἰάμβοις (*SH* 131). [**81**] ἐν μανίᾳ δὲ τρυφὴν ἡδίστην 15
γενομένην οὐκ ἀηδῶς ὁ Ποντικὸς Ἡρακλείδης διηγεῖται ἐν τῷ
Περὶ Ἡδονῆς (fr. 56 Wehrli = fr. 40 Schütrumpf) οὕτω γράφων· ὁ
Αἰξωνεὺς Θράσυλλος ὁ Πυθοδώρου διετέθη ποτὲ ὑπὸ μανίας
τοιαύτης ὡς πάντα τὰ πλοῖα τὰ εἰς τὸν Πειραιᾶ καταγόμενα
ὑπολαμβάνειν ἑαυτοῦ εἶναι, καὶ ἀπεγράφετο αὐτὰ καὶ ἀπέστελλε 20
καὶ διῴκει, καὶ καταπλέοντα ἀπεδέχετο μετὰ χαρᾶς τοσαύτης
ὅσησπερ ἄν τις τοσούτων χρημάτων κύριος ὤν. καὶ τῶν μὲν
554f ἀπολομένων οὔτε ⟨… οὔτε⟩ | ἐπεζήτησε, τοῖς δὲ σῳζομένοις ἔχαιρε
καὶ διῆγε μετὰ πλείστης ἡδονῆς. ἐπεὶ δὲ ὁ ἀδελφὸς αὐτοῦ Κρίτων
ἐκ Σικελίας ἐπιδημήσας συλλαβὼν αὐτὸν παρέδωκεν ἰατρῷ καὶ 25
τῆς μανίας ἐπαύσατο, διηγεῖτο οὐδεπώποτε φάσκων κατὰ τὸν

554e–f cf. Ael. *VH* 4.25

1 ποτε A : τότε Schweighäuser ‖ **6** οὖν Dindorf : γοῦν A : δ᾽ οὖν Kaibel **12** ἦν M P Mus : † η † A ‖ **18** Αἰξωνεὺς Θράσυλλος, i.e. -ΥΛΛΟΣ Kaibel ex Ael. : Ἀξωνεὺς Θρασύλαος, i.e. -ΥΛΑΟΣ A : Θρασύλαος C E ‖ **20** ἀπέστελλε Meineke : ἀπέστειλε A : ἐξέπεμπε Ael. ‖ **22** τις εἴη A : εἴη om. C E : τις ἡσθείη Meineke ‖ **23** lac. indicavi ‖ **25** ἰατρῷ A : ἰα^τρ^ E : ἰατροῖς C ‖ **26** lac. post. διηγεῖτο indic. Meineke : διηγεῖτο ⟨πολλάκις περὶ τῆς ἐν μανίᾳ διατριβῆς⟩ Kaibel ex Ael.

βίον ἡσθῆναι πλείονα· λύπην μὲν γὰρ οὐδ᾽ ἡντινοῦν αὐτῷ παραγί-
νεσθαι, τὸ δὲ τῶν ἡδονῶν πλῆθος ὑπερβάλλειν.

1–2 παραγίνεσθαι, i.e. π^{ε}γ- A : π^{ε}γίνεσθαι E^{s} : περιγίνεσθαι C E

ΙΓ

555a [1] Ἀντιφάνης ὁ κωμῳδιοποιός (test. 8), ἑταῖρε Τιμόκρατες, ὡς ἀνεγίνωσκέ τινα τῷ βασιλεῖ Ἀλεξάνδρῳ τῶν ἑαυτοῦ κωμῳδιῶν, ὁ δὲ δῆλος ἦν οὐ πάνυ τι ἀποδεχόμενος, "δεῖ γάρ," ἔφησεν, "ὦ βασιλεῦ, τὸν ταῦτα ἀποδεχόμενον ἀπὸ συμβόλων τε πολλάκις δεδειπνηκέναι καὶ περὶ ἑταίρας πλεονάκις καὶ εἰληφέναι καὶ 5 δεδωκέναι πληγάς," ὥς φησι Λυκόφρων ὁ Χαλκιδεὺς ἐν τοῖς Περὶ 555b Κωμῳδίας (fr. 13 Strecker). ἡμεῖς οὖν τὸν περὶ ἐρωτικῶν | λόγον ἐνταῦθα μέλλοντες κατατάσσειν (ἐγένοντο γὰρ καὶ περὶ γαμετῶν καὶ ἑταιρῶν πολλάκις λόγοι), κεἰδόσιν ἐκτιθέμενοι τὴν ἱστορίαν, τῶν Μουσῶν τὴν Ἐρατὼ ἐπικαλεσάμενοι εἰς μνήμην ἡμῖν ἰέναι 10 τὸν ἐρωτικὸν ἐκεῖνον κατάλογον ἐντεῦθεν τὴν καταρχὴν ποιησόμεθα (A.R. 3.1)·

εἰ δ' ἄγε νῦν, Ἐρατώ, πάρ θ' ἵστασο καί μοι ἔνισπε,

τίνες λόγοι περὶ αὐτοῦ τοῦ ἔρωτος καὶ τῶν ἐρωτικῶν ἐλέχθησαν. [2] καὶ γὰρ τὰς γαμετὰς ὁ καλὸς ἡμῶν ἑστιάτωρ ἐπαινῶν Ἕρ- 15 μιππον ἔφη ἐν τοῖς Περὶ Νομοθετῶν (fr. 87 Wehrli = *FGrH* 1026 F 555c 6) | ἱστορεῖν ὅτι ἐν Λακεδαίμονι εἰς οἴκημά τι σκοτεινὸν πᾶσαι συνεκλείοντο αἱ κόραι συγκλειομένων καὶ τῶν ἀγάμων νεανίσκων, καὶ ἕκαστος ἧς ἐπιλάβοιτο, ταύτην ἀπῆγεν ἄπροικον· διὸ καὶ Λύσανδρον ἐζημίωσαν, ὅτι καταλιπὼν τὴν προτέραν ἑτέραν 20 ἐβουλεύετο περικαλλεστέραν ἀγαγέσθαι. Κλέαρχος δ' ὁ Σολεὺς ἐν τοῖς Περὶ Παροιμιῶν (fr. 73 Wehrli), ἐν Λακεδαίμονι, φησί, τοὺς ἀγάμους αἱ γυναῖκες ἐν ἑορτῇ τινι περὶ τὸν βωμὸν ἕλκουσαι 555d ῥαπίζουσιν, ἵνα τὴν ἐκ τοῦ πράγματος ὕβριν | φεύγοντες φιλο- στοργῶσί τε καὶ ἐν ὥρᾳ προσίωσι τοῖς γάμοις. ἐν δὲ Ἀθήναις 25 πρῶτος Κέκροψ μίαν ἑνὶ ἔζευξεν ἀνέδην τὸ πρότερον οὐσῶν τῶν συνόδων καὶ κοινογαμίων ὄντων· διὸ καὶ ἔδοξέ τισι διφυὴς νομι- σθῆναι οὐκ εἰδότων τῶν πρότερον διὰ τὸ πλῆθος τὸν πατέρα. ἐκ

556b–e, 555d Eust. p. 1361.18–27, 28–30 = IV.940.2–16, 18–20

4 A C E : ἀποδεξόμενον Meineke ‖ **5** πλεονάκις A : πολλάκις C E **8** κατατάσσειν scripsi : κατατάττειν A ‖ **9** κεἰδόσιν scripsi : εἰδόσιν A **13** πάρ θ'] παρθ' A : παρά θ' A.R. ‖ **18** συνεκλείοντο A C E : ἐνεκλείοντο Kaibel | συγκλειομένων A : συνεγκλειομένων Kaibel ‖ **20** ἑτέραν lmAmg B P Mus : ἑταίραν A C E ‖ **27** συνόδων A : γυναικῶν C : γυν() E

τούτων οὖν τις ὁρμώμενος μέμψαιτ᾽ ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτώ, οὐ τοῦ Δικαίου καλουμένου (οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν) ‖ ἀλλὰ τοῦ τρίτου ἀπ᾽ ἐκείνου· εἰσὶ δὲ Καλλισθένης (*FGrH* 124 F 43), 556a
5 Δημήτριος ὁ Φαληρεύς (*FGrH* 228 F 45b = fr. 94 Wehrli = fr. 105 Fortenbaugh–Schütrumpf), Σάτυρος ὁ Περιπατητικός (fr. 15, *FHG* iii.163 = fr. 17b Schorn), Ἀριστόξενος (fr. 57 Wehrli), οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν ἱστορῶν τοῦτο ἐν τῷ Περὶ Εὐγενείας (fr. 93 Rose = fr. 71.2 Gigon)· εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ
10 ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων, ὥστ᾽ ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον, ὅθεν καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἀποσιωπῆσαι τοῦτο πολλάκις τοῦ Σωκράτους μνημονεύοντας. παρέθετο δὲ ⟨τὸ⟩ περὶ τῶν γυναικῶν ψήφισμα Ἱερώνυμος ὁ Ῥόδιος (fr. 44 Wehrli = fr. 53b White), ὅπερ σοι |
15 διαπέμψομαι εὐπορήσας τοῦ βιβλίου. ἀντεῖπε δὲ τοῖς λέγουσι περὶ 556b τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος (fr. 133 van Straten). [3] παρὰ δὲ Πέρσαις ἀνέχεται ἡ βασίλεια τοῦ πλήθους τῶν παλλακίδων διὰ τὸ ὡς δεσπότην ἄρχειν τῆς γαμετῆς τὸν βασιλέα, ἔτι δὲ καὶ διὰ τὸ τὴν βασιλίδα, ὥς φησι Δίνων ἐν τοῖς
20 Περσικοῖς (*FGrH* 690 F 27), ὑπὸ τῶν παλλακίδων θρησκεύεσθαι· προσκυνοῦσι γοῦν αὐτήν. καὶ ὁ Πρίαμος δὲ πολλαῖς χρῆται γυναιξὶ καὶ ἡ Ἑκάβη οὐ δυσχεραίνει· λέγει γοῦν ὁ Πρίαμος (*Il.* 24.496–7)· |

ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν, 556c
25 τοὺς δ᾽ ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.

παρὰ δὲ τοῖς Ἕλλησιν οὐκ ἀνέχεται ἡ τοῦ Φοίνικος μήτηρ τὴν τοῦ Ἀμύντορος παλλακίδα. Μήδεια δὲ καίπερ εἰδυῖα τὸ ἔθος, ὅτι ἐστὶ βαρβαρικόν, οὐ φέρει οὐδὲ αὐτὴ τὸν Γλαύκης γάμον, ἤδη εἰς τὰ ἀμείνω καὶ Ἑλληνικὰ ἐκδεδιῃτημένη. καὶ ἡ Κλυταιμήστρα δὲ
30 περιπαθὴς γενομένη τὴν Κασσάνδραν σὺν αὐτῷ τῷ Ἀγαμέμνονι

556b–e, 555d Eust. p. 1361.18–27, 28–30 = IV.940.2–16, 18–20 | **556b–c, 557c** Eust. p. 1345.50–5 = IV.889.6–14

2 Ἀριστείδου B M P Mus : Ἀριστίδου A ‖ **12–13** μνημονεύοντας A : μνημονεύσαντες (structura mutata) C E ‖ **13** ⟨τὸ⟩ add. Meineke **25** μεγάροισι B M P Mus et Hom. : μμεγάροισι A ‖ **29** ἡ Κλυταιμήστρα A : Κλυταιμνήστρα (ἡ om.) C E B M P Eust. Mus ‖ **30** τὴν om. C E

ἀποκτείνει, ἣν εἰς τὴν Ἑλλάδα ὁ κρείων ἐπηγάγετο ἐν ἔθει
556d γενόμενος | βαρβαρικῶν γάμων. (Dioscurid. fr. XXVI Weber) θαυμάσαι δ' ἄν τις, φησὶν Ἀριστοτέλης (fr. 144 Rose = fr. 42 Gigon), ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα πᾶσι δοὺς γυναῖκας· κοιμῶνται γοῦν παρ' αὐτῷ 5 καὶ οἱ γέροντες μετὰ γυναικῶν· οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις ἢ διὰ μέθης ἢ δι' ἀφροδισίων ἢ καὶ διὰ τῆς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωντο τῷ γήρᾳ. ἔοικεν οὖν ὁ Σπαρτιάτης αἰδεῖσθαι
556e γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς | καὶ τὴν στρατείαν ἤθροισε· 10 διόπερ φυλάττεται τὴν πρὸς ἄλλην κοινωνίαν. ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται (*Il.* 2.226–8)·

> πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
> εἶσιν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
> πρωτίστῳ δίδομεν. 15

ἀλλ' οὐκ εἰκός, φησὶν ὁ Ἀριστοτέλης, εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον (cf. *Il.* 9.71–2) εἰς τὸ μεθύειν παρεσκευάσατο. [4] ὁ δὲ Ἡρακλῆς πλείστας
556f δόξας ἐσχηκέναι γυναῖκας (ἦν γὰρ φιλογύνης) ἀνὰ | μέρος αὐτὰς εἶχεν, ὡς ἂν στρατευόμενος καὶ κατὰ διάφορα γινόμενος χωρία· ἐξ 20 ὧν καὶ τὸ τῶν τέκνων αὐτῷ πλῆθος ἐγένετο. ἐν ἑπτὰ μέντοι γε ἡμέραις ⟨τὰς⟩ πεντήκοντα διεπαρθένευσε Θεστίου κόρας, ὡς Ἡρόδωρος (*FGrH* 31 F 20 = fr. 20 Fowler) ἱστορεῖ. πολυγύναιος δ' ἐγένετο καὶ Αἰγεύς· πρώτην μὲν γὰρ ἔγημε τὴν Ὅπλητος θυγατέρα, μεθ' ἣν τῶν Χαλκώδοντος μίαν. παραδοὺς δ' ἀμφοτέρας 25 φίλοις συνῆν πολλαῖς χωρὶς γάμων. ἔπειτα τὴν Πιτθέως ἔλαβεν
557a Αἴθραν, μεθ' ἣν Μήδειαν. ‖ Θησεὺς δὲ Ἑλένην ἁρπάσας ἑξῆς καὶ Ἀριάδνην ἥρπασεν· Ἴστρος γοῦν ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τῶν Ἀττικῶν (*FGrH* 334 F 10) καταλέγων τὰς τοῦ Θησέως γενομένας

2 γάμων A : νόμων C : νόμ E ‖ **6** Νέστωρ καὶ Φοῖνιξ post μετὰ γυναικῶν praeb. A C E : ut glossam delevi ‖ **8** τῆς C E : τὰς A ‖ **9** ἔρρωντο C E Mus : ἔρρωνται A ‖ **20** στρατευόμενος A : στρεφόμενος C E | γινόμενος C E : γιγνόμενος A ‖ **22** ⟨τὰς⟩ add. Meineke ‖ **25** Χαλκώδοντος E Eust. Mus : Χαλκόδοντος A C ‖ **28** τῷ τεσσαρεσκαιδεκάτῳ scripsi : τῇ τεσσαρεσκαιδεκάτῃ A

γυναῖκάς φησι τὰς μὲν αὐτῶν ἐξ ἔρωτος γεγενῆσθαι, τὰς δ' ἐξ ἁρπαγῆς, ἄλλας δ' ἐκ νομίμων γάμων· ἐξ ἁρπαγῆς μὲν Ἑλένην, Ἀριάδνην, Ἱππολύτην καὶ τὰς Κερκύονος καὶ Σίνιδος θυγατέρας, νομίμως δ' αὐτὸν γῆμαι Μελίβοιαν τὴν Αἴαντος μητέρα. Ἡσίοδος
5 (fr. 147) δέ φησι καὶ Ἵππην καὶ Αἴγλην, δι' ἣν καὶ τοὺς πρὸς Ἀριάδνην ὅρκους παρέβη, | ὥς φησι Κέρκωψ. Φερεκύδης (*FGrH* 3 F 153) δὲ προστίθησι καὶ Φερέβοιαν. πρὸ δὲ τῆς Ἑλένης καὶ ἐκ Τροιζῆνος ἥρπασεν Ἀναξώ, μετὰ δὲ τὴν Ἱππολύτην Φαίδραν ἔσχε. [5] Φίλιππος δὲ ὁ Μακεδὼν οὐκ ἐπήγετο μὲν εἰς τοὺς
10 πολέμους γυναῖκας ὥσπερ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου καταλυθείς, ὃς περὶ τῶν ὅλων πολεμῶν τριακοσίας ἑξήκοντα περιήγετο παλλακάς, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τρίτῳ Περὶ τοῦ τῆς Ἑλλάδος Βίου (fr. 64 Wehrli = fr. 77 Mirhady)· ὁ δὲ Φίλιππος ἀεὶ κατὰ πόλεμον ἐγάμει· ἐν ἔτεσι γοῦν εἴκοσι καὶ δυσὶν οἷς ἐβασίλευεν, ὥς
15 φησι Σάτυρος | ἐν τῷ Περὶ τοῦ Βίου αὐτοῦ (fr. 5, *FHG* iii.161 = fr. 25 Schorn), Αὐδάταν Ἰλλυρίδα γήμας ἔσχεν ἐξ αὐτῆς θυγατέρα Κύνναν· ἔγημε δὲ καὶ Φίλαν ἀδελφὴν Δέρδα καὶ Μαχάτα· οἰκειώσασθαι δ' ἐθέλων καὶ τὸ Θετταλῶν ἔθνος ἐπαιδοποιήσατο ἐκ δύο Θετταλίδων γυναικῶν, ὧν ἡ μὲν ἦν Φεραία Νικησίπολις, ἥτις
20 αὐτῷ ἐγέννησε Θετταλονίκην, ἡ δὲ Λαρισαία Φίλιννα, ἐξ ἧς Ἀρριδαῖον ἐτέκνωσε. προσεκτήσατο δὲ καὶ τὴν Μολοττῶν βασιλείαν γήμας Ὀλυμπιάδα, ἐξ ἧς ἔσχεν Ἀλέξανδρον καὶ Κλεοπάτραν. καὶ τὴν Θρᾴκην δὲ | ὅτε εἷλεν, ἧκε πρὸς αὐτὸν Κοθήλας ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἄγων Μήδαν τὴν θυγατέρα καὶ δῶρα πολλά·
25 γήμας δὲ καὶ ταύτην ἐπεισήγαγε τῇ Ὀλυμπιάδι. ἐπὶ πάσαις δ' ἔγημε Κλεοπάτραν ἐρασθεὶς τὴν Ἱπποστράτου μὲν ἀδελφήν, Ἀττάλου δὲ ἀδελφιδῆν, καὶ ταύτην ἐπεισάγων τῇ Ὀλυμπιάδι ἅπαντα τὸν βίον τὸν ἑαυτοῦ συνέχεεν· εὐθέως γὰρ ἐν αὐτοῖς τοῖς γάμοις ὁ μὲν Ἄτταλος, "νῦν μέντοι γνήσιοι", ἔφη, "καὶ οὐ νόθοι

557b 557c 557d

556b–c, 557c Eust. p. 1345.50–5 = IV.889.6–14

1 ἐξ ἔρωτος et τὰς δ' del. Jacoby, cf. ἐξ ἁρπαγῆς μὲν ... νομίμως δ' infra **3** Σίνιδος, i.e. ΣΙΝ- P Mus : † εινιδος †, i.e. ΕΙΝ- A ‖ **5** Ἵππην A : Ἰόπην Plut. *Thes.* 29.1 ‖ **8** Τροιζῆνος Jahn, cf. Plut. *Thes.* 29.1 Τροιζηνίαν : Τροίας A **13** ἀεὶ B M P Mus : αἰεὶ A ‖ **14** δυσὶν Schweighäuser : δύο A : καὶ δύο/δυσὶν del. Musurus : δ' Kaibel | ἐβασίλευεν Kaibel : ἐβασίλευσεν A ‖ **29** μέντοι A C E : "suspectum" Kaibel

βασιλεῖς γεννηθήσονται.” καὶ Ἀλέξανδρος ἀκούσας ἔβαλεν ᾗ μετὰ
557e χεῖρας εἶχε | κύλικι τὸν Ἄτταλον, ἔπειτα κἀκεῖνος αὐτὸν τῷ ποτη-
ρίῳ. καὶ μετὰ ταῦτα Ὀλυμπιὰς μὲν εἰς Μολοττοὺς ἔφυγεν,
Ἀλέξανδρος δ’ εἰς Ἰλλυριούς. καὶ ἡ Κλεοπάτρα δ’ ἐγέννησε τῷ
Φιλίππῳ θυγατέρα τὴν κληθεῖσαν Εὐρώπην. φιλογύνης δ’ ἦν καὶ 5
Εὐριπίδης ὁ ποιητής· Ἱερώνυμος γοῦν ἐν Ἱστορικοῖς Ὑπομνήμασί
(fr. 36 Wehrli = fr. 33 White) φησιν οὕτως· εἰπόντος Σοφοκλεῖ (test.
58a) τινος ὅτι μισογύνης ἐστὶν Εὐριπίδης (test. 107a), “ἔν γε ταῖς
τραγῳδίαις,” ἔφη ὁ Σοφοκλῆς· “ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης.”
557f [**6**] αἱ δὲ γαμεταὶ ἡμῶν γυναῖκες | οὐκ εἰσι τοιαῦται οἵας Εὔβουλός 10
φησιν ἐν Στεφανοπώλισι (fr. 97)·

μὰ Δί’ οὐχὶ περιπεπλασμέναι ψιμυθίοις,
οὐδ’ ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους
κεχριμέναι. κἂν ἐξίητε τοῦ θέρους,
ἀπὸ τῶν μὲν ὀφθαλμῶν ὑδρορρόαι δύο 15
ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς 5
ἐπὶ τὸν τράχηλον ἄλοκα μιλτώδη ποιεῖ,
ἐπὶ τῷ προσώπῳ δ’ αἱ τρίχες φορούμεναι ‖
558a εἴξασι πολιαῖς, ἀνάπλεῳ ψιμυθίου.

Ἀναξίλας δὲ ἐν Νεοττίδι (fr. 22) φησίν· 20

ὅστις ἀνθρώπων ἑταίραν ἠγάπησε πώποτε,
οὐ γένος τις ἂν δύναιτο παρανομώτατον φράσαι·
τί γὰρ ἢ δράκαιν’ ἄμικτος ἢ Χίμαιρα πύρπνοος
ἢ Χάρυβδις ἢ τρίκρανος Σκύλλα, ποντία κύων,
Σφίγξ, Ὕδρα, λέαιν’, ἔχιδνα, πτηνά θ’ Ἁρπυιῶν γένη, 5 25
εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους; |

557f–8a Eust. p. 976.56–9 = III.611.16–21 | **558a** Eust. p. 1714.37–9 = ii.13.28–31

1 γεννηθήσονται A : γεννήσονται C E | ὁ Ἀλέξανδρος A : ὁ om. C E ‖ **2–3** τῷ ποτηρίῳ A C E : fort. ut glossa delenda : τῷ ⟨ἑαυτοῦ⟩ ποτηρίῳ Kaibel ‖ **9** ὁ Σοφοκλῆς A : Σοφοκλῆς C E : om. B, fort. recte | γε A C E : del. Kaibel **12** ψιμυθίοις A : ψιμμυθίῳ C E Eust. : fort. ψιμυθίῳ ‖ **14** ἐξίητε C E B Eust. Mus : ἐξείητε A ‖ **15** ὑδρορρόαι C E M P Eust. Mus : ὑδρορόαι A ‖ **22** οὐ … τις A C E Eust. : οὗ … τίς Wyttenbach | παρανομώτατον A C Eust. : παρανομώ[ττ] E : παρανομώτερον, i.e. παρανομώ[τρ] Grotius ‖ **23** τί A C E Eust. : τίς Grotius | ἄμικτος A C E Eust. : ἄμεικτος Nauck

οὐκ ἔνεσθ᾽· αὗται δ᾽ ἁπάντων ὑπερέχουσι τῶν κακῶν. 558b
ἔστι δὲ σκοπεῖν ἀπ᾽ ἀρχῆς πρῶτα μὲν τὴν Πλαγγόνα,
ἥτις ὥσπερ ἡ Χίμαιρα πυρπολεῖ τοὺς βαρβάρους.
εἷς μόνος δ᾽ ἱππεύς τις αὐτῆς τὸν βίον παρείλετο· 10
5 πάντα τὰ σκεύη γὰρ ἕλκων ᾤχετ᾽ ἐκ τῆς οἰκίας.
οἱ Σινώπῃ δ᾽ αὖ συνόντες οὐχ Ὕδρᾳ σύνεισι νῦν;
γραῦς μὲν αὐτή, παραπέφυκε δ᾽ ἡ Γνάθαινα πλησίον, |
ὡς τὰ πολλα γ᾽ εἰσὶ † ταύτης ἐστὶ διπλάσιον κακόν. 558c
ἡ δὲ Νάννιον τί νῦν διαφέρειν Σκύλλης δοκεῖ; 15
10 οὐ δύ᾽ ἀποπνίξασ᾽ ἑταίρους τὸν τρίτον θηρεύεται
ἔτι λαβεῖν; ἀλλ᾽ ἐξέπεσε † πορθμὶς ἐλατίνῳ πλάτῃ.
ἡ δὲ Φρύνη τὴν Χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ
τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ᾽ αὐτῷ σκάφει;
ἡ Θεανὼ δ᾽ οὐχὶ Σειρήν ἐστιν ἀποτετιλμένη; | 20
15 βλέμμα καὶ φωνὴ γυναικός, τὰ σκέλη δὲ κοψίχου. 558d
Σφίγγα Θηβαίαν δὲ πάσας ἐστὶ τὰς πόρνας καλεῖν,
αἳ λαβοῦσ᾽ ἁπλῶς μὲν οὐδέν, ἀλλ᾽ ἐν αἰνιγμοῖς τισιν,
ὡς ἐρῶσι καὶ φιλοῦσι καὶ σύνεισιν ἡδέως.
εἶτα, "τετράπους μοι γένοιτο", φησί, "† τήνπρος † ἢ θρόνος," 25
20 εἶτα δή· "τρίπους τις," εἶτα, φησί· "παιδίσκη δίπους."
εἶθ᾽ ὁ μὲν γνοὺς ταῦτ᾽ ἀπῆλθεν εὐθὺς ὥσπερ
οὐδ᾽ ἰδεῖν δόξας ἐκείνην, σῴζεται δ᾽ ἄκων μόνος. |
οἱ δ᾽ ἐρᾶσθαι προσδοκῶντες εὐθύς εἰσιν ἠρμένοι 558e
καὶ φέρονθ᾽ ὑψοῦ πρὸς αἴθραν. συντεμόντι δ᾽ οὐδὲ ἓν 30
25 ἔσθ᾽ ἑταίρας, ὅσα πέρ ἐστιν θηρί᾽, ἐξωλέστερον.

[7] τοιαῦτα πολλὰ τοῦ Λαρηνσίου λέγοντος ὁ Λεωνίδης ψέγων τὸ τῆς γαμετῆς ὄνομα τὰ ἐκ τῶν Μάντεων Ἀλέξιδος (fr. 150) προηνέγκατο ταυτὶ τῶν ἐπῶν·

ὦ δυστυχεῖς ἡμεῖς πεπρακότες
30 τὴν τοῦ βίου παρρησίαν καὶ τὴν τρυφὴν |
γυναιξὶ δοῦλοι ζῶμεν ἀντ᾽ ἐλευθέρων. 558f

8 ὡς τὰ πολλα γ᾽ εἰσὶ A : ὥστ᾽ ἀπαλλαγεῖσι Dobree ‖ **9** νῦν A : νυνὶ Jacobs **17** λαβοῦσ᾽ A : λαβοῦσαι C E : λαλοῦσ᾽ Casaubon ‖ **19** † τήνπρος † A : σκίμπους C E Mus ‖ **21** γ᾽ post ὥσπερ praeb. C E B M P Mus ‖ **23** εὐθύς C E B M P Mus : † εὔθεσ † A | ἠρμένοι C E B M Mus : ἡρμένοι A

ἔπειτ᾽ ἔχειν προῖκ᾽, οὐχὶ τιμὴν πάσχομεν;
πικράν γε καὶ μεστὴν γυναικείας χολῆς· 5
ἡ τῶν γὰρ ἀνδρῶν ἐστι πρὸς κείνην μέλι.
οἱ μέν γε συγγνώμην ἔχουσιν ἀδικούμενοι,
αὗται δ᾽ ἀδικοῦσαι καὶ προσεγκαλοῦσ᾽ ἔτι. 5
ὧν οὐκ ἐχρῆν ἄρχουσιν, ὧν δ᾽ ἄρχειν ἐχρῆν
ἀμελοῦσιν, ἐπιορκοῦσιν, οὐδὲ ἓν κακὸν 10
ἔχουσι καὶ κάμνειν λέγουσιν ἑκάστοτε. ‖

559a Ξέναρχος δ᾽ ἐν Ὕπνῳ (fr. 14) φησίν·

εἶτ᾽ εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες, 10
ὧν ταῖς γυναιξὶν οὐδ᾽ ὁτιοῦν φωνῆς ἔνι;

Φιλέταιρος Κορινθιαστῇ (fr. 5)·

ὡς τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ᾽ ἔχει.
οὐκ ἐτὸς Ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ᾽ οὐχὶ Γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος. 15

Ἄμφις δ᾽ ἐν Ἀθάμαντι (fr. 1)·

εἶτ᾽ οὐ γυναικός ἐστιν εὐνοϊκώτερον
γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ᾽ εἰκότως· |
559b ἡ μὲν νόμῳ γὰρ καταφρονοῦσ᾽ ἔνδον μένει,
ἡ δ᾽ οἶδεν ὅτι ἢ τοῖς τρόποις ὠνητέος 20
ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον. 5

[8] Εὔβουλος δ᾽ ἐν Χρυσίλλᾳ (fr. 115.1–5)·

κακὸς
κακῶς ἀπόλοιθ᾽ ὅστις γυναῖκα δεύτερον
ἔγημε· τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς· 25

559a Eust. p. 1423.28–9 = i.67.29–30 | **559a** *Suda* ξ 22

1 προῖκ᾽ Musurus : προῖκα A ‖ **3** πρὸς κείνην B M P Mus : † προσκεινην † A : πρὸς ἐκείνην Dindorf ‖ **3–4** μέλι· / οἱ μέν γε Musurus : † μενλιοιμενγε † A ‖ **4** ἔχουσιν A : ἔχουσ᾽ Morelius ‖ **8** λέγουσιν] † λεγουσιν † A : λέγουσ᾽ Dindorf ‖ **10** εἶτ᾽ εἰσὶν C E Eust. Mus : † εἰτισιν † A ‖ **11** γυναιξὶν C E B M P Eust. Mus : γυναιξὶ A ‖ **13** βλέμμ᾽ C E M P Mus : βλέμμα A ‖ **24** ἀπόλοιθ᾽ Musurus : ἀπόλοιτο A C E | δεύτερον, i.e. δεύ$^{τρ()}$ vel sim. A : δευτέραν C E : δεύτερος Meineke

ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ,
ὁ δ' οἷον ἦν γυνὴ κακὸν πεπεισμένος. 5

καὶ προελθών φησιν (fr. 115.6–15)·

ὦ Ζεῦ πολυτίμητ', εἶτ' ἐγώ ποτε κακῶς |
5 ἐρῶ γυναῖκας; νὴ Δί' ἀπολοίμην ἄρα, 559c
πάντων ἄριστον κτημάτων. εἰ δ' ἐγένετο
κακὴ γυνὴ Μήδεια, Πηνελόπη δὲ
μέγα πρᾶγμ'. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή· 10
Ἄλκηστιν ἀντέθηκα χρηστήν. ἀλλ' ἴσως
10 Φαίδραν ἐρεῖ κακῶς τις· ἀλλὰ νὴ Δία
χρηστή — τίς ἦν μέντοι; τίς; οἴμοι δείλαιος,
ταχέως γέ μ' αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,
τῶν δ' αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω. 15

Ἀριστοφῶν δ' ἐν Καλλωνίδῃ (fr. 6)· |

15 κακὸς κακῶς γένοιθ' ὁ γήμας δεύτερον 559d
θνητῶν· ὁ μὲν γὰρ πρῶτος οὐδὲν ἠδίκει·
οὔπω γὰρ εἰδὼς οὗτος οἷον ἦν κακὸν
ἐλάμβανεν γυναῖχ', ὁ δ' ὕστερον λαβὼν
εἰς προὖπτον εἰδὼς αὑτὸν ἐνέβαλεν κακόν. 5

20 καὶ Ἀντιφάνης ἐν Φιλοπάτορι (fr. 220)·

(A.) γεγάμηκε δήπου. (B.) σὺ τί λέγεις; ἀληθινῶς
γεγάμηκεν, ὃν ἐγὼ ζῶντα περιπατοῦντα
κατέλιπον;

Μένανδρος δ' ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι (fr. 64)· |

25 (A.) οὐ γαμεῖς ἂν νοῦν ἔχῃς, 559e
τοῦτον καταλιπὼν τὸν βίον. γεγάμηκα γὰρ
αὐτός, διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.

2 πεπεισμένος A C E : πεπυσμένος Porson ‖ **3** προελθών C E : προσελθών A ‖ **4** πολυτίμητ' Musurus : πολυτίμητε A C E | ποτε κακῶς A C E : κακῶς ποτε Morelius ‖ **8** πρᾶγμ' M P Mus : πρᾶγμα A C E | Κλυταιμνήστρα A C E : Κλυταιμήστρα Nauck ‖ **15** γένοιθ' M P Mus : γένοιτο A ‖ **18** γυναῖχ' Musurus : γυναῖκα A ‖ **21** σὺ τί A : τί C E : τί σὺ Dobree ‖ **25** ἂν C E : ἐὰν A

(B.) δεδογμένον τὸ πρᾶγμ᾽· ἀνερρίφθω κύβος.
(A.) πέραινε, σωθείης δέ. νῦν ἀληθινὸν 5
εἰς πέλαγος σεαυτὸν ἐμβάλλεις γὰρ πραγμάτων,
οὐ Λιβυκὸν οὐδ᾽ Αἰγαῖον,
οὗ τῶν τριάκοντ᾽ οὐκ ἀπόλλυται τρία 5
πλοιάρια. γήμας δ᾽ οὐδὲ εἷς σέσωσθ᾽ ὅλως.

ἐν δὲ Ἐμπιμπραμένῃ (Men. fr. 119)·

ἐξώλης ἀπόλοιθ᾽ ὅστις ποτὲ |
559f ὁ πρῶτος ἦν ὁ γήμας, ἔπειθ᾽ ὁ δεύτερος,
εἶθ᾽ ὁ τρίτος, εἶθ᾽ ὁ τέταρτος, εἶθ᾽ ὁ μεταγένης. 10

Καρκίνος δ᾽ ὁ τραγικὸς ἐν Σεμέλῃ, ἧς ἀρχή (*TrGF* 70 F 2)·

ὦ νύκτες,

φησίν (*TrGF* 70 F 3)·

ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν;
ἀρκοῦν ἂν εἴη κἂν "γυναῖκ'" εἴπῃς μόνον. 15

[9] οὐκ αἰσθάνονται δ᾽ οὐδ᾽ οἱ παρ᾽ ἡλικίαν νέας ἀγόμενοι γυναῖκας εἰς προὖπτον κακὸν αὑτοὺς ἐμβάλλοντες, καίτοι τοῦ Μεγαρικοῦ ποιητοῦ (Thgn. 457–60) παραινέσαντος αὐτοῖς· ‖

560a οὔτοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι·
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος, 20
οὐδ᾽ ἄγκυραν ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα. 460

καὶ Θεόφιλος δὲ ἐν Νεοπτολέμῳ (fr. 6) ἔφη·

οὐ συμφέρον νέα ᾽στὶ πρεσβύτῃ γυνή·
ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν πείθεται 25
ἑνὶ πηδαλίῳ, τὸ πεῖσμ᾽ ἀπορρήξασα

560a Eust. p. 1345.56–7 = IV.889.15–17

1 ἀνερρίφθω Musurus : ἀνερίφθω A ‖ **3** σεαυτὸν A : αὑτὸν M P Mus ἐμβάλλεις A P^pc : ἐμβάλεις B : ἐμβαλεῖς P^ac et Morelius ‖ **9** ὁ γήμας A C E : ὁ del. Schweighäuser ‖ **21** ἄγκυραν A C E Eust. : ἄγκυραι Thgn. ‖ **26** πεῖσμ᾽ M P Mus : πίσμ᾽ (vox nihili) A

ἐκ νυκτὸς ἕτερον λιμένʼ ἔχουσʼ ἐξευρέθη. |

[10] οὐδένα δὲ ὑμῶν ἀγνοεῖν οἴομαι, ἄνδρες φίλοι, ὅτι καὶ οἱ μέγιστοι πόλεμοι διὰ γυναῖκας ἐγένοντο, ὁ Ἰλιακὸς διʼ Ἑλένην καὶ ὁ ἱερὸς δὲ καλούμενος πόλεμος διʼ ἑτέραν γαμετήν, φησὶ Δοῦρις ἐν δευτέρᾳ Ἱστοριῶν (*FGrH* 76 F 2), Θηβαίαν γένος, ὄνομα Θεανώ, ἁρπασθεῖσαν ὑπὸ Φωκέως τινός. δεκαετὴς δὲ καὶ οὗτος γενόμενος τῷ δεκάτῳ ἔτει Φιλίππου συμμαχήσαντος πέρας ἔσχε· τότε γὰρ εἷλον οἱ Θηβαῖοι τὴν Φωκίδα. καὶ ὁ Κρισαϊκὸς δὲ πόλεμος | ὀνομαζόμενος, ὥς φησι Καλλισθένης ἐν τῷ Περὶ τοῦ Ἱεροῦ Πολέμου (*FGrH* 124 F 1), ὅτε Κιρραῖοι πρὸς Φωκεῖς ἐπολέμησαν, δεκαετὴς ἦν ἁρπασάντων Κιρραίων τὴν Πελάγοντος τοῦ Φωκέως θυγατέρα Μεγιστὼ καὶ τὰς Ἀργείων θυγατέρας ἐπανιούσας ἐκ τοῦ Πυθικοῦ ἱεροῦ· δεκάτῳ δὲ ἔτει ἑάλω καὶ ἡ Κίρρα. ἀνετράπησαν δὲ καὶ ὅλοι οἶκοι διὰ γυναῖκας, ὁ Φιλίππου τοῦ Ἀλεξάνδρου πατρὸς διὰ τὸν Κλεοπάτρας γάμον, ὁ Ἡρακλέους διὰ τὴν Ἰόλης ἐπιγαμίαν τῆς Εὐρύτου θυγατρός, ὁ Θησέως διὰ τὴν | Φαίδρας τῆς Μίνωος, ὁ Ἀθάμαντος διὰ τὴν Θεμιστοῦς τῆς Ὑψέως, ὁ Ἰάσονος διὰ τὴν Γλαύκης τῆς Κρέοντος, ὁ Ἀγαμέμνονος διὰ Κασσάνδραν. καὶ ἡ ἐπʼ Αἴγυπτον δὲ Καμβύσου στρατεία, ὥς φησι Κτησίας (*FGrH* 688 F 13a), διὰ γυναῖκα ἐγένετο· ὁ γὰρ Καμβύσης πυθόμενος τὰς Αἰγυπτίας γυναῖκας ἐν ταῖς συνουσίαις διαφέρειν τῶν ἄλλων ἔπεμψε πρὸς Ἄμασιν τὸν Αἰγυπτίων βασιλέα μίαν αἰτῶν πρὸς γάμον τῶν θυγατέρων. ὁ δὲ τῶν μὲν ἑαυτοῦ οὐκ ἔδωκεν ὑπονοήσας μὴ γυναικὸς | ἕξειν αὐτὴν τιμὴν ἀλλὰ παλλακίδος, ἔπεμψε δὲ τὴν Ἀπρίου θυγατέρα Νειτῆτιν. ὁ δὲ Ἀπρίας ἐκπεπτώκει τῆς Αἰγυπτίων βασιλείας διὰ τὴν γενομένην ἧτταν πρὸς Κυρηναίους καὶ ἀνῄρητο ὑπὸ Ἀμάσιδος. ἡσθεὶς οὖν ὁ Καμβύσης τῇ Νειτήτιδι καὶ σφόδρα ἐρεθισθεὶς ἐκμανθάνει παρʼ αὐτῆς τὰ πάντα, καὶ δεηθείσης ἐκδικῆσαι τοῦ Ἀπρίου τὸν φόνον

560b 5 560c 10 15 560d 20 560e 25

560b–e Eust. p. 1244.43–8 = IV.531.18–26

1 λιμένʼ B M P Mus : λιμένα A ‖ **3** ὁ λοιμὸς διὰ Χρυσηΐδα, Ἀχιλλέως μῆνις διὰ Βρισηΐδα post διʼ Ἑλένην praeb. A C E : ut glossam delevi ‖ **16** τὴν^2 A : τὸν C E Eust. ‖ **17** τὴν Kaibel : τὸν A C E ‖ **18** τὴν Kaibel : τὸν A C E **21** πυθόμενος C E : πυνθανόμενος A | γυναῖκας A : om. C E, fort. recte **22** τὸν M P Mus : τῶν A ‖ **28** ἐρεθισθεὶς Musurus : αἱρεθισθεὶς A : ἐρασθεὶς Kaibel

πείθεται πολεμῆσαι Αἰγυπτίοις. Δίνων δ᾽ ἐν τοῖς Περσικοῖς (*FGrH* 690 F 11) καὶ Λυκέας ὁ Ναυκρατίτης ἐν τρίτῃ Αἰγυπτιακῶν (*FGrH*
560f 613 F 1) | τὴν Νειτῆτιν Κύρῳ πεμφθῆναί φασιν ὑπὸ Ἀμάσιδος· ἐξ ἧς γεννηθῆναι τὸν Καμβύσην, ὃν ἐκδικοῦντα τῇ μητρὶ ἐπ᾽ Αἴγυπτον ποιήσασθαι στρατείαν. Δοῦρις δ᾽ ὁ Σάμιος (*FGrH* 76 F 52) καὶ 5 πρῶτον γενέσθαι πόλεμόν φησι δύο γυναικῶν ⟨τὸν⟩ Ὀλυμπιάδος καὶ Εὐρυδίκης, ἐν ᾧ τὴν μὲν βακχικώτερον μετὰ τυμπάνων προελθεῖν, τὴν δὲ Μακεδονικῶς καθωπλισμένην, ἀσκηθεῖσαν τὰ πολεμικὰ παρὰ Κυννάνῃ τῇ Ἰλλυρίδι. ‖

561a [**11**] ἐπὶ τούτοις τοῖς λόγοις ἔδοξε τοῖς παροῦσι τῶν φιλοσόφων 10 περὶ τοῦ ἔρωτος καὶ αὐτούς τι εἰπεῖν καὶ περὶ κάλλους. καὶ ἐλέχθησαν λόγοι φιλόσοφοι πάμπολλοι, ἐν οἷς τινες καὶ ἐμνημόνευσαν τοῦ σκηνικοῦ φιλοσόφου Εὐριπίδου ᾀσμάτων, ὧν ἦν καὶ τάδε (fr. 897)·

> παίδευμα δ᾽ Ἔρως σοφίας † ἀρετῆς 15
> πλεῖστον, ὑπάρχειν
> καὶ προσομιλεῖν οὗτος ὁ δαίμων
> πάντων ἥδιστος ἔφυ θνητοῖς·
> καὶ γὰρ ἄλυπον τέρψιν τιν᾽ ἔχων 5
> εἰς ἐλπίδ᾽ ἄγει. τοῖς δ᾽ ἀτελέστοις 20
> τῶν τοῦδε πόνων μήτε συνείην |
> 561b χωρίς τ᾽ ἀγρίων νέοιμι τρόπων.
> τὸ δ᾽ ἐρᾶν προλέγω τοῖσι νέοισιν
> μήποτε φεύγειν, 10
> χρῆσθαι δ᾽ ὀρθῶς ὅταν ἔλθῃ. 25

καὶ κατὰ τὸν Πίνδαρον (fr. 127.1–2) δὲ ἄλλος τις ἔφη·

> εἴη καὶ ἐρᾶν καὶ ἔρωτι
> χαρίζεσθαι κατὰ καιρόν.

ἕτερος δέ τις προσέθηκε τῶν Εὐριπίδου (fr. 136) τάδε·

1 πείθεται Schweighäuser : πείθει A C E ‖ **4** ⟨τὴν⟩ ἐπ᾽ Kaibel ‖ **6** ⟨τὸν⟩ add. Kaibel ‖ **8** τὴν δ᾽ Εὐρυδίκην A C E : Εὐρυδίκην ut glossam delevi | ἀσκηθεῖσαν A : προησκημένην C E ‖ **13** fort. ⟨τῶν⟩ τοῦ ‖ **15** ἀρετῆς A : ἐρατῆς Housman **16** ὑπάρχειν A : ὑπάρχει, Casaubon ‖ **18** πάντων ἥδιστος ἔφυ θνητοῖς A : θνητοῖς πάντων ἥδιστος ἔφυ Nauck ‖ **21** συνείην Musurus : † συνιην † A **22** νέοιμι A M[s] : ναίοιμι M* Mus ‖ **25** δ᾽ Schweighäuser : δὲ A

σὺ δ', ὦ τύραννε θεῶν τε κἀνθρώπων Ἔρως,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλὰ
ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ,
μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει. |
5 καὶ ταῦτα μὲν δρῶν τίμιος θεοῖς ἔσῃ, 5 561c
μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι φιλεῖν
ἀφαιρεθήσῃ χάριτας αἷς τιμῶσί σε.

[12] Ποντιανὸς δὲ Ζήνωνα ἔφη τὸν Κιτιέα ὑπολαμβάνειν τὸν Ἔρωτα θεὸν εἶναι φιλίας καὶ ἐλευθερίας, ἔτι δὲ καὶ ὁμονοίας
10 παρασκευαστικόν, ἄλλου δὲ οὐδενός· διὸ καὶ ἐν τῇ Πολιτείᾳ (fr. 263, *SVF* i.61 = 67D Long–Sedley) ἔφη τὸν Ἔρωτα θεὸν εἶναι συνεργὸν πρὸς | τὴν τῆς πόλεως σωτηρίαν. ὅτι δὲ καὶ οἱ τούτου 561d πρεσβύτεροι κατὰ φιλοσοφίαν σεμνόν τινα τὸν Ἔρωτα καὶ παντὸς αἰσχροῦ κεχωρισμένον ᾔδεσαν δῆλον ἐκ τοῦ κατὰ τὰ γυμνάσια
15 αὐτὸν συνιδρῦσθαι Ἑρμῇ καὶ Ἡρακλεῖ, τῷ μὲν λόγου, τῷ δ' ἀλκῆς προεστῶτι· ὧν ἑνωθέντων φιλία τε καὶ ὁμόνοια γεννᾶται, δι' ὧν ἡ καλλίστη ἐλευθερία τοῖς ταῦτα μετιοῦσι συναύξεται. Ἀθηναῖοι δὲ τοσοῦτον ἀπέσχον τοῦ συνουσίας τινὸς διαλαβεῖν προεστάναι τὸν Ἔρωτα ὥστε τῆς Ἀκαδημείας | ἐκδήλως τῇ Ἀθηνᾷ καθιερωμένης 561e
20 αὐτόθι τὸν Ἔρωτα ἱδρυσάμενοι συνθύουσιν αὐτῷ· Θεσπιεῖς τε τὰ Ἐρωτίδεια τιμῶσι καθάπερ ⟨Ἀθηναῖοι τὰ Παν⟩αθήναια καὶ ⟨τὰ⟩ Ὀλύμπια Ἠλεῖοι Ῥόδιοί τε τὰ Ἁλίεια· καὶ ἐν ταῖς δημοτελέσι δὲ σπονδαῖς ὡς ἐπίπαν ὁ Ἔρως τιμᾶται. Λακεδαιμόνιοι δὲ πρὸ τῶν παρατάξεων Ἔρωτι προθύονται ὡς ἐν τῇ τῶν παραταττομένων
25 φιλίᾳ κειμένης τῆς σωτηρίας τε καὶ νίκης. καὶ Κρῆτες δ' ἐν ταῖς παρατάξεσι τοὺς καλλίστους τῶν πολιτῶν | κοσμήσαντες διὰ 561f τούτων θύουσι τῷ Ἔρωτι, ὡς Σωσικράτης (*FGrH* 461 F 7) ἱστορεῖ.

561e Eust. p. 1375.2 = IV.985.13–14

1 τύραννε θεῶν τε A : θεῶν τύραννε Luc. *Hist.Consacr.* 1 ‖ **11–12** εἶναι συνεργὸν ὑπάρχοντα A : συνεργὸν C E : ὑπάρχοντα delevi ‖ **12** ὅτι Schweighäuser : ἔτι A ‖ **14** τὰ C E : om. A ‖ **19** Ἀκαδημείας scripsi : Ἀκαδημίας A C E ‖ **21** Ἐρωτίδεια Kaibel : Ἐρωτίδια A C E Eust., cf. Plut. *Mor.* 748f τὰ Ἐρωτίδια Θεσπιέων ἀγόντων | καθάπερ ⟨Ἀθηναῖοι τὰ Παν⟩αθήναια Kaibel : καθάπερ Ἀθήναια A C E, cf. Paus. 8.2.1 : ὡς οἷά ... Παναθήναια (structura mutata) Eust. : καθάπερ Ἀθήναια ⟨Ἀθηναῖοι⟩ M P : καθὰ ⟨Παν⟩αθήναια ⟨Ἀθηναῖοι⟩ Musurus | ⟨τὰ⟩ add. Kaibel ‖ **22** Ἁλίεια Meineke : † αλεια † A : Ἅλια Musurus

ὁ δὲ παρὰ Θηβαίοις ἱερὸς λόχος καλούμενος συνέστηκεν ἐξ ἐραστῶν καὶ ἐρωμένων τὴν τοῦ θεοῦ σεμνότητα ἐμφαίνων ἀσπαζομένων θάνατον ἔνδοξον ἀντ᾽ αἰσχροῦ καὶ ἐπονειδίστου βίου. Σάμιοι δέ, ὥς φησιν Ἐρξίας ἐν Κολοφωνιακοῖς (*FGrH* 449 F 1), 562a γυμνάσιον ‖ ἀναθέντες τῷ Ἔρωτι τὴν διὰ τοῦτον ἀγομένην ἑορτὴν 5 Ἐλευθέρεια προσηγόρευσαν· δι᾽ ὃν θεὸν καὶ Ἀθηναῖοι ἐλευθερίας ἔτυχον, καὶ οἱ Πεισιστρατίδαι ἐκπεσόντες ἐπεχείρησαν διαβάλλειν πρῶτον τὰς περὶ τὸν θεὸν τοῦτον πράξεις.

[13] τούτων λεχθέντων ὁ Πλούταρχος ἀπεμνημόνευσε τῶν ἐκ Φαίδρου Ἀλέξιδος (fr. 247)· 10

πορευομένων δ᾽ ἐκ Πειραιῶς ὑπὸ τῶν κακῶν
καὶ τῆς ἀπορίας φιλοσοφεῖν ἐπῆλθέ μοι. |
562b καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι
τὸν Ἔρωτα, συντομώτατον δ᾽ εἰπεῖν, ὅσοι
τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας· 5 15
ἐστὶν γὰρ οὔτε θῆλυς οὔτ᾽ ἄρσην, πάλιν
οὔτε θεὸς οὔτ᾽ ἄνθρωπος, οὔτ᾽ ἀβέλτερος
οὔτ᾽ αὖθις ἔμφρων, ἀλλὰ συνενηνεγμένος
πανταχόθεν ἑνὶ τύπῳ πόλλ᾽ εἴδη φέρων·
ἡ τόλμα μὲν γὰρ ἀνδρός, ἡ δειλία δὲ 10 20
γυναικός, ἡ δ᾽ ἄνοια μανίας, ὁ δὲ λόγος |
562c φρονοῦντος, ἡ σφοδρότης δὲ θηρός, ὁ δὲ πόνος
ἀδάμαντος, ἡ φιλοτιμία δὲ δαίμονος.
καὶ ταῦτ᾽ ἐγώ, μὰ τὴν Ἀθηνᾶν καὶ θεούς,
οὐκ οἶδ᾽ ὅ τι ἐστίν, ἀλλ᾽ ὅμως ἔχει γέ τι 15 25
τοιοῦτον, ἐγγύς τ᾽ εἰμὶ τοὐνόματος.

Εὔβουλος (fr. 40) δ᾽ ἢ Ἀραρὼς ἐν Καμπυλίωνι·

562a–c Eust. p. 988.13–16 = III.649.14–19 | **563b–c, 562c–d** Eust. p. 987. 20–6 = III.647.4–10

6 Ἐλευθέρεια scripsi : Ἐλευθέρια A ‖ **8** πρῶτον M P Mus : πρῶτοι A **11** πορευομένων A : πορευομένῳ M P Mus ‖ **14** συντομώτατον, i.e. συντομώ^{ττ} A : συντομώτερον, i.e. συντομώ^{τρ} C M Eust. : συντομώ$^{τρ(ον)}$ E ‖ **18** συνενηνεγμένος Kock : συνενηγμένος A : συνηνεγμένος C E B Eust. ‖ **19** φέρων A C E Eust. : φορῶν Herwerden ‖ **20** δειλία δὲ C E Eust. : δειλία A : δὲ δειλία M P Mus ‖ **26** εἰμὶ B : † εἴμη † A | τοὐνόματος Dindorf : τοῦ ὀνόματος A

τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
ἢ κηροπλαστήσας Ἔρωθ' ὑπόπτερον;
ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,
ἀλλ' ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ. |
5 ἐστὶν γὰρ οὔτε κοῦφος οὔτε ῥᾴδιος 5 562d
ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον,
βαρὺς δὲ κομιδῇ. πῶς ἂν οὖν ἔχοι πτερὰ
τοιοῦτο πρᾶγμα; λῆρος, εἰ κἂν φήσειέ τις.

Ἄλεξις δ' ἐν Ἀποκοπτομένῳ (fr. 20)·

10 λέγεται γὰρ λόγος
ὑπὸ τῶν σοφιστῶν, μὴ πέτεσθαι τὸν θεὸν
τὸν Ἔρωτα, τοὺς δ' ἐρῶντας, αἰτίαν δ' ἔχειν
ἐκεῖνον ἄλλως, ἠγνοηκότας δὲ τοὺς |
γραφεῖς ἔχοντα πτέρυγας αὐτὸν ζωγραφεῖν. 5 562e

15 [**14**] Θεόφραστος δ' ἐν τῷ Ἐρωτικῷ (fr. 559) Χαιρήμονά φησι τὸν τραγικὸν (*TrGF* 71 F 16.1) λέγειν ὡς τὸν οἶνον τῶν χρωμένων † κεράννυσθαι, οὕτω καὶ τὸν Ἔρωτα· ὃς μετριάζων μέν ἐστιν εὔχαρις, ἐπιτεινόμενος δὲ καὶ διαταράττων χαλεπώτατος· διόπερ ὁ ποιητὴς οὗτος οὐ κακῶς αὐτοῦ τὰς δυνάμεις διαιρῶν φησι·

20 δίδυμα γὰρ
τόξα αὐτὸν ἐντείνεσθαι χαρίτων,
τὸ μὲν ἐπ' εὐαίωνι τύχᾳ, 550
τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς. (E. *IA* 548–51) |

ὁ δ' αὐτὸς οὗτος ποιητὴς καὶ περὶ τῶν ἐρώντων ἐν τῷ ἐπιγραφο- 562f
25 μένῳ Τραυματίᾳ (Alex. fr. 236) φησὶν οὕτω·

τίς οὐχί φησι τοὺς ἐρῶντας ζῆν μόνους;
ἔδει γε πρῶτον μὲν στρατευτικωτάτους

563b–c, 562c–d Eust. p. 987.20–6 = III.647.4–10

2 Ἔρωθ' Musurus : Ἔρωτα A C E ‖ **8** κἂν φήσειέ] κὰν φήσειέ A : κἄφησέ Dindorf ‖ **16–17** τῶν χρωμένων ⟨τοῖς τρόποις⟩ κεράννυσθαι Grotius ex Plut. *Mor.* 406b ‖ **18** διαταράττων A : διαταραττόμενος C E | post χαλεπώτατος lac. stat. Kaibel, ducente Wilamowitz ‖ **20** γὰρ A : om. C E et Eur.[L] **21** αὐτὸν ἐντείνεσθαι A : ἐντύνεσθαι C E : ἐντείνεται Eur.[L] ‖ **22** τύχᾳ C E : τύχα A : πότμῳ Eur.[L]

εἶναι πονεῖν τε δυναμένους τοῖς σώμασιν
μάλιστα προσεδρεύειν τ᾽ ἀρίστους τῷ πόθῳ,
ποιητικούς, ἰταμούς, προθύμους, εὐπόρους 5
ἐν τοῖς ἀπόροις, βλέποντας ἀθλιωτάτους. ‖

563a Θεόφιλος δ᾽ ἐν τῷ Φιλαύλῳ (fr. 12)· 5

τίς φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν;
ἦ πού τις ἐστὶ τοὺς τρόπους ἀβέλτερος·
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ᾽ οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶ, 5 10
παιδὸς κόρης. οὐ νοῦν ἔχω πρὸς τῶν θεῶν;
κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς·
ἣν ἰδεῖν ἴδιόν ἐστιν ἢ τὸ θεωρικὸν |
563b ἔχουσιν ἡμῖν διανέμειν ἑκάστοτε.

Ἀριστοφῶν δὲ ἐν Πυθαγοριστῇ (fr. 11)· 15

εἶτ᾽ οὐ δικαίως ἔστ᾽ ἀπεψηφισμένος
ὑπὸ τῶν θεῶν τῶν δώδεκ᾽ εἰκότως Ἔρως;
ἐτάραττε κἀκείνους γὰρ ἐμβάλλων στάσεις
ὅτ᾽ ἦν μετ᾽ αὐτῶν. ὡς δὲ λίαν ἦν θρασὺς
καὶ σοβαρός, ἀποκόψαντες αὐτοῦ τὰ πτερά, 5 20
ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,
δεῦρ᾽ αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω,
τὰς δὲ πτέρυγας ἃς εἶχε τῇ Νίκῃ φορεῖν |
563c ἔδοσαν περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων.

περὶ δὲ τοῦ ἐρᾶν Ἄμφις ἐν Διθυράμβῳ (fr. 15) φησί· 25

τί φῄς; σὺ ταυτὶ προσδοκᾷς πείσειν ἐμέ,
ὡς ἔστ᾽ ἐραστὴς ὅστις ὡραίων φιλῶν
τρόπων ἐραστής ἐστι τὴν ὄψιν παρεὶς

563b Eust. p. 880.4–5 = III.310.6–8 | **563b–c, 562c–d** Eust. p. 987.20–6 = III.647.4–10

4 ἀθλιωτάτους A : ἀθλιώτατον Arnott ‖ **10** ἐρῶ A C E : ἐρῶν Casaubon **13** ἰδεῖν ἴδιόν ἐστιν A : ἰδεῖν ἥδιόν ἐστιν B M P Mus : ἐστ᾽ ἰδεῖν ἥδιον Burney **14** ἡμῖν A : ὑμῖν Dalechamps (*vobis*) ‖ **16** εἶτ᾽ M P Mus : ἔτ᾽ A ‖ **27** ὡραίων A E : def. C : ὡραῖον Jacobs

ἄφρων τ᾽ ἀληθῶς; οὔτε τοῦτο πείθομαι
οὔθ᾽ ὡς πένης ἄνθρωπος ἐνοχλῶν πολλάκις 5
τοῖς εὐποροῦσιν οὐ λαβεῖν τι βούλεται.

Ἄλεξις Ἑλένῃ (fr. 70)· |

5 ὡς ὅστις αὖ τῆς ἀκμῆς τῶν σωμάτων 563d
ἐρᾷ, τὸν ἄλλον δ᾽ οὐδὲ γινώσκει χρόνον,
τῆς ἡδονῆς ἐστ᾽ οὐχὶ τῶν φίλων φίλος
ἀδικεῖ τε τὸν Ἔρωτ᾽ ἐμφανῶς θνητὸς θεόν,
ἄπιστον αὐτὸν πᾶσι τοῖς ἄλλοις ποιῶν. 5

10 [15] τούτων τῶν Ἀλέξιδος ἀπομνημονεύσας ὁ Μυρτίλος κᾆτα ἀποβλέψας εἰς τοὺς τὰ τῆς Στοᾶς αἱρουμένους τὰ Ἑρμείου τοῦ Κουριέως ἐκ τῶν Ἰάμβων (p. 237 Powell) προσεῖπεν·

ἀκούσατ᾽, ὦ Στώακες, ἔμποροι λήρου, |
λόγων ὑποκριτῆρες, οἳ μόνοι πάντα 563e
15 τἀν τοῖς πίναξι, πρὶν ἢ τῷ σοφῷ δοῦναι,
αὐτοὶ καταρροφεῖτε κᾆθ᾽ ἁλίσκεσθε
ἐναντία πράσσοντες οἷς τραγῳδεῖτε, 5

παιδοπῖπαι ὄντες καὶ τοῦτο μόνον ἐζηλωκότες τὸν ἀρχηγὸν ὑμῶν τῆς σοφίας Ζήνωνα τὸν Φοίνικα (fr. 247, *SVF* i.58–9), ὃς οὐδέποτε
20 γυναικὶ ἐχρήσατο, παιδικοῖς δ᾽ ἀεί, ὡς Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ ἐν τῷ Περὶ τοῦ Βίου αὐτοῦ (p. 117 Wilamowitz = fr. 33A Dorandi)· θρυλεῖτε γὰρ ὅτι δεῖ μὴ τῶν σωμάτων ἀλλὰ τῆς ψυχῆς ἐρᾶν, μέχρις | ὀκτὼ καὶ εἴκοσι ἐτῶν δεῖν λέγοντες συνέχειν τοὺς 563f ἐρωμένους. καί μοι δοκεῖ Ἀρίστων ὁ Κεῖος ὁ Περιπατητικὸς οὐ

563d–e Eust. p. 1448.2–3 = i.100.42–3 | **563f** Eust. p. 1214.52–4 = IV.428.18–429.1

1 ἄφρων A : σώφρων Dobree | τοῦτο A : τούτῳ E : def. C ‖ **5** αὖ τῆς A : αὖθις C E ‖ **6** γινώσκει A : γιγνώσκει Dindorf | χρόνον A : λόγον M P[pc] Mus **7** ἐστ᾽ B M P Mus : ἐσθ᾽ A : ἐστιν C E ‖ **12** προσεῖπεν scripsi : προειπὼν A **13** Στώακες Dindorf : Στόακες A : Στώακας (structura mutata) C E Eust. **14** ὑποκριτῆρες Musurus : ὑποκρητῆρες (vox nihili) A ‖ **15** πρὶν ἢ] πρινὴ, i.e. -H A : πρίν τι, i.e. -TI Porson ‖ **17** πράσσοντες A : πρήσσοντες Meineke **20** ἀεί B M P Mus : αἰεί A ‖ **22** θρυλεῖτε Dindorf (θρυλλεῖτε iam Musurus) : θρυλεῖται A ‖ **23** οἵτινες μέχρι A : οἵτινες delevi et μέχρις scripsi : οἱ μέχρι Meineke ‖ **24** Κεῖος C Eust. Mus : Κῖος A C[s] E

κακῶς εἰρηκέναι ἐν τῷ δευτέρῳ Περὶ τῶν Ἐρωτικῶν Ὁμοίων (fr. 18 Wehrli = fr. 13A White) πρός τινα Ἀττικὸν μέγαν τινὰ κατὰ τὴν ἡλικίαν ἐπιδεικνύντα ὡς καλόν, ᾧ Δῶρος ἦν τοὔνομα· "τὴν πρὸς Δόλωνά μοι", φησί, "δοκῶ παρ' Ὀδυσσέως ἀπάντησιν (*Il.* 10.401) ἐπὶ σὲ μεταφέρειν· 5

ἦ ῥά νύ τοι μεγάλων Δώρων ἐπεμαίετο θυμός." ‖

564a [**16**] Ἡγήσανδρος δ' ἐν τοῖς Ὑπομνήμασι (fr. 26, *FHG* iv.418) τῶν ἡδυσμάτων φησὶν ἐρᾶν πάντας, οὐ τῶν κρεῶν οὐδὲ τῶν ἰχθύων· ἀπογενομένων γοῦν τούτων οὐδεὶς ἡδέως ἔτι προσφέρεται τὸ κρέας οὐδὲ τὸν ἰχθύν, οὐδ' ἐπιθυμεῖ τῶν ὠμῶν καὶ τῶν ἀνηδύντων. 10 καὶ γὰρ τὸ παλαιὸν παίδων ἤρων, ὡς καὶ Ἀριστοφῶν (Ariston fr. 17 Wehrli = fr. 13A White) ἔφη, ὅθεν καὶ καλεῖσθαι τοὺς ἐρωμένους συνέβη παιδικά· πρὸς ἀλήθειαν γάρ, καθάπερ Κλέαρχος ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν (fr. 22 Wehrli) Λυκοφρονίδην (*PMG* 843) εἰρηκέναι φησίν· 15

564b οὔτε | παιδὸς ἄρρενος οὔτε παρθένων
τῶν χρυσοφόρων οὐδὲ γυναικῶν βαθυκόλπων
καλὸν τὸ πρόσωπον, ἀλλὰ κόσμιον πεφύκει·
ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

καὶ Ἀριστοτέλης (fr. 96 Rose = fr. 43 Gigon) δὲ ἔφη τοὺς ἐραστὰς 20 εἰς οὐδὲν ἄλλο τοῦ σώματος τῶν ἐρωμένων ἀποβλέπειν ἢ τοὺς ὀφθαλμούς, ἐν οἷς τὴν αἰδῶ κατοικεῖν. Σοφοκλῆς (fr. *474) δέ που περὶ Πέλοπος διαλεγομένην ποιήσας Ἱπποδάμειάν φησι·

τοιάνδ' ἐν ὄψει λύγγα θηρατηρίαν |
564c ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων, ἔχει· 25
ᾗ θ' ἅλλεται μὲν αὐτός, ἐξοπτᾷ δ' ἐμέ,

2 Ἀττικὸν A C E : ἐρωτικόν vel Στωικόν Kaibel ‖ **3** τοὔνομα C E : ὄνομα A **5** ἐπὶ σὲ Musurus : ἔπεισι A ‖ **11** ὁ Ἀριστοφῶν A : ὁ om. B M P Mus : ὁ Ἀρίστων Kaibel, ducente Meineke ‖ **13** καθάπερ φησὶ A : φησὶ delevi **15** φησίν A : del. Meineke ‖ **18** ἀλλὰ A : ἀλλ' ὃ Page : ἐὰν μὴ Meineke ‖ **20** ὁ Ἀριστοτέλης A : ὁ om. C E ‖ **23** τοῦ Πέλοπος A C E : τοῦ delevi κάλλους post Πέλοπος praeb. C E | τὴν Ἱπποδάμειάν A : τὴν om. C E ‖ **24** τοιάνδ' ἐν ὄψει λύγγα A : τοιάνδ' ἐν ὄψει λύγκα C E : τοιάνδ' ἐν ὄψει ἴυγγα M P : τοίαν Πέλοψ ἴυγγα Valckenaer ‖ **26** ᾗ θ' ἅλλεται] ἥθ' ἅλλεται A : ᾗ θάλπεται Papageorgiu

ἴσον μετρῶν ὀφθαλμόν, ὥστε τέκτονος
παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών. 5

[17] Λικύμνιος δ' ὁ Χῖος Ὕπνον φησὶ ἐρᾶν Ἐνδυμίωνος, οὐδὲ καθεύδοντος αὐτοῦ κατακαλύπτειν τοὺς ὀφθαλμούς, ἀλλὰ ἀναπε-
5 πταμένων τῶν βλεφάρων κοιμίζειν τὸν ἐρώμενον ὅπως διὰ παντὸς ἀπολαύῃ τῆς τοῦ θεωρεῖν ἡδονῆς. | λέγει δ' οὕτως (*PMG* 771)· 564d

Ὕπνος δὲ χαίρων
ὀμμάτων αὐγαῖς ἀναπεπταμένοις
ὄσσοις ἐκοίμιζεν κοῦρον.

10 καὶ Σαπφὼ (fr. 138) δὲ πρὸς τὸν ὑπερβαλλόντως θαυμαζόμενον τὴν μορφὴν καὶ καλὸν εἶναι νομιζόμενόν φησι·

στᾶθι † καντα † φίλος
καὶ τὰν ἐπ' ὄσσοισ' ἀμπέτασον χάριν.

ὁ δ' Ἀνακρέων (*PMG* 360) τί φησίν;

15 ὦ παῖ παρθένιον βλέπων,
δίζημαί σε, σὺ δ' οὐκ ἀίεις,
οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

ὁ δὲ μεγαλοφωνότατος Πίνδαρος (fr. 123.2–5)

20 τὰς δὲ Θεοξένου (φησίν) ἀκτῖνας | ὄσσων 564e
μαρμαρυζοίσας δρακεὶς
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος

564d Eust. p. 1321.48 = IV.805.8–9 | **564e–f** Eust. p. 1558.15–19 = i.247.27–31

3 φησὶ scripsi : φήσας A | τὸν Ὕπνον ... τοῦ Ἐνδυμίωνος A C E : τὸν et τοῦ delevi ‖ **4–5** κατακαλύπτειν ... κοιμίζειν Casaubon (κατακαλύπτειν iam Musurus) : κατακαλύπτει ... κοιμίζει A ‖ **9** κοῦρον A C E : κόρον Fiorillo **10** ἡ Σαπφὼ A C E : ἡ delevi ‖ **12** † καντα † A : κἄντα C E ‖ **13** ὄσσοισ' Hoffmann : † οσσοισ † A : ὄσσοις C E | ἀμπέτασον C E : † ἀμπετασον † A : ὀμπέτασον Ahrens ‖ **16** οὐκ ἀίεις, i.e. ΟΥΚΑ- C E M P : οὐ † καιεις † A : οὐκ αἴεις Mus : οὐ κλύεις, i.e. ΟΥΚΛ- Erfurdt ‖ **20** ὄσσων] † οσσων † A : προσώπου 13.601d : πρὸς ὄσσων Kaibel ‖ **21** μαρμαρυζοίσας] † μαρμαρυζουσας † A : μαρμαρυζοίσας 13.601d

ἢ σιδάρου κεχάλκευται μέλαιναν ψυχάν. 5

ὁ δὲ τοῦ Κυθηρίου Φιλοξένου (*PMG* 821) Κύκλωψ ἐρῶν Γαλατείας καὶ ἐπαινῶν αὐτῆς τὸ κάλλος, προμαντευόμενος τὴν τύφλωσιν πάντα μᾶλλον αὐτῆς ἢ τῶν ὀφθαλμῶν μνημονεύει λέγων ὧδε·

ὦ καλλιπρόσωπε χρυσεοβόστρυχε Γαλάτεια, 5
χαριτόφωνε κάλλος Ἐρώτων.

564f τυφλὸς ἔπαινος καὶ κατ᾽ οὐδὲν ὅμοιος | τῷ Ἰβυκείῳ ἐκείνῳ (*PMG* 288)·

Εὐρύαλε γλαυκέων Χαρίτων θάλος
καλλικόμων μελέδημα, σὲ μὲν Κύπρις 10
ἅ τ᾽ ἀγανοβλέφαρος Πει-
θὼ ῥοδέοισιν ἐν ἄνθεσι θρέψαν·

Φρύνιχός (*TrGF* 3 F 13) τε ἐπὶ Τρωίλου ἔφη·

λάμπειν ἐπὶ πορφυραῖς παρῇσι φῶς ἔρωτος.

[**18**] ὑμεῖς δὲ ξυρουμένους τὰ γένεια περιφέρετε τοὺς ἐρωμένους 15
565a τοῦ ξύρεσθαι τὸν πώγωνα κατ᾽ Ἀλέξανδρον ‖ εὑρημένου, ὥς φησιν ὑμῶν ὁ Χρύσιππος ἐν τῷ τετάρτῳ Περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς (xxviii fr. 2, *SVF* iii.198). οὐκ ἀκαίρως δ᾽, ὡς ἐμαυτὸν πείθω, μεμνήσομαι τῆς λέξεως· χαίρω γὰρ πάνυ τῷ ἀνδρὶ διὰ τήν τε πολυμαθίαν καὶ τὴν τοῦ ἤθους ἐπιείκειαν. λέγει δὲ οὕτως ὁ 20
φιλόσοφος· τὸ ξύρεσθαι τὸν πώγωνα κατ᾽ Ἀλέξανδρον προῆκται τῶν προτέρων οὐ χρωμένων αὐτῷ· καὶ γὰρ Τιμόθεος ὁ αὐλητὴς

564f, 565b, f, c Eust. p. 1257.13–14 = IV.572.7–9 | **565c, a–b** Eust. pp. 1909.62–1910.5 = ii.260.15–22

1 ψυχάν A : καρδίαν 13.601d ‖ **2** τῆς Γαλατείας A C E : τῆς delevi ‖ **4** αὐτῆς ἐπαινεῖ A C E : ἐπαινεῖ (glossam) delevi ‖ **5** Γαλάτεια A C E : om. (glossam) Eust. ‖ **6** κάλλος A C E Eust. : θάλος Bergk, cf. Ibyc. *PMG* 288.1 infra **7** τυφλὸς ἔπαινος] sc. ταῦτ᾽ ἐστι : ὁ ante ἔπαινος praeb. C E Eust. | Ἰβυκείῳ C E Eust. : Ἰβυκίῳ A ‖ **13** τοῦ Τρωίλου A C E : τοῦ delevi ‖ **14** λάμπειν A C E : λάμπεις Eust. : λάμπει δ᾽ 13.604a | πορφυραῖς A C E Eust. : πορφυρέαις 13.604a | παρῇσι Dindorf : † παρϊῆσι † A : παρηΐσι C E B et 13.604a B Mus : παρειῇσι Eust. : παρηΐσιν 13.604a A : παρειαῖσι 13.604a C E ‖ **19–20** τήν τε scripsi : τε τὴν A ‖ **20** οὕτως M P Mus : οὗτος A ‖ **22** προτέρων Meineke : πρώτων A C : πρώ^{τ} E

πώγωνα μέγαν ἔχων ηὔλει, καὶ ἐν Ἀθήναις διατηροῦσιν οὐ σφόδρα ἀρχαῖον τὸν πρῶτον πρόσωπον κειράμενον | παρωνύμιον 565b ἔχειν Κόρσην· διὸ καὶ Ἄλεξις (fr. 266) ἔφη που·

πιττοκοπούμενόν τιν' ἢ ξυρούμενον
5 ὁρᾷς, τοῦτον † ἔχει τι θάτερον·
ἢ γὰρ στρατεύειν ἐπινοεῖν μοι φαίνεται
καὶ πάντα τῷ πώγωνι δρᾶν ἐναντία,
ἢ πλουσιακὸν τούτῳ προσπίπτει κακόν. 5
τί γὰρ αἱ τρίχες λυποῦσιν ἡμᾶς, πρὸς θεῶν,
10 δι' ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται, |
εἰ μή τι ταύταις ἀντιπράττεσθ' ὑπονοεῖς; 565c

Διογένης (Diog. Sinop. *SSR* V B 404) δὲ ἰδών τινα οὕτως ἔχοντα τὸ γένειον ἔφησε· "μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε καὶ οὐ γυναῖκα;" ἕτερον δέ τινα ἐπὶ ἵππου ἰδὼν παρα-
15 πλησίως ἔχοντα καὶ μεμυρισμένον καὶ τούτοις ἀκολούθως ἠμφιεσμένον, πρότερον μὲν ἔφησε ζητεῖν τί ἐστιν ὁ ἱππόπορνος, νῦν δ' εὑρηκέναι. ἐν Ῥόδῳ δὲ νόμου ὄντος μὴ ξύρεσθαι οὐδ' ὁ ἐπιληψόμενος οὐδείς ἐστι διὰ τὸ πάντας ξύρεσθαι· ἐν Βυζαντίῳ δὲ ζημίας ἐπικειμένης | τῷ ἔχοντι ξυρὸν οὐδὲν ἧττον πάντες χρῶνται αὐτῷ. 565d
20 καὶ ταῦτα μὲν ὁ θαυμάσιος εἴρηκε Χρύσιππος. **[19]** ὁ δὲ σοφὸς ἐκεῖνος Ζήνων (fr. 242, *SVF* i.57–8), ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος (p. 118 Wilamowitz = fr. 37 Dorandi), προμαντευόμενος ὑμῶν, ὡς τὸ εἰκός, περὶ τοῦ βίου καὶ τῆς προσποιητοῦ ἐπιτηδεύσεως ἔφη ὡς οἱ παρακούσαντες αὐτοῦ τῶν λόγων καὶ μὴ συνέντες
25 ἔσονται ῥυπαροὶ καὶ ἀνελεύθεροι, καθάπερ οἱ τῆς Ἀριστίππου παρενεχθέντες αἱρέσεως (*SSR* IV A 161) ἄσωτοι καὶ θρασεῖς. καὶ δὴ τοιοῦτοι ὑμῶν εἰσιν οἱ πλεῖστοι, | συνεσπασμένοι καὶ κακοπινεῖς 565e οὐ μόνον τοῖς ἤθεσιν ἀλλὰ καὶ ἕξει· βουλόμενοι γὰρ ἐνδύεσθαι τὴν

564f, 565b, f, c Eust. p. 1257.13–14 = IV.572.7–9 | **565c, a–b** Eust. pp. 1909.62–1910.5 = ii.260.15–22 | **565e** Eust. p. 1441.22 = i.92.3–4

2 πρόσωπον κειράμενον scripsi : προσκειράμενον A : προκειράμενον C : προκειρά^{μν} E : προκειραμένων Eust. : περικειράμενον Kaibel ‖ **4** τιν' C E Mus : τινα A ‖ **5** τοῦτον A : τούτων C E Mus ‖ **9** ἡμᾶς A Eust. : ὑμᾶς C E Mus **13** ἔφησε] ἔφησεν A : ἔφη C E ‖ **16** ἔφησε A : ἔφη C E Eust. ‖ **19** τῷ ἔχοντι κουρεῖ A C E : κουρεῖ (glossam) del. Kaibel ‖ **26** παρενεχθέντες A : παρεξενεχθέντες Kaibel

αὐτάρκειαν καὶ τὴν εὐτέλειαν εὑρίσκεσθε ἐπὶ ταῖς τῆς φιλαργυρίας θύραις ῥυπαρῶς ζῶντες καὶ τριβωνάρια περιβαλλόμενοι μικρὰ καὶ ἥλων ἐμπιπλάντες τὰ καττύματα καὶ κιναίδους καλοῦντες τοὺς ἢ μύρου προσβάλλοντας ἢ μικρῷ μαλακωτέραν ἠμφιεσμένους ἐσθῆτα. οὐ δεῖ οὖν οὕτως ἐσταλμένους περὶ ἀργύριον ἐπτοῆσθαι 5
565f καὶ ἐρωμένους περιάγεσθαι | ξυρουμένους τὴν ὑπήνην καὶ τὸν ὄρρον, τοὺς ἀκολουθοῦντας

ἐν τῷ Λυκίῳ μετὰ σοφιστῶν νὴ Δία
λεπτῶν, ἀσίτων, σκυτίνων,

κατὰ τὸν Ἀντιφάνην (fr. 120.3–4). [**20**] ἐπαινῶ δὲ καὶ αὐτὸς τὸ 10 κάλλος· καὶ γὰρ ἐν ταῖς εὐανδρίαις τοὺς καλλίστους ἐγκρίνουσι καὶ τούτους πρωτοφορεῖν ἐπιτρέπουσιν. ἐν Ἤλιδι δὲ καὶ κρίσις
566a γίνεται κάλλους, καὶ τῷ πρώτῳ τὰ τῆς ‖ θεοῦ φέρειν τεύχη δίδοται, τῷ δὲ δευτέρῳ τὸν βοῦν ἄγειν, ὁ δὲ τρίτος τὰς θυηλὰς ἐπιτίθησιν. Ἡρακλείδης δ' ὁ Λέμβος (fr. 2, *FHG* iii.168) ἱστορεῖ ὅτι 15 κατὰ τὴν Σπάρτην θαυμάζεται μᾶλλον ὁ κάλλιστος καὶ ἡ καλλί-στη καλλίστας γεννώσης τῆς Σπάρτης τὰς γυναῖκας· διὸ καὶ φασὶν Ἀρχιδάμου τοῦ βασιλέως γυναικὸς αὐτῷ καλῆς φαινομένης, ἑτέρας δὲ αἰσχρᾶς καὶ πλουσίας, ὡς ἀπέκλινεν ἐπὶ τὴν πλουσίαν, ζημιῶσαι τοὺς ἐφόρους αὐτὸν ἐπιλέγοντας ὅτι βασιλίσκους ἀντὶ 20 βασιλέων τᾷ Σπάρτᾳ γεννᾶν προαιρεῖται· Εὐριπίδης (fr. 15.2) τε |
566b ἔφη·

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

564f, 565b, f, c Eust. p. 1257.13–14 = IV.572.7–9 | **566d–e, b–c, a** Eust. p. 1375.3–10 = IV.985.15–24

1 εὑρίσκεσθε Musurus : εὑρίσκεσθαι A ‖ **3** τῶν ἥλων A : τῶν del. Meineke ἐμπιπλάντες Porson : ἐμπίπλανται· ὁ A ‖ **8** Λυκίῳ A : Λυκείῳ Musurus et 3.98f Q[s] M Mus ‖ **9** σκυτίνων A : συκίνων 3.98f ‖ **10** αὐτὸς Schweighäuser : αὐτὸ A ‖ **16–17** ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη A C E : γυνὴ (glossam) delevi : ⟨ἀνὴρ⟩ ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη Kaibel, ducente Meineke **17** τὰς A : om. C E, fort. recte ‖ **18** fort. καλῆς ⟨καὶ πενήτου⟩ **20** βασιλίσκους Eust. : β[αλ(κ)] C E : βασιλικοὺς A ‖ **21** τᾷ Σπάρτᾳ, i.e. ΤΑΙΣΠ- Meineke : ταῖς Σπάρταις, i.e. ΤΑΙΣΣΠ- A C E : τῇ Σπάρτῃ Eust. : τοῖς Σπαρτιάταις M P Mus

καὶ οἱ παρ' Ὁμήρῳ δὲ δημογέροντες θαυμάζοντες τῆς Ἑλένης τὸ κάλλος φασίν (*Il.* 3.156–8)·

> οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
> τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
> 5 αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

ἐκπέπληκται οὖν καὶ αὐτὸς ὁ Πρίαμος ἐπὶ τῷ | κάλλει καίτοι ἐν 566c δεινοῖς ὑπάρχων· θαυμάζει γοῦν ἐπὶ κάλλει τὸν Ἀγαμέμνονα τοιαῦτα ἐκφωνῶν (*Il.* 3.169–70)·

> καλὸν δ' οὕτω ἐγὼν οὔ πω ἴδον ὀφθαλμοῖσιν,
> 10 οὐδ' οὕτω γεραρόν· βασιλῆι δὲ ἀνδρὶ ἔοικεν.

καθίστων δὲ καὶ πολλοὶ τοὺς καλλίστους βασιλέας, ὡς μέχρι νῦν οἱ Ἀθάνατοι καλούμενοι Αἰθίοπες, ὥς φησι Βίων ἐν Αἰθιοπικοῖς (*FGrH* 668 F 2)· ὡς ἔοικε γὰρ τὸ κάλλος βασιλείας οἰκεῖόν ἐστι. θεαὶ περὶ κάλλους ἤρισαν πρὸς ἀλλήλας, καὶ διὰ κάλλος οἱ θεοὶ 15 ἀνηρείψαντο | Διὶ οἰνοχόον τὸν Γανυμήδη (*Il.* 20.235)· 566d

> κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.

αἱ θεαὶ δὲ τίνας ἀναρπάζουσιν; οὐ τοὺς καλλίστους; οἷς καὶ σύνεισιν, Ἠὼς μὲν Κεφάλῳ καὶ Κλείτῳ καὶ Τιθωνῷ, Δημήτηρ Ἰασίωνι, Ἀφροδίτη Ἀγχίσῃ καὶ Ἀδώνιδι. διὰ κάλλος δὲ καὶ ὁ 20 μέγιστος τῶν θεῶν διὰ κεράμων χρυσὸς ἔρχεται, ταῦρος γίνεται, ἀετὸς πτεροῦται πολλάκις, ὥσπερ καὶ ἐπ' Αἰγίνῃ. Σωκράτης δ' ὁ φιλόσοφος ὁ πάντων καταφρονῶν τοῦ Ἀλκιβιάδου κάλλους οὐχ | ἥττων ἐστίν, ὡς καὶ ὁ σεμνότατος Ἀριστοτέλης τοῦ Φασηλίτου 566e μαθητοῦ; ἡμεῖς δ' οὐχὶ καὶ τῶν ἀψύχων τὰ κάλλιστα προκρίνομεν; 25 ἐπαινεῖται δὲ καὶ τῶν Σπαρτιατῶν τὸ ἔθος τὸ γυμνοῦν τὰς παρθένους τοῖς ξένοις. ἐν Χίῳ δὲ τῇ νήσῳ καὶ βαδίζειν ἥδιστόν ἐστιν ἐπὶ

566c Eust. p. 1375.2 = IV.985.14–15 | **566d–e, b–c, a** Eust. p. 1375.3–10 = IV.985.15–24

6 οὖν Kaibel : γοῦν A C E | ἐπὶ τῷ κάλλει τῆς γυναικὸς A C E : τῆς γυναικὸς ut glossam del. Kaibel ‖ **10** δὲ A : γὰρ Hom. ‖ **15** ἀνηρείψαντο Musurus : ἀνηρίψαντο A ‖ **19** Ἰασίωνι M P Mus : Ἰάσωνι A : Ἰασίονι C E **25** ἐπαινεῖται δὲ καὶ C E : ἐπαινοῦντες A : lac. ante ἐπαινοῦντες stat. Kaibel **26** Χίῳ A C E : Κέῳ Wilamowitz, cf. Plut. *Mor.* 249d | τῇ νήσῳ A : om. C E, fort. recte

τὰ γυμνάσια καὶ τοὺς δρόμους καὶ ὁρᾶν προσπαλαίοντας τοὺς νέους ταῖς κόραις.

[21] καὶ ὁ Κύνουλκος·

ταυτὶ καὶ τολμᾷς σὺ λέγειν,

οὐ 5

ῥοδοδάκτυλος οὖσα,

κατὰ τὸν Κρατῖνον (fr. 351), ἀλλὰ βολίτινον ἔχων θάτερον σκέλος,
566f ἐκείνου τοῦ ὁμωνύμου σοι ποιητοῦ τὴν | κνήμην φορῶν, ὃς ἐν τοῖς καπηλείοις καὶ τοῖς πανδοκείοις ἀεὶ διαιτᾶται, καίτοι Ἰσοκράτους τοῦ ῥήτορος ἐν τῷ Ἀρεοπαγιτικῷ (49) εἰρηκότος· ἐν καπηλείῳ δὲ 10 φαγεῖν ἢ πιεῖν οὐδεὶς δ᾽ ἂν οἰκέτης ἐτόλμησε· σεμνύνεσθαι γὰρ ἐμελέτων οὐ βωμολοχεύεσθαι. Ὑπερείδης δὲ ἐν τῷ Κατὰ Πατροκλέους (fr. 138 Jensen), εἰ γνήσιος ὁ λόγος, τοὺς Ἀρεοπαγίτας φησὶν ἀριστήσαντά τινα ἐν καπηλείῳ κωλῦσαι ἀνιέναι εἰς Ἄρειον
567a πάγον. σὺ δέ, ὦ σοφιστά, ἐν ‖ τοῖς καπηλείοις συναναφύρῃ οὐ μετὰ 15 ἑταίρων ἀλλὰ μετὰ ἑταιρῶν, μαστροπευούσας περὶ σαυτὸν οὐκ ὀλίγας ἔχων καὶ περιφέρων ἀεὶ τοιαυτὶ βιβλία Ἀριστοφάνους (Ar. Byz. *FGrH* 347 T 1 = fr. 364A Slater) καὶ Ἀπολλοδώρου (*FGrH* 244 T 17) καὶ Ἀμμωνίου (*FGrH* 350 T 2) καὶ Ἀντιφάνους (*FGrH* 349 T 2), ἔτι δὲ Γοργίου τοῦ Ἀθηναίου (*FGrH* 351 T 1), πάντων τούτων 20 συγγεγραφότων περὶ τῶν Ἀθήνησιν ἑταιρίδων. ὢ τῆς καλῆς σου πολυμαθίας, ὡς κατ᾽ οὐδὲν ἐμιμήσω Θεόμανδρον τὸν Κυρηναῖον, ὅν φησι Θεόφραστος ἐν τῷ Περὶ Εὐδαιμονίας (fr. 489 Fortenbaugh) περιιόντα ἐπαγγέλλεσθαι διδάσκειν εὐτυχίαν, ἐρωτοδιδάσκαλε. |
567b οὐδὲν ἄρα διαφέρεις Ἀμάσιος τοῦ Ἠλείου, ὃν Θεόφραστος ἐν τῷ 25 Ἐρωτικῷ (fr. 561 Fortenbaugh) περὶ τοὺς ἔρωτας δεινὸν γεγονέναι λέγει. οὐκ ἂν ἁμάρτοι δέ τίς σε καὶ πορνογράφον καλῶν, ὡς Ἀριστείδην καὶ Παυσανίαν ἔτι τε Νικοφάνη τοὺς ζωγράφους. μνημονεύει δὲ αὐτῶν ὡς ταῦτα καλῶς γραφόντων Πολέμων ἐν τῷ

567a Eust. p. 1363.18–19 = IV.946.8–9

4 ταυτὶ Dobree : † ταυτη † A ‖ **9** ἀεὶ B M P Mus : αἰεὶ A | διαιτᾶται A : διαιτᾷ Schweighäuser ‖ **11** δ᾽ A : οὐδ᾽ Schweighäuser ex Isoc. ‖ **17** ἀεὶ B M P Mus : αἰεὶ A | βιβλία ⟨οἷα⟩ Kaibel ‖ **22** ὡς M P Mus : ὃς A ‖ **24** διδάσκειν A : διδάξειν C E Eust. ‖ **28** Παυσανίαν A : Παυσανίας (structura mutata) C E : Παυσίαν Sillig, cf. Paus. 2.27.3

Περὶ τῶν ἐν Σικυῶνι Πινάκων (fr. 16 Preller). ὢ τῆς καλῆς πολυμαθίας, ἄνδρες φίλοι, τῆς τοῦ γραμματικοῦ τοῦδε, ὃς οὐδ᾽ ἐγκαλύπτεται, ἀλλ᾽ ἀναφανδὸν τὰ Εὐβούλου ἀεὶ ἐκ Κερκώπων (fr. 53) | λέγει· 567c

5 Κόρινθον ἦλθον. ἡδέως ἐνταῦθά πως
λάχανόν τι τρώγων Ὤκιμον διεφθάρην·
κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

καλός γε ὁ τῶν Κορινθίων σοφιστής, ὁ τοῖς μαθηταῖς διηγούμενος ὅτι Ὤκιμον ἑταίρας ὄνομα. καὶ ἄλλα δὲ πολλά, ὦναιδές, δράματα
10 ἀπὸ ἑταιρῶν ἔσχε τὰς ἐπιγραφάς, Θάλαττα Διοκλέους (test. ii), Φερεκράτους Κοριαννώ (test. ii), Εὐνίκου ἢ Φιλυλλίου Ἄντεια (test. ii), Μενάνδρου δὲ Θαΐς (test. i) καὶ Φάνιον (test. i), Ἀλέξιδος Ὀπώρα (test. i), | Εὐβούλου Κλεψύδρα (test. i). οὕτω δ᾽ ἐκλήθη 567d αὕτη ἡ ἑταίρα ἐπειδὴ πρὸς κλεψύδραν συνουσίαζεν ἕως κενωθείη,
15 ὡς Ἀσκληπιάδης εἴρηκεν ὁ τοῦ Ἀρείου ἐν τῷ Περὶ Δημητρίου τοῦ Φαληρέως συγγράμματι (*FGrH* 157 F 1 = 1100 F 1 = Dem. Phal. fr. 40 Wehrli = fr. 3 Fortenbaugh–Schütrumpf) τὸ κύριον αὐτῆς ὄνομα φάσκων εἶναι Μητίχην.

[**22**] ἐστὶν δ᾽ ἑταίρα,

20 ὡς Ἀντιφάνης φησὶν ἐν Ἀγροίκῳ (fr. 2),

τῷ τρέφοντι συμφορά·
εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα·

διόπερ καὶ θρηνῶν τις αὐτὸν παράγεται ὑπὸ Τιμοκλέους | ἐν 567e Νεαίρᾳ (fr. 25)·

25 ἀλλ᾽ ἔγωγ᾽ ὁ δυστυχὴς
Φρύνης ἐρασθείς, ἡνίκ᾽ ἔτι τὴν κάππαριν
συνέλεγεν οὔπω τ᾽ εἶχεν ὅσαπερ νῦν ἔχει,
πάμπολλ᾽ ἀναλίσκων ἐφ᾽ ἑκάστῳ τῆς θύρας
ἀπεκλειόμην. 5

3 ἐγκαλύπτεται A : ἐγκαλυπτόμενος Kaibel | ἀεὶ B M P Mus : αἰεὶ A **8** καλός A : καλῶς Kaibel ‖ **9** lac. post ὄνομα indic. Kaibel ‖ **10** ἑταιρῶν C E B M P Mus : ἑτέρων A ‖ **14** κενωθείη vel ἐκενώθη Meineke : κενωθῇ A C E **28** πάμπολλ᾽ M P Mus : πάμπολλα A

καὶ ἐν τῷ ἐπιγραφομένῳ δ' Ὀρεσταυτοκλείδης ⟨ὁ⟩ αὐτὸς Τιμοκλῆς (fr. 27) φησι·

περὶ δὲ τὸν πανάθλιον
εὕδουσι γρᾶες, Νάννιον, Πλαγγών, Λύκα, |
567f Γνάθαινα, Φρύνη, Πυθιονίκη, Μυρρίνη, 5
Χρυσίς † κοναλισ † Ἱερόκλεια, Λοπάδιον.

τούτων τῶν ἑταιρῶν καὶ Ἄμφις μνημονεύει ἐν Κουρίδι (fr. 23) λέγων·

τυφλὸς ὁ Πλοῦτος εἶναί μοι δοκεῖ,
ὅστις γε παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται, ‖ 10
568a παρὰ δὲ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ
ἑταίραις τε τοιαύταισι, παγίσι τοῦ βίου,
ἔνδον κάθητ' ἀπόπληκτος, οὐδ' ἐξέρχεται. 5

[23] Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἰσοστάσιον (fr. 103) τὴν ἑταιρικὴν παρασκευὴν καὶ τὰς δι' ἐπιτεχνήσεως κομμώσεις 15 τῶν ἑταιρῶν οὕτως ἐκτίθεται·

πρῶτον μὲν γὰρ πρὸς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς πέλας
πάντα τἄλλ' αὐταῖς πάρεργα γίνεται, ῥάπτουσι δὲ
πᾶσιν ἐπιβουλάς. ἐπειδὰν δ' εὐπορήσωσίν ποτε,
ἀνέλαβον καινὰς ἑταίρας, πρωτοπείρους τῆς τέχνης· 20
εὐθὺς ἀναπλάττουσι ταύτας ὥστε μήτε τοὺς τρόπους 5
μήτε τὰς ὄψεις ὁμοίας διατελεῖν οὔσας ἔτι. |
568b τυγχάνει μικρά τις οὖσα· φελλὸς ἐν ταῖς βαυκίσιν
ἐγκεκάττυται. μακρά τις· διάβαθρον λεπτὸν φορεῖ
τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' ἐξέρχεται· 25
τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία· 10
ὑπενέδυσ' ἐρραμμέν' αὐτήν, ὥστε τὴν εὐπυγίαν

568b Eust. p. 1522.9 = i.197.31–2

1 ⟨ὁ⟩ add. Schweighäuser ‖ **6** † χρυσισκοναλισ † A ‖ **12** ἑταίραις A C E : ἑτέραις P Mus ‖ **17** πρῶτον A : πρῶτα Clem.Al. *Paed.* 3.8.1 ‖ **18** γίνεται A : γίγνεται Victorius | ῥάπτουσι C E B M P Mus : ῥάπτουσιν A ‖ **19** πᾶσιν A : πᾶσαι C E ‖ **20** καινὰς M P Mus : κενὰς A* ‖ **25** τὸν ὦμον A et Clem.Al. *Paed.* 3.8.1 : τὸ νῶτον C E ‖ **27** ἐρραμμέν' Musurus (ἐρραμέν' iam M P) : ἐρραμμένα C E B et Clem.Al. *Paed.* 3.8.1 : † ἐρραμενα † A

ἀναβοᾶν τοὺς ἰδόντας. κοιλίαν ἔχει·
στηθί᾽ ἔστ᾽ αὐταῖσι τούτων ὧν ἔχουσ᾽ οἱ κωμικοί·
ὀρθὰ προσθεῖσαι τοιαῦτα γοῦν † αὐτῶν τῆς κοιλίας |
ὡσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ᾽ ἀπήγαγον. 15 568c
5 τὰς ὀφρῦς πυρρὰς ἔχει τις· ζωγραφοῦσιν ἀσβόλῳ.
συμβέβηκ᾽ εἶναι μέλαιναν· κατέπλασεν ψιμυθίῳ.
λευκόχρως λίαν τις ἐστί· παιδέρωτ᾽ ἐντρίβεται.
καλὸν ἔχει τοῦ σώματός τι· τοῦτο γυμνὸν δείκνυται.
εὐφυεῖς ὀδόντας ἔσχεν· ἐξ ἀνάγκης δεῖ γελᾶν, | 20
10 ἵνα θεωροῖεν οἱ παρόντες τὸ στόμ᾽ ὡς κομψὸν φορεῖ. 568d
ἂν δὲ μὴ χαίρῃ γελῶσα διὰ τέλους τὴν ἡμέραν
ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ᾽ ἑκάστοτε,
ἡνίκ᾽ ἂν πωλῶσιν αἰγῶν κρανία, ξυλήφιον
μυρρίνης ἔχουσι λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν, 25
15 ὥστε τῷ χρόνῳ σεσηρέναι ἄν τε βούλητ᾽ ἄν τε μή.
ὄψεις διὰ τούτων σκευοποιοῦσι τῶν τεχνῶν·

[24] διὸ συμβουλεύω σοι,

Θετταλὲ ποικιλόδιφρε,

τὰς ἐπὶ τῶν οἰκημάτων ἀσπάζεσθαι καὶ μὴ καταναλίσκειν εἰς
20 οὐδὲν δέον τὰ τῶν υἱῶν κέρματα· ὄντως γὰρ ἄριστα | χωλὸς οἰφεῖς 568e
(cf. Diogen. 2.2) τοῦ κρηπιδοποιοῦ πατρός σου πολλά σε σωφρονίσαντος καὶ διδάξαντος σκύτη βλέπειν. ἢ οὐκ οἶδας κατὰ τὴν Εὐβούλου Παννυχίδα (fr. 82)

τὰς φειδωλοὺς κερμάτων παλευτρίας

1 ἰδόντας A C E : εἰσιόντας Clem.Al. *Paed.* 3.8.1 : εἰσιδόντας Sylburg ‖ **3** γοῦν αὐτῶν, i.e. ΓΟΥΝΑΥΤΩΝ A : † ου τον τυνδυτον † Clem.Al. *Paed.* 3.8.1 : τοὔνδυτον, i.e. ΤΟΥΝΔΥΤΟΝ Sylburg ‖ **6** συμβέβηκ᾽ εἶναι C E M P Mus et Clem.Al. *Paed.* 3.8.1 : συμβεβηκέναι A ‖ **7** ἐστί C E B M P Mus : ἐστιν A et Clem.Al. *Paed.* 3.8.1 ‖ **8** τοῦτο Clem.Al. *Paed.* 3.8.1 : † ταυτο † A : τοῦτ᾽ αὐτὸ (v.ll.) C E B ‖ **10** θεωροῖεν A C E : θεωρῶσιν Clem.Al. *Paed.* 3.8.1, ex quo θεωρῶσ᾽ Schweighäuser ‖ **11** διὰ τέλους A C E : διατελεῖ Clem.Al. *Paed.* 3.8.1 ‖ **14** ἔχουσι A C E : ἔχουσα Clem.Al. *Paed.* 3.8.1 ‖ **15** σεσηρέναι A C E : σέσηρεν Clem.Al. *Paed.* 3.8.1 | βούλητ᾽ C : βου^τ() E : βούλωνται A : βούλωντ᾽ M P Mus : βούλετ᾽ Clem.Al. *Paed.* 3.8.1 ‖ **16** ὄψεις … τῶν τεχνῶν A : om. C E et Clem.Al. *Paed.* 3.8.1 ‖ **21** σου Dobree : οὗ A ‖ **24** φειδωλοὺς, i.e. -ΔΩΛ- A C E : φιλῳδοὺς, i.e. -ΛΩΔ- Dobree

πώλους Κύπριδος ἐξησκημένας,
γυμνὰς ἐφεξῆς † ἐπικαιρως † τεταγμένας,
ἐν λεπτοπήνοις ὑμέσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας· 5
παρ᾽ ὧν βεβαίως ἀσφαλῶς τ᾽ ἔξεστί σοι | 5
568f μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν.

καὶ ἐν Ναννίῳ — Εὐβούλου (fr. 67) τὸ δρᾶμα καὶ μὴ Φιλιππίδου — φησίν·

ὅστις λέχη γὰρ σκότια νυμφεύει λάθρᾳ,
πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος; 10
ἐξὸν θεωρήσαντι πρὸς τὸν ἥλιον
γυμνὰς ἐφεξῆς † ἐπικαιρως † τεταγμένας,
ἐν λεπτοπήνοις ὑμέσιν ἑστώσας, οἵας 5
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας,
μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν, ‖ 15
569a καὶ μὴ λαθραίαν Κύπριν, αἰσχίστην ὅσων
πασῶν, διώκειν, ὕβρεως οὐ πόθου χάριν.
Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου περιστένω, 10
ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο.

ἐπιτιμᾷ δὲ καὶ Ξέναρχος ἐν Πεντάθλῳ (fr. 4) τοῖς παραπλησίως σοι βιοῦσι καὶ ἐσπουδακόσι περὶ τὰς μεγαλομίσθους ἑταίρας καὶ τὰς ἐλευθέρας τῶν γυναικῶν ταυτὶ λέγων· 20

δεινά, δεινὰ κοὐκ ἀνασχετὰ
ἐν τῇ πόλει πράττουσιν οἱ νεώτεροι· |
569b ὅπου γὰρ οὐσῶν μειράκων μάλ᾽ εὐπρεπῶν 25
ἐπὶ τοῖσι πορνείοισιν, ἃς ἔξεσθ᾽ ὁρᾶν

569a *Suda* ξ 22 | **569b** Eust. p. 883.35 = III.324.22

2 † ἐπικαιρως † A : ἐπικαίρους C E : ἐπὶ κέρως 13.568f M P Mus **3** λεπτοπήνοις C E : λεπτονήτοις A Cˢ Eˢ ‖ **7** Ναννίῳ M P Mus, cf. 13.587b : † νανιωι † A | ⟨εἰ⟩ Εὐβούλου Coraes ‖ **12** † ἐπικαιρως † A : ἐπὶ κέρως M P Mus ‖ **16** ὅσων A : νόσων Casaubon ‖ **17** ὕβρεως A : ὕβρεος Mˢ Pᵖᶜ et Canter **18** περιστένω] † περιστενω † A : στένω Eur. *IA* 370 ‖ **19** ἣ Κυδίαν M Mus : ἣ Κυσίαν P : † ηκυδια † A ‖ **25** μειράκων A : μειρακίων C : μειρ(άκων) E

εἰληθερούσας στέρν᾽ ἀπημφιεσμένας, 5
γυμνὰς ἐφεξῆς τ᾽ † ἐπικαιρως † τεταγμένας·
ὧν ἔστιν ἐκλεξάμενον ᾗ τις ἥδεται,
λεπτῇ, παχείᾳ, στρογγύλῃ, μακρᾷ, ῥικνῇ,
5 νέᾳ, παλαιᾷ, μεσοκόπῳ, πεπαιτέρᾳ,
μὴ κλίμακ᾽ αἰτησάμενον εἰσβῆναι λάθρᾳ, 10
μηδὲ δι᾽ ὀπῆς κάτωθεν ἐκδῦναι στέγης, |
μηδ᾽ ἐν ἀχύροισιν εἰσενεχθῆναι τέχνῃ· 569c
αὐταὶ βιάζονται γὰρ εἰσέλκουσί τε
10 τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
πατρίδια, τοὺς δ᾽ ἀπφάρια, τοὺς νεωτέρους. 15
καὶ τῶνδ᾽ ἕκαστον ἔστιν ἀδεῶς, εὐτελῶς,
μεθ᾽ ἡμέραν, πρὸς ἑσπέραν, πάντας τρόπους·
ἃς δ᾽ οὔτ᾽ ἰδεῖν ἔστ᾽ οὔθ᾽ ὁρῶντ᾽ ἰδεῖν σαφῶς,
15 αἰεὶ δὲ † τετραμένον † τε καὶ φοβούμενον
δεδιότα, ἐν τῇ χειρὶ τὴν ψυχὴν ἔχοντα· 20
ἃς πῶς ποτ᾽, ὦ δέσποινα ποντία Κύπρι, |
βινεῖν δύνανται τῶν Δρακοντείων νόμων 569d
ὁπόταν ἀναμνησθῶσι προσκινούμενοι;

20 [25] καὶ Φιλήμων δὲ ἐν Ἀδελφοῖς (fr. 3, infra) προϊστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος, καθὰ καὶ Νίκανδρος ὁ Κολοφώνιος ἱστορεῖ ἐν τρίτῳ Κολοφωνιακῶν (*FGrH* 271–2 F 9) φάσκων αὐτὸν καὶ Πανδήμου Ἀφροδίτης ἱερὸν πρῶτον ἱδρύσασθαι ἀφ᾽ ὧν ἠργυρίσαντο αἱ
25 προστᾶσαι τῶν οἰκημάτων. ἀλλ᾽ ὅ γε Φιλήμων (fr. 3) οὕτω φησί· |

569c Eust. p. 886.34–6 = III.334.27–9 | **569d** Eust. p. 1185.2 = IV.331.12–14

1 στέρν᾽ ἀπημφιεσμένας Tyrwhitt : † στερμνατ᾽ † ἠμφιεσμένας A : στέρνα τ᾽ ἠμφιεσμένας C E B M P Mus ‖ **2** † ἐπικαιρως † A : ἐπικαίρους C E : ἐπικέρως Musurus ‖ **6** μὴ κλίμακ᾽ αἰτησάμενον Musurus : † μηκαιμακαιτησάμενον †, i.e. -ΚΑΙΜΑΚΑ- A : καὶ μὴ C E : μὴ κλίμακα (i.e. -ΚΛΙΜΑΚΑ-) στησάμενον Meineke | εἰσβῆναι λάθρᾳ A : λάθρᾳ εἰσδῦναι C E ‖ **7** ἐκδῦναι στέγης, i.e. ΕΚ- A E : ἐκδυναστείης C : εἰσδῦναι στέγης, i.e. ΕΙC- Dobree **12** ἕκαστον A : ἑκάστην Dalechamps (*harum singulas*) ‖ **15** τετραμένον τε A : τετρεμαίνοντα Musurus : τετραμαίνοντα Kassel–Austin ‖ **16** δεδιότα … ἔχοντα A : ut glossam del. Meineke : post φοβούμενον lac. indic. Kock **20** Ἀδελφοῖς Casaubon : δελφοῖς A | προϊστορῶν Meineke : προσιστορῶν A

569e σὺ δ' εἰς ἅπαντας εὗρες ἀνθρώπους, Σόλων·
σὲ γὰρ λέγουσιν τοῦτ' ἰδεῖν πρῶτον † νόμον
δημοτικόν, ὦ Ζεῦ, πρᾶγμα καὶ σωτήριον,
(καί μοι λέγειν τοῦτ' ἐστὶν ἁρμοστόν, Σόλων,
μεστὴν ὁρῶντι τὴν πόλιν νεωτέρων 5 5
τούτους τ' ἔχοντας τὴν ἀναγκαίαν φύσιν
ἁμαρτάνοντάς τ' εἰς ὃ μὴ προσῆκον ἦν,)
στῆσαι πριάμενόν τοι γυναῖκας κατὰ τόπους
κοινὰς ἅπασι καὶ κατεσκευασμένας.
ἑστᾶσι γυμναί, μὴ 'ξαπατηθῇς· πάνθ' ὅρα. | 10 10
569f οὐκ εὖ σεαυτοῦ τυγχάνεις ἔχων, ἔχεις
πῶς † ἡ θύρα ἔσται ἀνεῳγμένη.
εἷς ὀβολός· εἰσπήδησον. οὐκ ἔστ' οὐδὲ εἷς
ἀκκισμός, οὐδὲ λῆρος, οὐδ' ὑφήρπασεν,
ἀλλ' εὐθὺς ὡς βούλει † συχνὸν βούλει τρόπον. 15 15
ἐξῆλθες· οἰμώζειν λέγ', ἀλλοτρία τί σοι.

καὶ Ἀσπασία δὲ ἡ Σωκρατικὴ ἐνεπορεύετο πλήθη καλῶν γυναικῶν, καὶ ἐπλήθυνεν ἀπὸ τῶν ταύτης ἑταιρίδων ἡ Ἑλλάς, ὡς καὶ ὁ
570a χαρίεις Ἀριστοφάνης (*Ach.* 524–9) ‖ παρασημαίνεται λέγων τὸν Πελοποννησιακὸν πόλεμον ὅτι Περικλῆς διὰ τὸν Ἀσπασίας ἔρωτα 20
καὶ τὰς ἁρπασθείσας ἀπ' αὐτῆς θεραπαίνας ὑπὸ Μεγαρέων ἀνερρίπισε τὸ δεινόν·

πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγαράδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι. 525
κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι 25
ἀντεξέκλεψαν Ἀσπασίας πόρνας δύω·
κἀκεῖθεν ἀρχὴ τοῦ πολέμου κατερράγη |

2 νόμον A : , μόνον Kaibel ‖ **3** δημοτικόν B M P Mus : δημωτικόν A **5** ὁρῶντι A : ὁρῶν δὴ M P : ὁρῶντα Grotius ‖ **12** ἔσται A : 'στ' Bentley **15** ὡς A : ἣν Nauck | συχνὸν A : σὺ χῴν Bentley ‖ **16** λέγ' Musurus : † λεγε † A | τί A : 'στί Grotius ‖ **19** ἐν Ἀχαρνεῦσι post Ἀριστοφάνης praeb. C E **19–20** τὸν Πελοποννησιακὸν πόλεμον A : del. Meineke ‖ **21–2** ὑπὸ Μεγαρέων ἀνερρίπισε Musurus : ὑπὸ Μεγαρέων ἀνερρίπησεν ὑπὸ Μεγαρέων A ‖ **26** πόρνας δύω A : πόρνας δύο M P Mus : πόρνα δύο Ar. **27** κἀκεῖθεν A : κἀντεῦθεν Ar.

Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν. 570b

[26] τῶν οὖν μεγαλομίσθων ἑταιρῶν ἀποτρέπω σε, γραμματικώτατε, διότι·

τὰς μὲν ἄλλας ἔστιν αὐλούσας ἰδεῖν
5 αὐλητρίδας πάσας Ἀπόλλωνος νόμον,
Διὸς νόμον·
αὗται δὲ μόνον αὐλοῦσιν Ἱέρακος νόμον,

Ἐπικράτης φησὶν ἐν Ἀντιλαΐδι (fr. 2), ἐν ᾧ δράματι καὶ περὶ τῆς πολυθρυλήτου Λαΐδος τάδε λέγει (fr. 3)·

10 αὐτὴ δὲ Λαῒς ἀργός ἐστι καὶ πότις,
τὸ καθ' ἡμέραν ὁρῶσα πίνειν κἀσθίειν
μόνον. πεπονθέναι δὲ ταὐτά μοι δοκεῖ |
τοῖς ἀετοῖς· οὗτοι γὰρ ὅταν ὦσιν νέοι, 570c
ἐκ τῶν ὀρῶν πρόβατ' ἐσθίουσι καὶ λαγὼς 5
15 μετέωρ' ἀναρπάζοντες ἀπὸ τῆς ἰσχύος.
ὅταν δὲ γηράσκωσιν ἤδη, τότε
ἐπὶ τοὺς νεὼς ἵζουσι πεινῶντες κακῶς·
κἄπειτα τοῦτ' εἶναι νομίζεται τέρας.
καὶ Λαῒς ὀρθῶς νομίζοιτ' ἂν τέρας· 10
20 αὕτη γὰρ οὖν ὁπότ' ἦν νεοττὸς καὶ νέα,
ὑπὸ τῶν στατήρων ἦν ἀπηγριωμένη,
εἶδες δ' ἂν αὐτῆς Φαρνάβαζον θᾶττον ἄν. |
ἐπεὶ δὲ δόλιχον τοῖς ἔτεσιν ἤδη τρέχει 570d
τὰς ἁρμονίας τε διαχαλᾷ τοῦ σώματος, 15
25 ἰδεῖν μὲν αὐτὴν ῥᾷόν ἐστιν καὶ πτύσαι·
ἐξέρχεταί τε πανταχόσ' ἤδη πιομένη,
δέχεται δὲ καὶ στατῆρα καὶ τριώβολον,
προσίεται δὲ καὶ γέροντα καὶ νέον.
οὕτω δὲ τιθασὸς γέγονεν, ὥστ', ὦ φίλτατε, 20
30 τἀργύριον ἐκ τῆς χειρὸς ἤδη λαμβάνει.

570b, d Eust. p. 1403.55–6 = i.38.41 | **570b, d** Eust. p. 1403.55–6 = i.38.41

15 ἀναρπάζοντες A : ἀναρπάσαντες C E | ἀπὸ A C E : ὑπὸ Scaliger
17 ἵζουσι C E B M P Mus : ἵζουσιν A ‖ **25** καὶ A C E : ἢ Herwerden
29 φίλτατε C B M P Mus : φίλτα[τ] E : φίλταται A

μνημονεύει δὲ τῆς Λαΐδος καὶ Ἀναξανδρίδης ἐν Γεροντομανίᾳ (fr. 570e 9), καὶ ἄλλας ἑταίρας αὐτῇ συγκαταλέγει | διὰ τούτων·

(Α.) τὴν ἐκ Κορίνθου Λαΐδ' οἶσθα; (Β.) πῶς γὰρ οὔ;
τὴν † ημεριον †. (Α.) ἦν ἐκείνῃ τις φίλη
Ἄντεια. (Β.) καὶ τοῦθ' ἡμέτερον ἦν παίγνιον. 5
(Α.) νὴ τὸν Δί' ἤνθει τότε Λαγίσκη. ἦν δὲ τότε
καὶ Θεολύτη μάλ' εὐπρόσωπος καὶ καλή, 5
ὑπέφαιν' ἐσομένη δ' Ὤκιμον λαμπρὰ πάνυ.

[27] ταῦτά σοι παραινεῖν ἔχω, ἑταῖρε Μυρτίλε. καὶ κατὰ τὴν Φιλεταίρου Κυνηγίδα (fr. 6)· | 10

570f παῦσαι γέρων ὢν τοὺς τρόπους. οὐκ οἶσθ' ὅτι
οὐκ ἔστιν ἥδιστον ἀποθανεῖν βινοῦνθ' ἅμα,
ὥσπερ λέγουσιν ἀποθανεῖν Φορμίσιον;

ἢ ἥδιστόν ἐστί σοι, ὡς ἐν Μαραθωνίοις φησὶ Τιμοκλῆς (fr. 24)·

θεὸν † τὸ μεταξὺ μετὰ κορίσκης ἢ μετὰ 15
χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι. βαβαί,
ἡ στιφρότης, τὸ χρῶμα, πνεῦμα, δαίμονες.
τὸ μὴ σφόδρ' εἶναι πάνθ' ἕτοιμα, δεῖν δέ τι ‖
571a ἀγωνιᾶσαι καὶ ῥαπισθῆναί γε καὶ 5
πληγὰς λαβεῖν ἁπαλαῖσι χερσίν· ἡδύ γε 20
νὴ τὸν Δία τὸν μέγιστον.

ἔτι πολλὰ τοῦ Κυνούλκου θέλοντος λέγειν καὶ τοὐλπιανοῦ ἐπιραπίσαι βουληθέντος αὐτὸν εἰς τιμὴν τοῦ Μυρτίλου φθάσας ὁ Μυρτίλος (διήχθρευε γὰρ τῷ Σύρῳ) ἔφη·

οὐχ ὧδ' ἐμόγησαν 25
ἐλπίδες ὥστ' ἐχθρῶν συμμαχίαν καλέσαι,

3 Λαΐδ' Musurus : Λαΐδα A ‖ **4** † ημεριον † A : ἡμέρειον Musurus : ἡμετέρειον Abresch | φίλη, i.e. ΦΙΛΗ Musurus : † φιαλη †, i.e. ΦΙΑΛΗ A **7** Θεολύτη A : Νεαλύτη C E ‖ **8** ἐσομένη B (ἐσομένη' Mus) : ἐσομένῃ A λαμπρὰ Dobree : λαμπρὸν A ‖ **12** οὐκ ἔστιν ἥδιστον A : οὔκ ἐσθ' ἥδιστον C E : ἥδιστόν ἐστιν (del. οὐκ) Toup ‖ **13** Φορμίσιον Schweighäuser : Φορμήσιον A : Φοριμίσιον E : Φοριμίσι C ‖ **15** θεὸν A Mus* : ὅσον Jacobs : fort. θεῖον **19** γε, i.e. ΓΕ A : τε, i.e. ΤΕ Jacobs ‖ **26** συμμαχίαν A C E : συμμαχίας Musurus

φησὶ Καλλίμαχος (fr. 477 Pfeiffer)· οὐ γὰρ αὐτάρκεις ἡμεῖς ἀμύνασθαι, ὦ Κύνουλκε;

ὡς σκαιὸς εἶ κἄγροικος αἰσχροεπῶν,
ἐπαρίστερ᾽ ἐν τῷ | στόματι τὴν γλῶσσαν φορεῖς, 571b

5 κατὰ τὴν Ἐφίππου Φιλύραν (fr. 23)· δοκεῖς γάρ μοι ἐκείνων εἷς εἶναι

οὓς ἐδίδαξαν ἀριστερὰ γράμματα Μοῦσαι,

ὥς τις ἔφη τῶν παρῳδῶν (adesp. parod. fr. 6 Olson–Sens)· [**28**] ἐγὼ γάρ, ὦ ἄνδρες σύσσιτοι, οὐ κατὰ τὰς Μεταγένους Αὔρας (fr.
10 4) ἢ τὸν Ἀρισταγόρου Μαμμάκυθον

ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας
ὡραίας πρότερον, νῦν δ᾽ οὐχ ὑμῖν ἀγορεύω
ἄρτι χνοαζούσας αὐλητρίδας, αἵ τε τάχιστα
ἀνδρῶν φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν. |

15 ἀλλὰ περὶ τῶν ὄντως ἑταιρῶν τὸν λόγον πεποίημαι, τουτέστι τῶν 571c φιλίαν ἄδολον συντηρεῖν δυναμένων, ἃς ὁ Κύνουλκος τολμᾷ λοιδορεῖν, μόνας ⟨τε⟩ τῶν ἄλλων γυναικῶν τῷ τῆς φιλίας ὀνόματι προσηγορευμένας ἀπὸ τῆς παρὰ τοῖς Ἀθηναίοις καλουμένης Ἑταίρας Ἀφροδίτης, περὶ ἧς φησιν ὁ Ἀθηναῖος Ἀπολλόδωρος ἐν
20 τοῖς Περὶ Θεῶν (*FGrH* 244 F 112) οὕτως· Ἑταίραν δὲ τὴν Ἀφροδίτην τὴν τοὺς ἑταίρους καὶ τὰς ἑταίρας συνάγουσαν· τοῦτο δ᾽ ἐστὶ φίλας· καλοῦσι γοῦν καὶ αἱ ἐλεύθεραι γυναῖκες | ἔτι καὶ νῦν καὶ αἱ 571d παρθένοι τὰς συνήθεις καὶ φίλας ἑταίρας, ὡς Σαπφώ (fr. 160)·

τάδε νῦν ἑταίραις
25 ταὶς ἔμαις † τερπνα † κάλως ἀείσω.

καὶ ἔτι (Sapph. fr. 142)·

571b Eust. p. 1228.48 = IV.476.17–18

1 ὁ Καλλίμαχος A : ὁ om. C E ‖ **3** κἄγροικος Dindorf : καὶ ἄγροικος A **4** ἐπαρίστερ᾽ Jacobs : † εαπαριστερα † A : ἐπαρίστερος Musurus | γλῶσσαν A : γλῶτταν scripsit Ephippus ‖ **12** δ᾽ οὐχ A : δ᾽ αὖθ᾽ Bergk : δ᾽ del. Kassel–Austin ‖ **17** μόνας ⟨τε⟩ Musurus (μόνος ⟨τε⟩ iam B) : ⟨τὰς⟩ μόνας Kaibel ‖ **18** ἢ ἀπὸ A : ἢ del. Kaibel ‖ **19** Ἑταίρας τῆς Ἀφροδίτης A : τῆς om. C E ‖ **23** ἡ Σαπφώ A : ἡ om. C E

Λάτω καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἕταιραι.

καλοῦσι δὲ καὶ τὰς μισθαρνούσας ἑταίρας καὶ τὸ ἐπὶ συνουσίαις μισθαρνεῖν ἑταιρεῖν, οὐκέτι πρὸς τὸ ἔτυμον ἀναφέροντες ἀλλὰ πρὸς τὸ εὐσχημονέστερον, καθὸ δὴ καὶ Μένανδρος ἐν Παρακαταθήκῃ (fr. 287) ἀπὸ τῶν ἑταιρῶν τοὺς ἑταίρους διαστέλλων φησί· | 5

571e πεποιήκατ' ἔργον οὐχ ἑταίρων γάρ·
ταὐτὰ δ' ὄντα γράμματα
τὴν προσαγόρευσιν οὐ σφόδρ' εὔσημον ποιεῖ.

[**29**] περὶ δὲ τῶν ἑταιρῶν Ἔφιππος ἐν Ἐμπολῇ (fr. 6) τάδε φησίν·

ἔπειτά γ' εἰσιόντ', ἐὰν λυπούμενος 10
τύχῃ τις ὑμῶν, ἐκολάκευσεν ἢ
κατεφίλησεν οὐχὶ συμπιέσασα τὸ στόμα
ὥσπερ πολέμιον, ἀλλὰ τοῖσι στρουθίοις |
571f χαυνοῦσ' ὁμοίως † ἧς ἐπαρεμυθήσατο 5
ἐποίησέ θ' ἱλαρὸν εὐθέως τ' ἀφεῖλε πᾶν 15
αὐτοῦ τὸ λοιπὸν κἀπέδειξεν ἵλεων.

Εὔβουλος δ' ἐν Καμπυλίωνι (fr. 41) κοσμίαν ἑταίραν παράγων φησίν·

ὡς δ' ἐδείπνει κοσμίως,
οὐχ ὥσπερ ἄλλαι τῶν πράσων ποιούμεναι 20
τολύπας ἔσαττον τὰς γνάθους καὶ τῶν κρεῶν ‖
572a ἀπέβρυκον αἰσχρῶς, ἀλλ' ἑκάστου μικρὸν ἂν
ἀπεγεύεθ' ὥσπερ παρθένος Μιλησία. 5

Ἀντιφάνης Ὑδρίᾳ (fr. 210)·

1 Λάτω] Λατὼ A : Λητὼ A^s C E | Νιόβα A C E : Νιόβη A^s ‖ **8** εὔσημον A : εὔσχημον Schweighäuser, cf. εὔσχημος infra ‖ **9** Ἔφιππος Casaubon, cf. 8.363c : εὔσχημος A (ex v.l. pro εὔσημον supra?) ‖ **10** εἰσιόντ' Schweighäuser : εἰσιόντα A : εἰσιόντα γ' Musurus ‖ **11** ὑμῶν A : ἡμῶν 8.363c ‖ **11–12** ἢ κατεφίλησεν A : ἢ κατεφίλησ' Musurus : ἡδέως / ἐφίλησεν 8.363c **14** χαυνοῦσ' Casaubon : χαυνοῦσα A : χανοῦσ' Meineke | ἧς ἐπαρεμυθήσατο A : ἥ σε παρεμυθήσατο 8.363e ‖ **15** τ' Schweighäuser : τε A : om. M P Mus et 8.363c ‖ **16** λοιπὸν A : λυποῦν 8.363c ‖ **22–3** ἂν / ἀπεγεύεθ', i.e. -ΑΠΕΓ- Pierson : † ἀναπετευε †, i.e. -ΑΝΕΤ- A ‖ **24** Ὑδρίᾳ Schweighäuser, cf. 3.104a : † ὑδρα † A

οὗτος δ᾽ ὃν λέγω
ἐκ γειτόνων αὐτῷ κατοικούσης τινὸς
ἰδὼν ἑταίρας εἰς ἔρωτ᾽ ἀφίκετο,
ἀστῆς, ἐρήμου δ᾽ ἐπιτρόπου καὶ συγγενῶν,
5 ἦθός τι χρυσοῦν πρὸς ἀρετὴν κεκτημένης, 5
ὄντως ἑταίρας· ἃ μὲν ἄλλοι † τοὔνομα
βλάπτουσι τοῖς τρόποις † γὰρ ὄντως ὂν καλόν. |

Ἀναξίλας Νεοττίδι (fr. 21)· 572b

(A.) ἐὰν δέ τις † μετρια † καὶ λέγουσα
10 τοῖς δεομένοις τινῶν ὑπουργῇ πρὸς χάριν,
ἐκ τῆς ἑταιρίας ἑταίρα τοὔνομα
προσηγορεύθη. καὶ σὺ νῦν οὐχ ὡς λέγεις
πόρνης, ἑταίρας δ᾽ εἰς ἔρωτα τυγχάνεις 5
ἐληλυθὼς ἆρ᾽ ὡς ἀληθῶς· ἔστι γοῦν
15 ἁπλῆ τις. (B.) ἀστεία μὲν οὖν, νὴ τὸν Δία.

[30] ὁ δὲ ὑμέτερος φιλοσοφομειρακίσκος τοιοῦτος οἷον Ἄλεξις (fr. 244) ἢ Ἀντιφάνης ἐν Ὕπνῳ παράγει· |

διὰ ταῦθ᾽ ὁ πόρνος οὗτος οὐδὲ τῶν πράσων 572c
ἑκάστοτ᾽ ἐπιδειπνεῖ μεθ᾽ ἡμῶν· τοῦτο δ᾽ ἦν,
20 ἵνα μή τι λυπήσειε τὸν ἐραστὴν φιλῶν.

καλῶς δὲ περὶ τῶν τοιούτων Ἔφιππος ἐν Σαπφοῖ (fr. 20) φησιν·

ὅταν γὰρ ὢν νέος
ἀλλότριον εἰσελθὼν ὄψον ἐσθίειν μάθῃ
ἀσύμβολόν τε χεῖρα προσβάλῃ βορᾷ,
25 διδόναι νόμιζ᾽ αὐτὸν σὺ τῆς νυκτὸς λόγον.

τὰ αὐτὰ εἴρηκε καὶ Αἰσχίνης ὁ ῥήτωρ ἐν τῷ Κατὰ | Τιμάρχου (75). 572d
[31] περὶ δὲ τῶν ἑταιρῶν καὶ Φιλέταιρος ἐν Κυνηγίδι (fr. 8) τάδε φησίν·

2 ἐκ A : ἐν Sauppe ‖ **6** ἃ μὲν ἄλλοι A : αἱ μὲν ἄλλαι Musurus : αἱ γὰρ ἄλλαι Schweighäuser ‖ **7** τρόποις γὰρ A : τρόποισιν Musurus ‖ **9** † μετρια † καὶ λέγουσα A : μέτρια λέγουσι C E : καὶ del. Musurus ‖ **11** ἑταιρίας A C E : ἑταιρείας Meineke ‖ **19** ἐπιδειπνεῖ A : ἐπεδείπνει Bothe

οὐκ ἐτὸς Ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ Γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

οἶδα δὲ καὶ ἑορτὴν Ἑταιρίδεια ἀγομένην ἐν Μαγνησίᾳ οὐ διὰ τὰς ἑταίρας ἀλλὰ δι' ἑτέραν αἰτίαν, ἧς μνημονεύει Ἡγήσανδρος ἐν Ὑπομνήμασι (fr. 25, *FHG* iv.418) γράφων ὧδε· τὴν τῶν Ἑταιρι- 5 δείων ἑορτὴν συντελοῦσι Μάγνητες. ἱστοροῦσι δὲ πρῶτον Ἰάσονα 572e τὸν Αἴσονος συναγαγόντα τοὺς Ἀργοναύτας | Ἑταιρείῳ Διὶ θῦσαι καὶ τὴν ἑορτὴν Ἑταιρίδεια προσαγορεῦσαι. θύουσι δὲ καὶ οἱ Μακεδόνων βασιλεῖς τὰ Ἑταιρίδεια. Πόρνης δὲ Ἀφροδίτης ἱερόν ἐστι παρὰ Ἀβυδηνοῖς, ὥς φησι Πάμφιλος (fr. XXIX Schmidt)· 10 κατεχομένης γὰρ τῆς πόλεως δουλείᾳ τοὺς φρουροὺς τοὺς ἐν αὐτῇ ποτε θύσαντας, ὡς ἱστορεῖ Κλεάνθης ἐν τοῖς Μυθικοῖς (Neanth. *FGrH* 84 F 9), καὶ μεθυσθέντας ἑταίρας πλείονας προσλαβεῖν, ὧν μίαν κατακοιμηθέντας αὐτοὺς ἰδοῦσαν ἀνελομένην τὰς κλεῖς καὶ 572f τὸ τεῖχος ὑπερβᾶσαν ἀπαγγεῖλαι τοῖς Ἀβυδηνοῖς· | τοὺς δ' αὐτίκα 15 μεθ' ὅπλων ἀφικομένους ἀνελεῖν μὲν τοὺς φύλακας, κρατήσαντας δὲ τῶν τειχῶν καὶ γενομένους ἐγκρατεῖς τῆς ἐλευθερίας χαριστή- ρια τῇ πόρνῃ ἀποδιδόντας Ἀφροδίτης Πόρνης ναὸν ἱδρύσασθαι. Ἄλεξις δ' ὁ Σάμιος ἐν δευτέρῳ Ὥρων Σαμιακῶν (*FGrH* 539 F 1), τὴν ἐν Σάμῳ Ἀφροδίτην, ἣν οἱ μὲν Ἐν Καλάμοις καλοῦσιν, οἱ δὲ 20 Ἐν Ἕλει, Ἀττικαί, φησίν, ἑταῖραι ἱδρύσαντο αἱ συνακολουθήσασαι Περικλεῖ ὅτε ἐπολιόρκει τὴν Σάμον, ἐργασάμεναι ἱκανῶς ἀπὸ τῆς 573a ὥρας. ‖ Εὐάλκης δ' ἐν τοῖς Ἐφεσιακοῖς (*FGrH* 418 F 2) καὶ ἐν Ἐφέσῳ φησὶν ἱερὸν ἱδρῦσθαι Ἑταίρᾳ Ἀφροδίτῃ. Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν (fr. 29 Wehrli), Γύγης, φησίν, ὁ Λυδῶν 25 βασιλεὺς οὐ μόνον περὶ ζῶσαν τὴν ἐρωμένην περιβόητος γέγονεν ἐγχειρίσας αὐτόν τε καὶ τὴν ἀρχὴν ἐκείνῃ πᾶσαν, ἀλλὰ καὶ τελευ- τησάσης συναγαγὼν τοὺς ἐκ τῆς χώρας Λυδοὺς πάντας ἔχωσε μὲν

572f Eust. p. 1349.7–8 = IV.900.26–7

1 ἐτὸς B M P Mus et 13.559a (= fr. 5.2) : † ετὸς ετὸς † A ‖ **3** ἑορτὴν] ἑορτὴν ⟨τὴν⟩ B M P Mus : ἑορτήν ⟨τιν'⟩ Kaibel | Ἑταιρίδεια Schweighäuser (Ἑτερίδεια iam Musurus), cf. Ἑταιριδείων et Ἑταιρίδεια infra : Ἑταιρίδια A E : Ἑταιρείδια C E[s] ‖ **12** Κλεάνθης A : Νεάνθης Müller ‖ **19** Ὥρων Schweighäuser : ὅρων A ‖ **24** ἱερὸν C E : ἱερὰ A ‖ **28–117,1** μὲν Λυδίας τὸ νῦν A : τὸ νῦν C E : Λυδίας ut glossam ad τῆς χώρας (vel ad ἑταίρας?) del. Kaibel

τὸ νῦν ἔτι καλούμενον τῆς ἑταίρας μνῆμα, εἰς ὕψος ⟨τοσοῦτον⟩
ἄρας ὥστε περιοδεύοντος αὐτοῦ τὴν ἐντὸς τοῦ Τμώλου χώραν, οὗ |
ἂν ἐπιστραφεὶς τύχῃ, καθορᾶν τὸ μνῆμα καὶ πᾶσι τοῖς τὴν Λυδίαν 573b
οἰκοῦσιν ἄποπτον εἶναι. Δημοσθένης δ᾽ ὁ ῥήτωρ ἐν τῷ Κατὰ
5 Νεαίρας λόγῳ ([D.] 59.122), εἰ γνήσιος, ὃν Ἀπολλόδωρος εἴρηκε,
φησί· τὰς μὲν ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς δὲ παλλακὰς τῆς
καθ᾽ ἡμέραν παλλακείας, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι
γνησίως καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν. [32] καταλέξω δέ
σοι, Κύνουλκε, Ἰωνικήν τινα ῥῆσιν ἐκτείνας κατὰ τὸν Αἰσχύλου
10 ⟨...⟩ (fr. 313a) περὶ ἑταιρῶν, ἀρξάμενος ἀπὸ τῆς καλῆς | Κορίνθου, 573c
ἐπειδή μοι τὴν αὐτόθι σοφιστείαν ὠνείδισας. νόμιμόν ἐστιν
ἀρχαῖον ἐν Κορίνθῳ, ὡς καὶ Χαμαιλέων ὁ Ἡρακλεώτης ἱστορεῖ ἐν
τῷ Περὶ Πινδάρου (fr. 31 Wehrli = fr. 35 Martano), ὅταν ἡ πόλις
εὔχηται περὶ μεγάλων τῇ Ἀφροδίτῃ, συμπαραλαμβάνεσθαι πρὸς
15 τὴν ἱκετείαν ἑταίρας ὡς πλείστας, καὶ ταύτας προσεύχεσθαι τῇ
θεῷ καὶ ὕστερον ἐπὶ τοῖς ἱεροῖς παρεῖναι. καὶ ὅτε δὴ ἐπὶ τὴν
Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ Πέρσης, ὡς καὶ Θεόπομπος (*FGrH*
115 F 285) ἱστορεῖ καὶ Τίμαιος ἐν τῇ ἑβδόμῃ (*FGrH* 566 F 10), αἱ
Κορίνθιαι ἑταῖραι | εὔξαντο ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας εἰς 573d
20 τὸν τῆς Ἀφροδίτης ἐλθοῦσαι νεών· διὸ καὶ Σιμωνίδης ἀναθέντων
τῶν Κορινθίων πίνακα τῇ θεῷ τὸν ἔτι καὶ νῦν διαμένοντα καὶ τὰς
ἑταίρας ἰδίᾳ γραψάντων τὰς τότε ποιησαμένας τὴν ἱκετείαν καὶ
ὕστερον παρούσας συνέθηκε τόδε τὸ ἐπίγραμμα (‘Simon.’ *FGE*
732–5)·

25 αἵδ᾽ ὑπὲρ Ἑλλήνων τε καὶ εὐθυμάχων πολιητᾶν
ἐστάθεν εὔχεσθαι Κύπριδι δαιμονίᾳ· |

573b Eust. p. 1758.6–11 = ii.70.4–6

1 ⟨τοσοῦτον⟩ addidi ‖ **3** τύχῃ C E : τύχοι A : οὗ ἐπιστραφεὶς τύχοι (del. ἂν) Kaibel ‖ **7** παλλακείας A C E Eust. : θεραπείας τοῦ σώματος [Dem.] ‖ **10** lac. indic. Schweighäuser : ⟨Ἀγαμέμνονα⟩ Meineke ‖ **15** τὰς ἑταίρας A : τὰς om. C E ‖ **25** Ἑλλήνων A et Σ Pi. : Ἑλλάνων Plut. *Mor.* 871a | εὐθυμάχων A : ἰθυμάχων Plut. *Mor.* 871b : ἀγχεμάχων Σ Pi. *O.*13.32b | πολιητᾶν, i.e. -HTAN Plut. *Mor.* 871b Σ Pi. *O.*13.32b et Musurus : † πολινταν †, i.e. -NTAN A : πολιατᾶν Preger ‖ **26** ἐστάθεν Plut. *Mor.* 871b : † εσταθεν † A : ἔστασαν Σ Pi. *O.*13.32b | εὔχεσθαι A : εὐχόμεναι Σ Pi. *O.*13.32b : εὐξάμεναι Plut. *Mor.* 871b | δαιμονίᾳ A et Plut *Mor.* 871b Σ Pi. *O.*13.32b : δαιμόνια Bernadakis

573e οὐ γὰρ τοξηφόροισιν ἐμήσατο δῖ᾽ Ἀφροδίτα
Πέρσαις Ἑλλάνων ἀκρόπολιν προδόμεν. 735

καὶ ἰδιῶται δὲ κατεύχονται τῇ θεῷ τελεσθέντων περὶ ὧν ἂν ποιῶνται τὴν δέησιν ἐπάξειν αὐτῇ καὶ τὰς ἑταίρας. [33] ὑπάρχοντος οὖν τοῦ τοιούτου νομίμου περὶ τὴν θεὸν Ξενοφῶν ὁ Κορίνθιος ἐξιὼν εἰς 5
573f Ὀλυμπίαν ἐπὶ τὸν ἀγῶνα καὶ αὐτὸς ἐπάξειν ἑταίρας εὔξατο | τῇ θεῷ νικήσας· Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς αὐτὸν ἐγκώμιον, οὗ ἡ ἀρχή (*O.* 13.1–2)·

τρισολυμπιονίκαν
ἐπαινέων οἶκον, 10

ὕστερον δὲ καὶ σκόλιον τὸ παρὰ τὴν θυσίαν ᾀσθέν, ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας αἳ παραγενομένου τοῦ Ξενοφῶντος καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν· διόπερ ἔφη (Pi. fr. 122.17–20)·

ὦ Κύπρου δέσποινα, τεὸν δεῦτ᾽ ἐς ἄλσος 15
574a φορβάδων ‖ κορᾶν ἀγέλαν ἑκατόγγυι-
ον Ξενοφόων τελείαις
ἐπήγαγ᾽ εὐχωλαῖς ἰανθείς. 20

ἤρξατο δ᾽ οὕτω τοῦ μέλους (Pi. fr. 122.1–9)·

πολύξειναι νεάνιδες, ἀμφίπολοι 20
Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ,
† διαιτε † τὰς χεῖρας λιβάνου ξανθὰ δάκρυά

1 τοξηφόροισιν A : τοξοφόροισιν B M P Mus et Plut. *Mor.* 871b Σ Pi. *O.*13.32b ἐμήσατο A : ἐμήδετο Plut. *Mor.* 871b : ἐβούλετο Σ Pi. *O.*13.32b | Ἀφροδίτα A et Plut. *Mor.* 871b Σ Pi. *O.*13.32b : Ἀφροδίτη A^s ‖ **2** Πέρσαις A : Μήδοις Plut. *Mor.* 871b Σ Pi. *O.*13.32b | Ἑλλάνων A et Plut. *Mor.* 871b Σ Pi. *O.*13.32b : Ἑλλήνων A^s | προδόμεν A et Plut. *Mor.* 871b : δόμεναι Σ Pi. *O.*13.32b ‖ **3** οἱ ἰδιῶται A C E : οἱ delevi ‖ **4** ἐπάξειν Schweighäuser : ἀπάξειν A C E **6** ἐπάξειν Kaibel, ducente Schweighäuser : ἀπάξειν A ‖ **15** δεῦτ᾽ Casaubon : δεῦτε A ‖ **16–17** ἑκατόγγυιον Casaubon : ἑκατόνγυϊον A ‖ **17** Ξενοφόων A : Ξενοφῶν M P Mus | τελείαις A : τελέαις Boeckh ‖ **18** ἐπήγαγ᾽ A : ἐπάγαγ᾽ Boeckh ‖ **19** μέλους Casaubon : † τελους † A ‖ **20** πολύξειναι A : πολύξεναι Boeckh ‖ **22** † διαιτετασχειρασ †, i.e. ΔΙΑΙ- (v.ll. ΔΙΑ et ΑΙ in unam confusas?) A : διά τε τὰς χεῖρας B M P Mus : αἵ τε τὰν χλωρὰν Zon. p. 1307 : αἵ τε τᾶς χλωρᾶς Tittmann | δάκρυά A : δάκρη Hdn. fr. 7b Hunger

τε ἡμῖν πολλάκις ματέρας Ἐρώτων
οὐρανίαν πτάμεναι
νοήματι πρὸς Ἀφροδίταν, 5
ὑμῖν ἄνωθεν ἀπαγορίας ἔπορεν,
5 ὦ παῖδες, ἐρατειναῖς εὐναῖς
† μαλθακωρας † ἀπὸ καρπὸν δρέπεσθαι.
σὺν δ' ἀνάγκᾳ πᾶν καλόν·

ἀρξάμενος θ' οὕτως ἑξῆς φησιν (Pi. fr. 122.13–15)·

ἀλλὰ θαυμάζω, | τί με λεξοῦντι ὁμοῦ 574b
10 δεσπόται † τοιονδε † μελίφρονος ἀρχὰν
εὑρόμενον σκολίου
ξυνάορον ξυναῖς γυναιξί· 15

δῆλον γὰρ ὅτι πρὸς τὰς ἑταίρας διαλεγόμενος ἠγωνία ποῖόν τι φανήσεται τοῖς Κορινθίοις τὸ πρᾶγμα. πιστεύων δέ, ὡς ἔοικεν, 15 αὐτὸς αὑτῷ πεποίηκεν εὐθέως (Pi. fr. 122.16)·

ἐδιδάξαμεν χρυσὸν κιθάρᾳ βασάνῳ.

ὅτι δὲ καὶ Ἀφροδίσια ἴδια ἄγουσιν αὐτόθι αἱ ἑταῖραι Ἄλεξις ἐν Φιλούσῃ (fr. 255) φησίν·

Ἀφροδίσι' ἦγε ταῖς ἑταίραις ἡ πόλις· |
20 ἕτερα δὲ χωρίς ἐστι ταῖς ἐλευθέραις. 574c
ταῖς ἡμέραις ταύταις δὲ κωμάζειν ἔθος
ἐστὶν νόμος τε τὰς ἑταίρας ἐνθάδε μεθ' ἡμῶν.

[34] ἐν δὲ Λακεδαίμονι, ὥς φησι Πολέμων ὁ περιηγητὴς ἐν τῷ Περὶ τῶν ἐν Λακεδαίμονι Ἀναθημάτων (fr. 18 Preller), εἰκών ἐστι 25 τῆς διαβοήτου ἑταίρας Κοττίνας, ἥν φησι καὶ βοῦν ἀναθεῖναι χαλκῆν γράφων οὕτω· καὶ τὸ Κοττίνας δὲ τῆς ἑταίρας εἰκόνιον, ἧς διὰ τὴν ἐπιφάνειαν οἴκημά τι λέγεται | καὶ νῦν ἐγγυτάτω τῆς 574d

1 τε ἡμῖν A : θυμιᾶτε Zon. p. 1307 | πολλάκις A : πολλάκι Boeckh | ματέρας A : μητέρας A^s : ματέρ' Boeckh ‖ **4** ἄνωθεν ἀπαγορίας A : ἄνευθ' ἐπαγορίας Meineke ‖ **6** † μαλθακωρας † A : μαλθακᾶς ὥρας Boeckh ‖ **7** δ' Boeckh : † δε † A ‖ **8** θ' A : δ' B ‖ **9** λεξοῦντι] † λεξουντι † A : λέξαντι B M P Mus : λέξοντι Casaubon | ὁμοῦ, i.e. ΟΜΟΥ A : Ἰσθμοῦ, i.e. -ΘΜΟΥ Casaubon **10** † τοιονδε † A : τοιάνδε Schweighäuser ‖ **16** ἐδιδάξαμεν A : διδάξαμεν Hermann | κιθάρᾳ M P Mus : κιθάρα A : καθαρᾷ Casaubon

Κολώνης, ἵνα τὸ Διονύσιόν ἐστιν, ἐπιφανὲς καὶ πολλοῖς ἐγνωσμένον τῶν ἐν τῇ πόλει. ἀναθήματα δ' αὐτῆς ἐστιν ὑπὲρ τὸ τῆς Χαλκιοίκου βοίδιόν τι χαλκοῦν καὶ τὸ προειρημένον εἰκόνιον. Ἀλκιβιάδης δὲ ὁ καλός, ἐφ' οὗ τις τῶν κωμικῶν ἔφη (adesp. com. fr. 123)· 5

Ἀλκιβιάδην τὸν ἁβρόν, ὦ γῆ καὶ θεοί,
ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λαβεῖν,

574e ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικὸς ἐπὶ | τὰς τῶν ἑταιρίδων θύρας ἐκώμαζεν ἀπολιπὼν τὰς Λακαίνας καὶ τὰς Ἀττικάς· Μεδοντίδος γοῦν τῆς Ἀβυδηνῆς ἐξ ἀκοῆς ἐρασθεὶς ἔστερξε καὶ 10 πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιόχῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστής, ὥς φησι Λυσίας ὁ ῥήτωρ ἐν τῷ κατ' αὐτοῦ λόγῳ (fr. 8 Carey), καὶ ταύτης ἐκοινώνησεν αὐτῷ. καὶ ἑτέρας δὲ δύο ἑταίρας περιήγετο ἀεὶ ὁ Ἀλκιβιάδης, Δαμασάνδραν τὴν Λαΐδος τῆς νεωτέρας μητέρα καὶ Θεοδότην, ὑφ' ἧς καὶ ἀποθανὼν ἐκηδεύθη ἐν 15
574f Μελίσσῃ κώμῃ | τῆς Φρυγίας ἐπιβουλευθεὶς ὑπὸ Φαρναβάζου. εἴδομεν δὲ καὶ ἡμεῖς τὸ ἐν Μελίσσῃ τοῦ Ἀλκιβιάδου μνῆμα ἐκ Συννάδων εἰς Μητρόπολιν ἀφικνούμενοι· ἐφ' ᾧ καὶ κατ' ἔτος θύεται βοῦς διακελευσαμένου τοῦτο τοῦ πάντα ἀρίστου Ἀδριανοῦ βασιλέως, ὃς καὶ ἀνέστησεν ἐπὶ τῷ μνήματι Παρίου λίθου εἰκόνα 20
575a τοῦ Ἀλκιβιάδου. ‖ [35] οὐ χρὴ δὲ θαυμάζειν εἰ ἐξ ἀκοῆς τινες ἠράσθησάν τινων ὁπότε Χάρης ὁ Μιτυληναῖος ἐν τῇ δεκάτῃ τῶν Ἱστοριῶν τῶν Περὶ Ἀλέξανδρόν (*FGrH* 125 F 5) φησιν ὀνείρατι θεασαμένους τινὰς οὓς μὴ πρότερον εἶδον ἐρασθῆναι αὐτῶν. γράφει δὲ οὕτως· Ὑστάσπῃ νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, περὶ 25 ὧν λέγουσιν οἱ ἐπιχώριοι ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν. ἐκυρίευσε δὲ ὁ μὲν Ὑστάσπης Μηδίας καὶ τῆς ὑποκάτω
575b χώρας, ὁ δὲ Ζαριάδρης τῆς ὑπεράνω Κασπίων | πυλῶν μέχρι τοῦ Τανάιδος. τῶν δὲ ἐπέκεινα τοῦ Τανάιδος Ὁμάρτῃ βασιλεῖ †

2 ἀναθήματα Kaibel : ἀνάθημα A ‖ **3** τι A : τε Kaibel ‖ **14** περιήγετο, i.e. πεήγετο Meineke : ἐπήγετο A C E | ἀεὶ C E B M P Mus : αἰεὶ A ‖ **16** Μελίσσῃ C E Mus, cf. Μελίσσῃ infra : Μελίσσαις B : Μελίσσης A ‖ **18** ἐφ' Kaibel : ἐν A C E : fort. ἐν ᾗ (sc. κώμῃ) ‖ **21** τοῦ Ἀλκιβιάδου scripsi : τὸν Ἀλκιβιάδην A C E ‖ **21–2** τινες ἠράσθησάν τινων A : ἠράσθη τῆς Ἀβυδηνῆς ἑταίρας Ἀλκιβιάδης C E ‖ **22** τῇ δεκάτῃ Kaibel : τῷ δεκάτῳ A ‖ **24** τινὰς A : πολλοὶ (structura mutata) C E ‖ **25** ἄμφω καλοί post Ζαριάδρης praeb. C E Mus **28** τῆς Kaibel : τῶν A C E

Μαραθῶν † θυγάτηρ ἦν, ὄνομα Ὀδάτις· περὶ ἧς ἐν ταῖς ἱστορίαις γέγραπται ὡς ἄρα κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν Ζαριάδρην ἐρασθείη, τὸ δ' αὐτὸ τοῦτο κἀκείνῳ πάθος συμπεσεῖν πρὸς αὐτήν. διετέλουν οὖν ἀλλήλων ἐπιθυμοῦντες διὰ τὴν κατὰ τὸν ὕπνον
5 φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν. καὶ ὁ Ζαριάδρης δὲ ἦν καλός. πέμποντος οὖν τοῦ Ζαριάδρου πρὸς τὸν Ὁμάρτην | καὶ φιλοτιμουμένου γῆμαι τὴν ἄνθρωπον οὐ 575c συνετίθετο ὁ Ὁμάρτης διὰ τὸ εἶναι ἀρρένων παίδων ἔρημος· ἤθελε γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ αὐτὸν οἰκείων. καὶ μετ' οὐ πολὺν
10 χρόνον ὁ Ὁμάρτης συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας καὶ φίλους καὶ συγγενεῖς ἐποιεῖτο τοὺς γάμους οὐ προειπὼν ὅτῳ μέλλοι διδόναι τὴν θυγατέρα. ἀκμαζούσης οὖν τῆς μέθης εἰσκαλέσας τὴν Ὀδάτιν ὁ πατὴρ εἰς τὸ συμπόσιον εἶπεν ἀκουόντων τῶν συνδείπνων· "ἡμεῖς, ὦ θύγατερ Ὀδάτι, νῦν ποιούμεθα | τοὺς σοὺς 575d
15 γάμους. περιβλέψασα οὖν καὶ θεωρήσασα πάντας, λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσασα δὸς ᾧ θέλεις· τούτου γὰρ κεκλήσῃ γυνή." κἀκείνη περιβλέψασα πάντας ἀπῄει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῷ ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ δὲ στρατοπεδεύων ἐπὶ τοῦ Τανάιδος καὶ διαλαθὼν
20 τὴν στρατοπεδείαν διέβη μετὰ μόνου τοῦ ἁρματηλάτου καὶ νυκτὸς ὁρμήσας ἐπὶ τοῦ ἅρματος διῆλθε διὰ γῆς πολλῆς διώξας περὶ ὀκτακοσίους | σταδίους. πλησίον δὲ τῆς κώμης γενόμενος ἐν ᾗ 575e τοὺς γάμους συνετέλουν καὶ καταλιπὼν ἔν τινι τόπῳ αὐτῷ ἅρματι τὸν ἁρματηλάτην προῆγεν ἐνδεδυκὼς στολὴν Σκυθικήν. καὶ
25 παρελθὼν εἰς τὴν αὐλὴν καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλικείου καὶ δακρύουσαν κιρνᾶσάν τε βραδέως τὴν φιάλην εἶπε πλησίον στὰς παρ' αὐτήν· "ὦ Ὀδάτι, πάρειμι δή σοι καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης." ἡ δὲ κατανοήσασα ξένον ἄνδρα καὶ καλὸν καὶ ὅμοιον τῷ κατὰ τὸν ὕπνον ἑωραμένῳ | περιχαρὴς 575f
30 γενομένη δίδωσιν αὐτῷ τὴν φιάλην. καὶ ὃς ἁρπάσας αὐτὴν ἀπήγαγεν ἐπὶ τὸ ἅρμα καὶ ἔφυγεν ἔχων τὴν Ὀδάτιν. οἱ δὲ παῖδες καὶ αἱ θεράπαιναι συνειδυῖαι τὸν ἔρωτα κατεσιώπησαν καὶ κελεύ-

4 οὖν Kaibel : γοῦν A ‖ **8** Ὁμάρτης C E B M P Mus : ἁμάρτης A **12** θυγατέρα A : παῖδα C E ‖ **14** Ὀδάτι A : om. C E, fort. recte ‖ **16** ᾧ θέλεις γαμηθῆναι A C E : γαμηθῆναι ut glossam del. Kaibel ‖ **21** γῆς πολλῆς, i.e. ΓΗΣ- Kaibel : τῆς πόλεως, i.e. ΤΗΣ- A C E ‖ **22** τοὺς ὀκτακοσίους A : τοὺς om. C E ‖ **26** κυλικείου C E B Mus : κυλικίου A

οντος τοῦ πατρὸς καταγγέλλειν οὐκ ἔφασαν εἰδέναι ὅπου πεπόρευ-
ται. μνημονεύεται δὲ ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν οἰκοῦσι
βαρβάροις καὶ περισσῶς ἐστι ζηλωτός, καὶ τὸν μῦθον τοῦτον
ζωγραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ τοῖς βασιλείοις, ἔτι δὲ ταῖς ἰδιωτι-
καῖς οἰκίαις. καὶ ταῖς ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν 5
576a ὄνομα τίθενται Ὀδάτιν. ‖ [36] τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ
Ἀριστοτέλης ἐν τῇ Μασσαλιωτῶν Πολιτείᾳ (fr. 549 Rose = fr. 560
Gigon) γράφων οὕτω· Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ ἐμπορίᾳ χρώμενοι
ἔκτισαν Μασσαλίαν. Εὔξενος δὲ ὁ Φωκαεὺς Νάνῳ τῷ βασιλεῖ
(τοῦτο δ᾽ ἦν αὐτῷ ⟨τὸ⟩ ὄνομα) ἦν ξένος. οὗτος ὁ Νάνος ἐπιτελῶν 10
γάμους τῆς θυγατρὸς κατὰ τύχην παραγενόμενον τὸν Εὔξενον
παρακεκλήκει ἐπὶ τὴν θοίνην. ὁ δὲ γάμος ἐγίνετο τόνδε ⟨τὸν⟩
τρόπον· ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα φιάλην
κεκερασμένην ᾧ βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων· ᾧ δὲ
576b δοίη, τοῦτον εἶναι νυμφίον. ἡ δὲ παῖς | εἰσελθοῦσα δίδωσιν εἴτε 15
ἀπὸ τύχης εἴτε καὶ δι᾽ ἄλλην τινὰ αἰτίαν τῷ Εὐξένῳ· ὄνομα δ᾽ ἦν
τῇ παιδὶ Πέττα. τούτου δὲ συμπεσόντος καὶ τοῦ πατρὸς ἀξιοῦντος
ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως αὐτὴν ἔλαβεν ὁ Εὔξενος
γυναῖκα καὶ συνῴκει μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἐστὶ
γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου μέχρι νῦν Πρωτιάδαι 20
καλούμενον· Πρῶτις γὰρ ἐγένετο υἱὸς ⟨τοῦ⟩ Εὐξένου καὶ τῆς
576c Ἀριστοξένης. [37] Θεμιστοκλῆς | τε, ὥς φησιν Ἰδομενεύς (*FGrH*
338 F 4a), οὐχ ἅρμα ζευξάμενος ἑταιρῶν πληθούσης ἀγορᾶς
εἰσήλασεν εἰς τὸ ἄστυ; ἦσαν δ᾽ αὗται Λάμια καὶ Σκιώνη καὶ
Σατύρα καὶ Νάννιον. οὐ καὶ αὐτὸς Θεμιστοκλῆς ἐξ ἑταίρας ἦν 25
γεγενημένος, ὄνομα Ἀβροτόνου; ὡς Ἀμφικράτης ἱστορεῖ ἐν τῷ
Περὶ Ἐνδόξων Ἀνδρῶν συγγράμματι (fr. 1, *FHG* iv.300)·

1 καταγγέλλειν scripsi : καλεῖν A : λαλεῖν Kaibel ‖ **8** ἐμπορίᾳ M P Mus : ἐμπορείᾳ A ‖ **9** Νάνῳ A : Νάννῳ C E ‖ **10** ⟨τὸ⟩ addidi ‖ **12** παρακεκλήκει scripsi : παρακέκληκεν A | ἐγίνετο scripsi : ἐγίγνετο A | ⟨τὸν⟩ add. M P Mus **15** νυμφίον B M P Mus : νῦν A ‖ **18–19** ἔχειν αὐτὴν ἔλαβεν ὁ Εὔξενος γυναῖκα A : σχεῖν αὐτὴν γυναῖκα (structura mutata) C E : ἔχειν delevi : ἔχειν αὐτὴν γυναῖκα, ἔλαβεν ὁ Εὔξενος Wilamowitz ‖ **21** Πρῶτις A : Πρῶτιν (structura mutata) C E : Πρωτίας Kaibel | ⟨τοῦ⟩ addidi : τῆς infra del. M P Mus ‖ **26** γεγενημένος M P Mus : γεγεννημένος A | Ἀβροτόνου C E B M P Mus et Plut. *Them.* 1.1 *A.P.*, cf. infra : Ἀβροτόννου A | Ἀμφικράτης A : Ἀμφικτύων C E

Ἀβρότονον Θρήισσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησί φασι Θεμιστοκλέα. (*A.P.* 7.306 = anon. *FGE* 1158–9) |

Νεάνθης δ᾽ ὁ Κυζικηνὸς ἐν τῇ τρίτῃ καὶ ⟨τῇ⟩ τετάρτῃ τῶν Ἑλληνι- 576d
5 κῶν Ἱστοριῶν (*FGrH* 84 F 2a) Εὐτέρπης αὐτὸν εἶναί φησιν υἱόν. Κῦρος δὲ ὁ ἐπὶ τὸν ἀδελφὸν ἐπιστρατεύσας οὐχὶ ἑταίραν οὖσαν τὴν Φωκαΐδα τὴν σοφωτάτην ⟨καὶ⟩ καλλίστην γενομένην εἶχε συστρατευομένην; ἣν Ζηνοφάνης φησὶ πρότερον Μιλτὼ καλουμένην Ἀσπασίαν μετονομασθῆναι. συνηκολούθει δὲ αὐτῷ καὶ ἡ Μιλησία
10 παλλακίς. ὁ δὲ μέγας Ἀλέξανδρος οὐ Θαΐδα εἶχε μεθ᾽ ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν; περὶ ἧς φησι Κλείταρχος (*FGrH* 137 F 11) ὡς | αἰτίας γενομένης τοῦ ἐμπρησθῆναι τὰ ἐν Περσεπόλει βασίλεια. 576e
αὕτη δὲ ἡ Θαῒς καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον καὶ Πτολεμαίῳ ἐγαμήθη τῷ πρώτῳ βασιλεύσαντι Αἰγύπτου καὶ ἐγέννησεν αὐτῷ
15 τέκνον Λεοντίσκον, θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος ὁ Σόλων τῶν ἐν Κύπρῳ βασιλεύς. καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεύς, Φιλάδελφος δ᾽ ἐπίκλην, ὡς ἱστορεῖ ὁ Εὐεργέτης Πτολεμαῖος ἐν τῷ τρίτῳ τῶν Ὑπομνημάτων (*FGrH* 234 F 4), πλείστας ἔσχεν ἐρωμένας, Διδύμην μὲν μίαν τῶν ἐπιχωρίων γυναικῶν μάλ᾽
20 εὐπρεπεστάτην τὴν ὄψιν καὶ | Βιλιστίχην, ἔτι δὲ Ἀγαθόκλειαν καὶ 576f
Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇ πρὸς Ἐλευσῖνι θαλάσσῃ, καὶ Μύρτιον καὶ ἄλλας δὲ πλείστας ἐπιρρεπέστερος ὢν πρὸς ἀφροδίσια. Πολύβιος δὲ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἱστοριῶν (14.11.2–5) Κλεινοῦς φησι τῆς οἰνοχοούσης αὐτῷ εἰκόνας
25 πολλὰς ἀνακεῖσθαι κατὰ τὴν Ἀλεξάνδρειαν μονοχίτωνας καὶ ῥυτὸν ἐχούσας ἐν ταῖς χερσίν. αἱ δὲ κάλλισται τῶν οἰκημάτων, φησίν, οὐ Μυρτίου καὶ Μνησίδος καὶ Ποθεινῆς προσαγορεύονται; καίτοι Μνησὶς μὲν ἦν αὐλητρίς, ⟨ὡς⟩ καὶ Ποθεινή, Μύρτιον δὲ μία τῶν ἀποδεδειγμένων καὶ κοινῶν δεικτηριάδων. τοῦ δὲ Φιλοπάτορος
30 βασιλέως Πτολεμαίου οὐκ Ἀγαθόκλεια ‖ ἡ ἑταίρα ἐκράτει, ἡ καὶ 577a

1 γένος A C E et Plut. *Them.* 1.1 : πέλον *A.P.* ‖ **2** Ἕλλησί A C E : Ἕλλησίν M P Mus et Plut. *Them.* 1.1 *A.P.* | φασι A C E : φησι M : φημι Plut. *Them.* 1.1 *A.P.* ‖ **4** ⟨τῇ⟩ addidi : fort. ἐν τῇ τρίτῃ καὶ τεσσαρακοστῇ ‖ **7** ⟨καὶ⟩ add. Casaubon ‖ **15** Λεοντίσκον καὶ Λάγον A C E : καὶ Λάγον ut glossam del. Berve ‖ **20** Βιλιστίχην A : Βιλιστύχην C* E ‖ **25** καὶ om. 10.425f **26** οἰκημάτων scripsi : οἰκιῶν A C E ‖ **28** ⟨ὡς⟩ addidi : lac. post Ποθεινή indic. Kaibel ‖ **29** δεικτηριάδων M P : δικτηριάδων A : δηκτηριάδων B

πᾶσαν ἀνατρέψασα τὴν βασιλείαν; Εὔμαχος δὲ ὁ Νεαπολίτης ἐν τῇ δευτέρᾳ τῶν Περὶ Ἀννίβαν Ἱστοριῶν Ἱερώνυμόν (*FGrH* 178 F 1) φησι τὸν τυραννήσαντα Συρακοσίων ἀγαγέσθαι γυναῖκα τῶν ἐπ' οἰκήματος προεστηκυιῶν, Πειθὼ ὄνομα, καὶ ἀποδεῖξαι βασιλίδα. [38] Τιμόθεος δ' ὁ στρατηγήσας Ἀθηναίων ἐπιφανῶς ἑταίρας ἦν 5 υἱὸς Θρᾴττης τὸ γένος, σεμνῆς δ' ἄλλως τοὺς τρόπους· μεταβαλοῦσαι γὰρ αἱ τοιαῦται εἰς τὸ σῶφρον τῶν ἐπὶ τούτῳ σεμνυνομένων | εἰσὶ βελτίους. ὁ δὲ Τιμόθεος καὶ σκωπτόμενός ποτε ὅτι (577b) τοιαύτης εἴη μητρός, "καὶ χάριν γε αὐτῇ", φησίν, "οἶδα, ὅτι δι' αὐτὴν Κόνωνός εἰμι υἱός." Φιλέταιρον δὲ τὸν Περγάμου καὶ τῆς 10 Καινῆς ταύτης λεγομένης βασιλεύσαντα χώρας Βόας αὐλητρίδος τὸ γένος ἀπὸ Παφλαγονίας υἱόν φησι γενέσθαι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν (fr. 12, *FHG* iv.358). Ἀριστοφῶν δ' ὁ ῥήτωρ ὁ τὸν νόμον εἰσενεγκὼν ἐπ' Εὐκλείδου ἄρχοντος, ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται νόθον εἶναι, αὐτὸς ἀπεδείχθη | ὑπὸ Καλλιάδου (577c) 15 τοῦ κωμικοῦ (Call. Com. fr. *40) ἐκ Χορηγίδος τῆς ἑταίρας παιδοποιησάμενος, ὡς ὁ αὐτὸς ἱστορεῖ Καρύστιος ἐν τρίτῳ Ὑπομνημάτων (fr. 11, *FHG* iv.358). Δημήτριος δ' ὁ Πολιορκητὴς οὐ δαιμονίως ἤρα Λαμίας τῆς αὐλητρίδος, ἐξ ἧς ἔσχε καὶ θυγατέρα Φίλαν; τὴν δὲ Λάμιαν Πολέμων φησὶν ἐν τῷ Περὶ τῆς ἐν Σικυῶνι Ποικίλης 20 Στοᾶς (fr. 14 Preller) θυγατέρα μὲν εἶναι Κλεάνορος Ἀθηναίου, κατασκευάσαι δὲ Σικυωνίοις τὴν προκειμένην στοάν. ἤρα δὲ καὶ Λεαίνης καὶ αὐτῆς ἑταίρας Ἀττικῆς ὁ Δημήτριος | καὶ ἄλλων δὲ (577d) πλειόνων. [39] Μάχων δ' ὁ κωμῳδιοποιὸς ἐν ταῖς ἐπιγραφομέναις Χρείαις (168–73 Gow) φησὶν οὕτως· 25

> ὑπερβολῇ δὲ τῆς Λεαίνης σχῆμά τι
> περαινομένης εὖ παρά τε τῷ Δημητρίῳ
> εὐημερούσης (φησί) καὶ τὴν Λαμίαν 170
> τὸν βασιλέ' εὐμελῶς κελητίσαι
> ὑπερεπαινεθῆναί θ'. ἡ δὲ τοῦτ' ἀπεκρίθη· 30
> "πρὸς ταῦτα καὶ Λέαιναν, εἰ βούλει, κράτει."

3 ⟨μίαν⟩ τῶν Kaibel ‖ **6–7** μεταβαλοῦσαι E : μετακαλοῦσαι C : μεταβάλλουσαι A ‖ **10** αὐτὴν A : αὐτῆς C E | Περγάμου M P Mus : περὶ γάμου A ‖ **11** αὐλητρίδος ἑταίρας A : ἑταίρας (glossam) del. Kaibel **15** Καλλιάδου A C E : Καλλίου Meineke ‖ **22** προκειμένην A : ποικίλην C E ‖ **28** φησί A : φασὶ Schweighäuser ‖ **29** βασιλέ' Casaubon : βασιλέα A **30** θ' Casaubon : τε A

ἦν δὲ ἡ Λάμια σφόδρα εὔθικτος καὶ Ἀττικὴ | πρὸς τὰς ἀποκρίσεις, 577e
καθάπερ καὶ Γνάθαινα, περὶ ἧς ἐροῦμεν. πάλιν δὲ περὶ τῆς Λαμίας
ὁ Μάχων (174–87 Gow) οὕτω γράφει·

Δημήτριός ποθ' ὁ βασιλεὺς γένη μύρων
5 Λαμίᾳ παρὰ πότον παντοδαπῶν ἐπεδείκνυτο 175
(ἡ Λάμια δ' ἦν αὐλητρὶς ἧς σφόδρ' ἡδέως
ἔχειν φασι κνισθῆναί τε τὸν Δημήτριον).
ἀποδοκιμαζούσης δὲ πάντα καὶ πάνυ
κατεγχλιδώσης τῷ βασιλεῖ, νάρδον τινὰ |
10 διένευσ' ἐνεγκεῖν † εὐχερη † τῇ χειρί τε 180 577f
ταἰδοῖον ἀποτρίψας καὶ θιγὼν τοῖς δακτύλοις,
"τουτί γε, Λάμια," φησίν, "ὀσφράνθητι καὶ
εἴσει παρὰ τἄλλα διαφορὰν ὅσην ἔχει."
ἐκείνη δὲ γελάσασ', "ἀλλὰ τοῦτ'," ἔφη, "τάλαν,
15 νομίζειν δοκεῖ μοι σαπρότατον πάντων πολύ." 185
Δημήτριος δ' εἶπεν· "ἀλλὰ μήν, νὴ τοὺς θεούς,
ἀπὸ βαλάνου τοῦτ' ἐστί, Λάμια, βασιλικῆς."

[**40**] Πτολεμαῖος δ' ὁ τοῦ Ἀγησάρχου ἐν ταῖς Περὶ τὸν Φιλοπά-
τορα ‖ Ἱστορίαις (*FGrH* 161 F 4) βασιλέων ἐρωμένας ἀναγράφων 578a
20 φησί· Φιλίππου τοῦ Μακεδόνας αὐξήσαντος Φίλινναν τὴν
ὀρχηστρίδα, ἐξ ἧς καὶ γεννῆσαι Ἀρριδαῖον τὸν μετ' Ἀλέξανδρον
βασιλεύσαντα, Δημητρίου δὲ τοῦ Πολιορκητοῦ μετὰ τὰς προειρη-
μένας Μανίαν, Ἀντιγόνου δὲ Δημώ, ἐξ ἧς Ἀλκυονέα γεννηθῆναι,
Σελεύκου δὲ τοῦ νεωτέρου Μύσταν καὶ Νῦσαν. Ἡρακλείδης δὲ ὁ
25 Λέμβος ἐν τῇ ἕκτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν (fr. 4, *FHG*
iii.168–9) Δημώ φησιν ἐρωμένην γενέσθαι τοῦ Δημητρίου· | ᾗ 578b
ἐπιμανῆναι καὶ τὸν πατέρα αὐτοῦ Ἀντίγονον καὶ ἀποκτεῖναι
Ὀξύθεμιν ὡς καὶ πολλὰ συνεξαμαρτάνοντα τῷ Δημητρίῳ, καὶ ὅτι
ἀπέκτεινε τὰς τῆς Δημοῦς θεραπαίνας στρεβλῶν. [**41**] περὶ δὲ τοῦ

1 Ἀττικὴ A C E : ἀστικὴ Schweighäuser, cf. 13.578e ἀστεία ‖ **6** ἧς Lennep : ἡ A : ᾗ Musurus ‖ **7** ἔχειν A : σχεῖν Schweighäuser | κνισθῆναί M P Mus : κνησθῆναί A ‖ **8** δὲ C E : τε A ‖ **10** † εὐχερη † A : εὐτελῆ Dobree ‖ **11** καὶ A C E : del. Jacobs ‖ **14** ἐκείνη A C E : κείνη Casaubon | γελάσασ' Casaubon : γελάσασα A C E ‖ **15** νομίζειν A : ὄζειν Lennep ‖ **16** εἶπεν A C E : εἶπ' Schweighäuser ‖ **20** Μακεδόνας Madvig : Μακεδόνος A, cf. C E (structura mutata) Φίλιππος ... ὁ Μακεδών

εἰρημένου τῆς Μανίας ὀνόματος ὁ Μάχων (188–217 Gow) τάδε φησίν·

ἴσως δ' ἂν ἀπορήσαι τις εὐλόγως θ' ἅμα
τῶν νῦν ἀκροατῶν εἴ τις Ἀττικὴ γυνὴ
προσηγορεύετ' ἢ 'νομίσθη Μανία· 190 5
αἰσχρὸν γὰρ ὄνομα Φρυγιακὸν γυναῖκ' ἔχειν |
578c καὶ ταῦθ' ἑταίραν ἐκ μέσης τῆς Ἑλλάδος
† η τὴν Ἀθηναίων τι † κωλῦσαι πόλιν,
ὑφ' ἧς ἅπαντές εἰσιν ἐπηνορθωμένοι.
τὸ μὲν οὖν ὑπάρχον εὐθέως ἐκ παιδίου 195 10
αὐτῇ Μέλιττ' ἦν ὄνομα. τῷ μὲν μεγέθει
τῶν τότε γυναικῶν βραχύ τι καταδεεστέρα,
φωνῇ δ' ὁμιλίᾳ τε κεχορηγημένη,
πάνυ δ' εὐπρόσωπος οὖσα καὶ καταπληκτική,
πολλοὺς ἐραστάς, καὶ πολίτας καὶ ξένους, | 200 15
578d ἔχουσ'. ὅπου περὶ γυναικός τις λόγος
γένοιτο, μανίαν τὴν Μέλιτταν ὡς καλὴν
ἔφασκον εἶναι, καὶ προσεξειργάζετο
αὐτὴ τὸ πλεῖον· ἡνίκ' ἂν σκώψειε γάρ,
ῥημάτιον εὐθὺ τοῦτο "μανίαν" ἀνεβόα· 205 20
αὐτή θ' ὅτ' ἐπαινοίη τιν' ἢ ψέγοι πάλιν,
ἐπ' ἀμφοτέρων προσέκειτο "μανία" τῶν λόγων·
διὸ τῆς μανίας ἐπίρρημ' ἐπεκτείνας δοκεῖ
καλέσαι τις αὐτὴν τῶν ἐραστῶν Μανίαν. |
578e μᾶλλον τὸ πάρεργον ἐπεκράτησεν ἢ τοὔνομα. 210 25
ἐδόκει δὲ λιθιᾶν, ὡς ἔοιχ', ἡ Μανία,
Γνάθαινα τ' εἰς τὰ στρώμαθ' ὅτι προΐεται,
ἐνομοθετήθη τοῦτό πως ὑπὸ Διφίλου.

578c Eust. p. 898.2–3 = III.370.12–14

5 προσηγορεύετ' Musurus : προσηγορεύετο A C E | 'νομίσθη Dindorf : ἐνομίσθη A C E ‖ **8** † η † τὴν Ἀθηναίων τι A : ἢ τὴν Ἀθηναίων μὴ C E **9** εἰσιν A C E : εἰσ' Meineke ‖ **11** Μέλιττ' Musurus : Μέλιττα A : Μέλισσα C E | τῷ μὲν μεγέθει A : τῷ μεγέθει C E : μεγέθει μὲν Eust. ‖ **16** ἔχουσ' M P Mus : ἔχουσα A : εἶχ', οἷς Headlam ‖ **19** ἡνίκ' ἂν A : ἡνίκα Meineke **23** † ἐπιρρημ' † A : τὸ ῥῆμ' Meineke ‖ **25** ἐπεκράτησεν A : ἐπεκράτησ' M P Mus ‖ **27** τ' C E M P Mus : τε A : δ' Kaibel | προΐεται A C E : προΐετο Kaibel **28** ἐνομοθετήθη A : ἐνουθετήθη Lobeck

μετὰ ταῦτα δ' ἡ Γνάθαινα πρὸς τὴν Μανίαν
ἐλοιδορεῖτο καὶ λέγει· "τί τοῦτο, παῖ; 215
εἰ δὲ λίθον εἶχες—", ὑπολαβοῦσ' ἡ Μανία,
"ἔδωκ' ἄν, ἵν' ἔχῃς", φήσ', "ἀποψᾶσθαι, τάλαν."

5 [42] ὅτι δ' ἦν καὶ ἀστεία τις ἀποκρίνασθαι, τάδε περὶ | αὐτῆς ὁ Μάχων (218–57 Gow) ἀναγράφει· 578f

τῆς Μανίας ἤρα Λεοντίσκος ποτὲ
ὁ παγκρατιαστὴς καὶ συνεῖχ' αὐτὴν μόνος
γαμετῆς τρόπον γυναικός, ὑπὸ δ' Ἀντήνορος 220
10 μοιχευομένην αἰσθόμενος αὐτὴν ὕστερον
σφόδρ' ἠγανάκτησεν. ἡ δέ, "μηθέν", φησί, "σοι,
ψυχή, μελέτω· μαθεῖν γὰρ αἰσθέσθαι θ' ἅμα,
Ὀλυμπιονικῶν νυκτὸς ἀθλητῶν δυεῖν ‖
πληγὴν τί δύναταί ποτ', ἤθελον." 225 579a
15 αἰτουμένην λέγουσι τὴν πυγήν ποτε
ὑπὸ τοῦ βασιλέως Μανίαν Δημητρίου
ἀνταξιῶσαι δωρεὰν καὐτόν τινα.
δόντος δ' ἐπιστρέψασα μετὰ μικρὸν λέγει·
"Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι." 230
20 εἶναι δοκῶν αὐτόμολος ἄνθρωπος ξένος
καὶ παρεπιδημήσας Ἀθήνησίν ποτε
τὴν Μανίαν μετεπέμψαθ', ὅσον ἤτησεν δούς. |
εἰς τόνδε ἦν συμπαρειληφώς τινας 579b
ἐκ τῆς πόλεως τῶν ἐπιγελᾶν εἰθισμένων 235
25 ἅπαντα τοῖς τρέφουσιν αἰεὶ πρὸς χάριν.
βουλόμενος εἶναι γλαφυρὸς ἀστεῖός θ' ἅμα
τῆς Μανίας ἄριστα παιζούσης σφόδρα
ἀνισταμένης τε πολλάκις † εἰς δασύποδα
αὐτὴν ἐπικροῦσαι βουλόμενος, "πρὸς τῶν θεῶν, | 240

1 δ' M P Mus : δὲ A ‖ **3** δὲ A : καὶ C E | ὑπολαβοῦσ' Musurus : ὑπολαβοῦσα A C E ‖ **4** φήσ' C E B M P Mus : φησ' A ‖ **10** αἰσθόμενος C E : αἰσθανόμενος A **11** σφόδρ' ἠγανάκτησεν P Mus : σφόδρ' ἀγανάκτησεν M : σφόδρα ἠγανάκτησεν A : ἠγανάκτησεν C E : σφόδρ' ἠγανάκτησ' Schweighäuser **12** ψυχή (voc.) M P Mus : ψυχῇ A ‖ **19** ἐκεῖν' C E M P Mus, cf. Soph. *El.* 2 : ἐκεῖνα A ‖ **21** Ἀθήνησίν P Mus : Ἀθήνησίν A : Ἀθήνησι C E B ‖ **22** ἤτησεν A : ἤτ^{η} E : ἤρη C : ἤτησε M P Mus ‖ **28** εἰς δασύποδα A : ὡς δασύποδα C : ὡς δασύποδ' E

579c μειράκια, τί δοκεῖ τῶν ἀγρίων ὑμῖν ποτε
ἐν τοῖς ὄρεσι τάχιστα θηρίον τρέχειν;"
ἡ Μανία δ', "αὐτόμολος, ὦ βέλτιστ'," ἔφη.
μετὰ ταῦτα δ', ὡς εἰσῆλθεν πάλιν ἡ Μανία,
τὸν αὐτόμολον ἔσκωπτε ῥίψασπίν τ' ἔφη 245 5
αὐτὸν γεγονέναι προσβολῆς οὔσης ποτέ.
ὁ δὲ στρατιώτης ὑπό τι σκυθρωπάσας
ἀπέπεμψε ταύτην. διαλιποῦσα δ' ἡ ἑταίρα,
"μηθὲν παρὰ τοῦτο," φησί, "λυποῦ, φίλτατε·
οὐ γὰρ σὺ φεύγων ἀπέβαλες τὴν ἀσπίδα, | 250 10
579d μὰ τὴν Ἀφροδίτην, ἀλλ' ὅ σοι χρήσας τότε."
ἐν συμποσίῳ δ', ὥς φασι, παρὰ τῇ Μανίᾳ
παρεδέξατ' αὐτὴν τῶν πονηρῶν τις πάνυ.
κᾆθ' ὡς ἐπηρώτησε· "πότερ' ἄνω θέλεις
ἐλθοῦσ' ἅμα βαλεῖν ἢ κάτω;", γελάσασ', "ἄνω, 255 15
βέλτιστε," φησίν· "ὑπό τι γὰρ δέδοικά σε
μή μου προσπεσούσης τοὐμπλόκιον ἐκτράγῃς."

579e [43] καὶ ἄλλων δὲ ἑταιρῶν ἀπομνημονεύματα ὁ Μάχων | συνήγαγεν, ὧν οὐκ ἄκαιρόν ἐστι κατὰ τὸ ἑξῆς μνημονεῦσαι. Γναθαίνης μὲν οὕτω (258–332 Gow)· 20

παρὰ Γναθαίνῃ Δίφιλος πίνων ποτέ,
"ψυχρόν γ'", ἔφη, "τἀγγεῖον, ὦ Γνάθαιν', ἔχεις."
"τῶν σῶν γάρ", εἶπεν, "ἐπιμελῶς, ὦ Δίφιλε, 260
εἰς αὐτό γ' αἰεὶ δραμάτων ἐμβάλλομεν."
πρὸς τὴν Γνάθαιναν Δίφιλος κληθείς ποτε 25
ἐπὶ δεῖπνον, ὡς λέγουσι τοῖς Ἀφροδισίοις,
τιμώμενος μάλιστα τῶν ἐρωμένων
† ληθη † ὑπ' αὐτῆς ἐκτενῶς ἀγαπώμενος 265
παρῆν ἔχων δύο Χῖα, Θάσια τέτταρα,
μύρον, στεφάνους, τραγήματ', ἔριφον, ταινίας, 30

2 θηρίον A : θηρίων E : θυρίων C ‖ **4** εἰσῆλθεν A : εἰσῆλθε B M P Mus **8** ἀπέπεμψε ταύτην A C E : ἀπεπέμψατ' αὐτήν Kaibel | ἡ ἑταίρα vel ἡ ἑταῖρα A C E : ἡμέραν Kaibel ‖ **12** δ' M P Mus : δέ A ‖ **14** κᾆθ' ὡς Hemsterhuys : καθὼς A ‖ **15** γελάσασ' Schweighäuser : γελάσασα A ‖ **17** προσπεσούσης A : προπεσούσης M P Mus | τοὐμπλόκιον Jacobs : τὸ ἐμπλόκιον A | ἐκτράγῃς A : ὑπεκτράγῃς Jacobs ‖ **30** τραγήματ' M P Mus : τραγήματα A

ὄψον, μάγειρον, τὰ μετὰ ταῦτ᾽, αὐλητρίδα. |
καὶ τῶν ἐραστῶν Συριακοῦ τινος ξένου 579f
πέμψαντος αὐτῇ χιόνα σαπέρδην θ᾽ ἕνα 270
αἰσχυνομένη τὰ δῶρα μή τις καταμάθῃ
5 φυλαττομένη τε πολὺ μάλιστα Δίφιλον
μὴ δῷ δίκην μετὰ ταῦτα κωμῳδουμένη,
τὸ μὲν τάριχος εἶπε ταχέως ἀποφέρειν
πρὸς τοὺς σπανίζειν ὁμολογουμένως ἁλῶν, 275
τὴν χιόνα δ᾽ εἰς τὸν ἄκρατον ἐνσεῖσαι λάθρᾳ· ‖
10 τῷ παιδί τ᾽ ἐπέταξεν ἐγχέανθ᾽ ὅσον δέκα 580a
κυάθους προσενεγκεῖν Διφίλῳ ποτήριον.
ὑπερηδέως δὲ τὴν κύλικ᾽ ἐκπιὼν ἄφνω
καὶ τὸ παράδοξον καταπλαγεὶς ὁ Δίφιλος, 280
"νὴ τὴν Ἀθηνᾶν καὶ θεούς, ψυχρόν γ᾽," ἔφη,
15 "Γνάθαιν᾽, ἔχεις τὸν λάκκον ὁμολογουμένως."
ἡ δ᾽ εἶπε· "τῶν σῶν δραμάτων γὰρ ἐπιμελῶς
εἰς αὐτὸν αἰεὶ τοὺς προλόγους ἐμβάλλομεν."
μαστιγίας μώλωπας ὑψηλοὺς ἔχων 285
μετὰ τῆς Γναθαίνης ἀπὸ τύχης ἀνεπαύετο. |
20 περιλαμβάνουσα δ᾽ αὐτὸν ὡς ἀνώμαλον 580b
τὸ νῶτον εἶχε παντελῶς, "τάλαν, τάλαν
ἄνερ, πόθεν ἔχεις ταῦτ᾽", ἔφη, "τὰ τραύματα;"
κἀκεῖνος αὐτῇ συντόμως ἀπεκρίνατο 290
ὅτι παῖς ποτ᾽ ὢν ἐνήλατ᾽ εἰς πυράν ποτε
25 † παίζων μετά τινων ἡλικιωτῶν ἐνέπεσε.
"ναὶ τὴν φίλην Δήμητρα, δικαίως τοιγάρ,
ἄνθρωπε," φησίν, "ἐξεδάρης ἀκόλαστος ὤν."
παρὰ Δεξιθέᾳ δειπνοῦσα θῄταίρᾳ ποτὲ 295
Γνάθαινα τοὔψον ἀποτιθείσης πᾶν σχεδὸν |
30 τῆς Δεξιθέας τῇ μητρί, "νὴ τὴν Ἄρτεμιν, 580c

580c Eust. p. 1289.17 = IV.688.2

7 ταχέως τ᾽ A : τ᾽ om. C E ‖ **8** ὁμολογουμένως A : ὡμολογουμένως B : ὡμολογημένους C : ὡμολογη^μν E : ὁμολογουμένους M P Mus ‖ **10** ἐπέταξεν A : ἐπέταξ᾽ Schweighäuser ‖ **12** κύλικ᾽ ἐκπιὼν C : κύλ^(κ) ἐκπιὼν E : κύλικα ἐκπιὼν A : κύλικα πιὼν M P Mus ‖ **24** ποτ᾽ M P Mus : ποτε A | ἐνήλατ᾽ M P Mus : ἐνήλατο A : ἀνείλετ᾽ Kaibel | ποτε A : ὅτε Kaibel ‖ **28** θῄταίρᾳ Dindorf : τῇ ἑταίρᾳ A C E

εἰ”, φησίν, “ᾔδειν”, ἡ Γνάθαινα, “τοῦτ᾽ ἐγώ,
τῇ μητρὶ συνεδείπνουν ἄν, οὐχὶ σοί, γύναι.”
ἐπεὶ προέβη τοῖς ἔτεσιν ἡ Γνάθαινα καὶ 300
ἤδη τελέως ἦν ὁμολογουμένως σορός,
εἰς τὴν ἀγορὰν λέγουσιν αὐτὴν ἐξίναι 5
καὶ τοὔψον ἐφορᾶν καὶ πολυπραγμονεῖν πόσου
πωλεῖθ᾽ ἕκαστον. εἶτ᾽ ἰδοῦσα κατὰ τύχην
ἑστῶτα κρεοπώλην τιν᾽ ἀστεῖον πάνυ | 305
580d τῇ θ᾽ ἡλικίᾳ σφόδρα νέον, “ὦ πρὸς τῶν θεῶν
μειράκιον ὁ καλός,” φησί, “πῶς ἵστης φράσον.” 10
ὁ δὲ μειδιάσας, “κύβδ᾽”, ἔφη, “τριωβόλου.”
“τίς δ᾽ οὐπιτρέψων ἐστί σοι,” φησί, “τάλαν,
ὄντα γ᾽ ἐν Ἀθήναις Καρικοῖς χρῆσθαι σταθμοῖς;” 310
Στρατοκλῆς δ᾽ ἐρίφους προῖκ᾽ ἐδίδου τοῖς γνωρίμοις
† λοπάδας συνάλμους τε συναρτύειν δοκῶν 15
καὶ διψᾶν ὑπολειπόμενοι εἰς τὴν αὔριον |
580e τοῖς ἐπισυνάπτειν βουλομένοις τὸν ἑωθινόν †,
μακρὰς δὲ πράττειν εἰς τὰ λοιπὰ συμβολάς. 315
Γνάθαινα δ᾽ αὐτῆς εἶπε πρὸς ἐραστήν τινα
στρατευόμενον ὁρῶσα περὶ τὰς συμβολάς, 20
“Στρατοκλῆς ἐπ᾽ ἐρίφοις”, φησίν, “χειμῶνας ποιεῖ.”
ἰδοῦσ᾽ ἔφηβον ἡ Γνάθαιν᾽ ἰσχνὸν πάνυ
καὶ μέλανα, λεπτόν θ᾽ ὡς ἔοιχ᾽ ὑπερβολῇ 320
καὶ λιπαρόν, ἔτι δὲ τῶν ἐφήβων βραχύτερον,
ἔσκωπτεν εἰς Ἄδωνιν. ἀναγώγως δέ πως | 25
580f τοῦ μειρακίσκου καὶ τυραννικώτερον
αὐτῇ συναντήσαντος ἐμβλέψασα τῇ
θυγατρὶ μετὰ ταύτης συμπορευομένῃ λέγει· 325
“δικαιότερον ἦν, ὦ τέκνον, νὴ τὼ θεώ
⟨…⟩.” 30

5 ἐξίναι P Mus (ἐξιέναι iam M) : ἐξεῖναι A : ἐξῄει (structura mutata) C E **8** ἑστῶτα A : ἱστῶντα Meineke | τιν᾽ Musurus : τινα A ‖ **12** οὑπιτρέψων Dindorf : ὁ ἐπιτρέψων A | φησί A : φησίν Schweighäuser ‖ **14** δ᾽ A : δὲ C E : δύ᾽ Meineke ‖ **20** στρατευόμενον, i.e. ΣΤΡΑΤ- A : στραγγευόμενον, i.e. ΣΤΡΑΓΓ- Casaubon ‖ **21** ἐπ᾽ M P Mus : ἐπὶ A C E | φησίν A : φησί M P Mus ‖ **22** ἰδοῦσ᾽ P Mus : ἰδοῦσα A | Γνάθαιν᾽ M P Mus : Γνάθαινα A ‖ **23** ἔοιχ᾽ Dindorf : ἔοικε A : ἔοικεν B M P Mus ‖ **28** μετὰ ταύτης A : μετ᾽ αὐτῆς Casaubon ‖ **29** τὼ θεώ M P Mus : τῷ θεῷ A

λέγουσι Ποντικόν τι μειρακύλλιον
ἀναπαυόμενον μετὰ τῆς Γναθαίνης ἀξιοῦν
πρωὶ γενόμενον ὥστε τὴν πυγὴν ἅπαξ
αὐτῷ παρασχεῖν, τὴν δὲ τοῦτ' εἰπεῖν· "τάλαν, 330
5 ἔπειτα τὴν πυγήν με νῦν αἰτεῖς, ὅτε ‖
τὰς ὗς ἐπὶ νομὴν καιρός ἐστιν ἐξάγειν;" 581a

[44] καὶ Γναθαινίου δέ γε τῆς θυγατριδῆς αὐτῆς τάδε ἀναγράφει (Macho 333–401 Gow)·

εἰς τὰς Ἀθήνας παρεπιδημήσας ξένος
10 σατράπης πάνυ γέρων ὡς ἐνενήκοντ' ἐτῶν
Κρονίοις ἀπιοῦσαν εἶδε τὴν Γναθαίνιον 335
μετὰ τῆς Γναθαίνης ἐξ Ἀφροδισίου τινός.
τό τ' εἶδος αὐτῆς τοὺς ῥυθμούς τε καταμαθὼν
ἐπυνθάνετο μίσθωμα πράττεται πόσον |
15 τῆς νυκτός. ἡ Γνάθαινα δ' εἰς τὴν πορφύραν 581b
καὶ τὰ δόρατ' ἀποβλέψασα δραχμὰς χιλίας 340
ἔταξεν. ὁ δ' ἄφνω καιρίμην πληγείς, "παπαῖ,
ζωγρεῖς, γύναι," φησίν, "ἕνεκα τοῦ στρατιωτικοῦ.
μνᾶς πραξαμένη δὲ πέντε τὰς σπονδὰς ποοῦ
20 καὶ στρῶσον ἡμῖν ἔνδον." ἡ δ' ἐπιδέξιον
βουλόμενον εἶναι τὸν σατράπην ἀπεδέξατο, | 345
εἶπεν δέ· "δὸς ὅσον ἐπιθυμεῖς, πάτερ· 581c
οἶδα γὰρ ἀκριβῶς καὶ πέποιθα τοῦθ', ὅτι
εἰς νύκτ' ἀποδώσεις τῷ θυγατρίῳ μου διπλοῦν."
25 ἐν ταῖς Ἀθήναις χαλκοτύπος σφόδρ' εὐφυὴς
καταλελυκυίας τῆς Γναθαινίου σχεδὸν 350
οὐκέτι θ' ἑταιρεῖν ὑπομενούσης διά τό πως
τὸν Ἀνδρόνικον ἡδέως αὐτῆς ἔχειν
τὸν ὑποκριτήν, τότε δ' ὄντος ἐν ἀποδημίᾳ |
30 ἐξ οὗ γεγονὸς ἦν ἄρρεν αὐτῷ παιδίον, 581d
οὐχ ὑπομένουσαν τὴν Γναθαίνιον λαβεῖν 355
μίσθωμα, λιπαρῶν δὲ καὶ προσκείμενος

14 πράττεται C E : πράσσετε A : πράσσεται M P Mus ‖ **16** δόρατ' M P Mus : δόρατα A ‖ **17** ἔταξεν C E : ἔταξε A : ἔταξ' M P Mus | καιρίμην Musurus : † κιριμην † A ‖ **18** φησίν] φησιν A : φήσ' Dindorf ‖ **24** νύκτ' B M P Mus : νύκτα A

πολὺ δαπανήσας ἔσχεν αὐτὴν χρυσίον.
ἀνάγωγος δ᾽ ὢν δὴ καὶ βάναυσος παντελῶς
ἐν σκυτοτομείῳ μετά τινων καθήμενος
κατεσχόλαζε τῆς Γναθαινίου λέγων 360
ἑτέρῳ τρόπῳ μὲν μὴ συγγεγενῆσθαι μηδενί, | 5
581e ἐξῆς καθιππάσθαι δ᾽ ὑπ᾽ αὐτῆς πεντάκις.
μετὰ ταῦτ᾽ ἀκούσας Ἀνδρόνικος τὸ γεγονὸς
ἐκ τῆς Κορίνθου προσφάτως ἀφιγμένος
πικρῶς τε λοιδορούμενος 365
παρὰ τὸν πότον ταῦτ᾽ ἔλεγε τῇ Γναθαινίῳ· 10
αὐτὸν μὲν ἀξιοῦντα μὴ τετευχέναι
τούτου παρ᾽ αὐτῆς μηδέποτε τοῦ σχήματος,
ἐν τῷδε δ᾽ ἑτέρους ἐντρυφᾶν μαστιγίας.
ἔπειτεν εἰπεῖν φασι τὴν Γναθαίνιον· | 370
581f "περιλαμβάνειν γὰρ οὐκ ἐδόκει μαζόν, τάλαν, 15
ἄνθρωπον ἄχρι τοῦ στόματος ἠσβολωμένον.
διὰ τοῦθ᾽ ὑπέμεινα πολὺ λαβοῦσα χρυσίον
ἐφιλοσόφησά θ᾽, ἵν᾽ ἄκρον ὡς μάλιστα καὶ
ἐλάχιστον αὐτοῦ περιλάβω τοῦ σώματος." 375
ἔπειτα, φασί, τῆς Γναθαινίου ποτὲ 20
τὸν Ἀνδρόνικον οὐ θελούσης παρὰ πότον ‖
582a φιλεῖν καθάπερ ταῖς πρότερον ἡμέραις ἀεί,
ὀργιζομένης δὲ διὰ τὸ μηδὲν λαμβάνειν,
ἔπειθε πῶς, "οὐχὶ ὁρᾷς, Γνάθαιν᾽," ἔφη, 380
"ὑπερηφάνως μοι τὴν θυγατέρα χρωμένην;" 25
ἡ γραῦς δ᾽ ἀγανακτήσασα, "τάλαν", ἔφη, "τέκνον,
περίλαβε", φησί, "καὶ φίλησον, εἰ θέλεις."
ἡ δ᾽ εἶπε· "μῆτερ, πῶς", ἔφη, "μέλλω φιλεῖν
τὸν μηδὲν ὠφέλημα, τὸν ὑπὸ τὰς στέγας 385
τὸ κοινὸν Ἄργος δωρεὰν θέλοντ᾽ ἔχειν;" | 30

2 δ᾽ ὢν δὴ A : ὢν δὴ M P Mus : ὢν C E : ὢν δὲ Jacobs ‖ **3** σκυτοτομείῳ Cobet (σκυτοτομίῳ iam M P Mus) : † σκυτοτομιωνι † A ‖ **5** μὴ A : del. B M P Mus **7** ταῦτ᾽ B P Mus : ταῦτα A ‖ **10** ταῦτ᾽ B M P Mus : ταῦτα A ‖ **15** ἐδόκει μαζόν A : ἐδοκίμαζον Porson ‖ **17** τοῦθ᾽ B M P Mus : τοῦτ᾽ A ‖ **24** οὐχὶ A : οὐχ M P Mus | Γνάθαιν᾽ M P Mus : Γνάθαινα A ‖ **27** θέλεις A : θέλει Musurus **30** κοινὸν A : κοῖλον Meineke

πανηγύρεως οὔσης ποθ᾽ ἡ Γναθαίνιον 582b
εἰς Πειραιᾶ κατέβαινε πρὸς ξένον τινὰ
ἔμπορον ἐραστὴν εὐτελῶς ἐπ᾽ ἀστράβης
τὰ πάντ᾽ ἔχουσ᾽ ὀνάρια μετ᾽ αὐτῆς τρία 390
5 καὶ τρεῖς θεραπαίνας καὶ νέαν † τηθην † μίαν.
ἔπειτεν αὐταῖς ἐπί τινος στενῆς ὁδοῦ
κακὸς παλαιστὴς ἐνέτυχέν τις τῶν ἀεὶ
ἐν τοῖς ἀγῶσιν ἐπιμελῶς ἡττωμένων,
ὃς οὐ δυνάμενος τότε παρελθεῖν ῥᾳδίως 395
10 ἀλλὰ στενοχωρῶν εἶπεν· "ὦ τρισάθλιε |
ὀνηλάτ᾽, εἰ μὴ θᾶττον ἐκστήσῃ ποτὲ 582c
ἐκ τῆς ὁδοῦ, τὰ γύναια ταυτὶ καταβαλῶ
σὺν τοῖς ὀναρίοις", φησί, "καὶ ταῖς ἀστράβαις."
Γναθαίνιον δ᾽ εἶπ᾽· "ὦ τάλαν, μὴ δῆτ᾽, ἄνερ· 400
15 οὐδέποτε γὰρ τοῦτ᾽ ἐστί σοι πεπραγμένον."

[45] ἑξῆς δὲ καὶ ταῦτα ἀναγράφει (Macho 402–62 Gow)·

Λαΐδα λέγουσι τὴν Κορινθίαν ποτὲ
Εὐριπίδην ἰδοῦσαν ἐν κήπῳ τινὶ
πινακίδα καὶ γραφεῖον ἐξηρτημένον
20 ἔχοντ᾽, "ἀπόκριναι," φησίν, "ὦ ποιητά μοι· | 405
τί βουλόμενος ἔγραψας ἐν τραγῳδίᾳ 582d
"ἔρρ᾽, αἰσχροποιέ";" καταπλαγεὶς δ᾽ ὁ Εὐριπίδης
τὴν τόλμαν αὐτῆς, "σὺ γάρ", ἔφη, "τίς † εἶναι;
αἰσχροποιός;" ἡ δὲ γελάσασ᾽ ἀπεκρίθη·
25 "τί δ᾽ αἰσχρόν, εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ;" 410
ἡ Γλυκέριον λαβοῦσα παρ᾽ ἐραστοῦ τινος
Κορίνθιον παράπηχυ καινὸν λήδιον

582b–c Eust. p. 1349.18–20 = IV.901.16–20 | **582c** Eust. p. 1410.20–1 = i.48.25–6 | **582d** Eust. p. 1686.55–6 = i.418.10

3 εὐτελῶς A : εὐσταλῶς Meineke ‖ **4** μετ᾽ αὐτῆς A C E : μεθ᾽ ἑαυτῆς Meineke ‖ **5** † τηθην † A : τηθὴν B Mus (rectius τήθην) : τιτθὴν Meineke **6** ἔπειτεν αὐταῖς Dindorf : ἔπειτ᾽ ἐν αὐταῖς A : ἐπεὶ δ᾽ C E ‖ **9** παρελθεῖν A : διελθεῖν C E ‖ **11** ὀνηλάτ᾽ Musurus : ὀνηλάτα A ‖ **22** ὁ Εὐριπίδης A C E : ὁ om. M P Mus ‖ **23** εἶναι A : εἶ C E : εἶ, γύναι Elmsley ‖ **27** λήδιον Dindorf : λήδιον A C E : λήδια (structura mutata) Eust. : ληΐδιον M P Mus, cf. v. 421 infra

ἔδωκεν εἰς γναφεῖον. εἶτ', ἐπεὶ τέλος
ἔδοξ' ἔχειν, πέμψασα τὴν θεραπαινίδα
τὸ μισθάριον ἔχουσαν ἐκέλευ' ἀποφέρειν | 415
582e θοἰμάτιον. ὁ γναφεὺς δ' εἶπεν· "ἄν γ' ἐλᾳδίου
τεταρτημόριά μοι", φησί, "προσενέγκῃς τρία, 5
κόμισαι· τὸ κωλῦον γάρ ἐστι τοῦτό με."
ἡ δ' ὡς ἀπήγγειλε, "τάλαιν'", εἶπεν, "κακῶν,"
ἡ Γλυκέριον· "μέλλει γὰρ ὥσπερ μαινίδας 420
ἀποτηγανίζειν", φησί, "μου τὸ λήδιον."
ὁ τοῦ Σοφοκλέους Δημοφῶν ἐρώμενος 10
τὴν Αἶγα Νικὼ πρεσβυτέραν οὖσάν ποτε
νέος ὢν ἔτ' αὐτὸς εἶχεν· ἐπεκαλεῖτο δ' Αἴξ |
582f ὅτι τὸν μέγαν κατέφαγ' ἐραστήν ποτε 425
Θαλλόν· παρεγενήθη γὰρ εἰς τὴν Ἀττικὴν
ὠνησόμενος χελιδονίους ἰσχάδας 15
Ὑμήττιόν τε φορτιούμενος μέλι.
λέγεται δ' ἐκείνην ἐσχηκέναι τὴν γυναῖκα
πυγὴν πάνυ καλήν, ἥν ποτ' ἠξίου λαβεῖν 430
ὁ Δημοφῶν. ἡ δ' εἶπε γελάσασ'· "εὖ, ἵνα ‖
583a Σοφοκλεῖ δῷς", φησί, "παρ' ἐμοῦ λαβών, φίλτατε." 20
Καλλιστοῦς δὲ τῆς Ὑὸς καλουμένης
πρὸς τὴν ἑαυτῆς λοιδορουμένης ποτὲ
μητέρα (Κορώνη δ' ἐπεκαλεῖτο τοὔνομα) 435
διέλυεν ἡ Γνάθαιν'. ἐρωτηθεῖσα δὲ
τί διαφέρονται, "τί γάρ", ἔφησεν, "ἄλλο πλὴν 25

583a–b Eust. p. 1224.49–51 = IV.461.14–19

1 γναφεῖον A C E : κναφεῖον Kaibel ‖ **4** γναφεὺς A C E : κναφεὺς Kaibel | ἄν γ', i.e. ΑΝΓ C E Mus : ἀντ', i.e. ΑΝΤ A ‖ **5** τεταρτημόριά A C E : ταρτημόριά Porson ‖ **6–7** με. / ἡ δ', i.e. ΜΕΗΔ Dindorf : μὲν δὲ, i.e. ΜΕΝΔ- A : γε. / ἡ δ' Musurus ‖ **7** ἀπήγγειλε A C E : ἀπήγγειλ', "ὦ" Kaibel **9** λήδιον Kaibel : ληΐδιον A E : λήδιον C ‖ **11** ποτε] ποτὲ A : τότε P[ac] et Gow **13** κατέφαγ' A : κατέφαγε (ordine verborum mutato) C : κατέφα[γ] (ordine verborum mutato) E : ⟨δὴ⟩ κατέφαγεν Schweighäuser ‖ **15** χελιδονίους A : χελιδονείους vel χελιδονείας Schweighäuser ‖ **17** ἐσχηκέναι τὴν γυναῖκα A : τὴν γυναῖκ' ἐσχηκέναι Musurus ‖ **20** "δῷς", φησί, "παρ' ἐμοῦ λαβών" A : "δῷς παρ' ἐμοῦ λαβών" C E : "λαβὼν δῷς", φησί, "παρ' ἐμοῦ" Erfurdt **21** Καλλιστοῦς A : Καλλιστίου Meineke ‖ **24** Γνάθαιν' Musurus : Γνάθαινα A

ἄλλ᾽ ἡ Κορώνη, θάτερ᾽ ἐκείνη μέμφεται;"
Ἵππην λέγουσι τὴν ἑταίραν Θεόδοτον
ἔχειν ἐραστὴν τὸν ἐπὶ τοῦ χόρτου ποτὲ 440
γενόμενον. αὕτη δ᾽ ὀψὲ τῆς ὥρας ποτὲ |
5 εἰσῆλθεν ἐπὶ κώθωνα πρὸς τὸν βασιλέα 583b
Πτολεμαῖον (εἰώθει δὲ συμπίνειν ἀεὶ
αὐτῷ). λέγει δ᾽ οὖν ὑστεροῦσα παρὰ πολύ·
"Πτολεμαῖε, διψῶ," φησί, "παπία, σφόδρα· 445
ἀλλ᾽ ἐγχεέτω μοι τέτταρας κοτύλας † ἔπειτα
10 εἰς τὴν μεγάλην." ἔπειθ᾽ ὁ βασιλεὺς λέγει·
"εἰς τὴν λεκάνην μὲν οὖν· δοκεῖς γάρ μοι πολύν,
Ἵππη, πάνυ χόρτον", φησί, "καταβεβρωκέναι."
Φρύνην ἐπείρα Μοίριχος τὴν Θεσπικήν· | 450
κἄπειτ᾽ αἰτήσασαν αὐτὸν μνᾶν μίαν 583c
15 ὁ Μοίριχος, "μέγ᾽," εἶπεν· "οὐ πρῴην δύο
χρυσοῦς λαβοῦσα παρεγένου ξένῳ τινί;"
"περίμενε τοίνυν καὶ σύ", φησ᾽, "ἕως ἂν οὗ
βινητιάσω, καὶ τοσοῦτον λήψομαι." 455
Νικὼ λέγεται τὴν Αἶγα Πύθωνός τινος
20 αὐτήν ποτ᾽ ἀπολιπόντος, Εὔαρδιν δὲ τὴν
παχεῖαν ἀναλαβόντος, εἶτεν ὕστερον
μεταπεμπομένου ποθ᾽, ὡς ἔοικ᾽, αὐτήν, λέγειν
πρὸς τὸν μετιόντα παῖδα· "Πύθων," φήσ᾽, "ἐπεὶ | 460
ἤδη τῶν ὑείων ἐγένετο διάμεστος, 583d
25 † ἐπει δὴ γιαι † οἷός ἐστιν ἀνακάμπτειν πάλιν."

587a, 583c–d Eust. p. 1818.16–18 = ii.142.32–5

1 θάτερ᾽ Jacobs : θ᾽ ἑτερ᾽ A ‖ **3** ποτὲ A C E : τότε Schweighäuser ‖ **4** ποτὲ] ποτε M P Mus et (ordine verborum mutato) C E : ποτ᾽ A ‖ **6** ἀεὶ B M P Mus : αἰεὶ A ‖ **8** παπία P Mus : † παπια † A : παππία M ‖ **9** ἀλλ᾽ M P Mus : ἀλλὰ A ‖ **10** ἔπειθ᾽ A : ἔπειτεν Dindorf ‖ **14** κἄπειτ᾽ M P : κἄπειτα A C E : κἄπειτεν Dindorf ‖ **17** σύ C M P Mus : σου A : σοι E ‖ **21** εἶτεν Dindorf : εἰτ᾽ ἐν A : εἶτ᾽ ἐς M P Mus : εἶθ᾽ C E : εἶτα Eust. ‖ **23** φήσ᾽ Meineke : † φη † A : ἔφη C E M P Mus : φη(σὶ) B | ἐπεὶ C E Eust. : ἐπειδὴ A ‖ **24** τῶν υἱῶν ἐγένετο διάμεστος A : τῶν ὑῶν ἐγένετο διάμεστος C E Eust. : τῶν ὑῶν διάμεστος ἐγένετο Musurus : διάμεστος τῶν ὑείων ἐγένετο Kaibel | ὑείων Kaibel : υἱῶν A : ὑῶν C E Eust. ‖ **25** † ἐπει δὴ γιαι † A : ἐπὶ τὴν αἶγ᾽ C E Eust. Mus : ἐπ᾽ αἶγε᾽ Kaibel

[46] μέχρι μὲν τούτων μνημονεύω τῶν ὑπὸ τοῦ Μάχωνος εἰρημένων· αἱ γὰρ καλαὶ ἡμῶν Ἀθῆναι τοσοῦτο πλῆθος ἤνεγκαν ἑταιρῶν, περὶ ὧν ἐπεξελεύσομαι ὅσον γε δύναμαι, ὅσον ὄχλον εὐανδροῦσα πόλις οὔπω ἔσχεν· ἀναγέγραφε γοῦν Ἀριστοφάνης μὲν ὁ Βυζάντιος (*FGrH* 347 T 2 = fr. 364b Slater) ἑκατὸν καὶ 5 τριάκοντα καὶ πέντε, Ἀπολλόδωρος (*FGrH* 244 F 208) δὲ τούτων πλείους, ὁ Γοργίας (*FGrH* 351 T 2) δὲ πλέονας, παραλειφθῆναι 583e φάσκοντες ὑπὸ τοῦ Ἀριστοφάνους μετὰ | ἑταιρῶν πλειόνων καὶ τάσδε, ⟨…⟩ τὴν Πάροινον ἐπικληθεῖσαν καὶ Λαμπυρίδα καὶ Εὐφροσύνην· αὕτη δὲ ἦν γναφέως θυγάτηρ. ἄγραφοι δ᾿ εἰσὶν αὐτῷ 10 Μεγίστη, Ἀγαλλίς, Θαυμάριον, Θεόκλεια (αὕτη δ᾿ ἐπεκαλεῖτο Κορώνη), Ληναιτόκυστος, Ἄστρα, Γνάθαινα καὶ ταύτης θυγατριδῆ Γναθαίνιον, καὶ Σιγὴ καὶ Συνωρὶς ἡ Λύχνος ἐπικαλουμένη καὶ Εὔκλεια καὶ Γρυμέα καὶ Θρυαλλίς, ἔτι Χίμαιρα καὶ Λαμπάς. τῆς δὲ Γναθαίνης ἤρα δεινῶς, ὡς καὶ πρότερον εἴρηται, Δίφιλος ὁ 15 583f κωμῳδιοποιός, ὡς καὶ Λυγκεὺς ὁ | Σάμιος ἐν τοῖς Ἀπομνημονεύμασιν (fr. 23 Dalby = Diph. test. 7) ἱστορεῖ. ἐν ἀγῶνι οὖν ποτε αὐτὸν ἀσχημονήσαντα σφόδρα ἀρθῆναι ἐκ τοῦ θεάτρου συνέβη καὶ οὐδὲν ἧττον ἐλθεῖν πρὸς τὴν Γνάθαιναν· κελεύοντος οὖν τοῦ Διφίλου ὑπονίψαι τοὺς πόδας αὐτοῦ τὴν Γνάθαιναν, ἡ δέ, "τί 20 γάρ;", εἶπεν· "οὐκ ἠρμένος ἥκεις;" σφόδρα δ᾿ ἦν εὔθικτος πρὸς τὰς ἀποκρίσεις ἡ Γνάθαινα. καὶ ἄλλαι δὲ ἑταῖραι μέγα ἐφρόνουν ἐφ᾿ αὑταῖς παιδείας ἀντεχόμεναι καὶ τοῖς μαθήμασι χρόνον ἀπομερί-584a ζουσαι· διόπερ καὶ εὔθικτοι πρὸς τὰς ἀπαντήσεις ἦσαν· ‖ κατηγοροῦντος γοῦν ποτε Στίλπωνος (fr. 157 Döring = *SSR* II O 18) 25 Γλυκέρας παρὰ πότον ὡς διαφθειρούσης τοὺς νέους, ὥς φησι Σάτυρος ἐν τοῖς Βίοις (fr. 19, *FHG* iii.164 = fr. 19 Schorn), ὑποτυχοῦσα ἡ Γλυκέρα, "τὴν αὐτήν", ἔφη, "ἔχομεν αἰτίαν, ὦ Στίλπων· σέ τε γὰρ λέγουσι διαφθείρειν τοὺς ἐντυγχάνοντάς σοι ἀνωφελῆ καὶ ἐριστικὰ σοφίσματα διδάσκοντα ἐμέ τε ὡσαύτως." μηθὲν οὖν 30

4 οὔπω scripsi : οὐχ A C E : οὐδεμία Schweighäuser | ἀναγέγραφε] ἀναγέγραφεν C : ἀναγέγραφ E : ἀνέγραφε A ‖ **8** φάσκοντες A : fort. φάσκων **9** lac. stat. Kaibel, cf. Συνωρὶς ἡ Λύχνος ἐπικαλουμένη infra ‖ **14** Γρυμέα Kaibel : Γρυμαία A : fort. Γρυμεῖα ‖ **30** ἐριστικὰ Bergler : ἐρωτικὰ A ⟨ἐρωτικά⟩ post ὡσαύτως add. Jacobs, cf. A supra

διαφέρει ἐπιτριβομένοις καὶ κακῶς πάσχουσιν μετὰ φιλοσόφου ζῆν ἢ ἑταίρας· κατὰ γὰρ τὸν Ἀγάθωνα (*TrGF* 39 F 14)·

> γυνή τὸ σῶμα † δι' ἀργίαν |
> ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ. 584b

5 [47] Γναθαίνης δὲ πολλὰς ἀποκρίσεις ἀνέγραψεν ὁ Λυγκεύς (fr. 24 Dalby)· παρασίτου γάρ τινος ὑπὸ γραὸς τρεφομένου καὶ τὸ σῶμα εὖ ἔχοντος, "χαριέντως γ'," ἔφη, "ὦ νεανίσκε, τὸ σωμάτιον διάκεισαι." "τί οὖν οἴει, εἰ μὴ ἐδευτεροκοίτουν;" "τῷ λιμῷ ἄν", ἔφη, "ἀπέθανες." Παυσανίου δὲ τοῦ Λάκκου ὀρχουμένου καὶ εἰς 10 κάδον τινὰ ἐμπεσόντος, "ὁ Λάκκος", ἔφη, "εἰς τὸν κάδον ἐμπέπτωκεν." ἐπιδόντος δέ τινος οἶνον ἐν ψυκτηριδίῳ μικρὸν καὶ εἰπόντος ὅτι ἑκκαιδεκαέτης, | "μικρός γε," ἔφη, "ὡς τοσούτων 584c ἐτῶν." νεανίσκων δέ τινων παρὰ πότον ὑπὲρ αὐτῆς τυπτόντων ἑαυτοὺς ἔφη πρὸς τὸν ἡττώμενον· "θάρρει, παιδίον· οὐ γὰρ στεφα- 15 νίτης ὁ ἀγών ἐστιν ἀλλ' ἀργυρίτης." ὡς δ' ὁ τὴν μνᾶν τῇ θυγατρὶ δοὺς αὐτῆς οὐδὲν ἔτι ἔφερεν, ἀλλ' ἐφοίτα μόνον, "παιδίον," ἔφη, "ὥσπερ πρὸς Ἱππόμαχον τὸν παιδοτρίβην μνᾶν δοὺς οἴει ἀεὶ φοιτήσειν;" Φρύνης δὲ πικρότερον εἰπούσης αὐτῇ, "εἰ δὲ λίθον εἶχες;", ἔφη· "ἀποψήσασθαι ἄν σοι ἔδωκα." (ἐτύγχανεν δὲ ἡ μὲν 20 αἰτίαν ἔχουσα λιθιᾶν, | ἡ δὲ κοιλίαν προπετεστέραν ἔχειν.) τῶν δὲ 584d πινόντων παρ' αὐτῇ συμβαλλομένων εἰς βολβοφακῆν καὶ τῆς παιδίσκης ἐν τῷ καθαίρειν εἰς τὸν κόλπον ἐμβαλλομένης τῶν φακῶν ἡ Γνάθαινα ἔφη· "κολποφακῆν διανοεῖται ποιεῖν." Ἀνδρονίκου δὲ τοῦ τραγῳδοῦ ἀπ' ἀγῶνός τινος, ἐν ᾧ τοῖς Ἐπιγόνοις 25 εὐημερήκει, πίνειν μέλλοντος παρ' αὐτῇ καὶ τοῦ παιδὸς κελεύοντος τὴν Γνάθαιναν προαναλῶσαι (S. fr. **185),

> ὀλόμενε παίδων (ἔφη), ποῖον εἴρηκας λόγον;

πρὸς δὲ ἀδολέσχην τινὰ διηγούμενον ὅτι παραγέγονεν | ἀφ' 584e Ἑλλησπόντου, "πῶς οὖν", φησίν, "εἰς τὴν πρώτην πόλιν οὐχ ἧκες

584d–e Eust. p. 889.50–2 = III.344.8–12 | **584d–e** cf. Ael. *VH* 12.13

1 διαφέρει scripsi : διαφέρειν A C E | ἢ μετὰ A C E : ἢ del. Kaibel ‖ **3** τὸ σῶμα A : τοι σώματος Porson, Grotius ‖ **7** γ', i.e. Γ Schweighäuser : τ', i.e. T A ‖ **12** ὡς Casaubon, cf. 13.584c : ὃς A C E ‖ **17** ἀεὶ C E : αἰεὶ A **21** συμβαλλομένων Madvig : βαλλομένων A C E ‖ **24** τοῖς Ἐπιγόνοις Dobree : τοὺς Ἐπιγόνους A

τῶν ἐκεῖ;" τοῦ δ' εἰπόντος· "εἰς ποίαν;", "εἰς Σίγειον," εἶπεν. εἰσελθόντος δέ τινος ὡς αὐτὴν καὶ ἰδόντος ἐπί τινος ἀγγείου ᾠὰ εἰπόντος τε· "ὠμὰ ταῦτα, Γνάθαινα, ἢ ἑφθά;", "ἔγχαλκα," ἔφη, "παιδίον." Χαιρεφῶντος δ' ἀκλήτου ἐπὶ δεῖπνον ἐλθόντος προπιοῦσα ποτήριον αὐτῷ ἡ Γνάθαινα, "λαβέ," ἔφησεν, "ὑπερήφανε." 5
καὶ ὅς· "ἐγὼ ὑπερήφανος;" "τίς δὲ μᾶλλον," εἶπεν ἡ Γνάθαινα, "ὃς οὐδὲ καλούμενος ἔρχῃ;" Νικὼ δὲ ἡ Αἲξ ἐπικαλουμένη, φησὶν ὁ
584f Λυγκεύς (fr. 25 Dalby), παρασίτου | τινὸς ἀπαντήσαντος λεπτοῦ ἐξ ἀρρωστίας, "ὡς ἰσχνός," ἔφη. "τί γὰρ οἴει με ἐν τρισὶν ἡμέραις καταβεβρωκέναι;" "ἤτοι τὴν λήκυθον", ἔφη, "ἢ τὰ ὑποδήματα." 10
[**48**] Μετάνειρα δὲ ἡ ἑταίρα Δημοκλέους τοῦ παρασίτου Λαγυνίωνος ἐπίκλην καταπεσόντος ἔν τινι κονιάματι, "καὶ γὰρ σύ", φησί, "σαυτὸν ἔδωκας οὗ ψῆφοι εἰσί." διαπηδῶντος δ' αὐτοῦ ἐπὶ τὴν πλησίον κλίνην, "πρόσεχε," φησί, "μὴ ἀνατραπῇς." τοῦτο ἱστορεῖ
585a Ἡγήσανδρος (fr. 28, *FHG* iv.419). ‖ Ἀριστόδημος δ' ἐν δευτέρῳ 15
Γελοίων Ἀπομνημονευμάτων (fr. 9, *FHG* iii.310), Γνάθαιναν, φησί, δύο ἐμισθώσαντο, στρατιώτης καὶ μαστιγίας. ἀναγωγότερον οὖν τοῦ στρατιώτου λάκκον αὐτὴν εἰπόντος, "πῶς;" ἔφησεν· "ἢ ὅτι δύο ποταμὼ ἐμβάλλετόν μοι, Λύκος καὶ Ἐλεύθερος;" ἐπὶ δὲ τὴν θυγατέρα τῆς Γναθαίνης πτωχῶν ἐραστῶν κωμαζόντων καὶ 20
ἀπειλούντων κατασκάψειν τὴν οἰκίαν, ἐνηνοχέναι γὰρ δικέλλας ⟨καὶ⟩ ἄμας, "εἰ ταῦτ' εἴχεθ' ὑμεῖς," εἶπεν ἡ Γνάθαινα, "ἐνέχυρα
585b θέντες | τὸ μίσθωμα ἂν ἀπεστείλατε." ἐμμελὴς δ' ἦν πάνυ ἡ Γνάθαινα καὶ οὐκ ἀνάστειος φθέγξασθαι, ἥτις καὶ νόμον συσσιτικὸν συνέγραψε καθ' ὃν δεῖ τοὺς ἐραστὰς ὡς αὐτὴν καὶ τὴν 25
θυγατέρα εἰσιέναι κατὰ ζῆλον τῶν τὰ τοιαῦτα συνταξαμένων φιλοσόφων. ἀνέγραψε δ' αὐτὸν Καλλίμαχος ἐν τῷ τρίτῳ πίνακι τῶν Νόμων (fr. 433 Pfeiffer) καὶ ἀρχὴν αὐτοῦ τήνδε παρέθετο· ὅδε ὁ νόμος ἴσος ἐγράφη καὶ ὅμοιος, στίχων τριακοσίων εἴκοσι τριῶν.

585a Eust. p. 1349.13–16 = IV.901.8–12

1 Σίγειον E M P Eust. Mus : † σιγιον † A : def. C ‖ **10** ὑποδήματα Casaubon : † ὑπομᾰτα † A ‖ **19** ποταμὼ ἐμβάλλετόν C E : ποταμοὺς ἐμβάλλετέ E[s] : ποταμοὶ ἐμβάλλετέ A : ποταμοὶ ἐμβάλλετόν Eust. | Λύκος καὶ Ἐλεύθερος A : ὁ Λύκος καὶ ὁ Μαστιγί[ας] C : ὁ Λύκος καὶ ὁ Μαστιγίος E : ὁ Λύκος καὶ ὁ Μαστιγίας Eust. ‖ **22** ⟨καὶ⟩ add. Schweighäuser : sed fort. vel δικέλλας vel ἄμας (sic Musurus) ut glossa delendum ‖ **24** φθέγξασθαι A C E : ἀποφθέγξασθαι Meineke

[49] Καλλίστιον δὲ τὴν ἐπικληθεῖσαν Πτωχελένην | μαστιγίας 585c
ἐμισθώσατο. θέρους δὲ ὄντος ἐπεὶ γυμνὸς κατέκειτο, τοὺς τύπους
τῶν πληγῶν ἰδοῦσα, "πόθεν οὗτοι, τάλαν;" εἶπε. καὶ ὅς· "παιδὸς
ὄντος μου ζωμὸς κατεχύθη." ἡ δέ· "δηλαδὴ μόσχειος." Μενάνδρῳ
5 τῷ ποιητῇ δυσημερήσαντι καὶ εἰσελθόντι εἰς τὴν οἰκίαν Γλυκέρα
προσενέγκασα γάλα παρεκάλει ῥοφῆσαι. ὁ δ᾽, "οὐ θέλω," εἶπεν·
ἦν γὰρ ἐφεστηκυῖα γραῦς αὐτῷ. ἡ δέ, "ἀποφύσα", εἶπε, "καὶ τῷ
κάτω χρῶ." Θαῒς ἐραστοῦ τινος αὐτῆς ἀλαζόνος παρὰ πολλῶν
ποτήρια | χρησαμένου καὶ λέγοντος θέλειν ταῦτα συγκόψαι, ἄλλα 585d
10 δὲ κατασκευάσαι, "ἀπολεῖς", ἔφη, "ἑκάστου τὸ ἴδιον." Λεόντιον
κατακειμένη μετ᾽ ἐραστοῦ ἐπεισελθούσης εἰς τὸ συμπόσιον Γλυκέ-
ρας καὶ τοῦ ἐραστοῦ αὐτῆς ταύτῃ μᾶλλον προσέχοντος κατάστυ-
γνος ἦν. ὡς δ᾽ ἐπιστρέψας ὁ γνώριμος αὐτὴν ἠρώτησε τί λυπεῖται,
"ἡ ὑστέρα με λυπεῖ," ἔφη. πρὸς Λαΐδα τὴν Κορινθίαν ἐραστὴς
15 ἀποσφράγισμα πέμψας ἐκέλευε παραγίνεσθαι. ἡ δ᾽, "οὐ δύναμαι,"
εἶπε· "πηλός ἐστι." Θαῒς πρὸς γράσωνα | πορευομένη ἐραστήν, 585e
ἐπεί τις αὐτὴν ἠρώτα ποῦ πορεύεται, εἶπεν·

Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος. (E. *Med.* 1385)

Φρύνη συνδειπνοῦσά ποτε γράσωνι ἄρασα φορίνην, "λαβέ", εἶπε,
20 "καὶ κατάτραγε." πέμψαντος δέ τινος αὐτῇ τῶν γνωρίμων οἶνον
χρηστὸν μέν, ὀλίγον δέ, καὶ λέγοντος ὅτι δεκαέτης ἐστίν, "μικρὸς
ὡς πολλῶν ἐτῶν," ἔφη. ζητουμένου δὲ ἔν τινι συμποσίῳ διὰ τίνα
αἰτίαν οἱ στέφανοι κρήμνανται εἶπεν· "ὅτι ψυχαγωγοῦσι." μαστι-
γίου δέ τινος μειρακιευομένου | πρὸς αὐτὴν καὶ φαμένου πολλαῖς 585f
25 συμπεπλέχθαι καθ᾽ ὑπόκρισιν ἐσκυθρώπασεν. ἐπερωτήσαντος δὲ
τὴν αἰτίαν, "ὀργίζομαί σοι," εἶπεν, "ὅτι πολλὰς ἔχεις." φιλάργυ-
ρος δέ τις ἐραστὴς ὑποκοριζόμενος αὐτὴν εἶπεν· "Ἀφροδίσιον εἶ
Πραξιτέλους," ἡ δέ· "σὺ δ᾽ Ἔρως Φειδίου." [50] ἐπεὶ δὲ καὶ τῶν
πολιτικῶν οἶδά τινας μνημονεύοντας αὐτῶν ἢ κατηγοροῦντας ἢ
30 ἀπολογουμένους, μνησθήσομαι καὶ τούτων· Δημοσθένης μὲν γὰρ

585c Eust. p. 1428.53–4 = i.74.46–75.1 | **585e** Eust. p. 1634.20–3, 25–6 = i.348.40–3, 348.45–349.1

4 μόσχειος C E Mus : μόσχιος A ‖ **7** ἀποφύσα A : ἀποφυσήσασα, et καὶ om. C E B ‖ **18** Αἰγεῖ A C E et Eur. : Αἰγὶ Eust. ‖ **19** ἄρασα C E B M P : ἆραι (structura mutata) Eust. : ᾄρασα A ‖ **20** κατάτραγε A C E Eust. : ταῦτα τράγε Meineke

586a ἐν τῷ Κατὰ Ἀνδροτίωνος (22.56) Σινώπης ‖ μέμνηται καὶ Φανοστράτης. καὶ περὶ μὲν τῆς Σινώπης Ἡρόδικος ὁ Κρατήτειος ἐν ἕκτῳ Κωμῳδουμένων (fr. IV.1, p. 125 Düring) φησὶν ὅτι Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι. μνημονεύει δ' αὐτῆς Ἀντιφάνης ἐν Ἀρκάδι (fr. 43) καὶ ἐν Κηπουρῷ (fr. 114), ἐν Ἀκεστρίᾳ (fr. 23), ἐν 5 Ἁλιευομένῃ (fr. 27.12), ἐν Νεοττίδι (fr. 168), καὶ Ἄλεξις ἐν Κλεοβουλίνῃ (fr. 109) καὶ Καλλικράτης ἐν Μοσχίωνι (fr. 1). περὶ δὲ τῆς Φανοστράτης Ἀπολλόδωρός φησιν ἐν τῷ Περὶ τῶν Ἀθήνησιν Ἑταιρίδων (*FGrH* 244 F 209) ὅτι Φθειροπύλη ἐπεκαλεῖτο ἐπειδήπερ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο. Ὑπερείδης δ' ἐν τῷ Κατὰ 10 Ἀρισταγόρας (fr. 24 Jensen) φησί· καὶ πάλιν τὰς Ἀφύας καλουμέ-

586b νας | τὸν αὐτὸν τρόπον ἐκαλέσατε. ἑταιρῶν ἐπωνυμίαι αἱ Ἀφύαι περὶ ὧν ὁ προειρημένος Ἀπολλόδωρός (*FGrH* 244 F 210) φησι· Σταγόνιον καὶ Ἄνθις ἀδελφαί· αὗται Ἀφύαι ἐκαλοῦντο ὅτι λευκαὶ καὶ λεπταὶ οὖσαι τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον. Ἀντιφάνης δὲ ἐν 15 τῷ Περὶ Ἑταιρῶν (Antiph. Jun. *FGrH* 349 F 1) Νικοστρατίδα φησὶν Ἀφύην ἐπικληθῆναι διὰ τὴν αὐτὴν αἰτίαν. ὁ δ' αὐτὸς Ὑπερείδης ἐν τῷ Κατὰ Μαντιθέου Αἰκίας (fr. 121 Jensen) περὶ Γλυκέρας τάδε λέγει· ἄγων Γλυκέραν τε τὴν Θαλασσίδος, ζεῦγος

586c ἔχων. ἄδηλον εἰ αὕτη ἐστὶν | ἡ Ἁρπάλῳ συνοῦσα περὶ ἧς φησι 20 Θεόπομπος ἐν τοῖς Περὶ τῆς Χίας Ἐπιστολῆς (*FGrH* 115 F 254a) ὅτι μετὰ τὸν τῆς Πυθιονίκης θάνατον ὁ Ἅρπαλος μετεπέμψατο τὴν Γλυκέραν Ἀθήνηθεν· ἣν καὶ ἐλθοῦσαν οἰκεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ καὶ προσκυνεῖσθαι ὑπὸ τοῦ πλήθους βασίλισσαν προσαγορευομένην· ἀπειρῆσθαί τε πᾶσι μὴ στεφανοῦν Ἅρπαλον 25 ἐὰν μὴ καὶ Γλυκέραν στεφανῶσιν· ἐν Ῥωσσῷ δὲ καὶ εἰκόνα χαλκῆν αὐτῆς ἱστάναι τολμῆσαι παρὰ τὴν ἑαυτοῦ. τὰ ὅμοια δ'

586d εἴρηκε καὶ Κλείταρχος | ἐν ταῖς Περὶ Ἀλέξανδρον Ἱστορίαις (*FGrH* 137 F 30). ὁ δὲ γράψας τὸν Ἀγῆνα τὸ σατυρικὸν δραμάτιον, εἴτε

2 Κρατήτειος Dindorf : Κρατήτιος A ‖ **3** ϛ', i.e. ἕκτῳ A : γ', i.e. τρίτῳ Harp. σ 15 ‖ **10** θύρας A : πύλης C E | Ὑπερείδης Meineke : Ὑπερίδης A C E **17** ἐπικληθῆναι Kaibel ex C E ἐπεκλήθη (structura mutata) : κληθῆναι A **18** Ὑπερείδης Meineke : Ὑπερίδης A ‖ **21** τοῖς Περὶ τῆς Χίας Ἐπιστολῆς A : ταῖς περὶ Χίου ἐπιστολαῖς Schweighäuser, cf. Theopomp.Hist. *FGrH* 115 T 20a ἐπιστολάς τε τὰς Χιακὰς ἐπιγραφομένας ‖ **25** ἐπὶ πᾶσι A : ἐπὶ om. C E : τῇ πόλει Kaibel : fort. ἐπὶ πάγχυ ‖ **27** ἱστάναι Casaubon : ἑστάναι A : στῆσαι C E | παρὰ τὴν B : παρ' αὐτὴν A : παρ' αὐτὴν ⟨τὴν Ἀλεξάνδρου καὶ τὴν⟩ Jacoby

Πύθων ἐστὶν ὁ Καταναῖος (*TrGF* 91 F 1.14–18) ἢ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος, φησί·

(Α.) καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον
αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάττονας 15
5 σίτου παραπέμψαι καὶ πολίτην γεγονέναι.
(Β.) Γλυκέρας ὁ σῖτος οὗτος ἦν, ἔσται δ' ἴσως
αὐτοῖς ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών. |

[51] Λυσίας δ' ἐν τῷ Πρὸς Λαΐδα (fr. 208 Carey), εἴ γε γνήσιος ὁ λόγος, τούτων μνημονεύει· Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη 586e
10 ἔτι νέα οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγίσκα καὶ Ἄνθεια. μήποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀνθείας Ἄντειαν· οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἄνθειαν ἀναγεγραμμένην ἑταίραν, ἀπὸ δὲ Ἀντείας καὶ ὅλον δρᾶμα ἐπιγραφόμενον, ὡς προεῖπον (13.567c), Εὐνίκου ἢ Φιλυλλίου ἐστι. καὶ ὁ τὸν
15 Κατὰ Νεαίρας δὲ λόγον γράψας ([D.] 59.19) μνημονεύει αὐτῆς. ἐν | δὲ τῷ Κατὰ Φιλωνίδου Βιαίων ὁ Λυσίας (fr. 299 Carey), εἰ γνήσιος ὁ λόγος, καὶ Ναΐδος τῆς ἑταίρας μέμνηται, κἀν τῷ Πρὸς Μέδοντα Ψευδομαρτυριῶν (fr. 220 Carey) 〈Ἀντικύρας〉. ἐπώνυμον δ' ἐστὶ τοῦτο ἑταίρας· τὸ γὰρ κύριον ἦν † οἰα †, ὡς Ἀριστοφάνης 586f
20 εἴρηκεν ἐν τῷ Περὶ Ἑταιρῶν (Ar. Byz. fr. 365 Slater), Ἀντικύραν αὐτὴν φάσκων κληθῆναι ἤτοι ὅτι συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν ἢ ὅτι αὐτὴν ἀναλαβὼν ὁ ἰατρὸς Νικόστρατος ἀποθνήσκων κατέλιπεν αὐτῇ πολὺν ἐλλέβορον, ἄλλο δὲ οὐδέν. καὶ Λυκοῦργος ἐν τῷ Κατὰ Λεωκράτους (17) Εἰρηνίδος ἑταίρας μέμνηται ὡς
25 ἑταιρούσης τῷ Λεωκράτει. ‖ Ναννίου δὲ Ὑπερείδης μνημονεύει ἐν τῷ Κατὰ Πατροκλέους (fr. 141 Jensen)· αὕτη δὲ ὅτι Αἴξ ἐπεκαλεῖτο προείπομεν (cf. 13.582e–f) διὰ τὸ Θαλλὸν τὸν κάπηλον 587a

587a, 583c–d Eust. p. 1818.16–18 = ii.142.32–5

7 αὐτοῖς A : αὐτοῖσι 13.596b : αὐτοῖσιν Casaubon | κοὐχ M P Mus : καὶ οὐχ A ‖ **8** γε A : del. Kaibel ‖ **12** Ἄντειαν M Mus, cf. Harp. α 141 : Ἄντιαν A **13** Ἀντείας M P Mus : Ἀντίας A ‖ **14** ἐστι] ἀντια ἐστιν A : Ἄντειά ἐστι M P Mus : ἀντια/Ἄντειά (glossam) del. Kaibel ‖ **18** 〈Ἀντικύρας〉 add. Schweighäuser ex Harp. α 156, cf. Ἀντικύραν αὐτὴν φάσκων κληθῆναι infra **19** † οἰα † A : Οἶα B Mus : Οἶα M ‖ **22** καὶ ἀποθνήσκων A : καὶ om. C E **24** Λεωκράτους Musurus : Λεοκράτους A ‖ **25** Ναννίου A C E : Νικώ (structura alia) 13.582e, cf. 13.584e | Ὑπερείδης Meineke : Ὑπερίδης A C E

ἐξαναλῶσαι. ὅτι δὲ θαλλῷ χαίρουσιν αἱ αἶγες, διόπερ οὐδ᾽ εἰς ἀκρόπολιν ἄνεισι τὸ ζῷον οὐδ᾽ ὅλως Ἀθηνᾷ θύεται διὰ τοῦτο, ἄλλος ἔσται λόγος. ἀλλ᾽ ὅ γε Σοφοκλῆς ἐν Ποιμέσιν (fr. 502) ὅτι θαλλοφαγεῖ τὸ ζῷόν φησιν οὕτως·

ἑωθινὸς γάρ, πρίν τιν᾽ αὐλητῶν ὁρᾶν, 5
θαλλὸν χιμαίρᾳ προσφέρων νέος παῖδα |
587b εἶδον στρατὸν στείχοντα παραλίαν ἄκραν.

μνημονεύει τῆς Ναννίου καὶ Ἄλεξις ἐν Ταραντίνοις (fr. 225) οὕτω·

Νάννιον δὲ μαίνεται
ἐπὶ τῷ Διονύσῳ, 10

κωμῳδῶν αὐτὴν ὡς μέθυσον. Μένανδρος δ᾽ ἐν Ψευδηρακλεῖ (fr. 414) φησιν·

οὐκ ἐπείρα Νάννιον;

Ἀντιφάνης δὲ ἐν τῷ Περὶ Ἑταιρῶν (Antiph. Jun. *FGrH* 349 F 2a), Προσκήνιον, φησίν, ἐπεκαλεῖτο ἡ Νάννιον ὅτι πρόσωπόν τε 15 ἀστεῖον εἶχε καὶ ἐχρῆτο χρυσίοις καὶ ἱματίοις πολυτελέσι, ἐκδῦσα δὲ ἦν αἰσχροτάτη. ἦν δὲ Κορώνης τῆς Ναννίου θυγάτηρ τὸ τῆς 587c τήθης ἀναφέρουσα | ἐκ τριπορνείας ὄνομα. καὶ Νεμεάδος δὲ τῆς αὐλητρίδος Ὑπερείδης μνημονεύει ἐν τῷ Κατὰ Πατροκλέους (fr. 142 Jensen), περὶ ἧς ἄξιον θαυμάζειν πῶς περιεῖδον Ἀθηναῖοι οὕτω 20 προσαγορευομένην τὴν πόρνην πανηγύρεως ἐνδοξοτάτης ὀνόματι κεχρημένην· ἐκεκώλυτο γὰρ τὰ τοιαῦτα τίθεσθαι ὀνόματα οὐ μόνον ταῖς ἑταιρούσαις ἀλλὰ καὶ ταῖς ἄλλαις δούλαις, ὥς φησι Πολέμων ἐν τοῖς Περὶ Ἀκροπόλεως (fr. 3 Preller). [**52**] καὶ Ὠκίμου δὲ τῆς ἐμῆς, ὡς σὺ φῄς (13.567c), Κύνουλκε, καὶ Ὑπερεί- 25 587d δης μέμνηται ἐν τῷ Κατὰ Ἀρισταγόρας | δευτέρῳ (fr. 13 Jensen) λέγων οὕτως· ὥστε Λαῒς μὲν ἡ δοκοῦσα τῶν πώποτε διενηνοχέναι

5 τιν᾽ M P Mus et Harp. ν 2 : τινα A | αὐλητῶν A et Harp. ν 2 : αὐλιτῶν Bekker ‖ **6** χιμαίρᾳ A : χίλια vel χιλίαις Harp. ν 2 : χιμαίραις Brunck | νέος παῖδα A : νεόπαιδα Harp. ν 2 : νεοσπάδα Casaubon ‖ **7** εἶδον M Mus et Harp. ν 2 : ἶδον A | ἄκραν A : πέτραν Harp. ν 2 ‖ **8** μνημονεύει τῆς M P Mus : μνημονευτὴς A ‖ **11** μέθυσον M P Mus : † μεθυσσαν † A ‖ **16** χρυσίοις Meineke : † χρυσεοις † A : χρυσοῖς C : χρ$^{υ()}$ E ‖ **17** Ναννίου M P Mus, cf. Harp. ν 2 : ἀννίου A ‖ **19** αὐλητρίδος C E M P Mus : αὐλητρίας A | Ὑπερείδης B M P Mus : Ὑπερίδης A C E ‖ **25–6** Ὑπερείδης M P Mus : Ὑπερίδης A

τὴν ὄψιν καὶ Ὤκιμον καὶ Μετάνειρα. Νικόστρατος δὲ ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Πανδρόσῳ (fr. 20) οὑτωσὶ λέγων·

ἔπειτα τῆς αὐτῆς ὁδοῦ
πρὸς Ἀερόπην ἐλθοῦσα πέμψαι στρώματα
5 αὐτὴν κέλευ', ἔφη, καὶ παρ' Ὤκιμον
χαλκώματα.

Μένανδρος δ' ἐν Κόλακι (*Kol.* fr. 4 Koerte) τάσδε καταλέγει ἑταίρας· |

Χρυσίδα, Κορώνην, Ἀντίκυραν, Ἰσχάδα· 587e
10 καὶ Ναννάριον ἔσχηκας ὡραίαν σφόδρα.

Φιλέταιρος ἐν Κυναγίδι (fr. 9)·

οὐχὶ Κερκώπη μὲν ἤδη γέγονεν ἔτη τρισχίλια,
ἡ δὲ Διοπείθους ἀηδὴς Τέλεσις ἕτερα μυρία;
Θεολύτην δ' οἶδεν οὐδεὶς ὅτε τὸ πρῶτον ἐγένετο.
15 οὐχὶ Λαῒς μὲν τελευτῶσ' ἀπέθανεν βινουμένη, |
Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε καὶ Φίλα; 5 587f
Κοσσύφας δὲ καὶ Γαλήνας καὶ Κορώνας οὐ λέγω.
περὶ δὲ Ναΐδος σιωπῶ· γομφίους γὰρ οὐκ ἔχει.

Θεόφιλος Φιλαύλῳ (fr. 11)·

20 τοῦ μή ποτ' αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα
φερόμενον ἢ Μηκωνίδ' ἢ Σισύμβριον
ἢ Βάραθρον ἢ Θάλλουσαν ἢ τούτων τινὰ
ὧν ἐμπλέκουσι τοῖς λίθοις αἱ μαστροποί,
ἢ † ναυσιον † ἢ Μαλθάκην. 5

25 [53] τοσαῦτ' εἰπὼν μετά τινος τροχιλίας ὁ Μυρτίλος, μή τι τοιοῦτοι ὑμεῖς ‖ οἱ φιλόσοφοι, ἔφη, οἱ καὶ πρὸ τῶν Ἡδονικῶν καλουμέ- 588a

1 Μετάνειρα Schweighäuser : Μετάνειραν A ‖ **3** ἔπειτα M P Mus : ἐπιτὰ A **5** κέλευ' ἔφη A : κέλευε, φησί Dobree ‖ **12** γέγονεν C E : γεγόνει A : γέγον' Pierson ‖ **15** βινουμένη A : κινουμένη C E ‖ **16–17** Φίλα; / Κοσσύφας Schweighäuser : † φιλακος· συφας † A ‖ **17** Γαλήνας M P Mus : † γαλεινας † A ‖ **21** Μηκωνίδ' Musurus : Μηκωνίδα A ‖ **22** Θάλλουσαν B M P Mus : † θαλλουσα † A ‖ **23** λίθοις A : λίνοις Dalechamps (*retibus*) ‖ **24** Μαλθάκην B M P Mus : † μαλαθακην † A ‖ **25–6** τοιοῦτοι Schweighäuser : τοιοῦτον A

νων αὐτοὶ τὸν τῆς Ἡδονῆς τοῖχον ὑποσκάπτοντες, ὥς που ὁ Ἐρατοσθένης (p. 193 Bernhardy) ἔφη. κἀμοὶ μὲν τὰ καλὰ τῶν ἑταιρῶν ἀποφθέγματα πεπεράνθω μέχρι τούτων· ἐπ᾽ ἄλλο δ᾽ εἶδος μεταβήσομαι λόγων. καὶ πρῶτόν γε μνησθήσομαι τοῦ φιλαληθεστάτου Ἐπικούρου, ὃς τῆς ἐγκυκλίου παιδείας ἀμύητος ὢν ἐμακά- 5
ριζε καὶ τοὺς ὁμοίως αὐτῷ ἐπὶ φιλοσοφίαν παρερχομένους τοιαύτας φωνὰς προϊέμενος (fr. 117, p. 137 Usener = 25F Long–Sedley)·
588b μακαρίζω σε, ὦ οὗτος, ὅτι καθαρὸς πάσης παιδείας ἐπὶ | φιλοσοφίαν ὥρμησας· ὅθεν αὐτὸν καὶ ὁ Τίμων (*SH* 825.2) φησί·

γραμμαδιδασκαλίδην, ἀναγωγότατον ζωόντων. 10

οὗτος οὖν ὁ Ἐπίκουρος οὐ Λεόντιον εἶχεν ἐρωμένην τὴν ἐπὶ ἑταιρείᾳ διαβόητον γενομένην; ἡ δὲ οὐδ᾽ ὅτε φιλοσοφεῖν ἤρξατο ἐπαύσατο ἑταιροῦσα πᾶσί τε τοῖς Ἐπικουρείοις συνῆν ἐν τοῖς κήποις, Ἐπικούρῳ δὲ καὶ ἀναφανδόν· ὥστ᾽ ἐκεῖνον πολλὴν φροντίδα ποιούμενον αὐτῆς τοῦτ᾽ ἐμφανίζειν διὰ τῶν Πρὸς 15
Ἕρμαρχον ἐπιστολῶν (fr. 121, pp. 138–9 Usener). [54] Λαΐδος τε τῆς ἐξ Ὑκκάρων (πόλις δ᾽ αὕτη Σικελική, ἀφ᾽ ἧς αἰχμάλωτος |
588c γενομένη ἧκεν εἰς Κόρινθον, ὡς ἱστορεῖ Πολέμων ἐν τῷ ἕκτῳ τῶν Πρὸς Τίμαιον (fr. 44 Preller)), ἧς καὶ Ἀρίστιππος (*SSR* IV A 91 = fr. 60 Mannebach) ἤρα καὶ Δημοσθένης ὁ ῥήτωρ Διογένης τε ὁ 20
κύων (Diog. Sinop. *SSR* V B 213)· ᾗ καὶ Ἀφροδίτη ἡ ἐν Κορίνθῳ ἡ Μελαινὶς καλουμένη νυκτὸς ἐπιφαινομένη ἐμήνυεν ἐραστῶν ἔφοδον πολυταλάντων, οὐχ Ὑπερείδης μνημονεύει ἐν τῷ Κατὰ Ἀρισταγόρας δευτέρῳ (fr. 13 Jensen; cf. 13.587c–d); Ἀπελλῆς δὲ ὁ ζωγράφος ἔτι παρθένον οὖσαν τὴν Λαΐδα θεασάμενος ἀπὸ τῆς 25
Πειρήνης ὑδροφοροῦσαν καὶ θαυμάσας τὸ κάλλος ἤγαγέ ποτε
588d αὐτὴν εἰς φίλων συμπόσιον. | χλευασάντων δ᾽ αὐτὸν τῶν ἑταίρων ὅτι ἀνθ᾽ ἑταίρας παρθένον εἰς τὸ συμπόσιον ἀγάγοι, "μὴ θαυμάσητε," εἶπεν· "ἐγὼ γὰρ αὐτὴν εἰς μέλλουσαν ἀπόλαυσιν μετ᾽ οὐδ᾽

4 γε A : μὲν Kaibel ‖ **5** ὃς τῆς scripsi : ὅστις A : ὅστις τῆς C E ‖ **8** παιδείας Schweighäuser : αἰτίας A C E ‖ **9** ὥρμησας A : ἔρχῃ C E : ὥρμησαι Kaibel **10** γραμμαδιδασκαλίδην ἀναγωγότατον A : γραμμοδιδασκαλίδης, ἀναγωγότατος D.L. 10.2 ‖ **11** οὖν A : fort. γοῦν ‖ **12** οὐδ᾽ Meineke : οὐχ A ‖ **13** τε A : μὲν C E : δὲ Kaibel | Ἐπικουρείοις C E M P Mus : Ἐπικουρίοις A **23** Ὑπερείδης M : Ὑπερίδης A ‖ **25** ἔτι (ordine verborum mutato) C E : ὅτι A

ὅλην τριετίαν καλὴν δείξω.” τὸ δ’ αὐτὸ καὶ Σωκράτης ἐμαντεύσατο περὶ Θεοδότης τῆς Ἀθηναίας, ὥς φησι Ξενοφῶν ἐν Ἀπομνημονεύμασιν (3.11.1)· ὅτι δὲ καλλίστη εἴη καὶ στέρνα κρείττω λόγου παντὸς ἔχοι ἔλεγέ τις. “ἰτέον ἡμῖν”, ἔφη, “θεασομένοις τὴν
5 γυναῖκα· οὐ γὰρ δὴ ἀκούσιον ἐστὶ κρῖναι τὸ κάλλος.” οὕτω δ’ ἦν ἡ Λαῒς καλὴ ὡς καὶ τοὺς ζωγράφους | ἐρχομένους πρὸς αὐτὴν 588e ἀπομιμεῖσθαι τῆς γυναικὸς τοὺς μαστοὺς καὶ τὰ στέρνα. διαζηλοτυπουμένη δέ ποτε Φρύνῃ πολὺν ἐραστῶν ἔσχηκεν ὅμιλον οὐ διακρίνουσα πλούσιον ἢ πένητα οὐδ’ ὑβριστικῶς αὐτοῖς χρωμένη.
10 [55] Ἀρίστιππος (*SSR* IV A 92 = fr. 61 Mannebach) δὲ κατ’ ἔτος δύο μῆνας συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ τοῖς Ποσειδωνίοις· καὶ ὀνειδιζόμενος ὑπὸ οἰκέτου ὅτι· “σὺ μὲν αὐτῇ τοσοῦτον ἀργύριον δίδως, ἡ δὲ προῖκα Διογένει τῷ κυνὶ συγκυλίεται,” ἀπεκρίνατο· “ἐγὼ Λαΐδι χορηγῶ πολλὰ ἵνα αὐτὸς αὐτῆς ἀπολαύω, | οὐχ ἵνα 588f
15 μὴ ἄλλος.” τοῦ δὲ Διογένους εἰπόντος αὐτῷ· “Ἀρίστιππε, κοινῇ συνοικεῖς πόρνῃ. ἢ κύνιζε οὖν, ὡς ἐγώ, ἢ πέπαυσο,” καὶ ὁ Ἀρίστιππος (fr. 64A Mannebach)· “ἆρά γε μή τί σοι ἄτοπον δοκεῖ εἶναι, Διόγενες, οἰκίαν οἰκεῖν ἐν ᾗ πρότερον ᾤκησαν ἄλλοι;” “οὐ γάρ,” ἔφη. “τί δὲ ναῦν ἐν ᾗ πολλοὶ πεπλεύκασιν;” “οὐδὲ τοῦτο,”
20 ἔφη. “οὕτως οὖν οὐδὲ γυναικὶ συνεῖναι ἄτοπόν ἐστιν ᾗ πολλοὶ κέχρηνται.” Νυμφόδωρος δ’ ὁ Συρακόσιος ἐν τῷ Περὶ τῶν ἐν Σικελίᾳ Θαυμαζομένων (*FGrH* 572 F 1 = fr. 1 Giannini) ἐξ Ὑκκάρων ‖ φησὶ Σικελικοῦ φρουρίου εἶναι τὴν Λαΐδα. Στράττις δ’ ἐν 589a Μακεδόσιν ἢ Παυσανίᾳ (fr. 27) Κορινθίαν αὐτὴν εἶναί φησι διὰ
25 τούτων·

(A.) εἰσὶν δὲ ὅθεν αἱ παῖδες αὗται; καὶ τίνες;
(B.) νῦν μὲν ἥκουσιν Μεγαρόθεν, εἰσὶν δὲ
Κορίνθιαι· Λαῒς μέν, ᾗ μέγα † κλεοσῒδί †.

4 ἔλεγέ τις scripsi : λέγοντός ⟨τινος⟩ Kaibel : ἔλεγέν τε A ‖ **5** ἀκούσιον A : ἀκούσασί(ν) Xen. et Bedrot : ἀκούουσι Schweighäuser : fort. ἀκούσει ‖ **5–6** ἡ Λαῒς (glossam) del. Wilamowitz ‖ **7** τῆς γυναικὸς A : om. C E, fort. recte **8** ἡ Λαῒς Φρύνῃ A : τῇ Φρύνῃ ἡ Λαῒς C E : ἡ Λαῒς ut glossam delevi ‖ **12** τοῦ ante οἰκέτου praeb. C E ‖ **17** ἔφη post ὁ Ἀρίστιππος praeb. C E ‖ **19** δὲ C E B M P Mus et D.L. 2.74 : δαὶ A ‖ **22–3** Ὑκκάρων Meursius, cf. infra : Ὑκκάρου A ‖ **26** ὅθεν A : πόθεν Schweighäuser ‖ **27** νῦν A : νυνὶ Porson | εἰσιν A : εἰσὶ B P Mus ‖ **28** κλεοσῒδί, i.e. κλέος, ἠδί vel sim. A

Τίμαιος δ᾽ ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἱστοριῶν (*FGrH* 566 F 24) ἐξ Ὑκκάρων, καθὰ καὶ Πολέμων (fr. 44 Preller) εἴρηκεν ἀναιρεθῆναι φάσκων αὐτὴν ὑπό τινων γυναικῶν ἐν Θετταλίᾳ ἐρασθεῖσάν τινος
589b Παυσανίου Θετταλοῦ κατὰ φθόνον καὶ δυσζηλίαν | ξυλίναις χελώναις τυπτομένην ἐν Ἀφροδίτης ἱερῷ· διὸ καὶ τὸ τέμενος κληθῆναι 5
Ἀνοσίας Ἀφροδίτης· δείκνυσθαι δ᾽ αὐτῆς τάφον παρὰ τῷ Πηνειῷ σημεῖον ἔχοντα ὑδρίαν λιθίνην καὶ ἐπίγραμμα τόδε (anon. *FGE* 1596–9)·

τῆσδέ ποθ᾽ ἡ μεγάλαυχος ἀνίκητός τε πρὸς ἀλκὴν
Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου, 10
Λαΐδος, ἣν ἐτέκνωσεν Ἔρως, θρέψεν δὲ Κόρινθος·
κεῖται δ᾽ ἐν κλεινοῖς Θετταλικοῖς πεδίοις.

589c αὐτοσχεδιάζουσιν οὖν οἱ λέγοντες αὐτὴν ἐν Κορίνθῳ | τεθάφθαι πρὸς τῷ Κρανείῳ. [56] Ἀριστοτέλης δ᾽ ὁ Σταγειρίτης οὐκ ἐξ Ἑρπυλλίδος τῆς ἑταίρας ἐπαιδοποίησε Νικόμαχον καὶ συνῆν 15
ταύτῃ μέχρι θανάτου, ὥς φησιν Ἕρμιππος ἐν τῷ Περὶ Ἀριστοτέλους πρώτῳ (fr. 46 Wehrli = *FGrH* 1026 F 28) ἐπιμελείας φάσκων τῆς δεούσης τετυχηκέναι ἐν ταῖς τοῦ φιλοσόφου διαθήκαις; ὁ δὲ καλὸς ὑμῶν Πλάτων οὐκ Ἀρχαιάνασσαν τὴν Κολοφωνίαν ἑταίραν ἠγάπα; ὡς καὶ ᾄδειν εἰς αὐτὴν τάδε (Asclep. *A.P.* 7.217 = *HE* 20
1002–5 = 'Plato' *FGE* 608–11)·

Ἀρχαιάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν,
ἧς καὶ ἐπὶ ῥυτίδων πικρὸς ἔπεστιν Ἔρως· |
589d ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης 610
πρωτοπόρου, δι᾽ ὅσης ἤλθετε πυρκαϊῆς. 1005 25

589b–c Eust. p. 1062.38 = III.857.5–6

4 ταῖς ξυλίναις A : ταῖς om. C E et Σ[EMatr.V57] Ar. *Pl.* 179 ‖ **6** Ἀνοσίας A C E et Σ[EMatr.V57] Ar. *Pl.* 179 : Ἀνδροφόνου Plut. *Mor.* 768a ‖ **14** Κρανείῳ B : Κρανίῳ A | Σταγειρίτης M P Mus : Σατυριστὴς A C E ‖ **19** ὑμῶν Kaibel, cf. 13.587f–8a ὑμεῖς οἱ φιλόσοφοι : ἡμῶν A : ἡμῖν Usener | Ἀρχαιάνασσαν A C E : Ἀρχεάνασσαν C[s] E[s] Mus ‖ **22** Ἀρχαιάνασσαν A C E et D.L. 3.31 : Ἀρχεάνασσαν *A.P.* et Musurus | ἑταίραν C E et D.L. 3.31 *A.P.* : ἑταίρην A **23** καὶ ἐπὶ ῥυτίδων D.L. 3.31 *A.P.* et Musurus (καὶ ἀπὸ ῥυτίδων iam M P) : κἀπὶ ῥυτίδων C E : καὶ ἀπορρυτίδων A ‖ **25** πρωτοπόρου A C E : πρωτοπλόου D.L. 3.31

Περικλῆς δὲ ὁ Ὀλύμπιος, ὥς φησι Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν (fr. 30 Wehrli), οὐχ ἕνεκεν Ἀσπασίας — οὐ τῆς νεωτέρας ἀλλὰ τῆς Σωκράτει τῷ σοφῷ συγγενομένης — καίπερ τηλικοῦτον ἀξίωμα συνέσεως καὶ πολιτικῆς δυνάμεως κτησάμενος, συνετά-
5 ραξε πᾶσαν τὴν Ἑλλάδα; ἦν δ' οὗτος ⟨ὁ⟩ ἀνὴρ πρὸς ἀφροδίσια πάνυ καταφερής· ὅστις καὶ τῇ τοῦ υἱοῦ γυναικὶ συνῆν, ὡς Στησίμβροτος ὁ Θάσιος ἱστορεῖ, (*FGrH* 107 T 2 = 1002 T 2) κατὰ τοὺς αὐτοὺς | αὐτῷ χρόνους γενόμενος καὶ ἑωρακὼς αὐτόν, ἐν τῷ 589e ἐπιγραφομένῳ Περὶ Θεμιστοκλέους καὶ Θουκυδίδου καὶ Περικλέ-
10 ους (*FGrH* 107 F 10a = 1002 F 10a). Ἀντισθένης δ' ὁ Σωκρατικὸς (fr. 35 Decleva Caizzi = *SSR* V A 143 = *FGrH* 1004 F 7a) ἐρασθέντα φησὶν αὐτὸν Ἀσπασίας δὶς τῆς ἡμέρας εἰσιόντα καὶ ἐξιόντα ἀπ' αὐτῆς ἀσπάζεσθαι τὴν ἄνθρωπον· καὶ φευγούσης ποτὲ αὐτῆς γραφὴν ἀσεβείας λέγων ὑπὲρ αὐτῆς πλείονα ἐδάκρυσεν ἢ ὅτε ὑπὲρ
15 τοῦ βίου καὶ τῆς οὐσίας ἐκινδύνευσε. καὶ Κίμωνος δ' Ἐλπινίκῃ τῇ ἀδελφῇ παρανόμως συνόντος, εἶθ' ὕστερον ἐκδοθείσης Καλλίᾳ, καὶ φυγαδευθέντος | μισθὸν ἔλαβε τῆς καθόδου αὐτοῦ ὁ Περικλῆς τὸ 589f τῇ Ἐλπινίκῃ μιχθῆναι. Πυθαίνετος δ' ἐν τρίτῳ Περὶ Αἰγίνης (*FGrH* 299 F 3) Περίανδρόν φησιν ⟨τὸν⟩ ἐξ Ἐπιδαύρου τὴν Προκλέ-
20 ους θυγατέρα Μέλισσαν ἰδόντα Πελοποννησιακῶς ἠσθημένην (ἀναμπέχονος γὰρ καὶ μονοχίτων ἦν καὶ ᾠνοχόει τοῖς ἐργαζομένοις) ἐρασθέντα γῆμαι. Πύρρου δὲ τοῦ Ἠπειρωτῶν βασιλέως, ὃς ἦν τρίτος ἀπὸ Πύρρου τοῦ ἐπ' Ἰταλίαν στρατεύσαντος, ἐρωμένη ἦν Τίγρις ἡ Λευκαδία· ἣν Ὀλυμπιὰς ‖ ἡ τοῦ νεανίσκου μήτηρ 590a
25 φαρμάκοις ἀπέκτεινε.

[57] καὶ ὁ Οὐλπιανὸς ὥσπερ ἕρμαιόν τι ἔτι λαλοῦντος τοῦ Μυρτίλου ἔφη· εἰ ἔχομεν ἀρρενικῶς εἰρημένον τὸν τίγριν· Φιλήμονα γὰρ οἶδα τοῦτ' εἰρηκότα ἐν Νεαίρᾳ (fr. 49)·

(A.) ὥσπερ Σέλευκος δεῦρ' ἔπεμψε τὴν τίγριν,
30 ἣν εἴδομεν ἡμεῖς, τῷ Σελεύκῳ πάλιν ἔδει
τι ἡμᾶς παρ' ἡμῶν ἀντιπέμψαι θηρίον.
(B.) τρυγέρανον· οὐ γὰρ γίγνεται τοῦτ' αὐτόθι.

2 οὐ τῆς νεωτέρας ἀλλὰ Kaibel : τῆς νεωτέρας· ἀλλ' οὐ A : τὴν νεωτέραν — οὐ (structura mutata) C E : οὐ del. M P Mus ‖ **4–5** οὐ συνετάραξε A : οὐ delevi **5** ⟨ὁ⟩ add. Kaibel ‖ **19** ⟨τὸν⟩ addidi ex ὁ (structura mutata) C E ‖ **30** εἴδομεν Jacobs : † ἴδομεν † A ‖ **31** τι ἡμᾶς A : ἡμᾶς τι Jortin

πρὸς ὃν ὁ Μυρτίλος ἔφη· ἐπείπερ ἡμῖν ἐμποδὼν ἐγένου κατάλο-
590b γον γυναικῶν ποιουμένοις οὐ κατὰ | τοὺς Σωσικράτους τοῦ Φανα-
γορείτου Ἠοίους (*SH* 732) ἢ τὸν τῶν Γυναικῶν Κατάλογον Νικαι-
νέτου τοῦ Σαμίου ἢ Ἀβδηρίτου (fr. 2, p. 2 Powell), μικρὸν ἐπισχὼν
ἐπὶ τὴν παρὰ σοῦ τρέψομαι πεῦσιν, 5

Φοῖνιξ ἄττα γεραιέ. (*Il.* 9.607)

μάθε οὖν ὅτι ἀρσενικῶς εἴρηκε τὸν τίγριν Ἄλεξις ἐν Πυραύνῳ (fr. 207) οὕτως·

ἄνοιγ᾿ ἄνοιγε τὴν θύραν· ἐλάνθανον
πάλαι περιπατῶν ἀνδριάς, ἀλέτων ὄνος, 10
ποτάμιος ἵππος, τοῖχος, ὁ Σελεύκου τίγρις.

590c ἔχων δὲ καὶ ἄλλα μαρτύρια ἀνατίθεμαι | τὰ νῦν, ἕως ἂν ἀπομνη-
μονεύσω τὸν τῶν καλῶν γυναικῶν κατάλογον· [58] Κλέαρχος (fr.
31 Wehrli) γὰρ περὶ Ἐπαμινώνδου φησὶν οὕτως· Ἐπαμινώνδας δ᾿
ὁ Θηβαῖος σεμνότερον μὲν τούτων, οὐκ εὐσχημόνως δὲ περὶ τὰς 15
ὁμιλίας ἐσφάλλετο τὴν γνώμην, εἴ τις θεωροίη τὰ πραχθέντα
αὐτῷ περὶ τὴν Λάκωνος γυναῖκα. Ὑπερείδης δ᾿ ὁ ῥήτωρ ἐκ τῆς
πατρῴας οἰκίας τὸν υἱὸν ἀποβαλὼν Γλαύκιππον Μυρρίνην τὴν
πολυτελεστάτην ἑταίραν ἀνέλαβε, καὶ ταύτην μὲν ἐν ἄστει εἶχεν,
590d ἐν Πειραιεῖ δὲ Ἀρισταγόραν, | Φίλαν δ᾿ ἐν Ἐλευσῖνι, ἣν πολλῶν 20
ὠνησάμενος χρημάτων εἶχεν ἐλευθερώσας, ὕστερον δὲ καὶ οἰκου-
ρὸν αὐτὴν ἐποιήσατο, ὡς Ἰδομενεὺς (*FGrH* 338 F 14a) ἱστορεῖ. ἐν δὲ
τῷ Ὑπὲρ Φρύνης λόγῳ Ὑπερείδης (fr. 171 Jensen) ὁμολογῶν ἐρᾶν
τῆς γυναικὸς καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλάχθαι τὴν προειρημέ-
νην Μυρρίνην εἰς τὴν οἰκίαν εἰσήγαγεν. [59] ἦν δ᾿ ἡ Φρύνη ἐκ 25
Θεσπιῶν, κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ ἀπέφυγε·
διόπερ ὀργισθεὶς ὁ Εὐθίας οὐκέτι εἶπεν ἄλλην δίκην, ὥς φησιν

590d–e, 591c Eust. p. 1259.1–8 = IV.579.10–22

2–3 Φαναγορείτου Schweighäuser (Φαναγορίτου iam M P Mus, cf. St.Byz. φ 23–4) : Φαναγοριστοῦ A ‖ **4** ἐπισχὼν Coraes : ἀποσχὼν A ‖ **10** ἀνδριάς P (ἀνδρίας M Mus) : ἀνδρείας A ‖ **13** τὸν περὶ τῶν A : περὶ del. Meineke **17** Ὑπερείδης M P Mus : Ὑπερίδης A C E ‖ **18** Μυρρίνην A : Μύρριναν C E **23** Ὑπερείδης M P Mus : Ὑπερίδης A C E ‖ **24** ἀπηλλάχθαι C E : ἀπηλλαγμένος A ‖ **26** Θεσπιῶν M P Mus : Θεσπειῶν A : Θεσπιέων C E

Ἕρμιππος (fr. 68a I Wehrli = *FGrH* 1026 F 46a). ὁ δὲ Ὑπερείδης | συναγορεύων τῇ Φρύνῃ, ὡς οὐδὲν ἤνυε λέγων ἐπίδοξοί τε ἦσαν οἱ δικασταὶ καταψηφιούμενοι, παραγαγὼν αὐτὴν εἰς τοὐμφανὲς καὶ περιρρήξας τοὺς χιτωνίσκους γυμνά τε τὰ στέρνα ποιήσας τοὺς 5 ἐπιλογικοὺς οἴκτους ἐκ τῆς ὄψεως αὐτῆς ἐπερρητόρευσε δεισιδαιμονῆσαί τε ἐποίησε τοὺς δικαστὰς τὴν ὑποφῆτιν καὶ ζάκορον Ἀφροδίτης ἐλέῳ χρησαμένους μὴ ἀποκτεῖναι. καὶ ἀφεθείσης ἐγράφη μετὰ ταῦτα ψήφισμα, μηδένα οἰκτίζεσθαι τῶν λεγόντων ὑπέρ τινος, μηδὲ βλεπόμενον | τὸν κατηγορούμενον ἢ τὴν κατηγο- 10 ρουμένην κρίνεσθαι. ἦν δὲ ὄντως μᾶλλον ἡ Φρύνη καλὴ ἐν τοῖς μὴ βλεπομένοις, διόπερ οὐδὲ ῥᾳδίως ἦν αὐτὴν ἰδεῖν γυμνήν· ἐχέσαρκον γὰρ χιτώνιον ἠμπείχετο καὶ τοῖς δημοσίοις οὐκ ἐχρῆτο βαλανείοις. τῇ δὲ τῶν Ἐλευσινίων πανηγύρει καὶ τῇ τῶν Ποσειδωνίων ἐν ὄψει τῶν Πανελλήνων πάντων ἀποθεμένη θοἰμάτιον καὶ 15 λύσασα τὰς κόμας ἐνέβαινε τῇ θαλάττῃ· καὶ ἀπ᾽ αὐτῆς Ἀπελλῆς ‖ τὴν Ἀναδυομένην Ἀφροδίτην ἀπεγράψατο. καὶ Πραξιτέλης δὲ ὁ ἀγαλματοποιὸς ἐρῶν αὐτῆς τὴν Κνιδίαν Ἀφροδίτην ἀπ᾽ αὐτῆς ἐπλάσατο καὶ ἐν τῇ τοῦ Ἔρωτος βάσει τῇ ὑπὸ τὴν σκηνὴν τοῦ θεάτρου ἐπέγραψε ('Simonides' *A.Pl.* 204 = *FGE* 910–13)·

590e 590f 591a

20 Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν Ἔρωτα (910)
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ· φίλτρα δὲ βάλλω
οὐκέτ᾽ ὀιστεύων ἀλλ᾽ ἀτενιζόμενος· |

ἐκλογήν τε αὐτῇ τῶν ἀγαλμάτων ἔδωκεν, εἴτε τὸν Ἔρωτα θέλοι 25 λαβεῖν εἴτε τὸν ἐπὶ Τριπόδων σάτυρον, ἡ δὲ ἑλομένη τὸν Ἔρωτα ἀνέθηκεν αὐτὸν ἐν Θεσπιαῖς. αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα ποιήσαντες ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος Πεντελικοῦ, κατεσκεύασε δ᾽ αὐτὸν Πραξιτέλης· ὃν καὶ θεασάμενος

591b

1 Ὑπερείδης M P Mus : Ὑπερίδης A C E Eust. ‖ **4** περιρρήξας C E M P Eust. Mus : περιρήξας A ‖ **6** δικαστὰς C E B M P Eust. Mus : δικὰς A **7** χρησαμένους Casaubon (χρησάμενος iam M) : χαρισαμένους A C E **11** ῥᾳδίως A C E : ῥᾴδιον M P Mus ‖ **13** Ποσειδωνίων B M P Mus : Ποσειδονίων A ‖ **14** ἀποθεμένη θοἰμάτιον C E : ἀποτιθεμένη θοἰμάτια A **15** θαλάττῃ A : θαλάσσῃ C E ‖ **16** ἀπεγράψατο P Mus : ἀνεγράψατο A C E Ps : ἐνεγράψετο M ‖ **18** ὃν αὐτὸς ἔπλασεν post βάσει praeb. C E ‖ **22** βάλλω A : τίκτω *A.Pl.* ‖ **23** ὀιστεύων A : τοξεύων *A.Pl.* ‖ **24** τε A C E : δὲ Kaibel **27** ποιήσαντες A C E : ποιησάμενοι Kaibel

Κράτης ὁ κυνικὸς (*SSR* V H 28) ἔφη τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα. ἕστηκε δὲ καὶ ἡ εἰκὼν αὕτη μέση τῆς Ἀρχιδάμου τοῦ
591c Λακεδαιμονίων βασιλέως καὶ τῆς Φιλίππου | τοῦ Ἀμύντου ἔχουσα ἐπιγραφὴν "Φρύνη Ἐπικλέους Θεσπική", ὥς φησιν Ἀλκέτας ἐν δευτέρῳ Περὶ τῶν ἐν Δελφοῖς Ἀναθημάτων (*FGrH* 405 F 1). **[60]** 5 Ἀπολλόδωρος δ' ἐν τῷ Περὶ Ἑταιρῶν (*FGrH* 244 F 212) δύο ἀναγράφει Φρύνας, ὧν τὴν μὲν ἐπικαλεῖσθαι Κλαυσιγέλωτα, τὴν δὲ Σαπέρδιον. Ἡρόδικος δὲ ἐν ἕκτῳ Κωμῳδουμένων (IV fr. 2, p. 126 Düring) τὴν μὲν παρὰ τοῖς ῥήτορσί φησιν Σηστὸν καλεῖσθαι διὰ τὸ ἀποσήθειν καὶ ἀποδύειν τοὺς συνόντας αὐτῇ, τὴν δὲ Θεσπι- 10
591d κήν. ἐπλούτει | δὲ σφόδρα ἡ Φρύνη καὶ ὑπισχνεῖτο τειχιεῖν τὰς Θήβας ἐὰν ἐπιγράψωσιν Θηβαῖοι ὅτι· "Ἀλέξανδρος μὲν κατέσκαψεν, ἀνέστησε δὲ Φρύνη ἡ ἑταίρα," ὡς ἱστορεῖ Καλλίστρατος ἐν τῷ Περὶ Ἑταιρῶν (*FGrH* 348 F 1). εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς Τιμοκλῆς ὁ κωμικὸς ἐν Νεαίρᾳ — πρόκειται τὸ μαρτύριον 15 (13.567d–e) — καὶ Ἄμφις ἐν Κουρίδι (fr. 24). παρεσίτει δὲ τῇ Φρύνῃ Γρυλλίων εἷς ὢν τῶν Ἀρεοπαγιτῶν, ὡς καὶ Σάτυρος ὁ
591e Ὀλύνθιος ὑποκριτὴς Παμφίλῃ. Ἀριστογείτων | δὲ ἐν τῷ Κατὰ Φρύνης (IV, Baiter–Sauppe ii.310) τὸ κύριόν φησιν αὐτῆς εἶναι ὄνομα Μνησαρέτην. οὐκ ἀγνοῶ δὲ ὅτι τὸν ἐπιγραφόμενον κατ' 20 αὐτῆς Εὐθίου λόγον Διόδωρος ὁ περιηγητὴς (*FGrH* 372 F 36) Ἀναξιμένους (*FGrH* 72 T 17a) φησὶν εἶναι. Ποσείδιππος δ' ὁ κωμικὸς ἐν Ἐφεσίᾳ (fr. 13) τάδε φησὶ περὶ αὐτῆς·

Φρύνη πρὸ ἡμῶν γέγονεν ἐπιφανεστάτη
πολὺ τῶν ἑταιρῶν· καὶ γὰρ εἰ νεωτέρα 25
τῶν τότε χρόνων εἴη, τόν γ' ἀγῶν' ἀκήκοας.
βλάπτειν δοκοῦσα τοὺς βίους μείζους βλάβας |
591f τὴν ἡλιαίαν εἷλε περὶ τοῦ σώματος 5

590d–e, 591c Eust. p. 1259.1–8 = IV.579.10–22 | **591f** Eust. p. 1151.9–11 = IV.207.6–9

4 Θεσπική A C E : Θεσπιακή Kaibel ‖ **7** Φρύνας γεγονέναι A : γεγονέναι om. C E Eust. ‖ **9** μὲν C E : om. A | ὀνομαζομένην Σηστὸν A : ὀνομαζομένην om. C E (cf. Eust.) ‖ **10–11** Θεσπικήν A C E : Θεσπική (structura mutata) Eust. : Θεσπιακήν Kaibel ‖ **11** τειχιεῖν A C E : ἀνατειχιεῖν Meineke, cf. ἀνέστησε infra ‖ **17** Ἀρεοπαγιτῶν C E B M P Mus : Ἀρεοπαγειτῶν A **22** Ποσείδιππος Casaubon : Ποσίδιππος A ‖ **26** εἴη A : εἶ Casaubon | γ' ἀγῶν' Casaubon : γε ἀγῶνα A : γε ἀγῶν' P Mus

καὶ τῶν δικαστῶν καθ' ἕνα δεξιουμένη
μετὰ δακρύων διέσωσε τὴν ψυχὴν μόλις.

[**61**] ἴστε δὲ ὅτι καὶ Δημάδης ὁ ῥήτωρ ἐξ αὐλητρίδος ἐπαιδοποιήσατο Δημέαν· ὃν φρυαττόμενόν ποτε ἐπὶ τοῦ βήματος ἐπεστόμι-
5 σεν Ὑπερείδης εἰπών· "οὐ σιωπήσῃ, μειράκιον, μεῖζον τῆς μητρὸς ἔχων τὸ φύσημα;" καὶ Βίων δ' ὁ Βορυσθενίτης φιλόσοφος (T1 Kindstrand) ἑταίρας ἦν υἱὸς Ὀλυμπίας ‖ Λακαίνης, ὥς φησι 592a
Νικίας ὁ Νικαιεὺς ἐν ταῖς τῶν Φιλοσόφων Διαδοχαῖς (*FHG* iv.464). Σοφοκλῆς δ' ὁ τραγῳδιοποιὸς (test. 77) ἤδη γέρων ὢν
10 ἠράσθη Θεωρίδος τῆς ἑταίρας. ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησί·

κλύε μευ εὐχομένου, Κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν,
ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ἰσχὺς μὲν ἀπήμβλυνται, θεῖος δὲ μενοινᾷ. 420

15 ταῦτα μέν ἐστιν ἐκ τῶν εἰς Ὅμηρον ἀναφερομένων (cf. [Hdt.] *Vita Homeri* 417–20, vol. 5 p. 211 Allen). τῆς δὲ Θεωρίδος μνημονεύει λέγων | ἔν τινι στασίμῳ οὕτω (S. fr. 765)· 592b

φίλη γὰρ ἡ Θεωρίς.

ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ βίου, ὥς φησιν Ἡγήσανδρος (fr. 27, *FHG*
20 iv.418–19), Ἀρχίππην ἠγάπησε τὴν ἑταίραν καὶ τοῦ βίου κληρονόμον κατέλιπεν. ὅτι δὲ γηραιῷ ὄντι τῷ Σοφοκλεῖ συνῆν ἡ Ἀρχίππη, ὁ πρότερος αὐτῆς ἐραστὴς Σμικρίνης ἐρωτώμενος ὑπό τινος· "τί πράττει Ἀρχίππη;", χαριέντως ἔφη· "ὥσπερ αἱ γλαῦκες, ἐπὶ τάφον κάθηται." [**62**] ἀλλὰ μὴν καὶ Ἰσοκράτης ὁ τῶν ῥητόρων
25 αἰδημονέστατος Μετάνειραν εἶχεν ἐρωμένην † καὶ καλήν †, ὡς

3 αὐλητρίδος ἑταίρας A : ἑταίρας (glossam) om. C E Eust. ‖ **5** Ὑπερείδης M P Mus : Ὑπερίδης A C E Eust. ‖ **10** οὖν A C E : fort. γοῦν ‖ **11** κλύε μευ εὐχομένου A C E : κλῦθί μοι εὐχομένῳ *Suda* o 251 [Hdt.] *Vit.Hom.* 417 **12** ἀναίνεσθαι A C E : ἀπανήνασθαι *Suda* o 251 : ἀνήνασθαι [Hdt.] *Vit.Hom.* 418 ‖ **14** ἰσχὺς A : οὐραὶ *Suda* o 251 : ὥρη [Hdt.] *Vit.Hom.* 420 | θεῖος A : θυμὸς *Suda* o 251 [Hdt.] *Vit.Hom.* 420 ‖ **17** στασίμῳ Casaubon : στασίμως A : στάσιμος B M P Mus ‖ **24** τάφον C E M P Mus : τάφων A **25** αἰδημονέστατος Schweighäuser, ducente Musurus (αἰδημονέστερος) : ἀδημονέστερος A | καὶ καλήν A : τὴν αὐτὴν C E : παγκάλην Meineke : παλλακήν Dobree : καὶ Λαγίσκαν Kaibel

592c Λυσίας ἱστορεῖ ἐν ταῖς ἐπιστολαῖς (fr. 456 Carey). Δημοσθένης | δ' ἐν τῷ Κατὰ Νεαίρας ([D.] 59.21) τὴν Μετάνειραν τοῦ Λυσίου φησὶν ἐρωμένην εἶναι. ἥττητο δὲ καὶ ὁ Λυσίας Λαγίδος τῆς ἑταίρας, ἧς ἔγραψεν ἐγκώμιον Κέφαλος ὁ ῥήτωρ (fr. 2, Baiter–Sauppe ii.217), καθάπερ καὶ Ἀλκιδάμας ὁ Ἐλαΐτης ὁ Γοργίου μαθητὴς 5 ἔγραψε καὶ αὐτὸς ἐγκώμιον Ναΐδος τῆς ἑταίρας (II, Baiter–Sauppe ii.155). τὴν δὲ Ναΐδα ταύτην Λυσίας ἐν τῷ Κατὰ Φιλωνίδου Βιαίων (fr. 299 Carey), εἰ γνήσιος ὁ λόγος, ἐρωμένην φησὶ γενέσθαι Φιλωνίδου γράφων ὧδε· ἔστιν οὖν γυνὴ ἑταίρα, Ναῒς ὄνομα, ἧς Ἀρχίας κύριός ἐστιν, ὁ δ' Ὑμέναιος ἐπιτήδειος, ὁ Φιλω- 10 νίδης δὲ ἐρᾶν φησι. μνημονεύει αὐτῆς καὶ Ἀριστοφάνης ἐν τῷ |
592d Γηρυτάδῃ (fr. 179). μήποτε δὲ κἀν τῷ Πλούτῳ (179), ἐν ᾧ λέγει·

> ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;,

γραπτέον "Ναῒς" καὶ οὐ "Λαΐς". Ἕρμιππος δ' ἐν τῷ Περὶ Ἰσοκράτους (fr. 65 Wehrli = *FGrH* 1026 F 43a) προβαίνοντά φησι 15 τῇ ἡλικίᾳ τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δ' αὐτῆς Στράττις (fr. 3.1–3) ἐν τούτοις·

> καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
> ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι 20
> τόν τ' αὐλοτρύπην αὐτόν. |

592e καὶ Λυσίας δ' ἐν τῷ Κατὰ Λαΐδος (fr. 208 Carey), εἰ γνήσιος ὁ λόγος, μνημονεύει αὐτῆς, καταλέγων καὶ ἄλλας ἑταίρας ἐν τούτοις· Φιλύρα γέ τοι ἐπαύσατο πορνευομένη καὶ ἔτι νέα οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ Ψαμάθη καὶ Λαγί- 25 σκα καὶ Ἄνθεια καὶ Ἀριστόκλεια. [63] Δημοσθένη δὲ τὸν ῥήτορα καὶ τεκνοποιήσασθαι ἐξ ἑταίρας ἔχει λόγος· αὐτὸς γοῦν ἐν τῷ Περὶ Χρυσίου λόγῳ (IV, Baiter–Sauppe ii.251) προαγήοχε τὰ τέκνα ἐπὶ τὸ δικαστήριον ὡς δι' ἐκείνων ἔλεον ἕξων χωρὶς τῆς
592f μητρός, καίτοι ἔθος ἐχόντων | τῶν κρινομένων τὰς γυναῖκας 30 ἐπάγεσθαι· ἀλλ' αἰδοῖ τοῦτ' ἐποίησε φεύγων τὴν διαβολήν. ἀκόλαστος δ' ἦν ὁ ῥήτωρ περὶ τὰ ἀφροδίσια, ὥς φησιν Ἰδομενεύς (*FGrH*

3 καὶ ante Λαγίδος praeb. C E ‖ **20** ἰδεῖν A : εὑρεῖν Zos. p. 103 ‖ **24** καὶ A : om. 13.586e ‖ **28** Χρυσίου B : † χρυσειου † A : Χρ$^{υ(ου)}$ C E | προαγήοχε E* Mus : προαγίοχε C : προαγείοχε A

338 F 12)· Ἀριστάρχου γοῦν τινος ἐρασθεὶς μειρακίου καὶ δι' αὐτὸν παροινήσας εἰς Νικόδημον ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς. παραδέδοται δὲ καὶ περὶ ὄψα καὶ περὶ νέους καὶ περὶ γυναῖκας πολυτελής. τοιγαροῦν καὶ ὁ γραμματεύς ποτ' αὐτοῦ εἶπε· "τί δ' ἄν τις
5 περὶ Δημοσθένους λέγειν δύναιτο; ‖ τὰ γὰρ ἐνιαυτῷ μελετηθέντα 593a ἐκείνῳ μία γυνὴ μιᾷ νυκτὶ συνέχεεν·" ἀναλαβεῖν γοῦν καὶ εἰς τὴν οἰκίαν λέγεταί τινα Κνωσίωνα μειρακίσκον, καίτοι γυναῖκα ἔχων, ὡς καὶ αὐτὴν ἀγανακτήσασαν συγκοιμᾶσθαι τῷ Κνωσίωνι. [**64**] Μυρρίνην δὲ τὴν Σαμίαν ἑταίραν Δημήτριος εἶχεν ὁ βασιλεὺς ὁ
10 τῆς διαδοχῆς τελευταῖος καὶ ἔξω τοῦ διαδήματος κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς φησι Νικόλαος ὁ Δαμασκηνός (*FGrH* 90 F 90)· Πτολεμαῖός τε ὁ τὴν ἐν Ἐφέσῳ διέπων φρουρὰν υἱὸς ὢν τοῦ Φιλαδέλφου βασιλέως Εἰρήνην | εἶχε τὴν ἑταίραν, ἥτις ὑπὸ Θρᾳκῶν ἐν 593b Ἐφέσῳ ἐπιβουλευομένου τοῦ Πτολεμαίου καὶ καταφυγόντος εἰς τὸ
15 τῆς Ἀρτέμιδος ἱερὸν συγκατέφυγε. καὶ ἀποκτεινάντων αὐτὸν ἐκείνων ἡ Εἰρήνη ἐχομένη τῶν ῥόπτρων τῶν θυρῶν τοῦ ἱεροῦ ἔρραινε τῷ αἵματι τοὺς βωμοὺς ἕως καὶ αὐτὴν κατέσφαξαν. Δανάην δὲ τὴν Λεοντίου τῆς Ἐπικουρείου θυγατέρα ἑταιριζομένην καὶ αὐτὴν Σώφρων εἶχεν ὁ ἐπὶ τῆς Ἐφέσου· δι' ἣν αὐτὸς μὲν ἐσώθη
20 ἐπιβουλευόμενος ὑπὸ Λαοδίκης, ἡ δὲ κατεκρημνίσθη, ὡς γράφει Φύλαρχος διὰ τῆς δωδεκάτης (*FGrH* 81 F 24) | τάδε· ἡ πάρεδρος 593c τῆς Λαοδίκης Δανάη πιστευομένη ὑπ' αὐτῆς τὰ πάντα, Λεοντίου δ' οὖσα τῆς μετ' Ἐπικούρου τοῦ φυσικοῦ σχολασάσης θυγάτηρ, Σώφρονος δὲ γεγονυῖα πρότερον ἐρωμένη, παρακολουθοῦσα διότι
25 ἀποκτεῖναι βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη, διανεύει τῷ Σώφρονι μηνύουσα τὴν ἐπιβουλήν. ὁ δὲ συλλαβὼν καὶ προσποιηθεὶς συγχωρεῖν περὶ ὧν λέγει δύ' ἡμέρας παρῃτήσατο εἰς σκέψιν· καὶ συγχωρησάσης νυκτὸς ἔφυγεν εἰς Ἔφεσον. μαθοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιηθὲν ὑπὸ τῆς Δανάης κατεκρήμνισεν | τὴν ἄνθρω- 593d

1 δι' αὐτὸν Kaibel : δι' αὐτὸ A : δι' Ἀρίσταρχον C E : fort. διὰ τοῦτο **3–4** πολυτελής M P Mus : πολυτελεῖς A ‖ **4** αὐτοῦ C E : αὐτοὺς A : αὐτὸς Musurus ‖ **17** ἔρραινε τῷ αἵματι τοὺς βωμοὺς scripsi : ἐρραινεν τοῦ αἵματος τοῖς βωμοῖς A : ἐρραινε τοῦ αἵματος τοὺς βωμούς Schweighäuser : ἐνέρραινε τοῦ αἵματος τοῖς βωμοῖς Dobree : ἐπέρραινε τοῦ αἵματος τοῖς βωμοῖς Kaibel **18** Δανάην M P Mus, cf. infra : Δάναϊν A | Ἐπικουρείου M P Mus : Ἐπικουρίου A

πον οὐδὲν τῶν προγεγενημένων φιλανθρώπων συμβαλομένη. τὴν δὲ Δανάην φασίν, ὡς ᾔσθετο τὸν ἐπηρτημένον αὐτῇ κίνδυνον, ἀνακρινομένην ὑπὸ τῆς Λαοδίκης οὐδ᾽ ἀποκρίσεως αὐτὴν ἀξιῶσαι· ἀπαγομένην τε ἐπὶ τὸν κρημνὸν εἰπεῖν ὡς· "δικαίως οἱ πολλοὶ καταφρονοῦσι τοῦ θείου, ὅτε ἐγὼ μὲν τὸν γενόμενόν μοι ἄνδρα 5 σώσασα τοιαύτην χάριτα παρὰ τοῦ δαιμονίου λαμβάνω, Λαοδίκη δὲ τὸν ἴδιον ἀποκτείνασα τηλικαύτης τιμῆς ἀξιοῦται." ὁ δ᾽ αὐτὸς Φύλαρχος καὶ περὶ Μύστας ἱστορεῖ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ
593e (*FGrH* 81 F 30) οὕτω· Μύστα Σελεύκου τοῦ | βασιλέως ἐρωμένη ἦν· ἥτις ὑπὸ Γαλατῶν Σελεύκου νικηθέντος καὶ μόλις ἐκ τῆς φυγῆς 10 διασωθέντος αὐτὴ μεταμφιεσαμένη τὴν βασιλικὴν ἐσθῆτα καὶ ἀναλαβοῦσα ⟨τὴν⟩ θεραπαινίδος τῆς τυχούσης συλληφθεῖσα ἀνήχθη μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ πραθεῖσα ὁμοίως ταῖς ἑαυτῆς θεραπαινίσιν ἦλθεν εἰς Ῥόδον· ἔνθα ἐκφήνασα ἑαυτὴν ἥτις ἦν περισπουδάστως ὑπὸ τῶν Ῥοδίων τῷ Σελεύκῳ διεπέμφθη. [**65**] 15 Δημήτριος δ᾽ ὁ Φαληρεὺς (fr. 37 Wehrli = fr. 5 Fortenbaugh–Schütrumpf) Λαμπιτοῦς τῆς Σαμίας ἑταίρας ἐρασθεὶς ἡδέως δι᾽
593f αὐτὴν καὶ | Λαμπιτὼ προσηγορεύετο, ὥς φησι Δίυλλος (*FGrH* 73 F 4)· ἐκαλεῖτο δὲ καὶ Χαριτοβλέφαρος. Νικαρέτη δὲ ἡ ἑταίρα ἐρωμένη ἦν Στεφάνου τοῦ ῥήτορος, Λυσίου δὲ τοῦ σοφιστοῦ Μετά- 20 νειρα· ἦσαν δὲ αὗται δοῦλαι Κασίου τοῦ Ἠλείου μετὰ καὶ ἄλλων ἑταιρῶν, Ἀντείας, Στρατόλας, Ἀριστοκλείας, Φίλας, Ἰσθμιάδος, Νεαίρας. ἡ δὲ Νέαιρα ἦν ἐρωμένη Ξενοκλείδου τοῦ ποιητοῦ καὶ Ἱππάρχου τοῦ ὑποκριτοῦ καὶ Φρυνίωνος τοῦ Παιανιέως, ὃς ἦν Δήμωνος μὲν υἱός, Δημοχάρους δὲ ἀδελφιδοῦς. τὴν δὲ Νέαιραν 25 εἶχον ἡμέραν παρ᾽ ἡμέραν διαιτητῶν γενομένων φίλων Φρυνίων
594a καὶ Στέφανος ‖ ὁ ῥήτωρ· ὃς καὶ τὴν τῆς Νεαίρας θυγατέρα Στρυβήλην τὴν ὕστερον Φανὼ κληθεῖσαν ὡς ἰδίαν θυγατέρα ἐξέδοτο Φράστορι τῷ Αἰγιαλεῖ, ὥς φησι Δημοσθένης ἐν τῷ Κατὰ

1 συμβαλομένη scripsi : ἐπισυμβαλομένη (v.ll. ἐπιβαλομένη et συμβαλομένη in unam confusas) A : ἐπὶ νοῦν βαλομένη Casaubon ‖ **4** τε A : δὲ B M P Mus **7** τηλικαύτης B M P : τιλικαύτης A : τηλικαότης Musurus ‖ **8** Μύστας A : Μύστης Kaibel ‖ **12** ἀναλαβοῦσα] ῥάκια λαβοῦσα Kaibel | ⟨τὴν⟩ addidi **13** ἀνήχθη A C E : ἀπήχθη Meineke ‖ **16** Δημήτριος ... 13.594b τῆς ἱερείας del. Kaibel ‖ **17** δι᾽ Jacobs : δ᾽ A ‖ **18** προσηγορεύετο Jacobs : προσηγόρευτο A : προσηγορεύσατο B M[s] Mus : προσηγορεύσαντο M P | Δίυλλος A : Δίδυμος D.L. 5.76 ‖ **23** ἦν Στρατοκλείδου ἐρωμένη A : Στρατοκλείδου (v.l.) del. Kaibel **28** Στρυβήλην [Dem.] : Στρυμβήλην A ‖ **29** Φράστορι [Dem.] : Φάστορι A

Νεαίρας ([D.] 59.50)· ὃς καὶ περὶ Σινώπης τῆς ἑταίρας τάδε λέγει ([D.] 59.116)· Ἀρχίαν τὸν ἱεροφάντην ἐξελεγχθέντα ἐν τῷ δικαστηρίῳ ὡς ἀσεβοῦντα καὶ θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας ἐκολάσατε· καὶ ἄλλα τε κατηγορήθη αὐτοῦ καὶ ὅτι Σινώπη τῇ ἑταίρᾳ
5 Ἁλῴοις ἐπὶ τῆς ἐσχάρας τῆς ἐν τῇ αὐλῇ Ἐλευσῖνι | προσαγούσῃ 594b ἱερεῖον θύσειεν νομίμου ὄντος ἐν ταύτῃ τῇ ἡμέρᾳ ἱερεῖα μὴ θύειν, οὐδὲ ἐκείνου οὔσης τῆς θυσίας ἀλλὰ τῆς ἱερείας. [66] διαβόητος δ' ἑταίρα γέγονε καὶ ἡ Μιλησία Πλαγγών· ἧς περικαλλεστάτης οὔσης ἠράσθη τις Κολοφώνιος νεανίσκος Βακχίδα ἔχων ἐρωμένην
10 τὴν Σαμίαν. λόγους οὖν προσενέγκαντος τοῦ νεανίσκου πρὸς αὐτὴν ἡ Πλαγγὼν ἀκούουσα τῆς Βακχίδος τὸ κάλλος καὶ ἀποτρέψαι θέλουσα τὸν νεανίσκον τοῦ πρὸς αὐτὴν ἔρωτος, ὡς ἀδύνατον ἦν, ᾔτησε τῆς συνουσίας | μισθὸν τὸν Βακχίδος ὅρμον διαβόητον 594c ὄντα. ὁ δὲ σφοδρῶς ἐρῶν ἠξίωσε τὴν Βακχίδα μὴ περιιδεῖν αὐτὸν
15 ἀπολλύμενον· καὶ ἡ Βακχὶς τὴν ὁρμὴν κατιδοῦσα τοῦ νεανίσκου ἔδωκε· Πλαγγών τε τὸ ἄζηλον συνιδοῦσα τῆς Βακχίδος τὸν μὲν ἀπέπεμψεν ἐκείνῃ, τῷ δὲ ὡμίλησε· καὶ τοῦ λοιποῦ φίλαι ἐγένοντο κοινῶς περιέπουσαι τὸν ἐραστήν· ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μενέτωρ ἐν τῷ Περὶ Ἀναθημάτων (*FHG* iv.452), Πασιφίλαν
20 ἐκάλεσαν τὴν Πλαγγόνα. μαρτυρεῖ δὲ καὶ Ἀρχίλοχος (fr. spur. 331 West[2] = *FGE* 540–1) | περὶ αὐτῆς ἐν τούτοις· 594d

συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας,
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

ὅτι δὲ καὶ Μένανδρος ὁ ποιητὴς (test. 17) ἤρα Γλυκέρας κοινόν.
25 ἐνεμεσήθη δέ· Φιλήμονος (fr. dub. 198) γὰρ ἑταίρας ἐρασθέντος καὶ χρηστὴν ταύτην ὀνομάσαντος διὰ τοῦ δράματος ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς. [67] Ἅρπαλος δ' ὁ Μακεδὼν ὁ τῶν Ἀλεξάνδρου πολλὰ χρημάτων συλήσας | καὶ καταφυ- 594e γὼν εἰς Ἀθήνας ἐρασθεὶς Πυθιονίκης πολλὰ εἰς αὐτὴν κατανήλω-
30 σεν ἑταίραν οὖσαν καὶ ἀποθανούσῃ πολυτάλαντον μνημεῖον

2 ἐξελεγχθέντα M P Mus et [Dem.] : ἐξελεχθέντα A ‖ **3** ὡς ἀσεβοῦντα καὶ θύοντα A : ἀσεβεῖν θύοντα [Dem.] ‖ **5** προσαγούσῃ [Dem.] : προσαγούσης A **6** νομίμου ὄντος ... μὴ θύειν A : οὐ νομίμου ὄντος ... θύειν [Dem.] ‖ **16** τε A : δὲ Kaibel ‖ **17** τῷ A : αὐτῷ Kaibel ‖ **22** πολλὰς C E B : παλλὰς A **29–30** κατανήλωσεν Kaibel : κατανάλωσεν A : κατηνάλ[ω] C E ‖ **30** μνημεῖον A : μνῆ[μ] E : μνῆμα C

κατεσκεύασεν· ἐκφέρων τε αὐτὴν ἐπὶ τὰς ταφάς, ὥς φησι Ποσειδώνιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν (*FGrH* 87 F 14 = fr. 66 Edelstein–Kidd = fr. 168 Theiler), τεχνιτῶν τῶν ἐπισημοτάτων χορῷ μεγάλῳ καὶ παντοίοις ὀργάνοις καὶ συμφωνίαις παρέπεμπε τὸ σῶμα. Δικαίαρχος δ᾽ ἐν τοῖς Περὶ τῆς εἰς Τροφωνίου Καταβάσεώς (fr. 21 Wehrli = fr. 81 Mirhady) φησι· ταὐτὸ δὲ πάθοι τις ἂν 594f ἐπὶ τὴν Ἀθηναίων πόλιν ἀφικνούμενος | κατὰ τὴν ἀπ᾽ Ἐλευσῖνος τὴν ἱερὰν ὁδὸν καλουμένην· καὶ γὰρ ἐνταῦθα καταστὰς οὗ ἂν φανῇ τὸ πρῶτον ὁ τῆς Ἀθηνᾶς ἀφορώμενος νεὼς καὶ τὸ πόλισμα ὄψεται παρὰ τὴν ὁδὸν αὐτὴν ᾠκοδομημένον μνῆμα οἷον οὐχ ἕτερον οὐδὲ σύνεγγυς οὐδέν ἐστι τῷ μεγέθει. τοῦτο δὲ τὸ μὲν πρῶτον, ὅπερ 595a εἰκός, ἢ Μιλτιάδου φήσει σαφῶς ἢ Περικλέους ἢ Κίμωνος ‖ ἤ τινος ἑτέρου τῶν ἀγαθῶν ἀνδρῶν εἶναι, μάλιστα μὲν ὑπὸ τῆς πόλεως δημοσίᾳ κατεσκευασμένον, εἰ δὲ μή, δεδογμένον κατασκευάσασθαι. πάλιν δ᾽ ὅταν ἐξετάσῃ Πυθιονίκης τῆς ἑταίρας ὄν, τίνα χρὴ προσδοκίαν λαβεῖν αὐτόν; Θεόπομπος δ᾽ ἐν τῇ Πρὸς Ἀλέξανδρον ἐπιστολῇ (*FGrH* 115 F 253) τὴν Ἁρπάλου διαβάλλων ἀκολασίαν φησίν· ἐπίσκεψαι δὲ καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος ὃν τρόπον Πυθιονίκην περιέστειλε τελευτήσασαν, ἣ Βακχίδος μὲν ἦν δούλη τῆς αὐλητρίδος, ἐκείνη δὲ Σινώπης τῆς 595b Θράττης | τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν πορνείαν, ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον ἀλλὰ καὶ τρίπορνον αὐτήν. ἀπὸ πλειόνων δὲ ταλάντων ἢ διακοσίων δύο μνήματα κατεσκεύασεν αὐτῆς· ὃ καὶ πάντες ἐθαύμαζον, ὅτι τῶν μὲν ἐν Κιλικίᾳ τελευτησάντων ὑπὲρ τῆς σῆς βασιλείας καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας οὐδέπω νῦν οὔτε ἐκεῖνος οὔτ᾽ ἄλλος οὐδεὶς τῶν ἐπιστατῶν κεκόσμηκε τὸν τάφον, Πυθιονίκης δὲ τῆς ἑταίρας φανήσεται τὸ μὲν Ἀθήνησι, τὸ δ᾽ ἐν Βαβυλῶνι μνῆμα πολὺν ἤδη χρόνον ἐπιτετε- 595c λεσμένον· | ἣν γὰρ πάντες ᾔδεσαν ὀλίγης δαπάνης κοινὴν τοῖς βουλομένοις γινομένην, ταύτης ἐτόλμησεν ὁ φίλος εἶναι σοῦ φάσκων ἱερὸν καὶ τέμενος ἱδρύσασθαι καὶ προσαγορεῦσαι τὸν ναὸν

1–2 Ποσειδώνιος B M P Mus : Ποσιδώνιος A ‖ **4** συμφωνίαις, i.e. ΣΥΜΦ- B : εὐφωνίαις, i.e. ΕΥΦ- A ‖ **5** Τροφωνίου M P Mus : † τροφωνειου † A **7** κατὰ τὴν Jacobs : καὶ ταύτην A ‖ **8** φανῇ Valckenaer : ᾗ A ‖ **12** φήσει scripsi : φήσειεν A : φήσειεν ⟨ἂν⟩ Kaibel ‖ **13** ⟨καὶ⟩ μάλιστα Kaibel **14** δεδογμένον A : δεδομένον Kaibel ‖ **29** ὀλίγης Meineke : κοινῆς A **30** γινομένην scripsi : γιγνομένην A

καὶ τὸν βωμὸν Πυθιονίκης Ἀφροδίτης, ἅμα τῆς τε παρὰ θεῶν τιμωρίας καταφρονῶν καὶ τὰς σὰς τιμὰς προπηλακίζειν ἐπιχειρῶν. μνημονεύει τούτων καὶ Φιλήμων ἐν Βαβυλωνίῳ (fr. 15)·

βασίλισσαις † ἢ Βαβυλῶνος, ἂν οὕτω τύχῃ·
5 τὴν Πυθιονίκην οἶσθα καὶ τὸν Ἅρπαλον. |

μνημονεύει δ' αὐτῆς καὶ Ἄλεξις ἐν Λυκίσκῳ (fr. 143). [**68**] μετὰ δὲ 595d τὴν Πυθιονίκης τελευτὴν ὁ Ἅρπαλος Γλυκέραν μετεπέμψατο καὶ ταύτην ἑταίραν, ὡς ὁ Θεόπομπος (*FGrH* 115 F 254b) ἱστορεῖ, φάσκων ἀπειρηκέναι τὸν Ἅρπαλον μὴ στεφανοῦν ἑαυτόν, εἰ μή τις
10 στεφανώσειε καὶ τὴν πόρνην· ἔστησέ τε εἰκόνα χαλκῆν τῆς Γλυκέρας ἐν Ῥωσσῷ τῆς Συρίας, οὗπερ καὶ σὲ καὶ αὐτὸν ἀνατιθέναι μέλλει· παρέδωκέ τε αὐτῇ κατοικεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ καὶ ὁρᾷ ὑπὸ τοῦ λαοῦ προσκυνουμένην καὶ βασίλισσαν προσαγορευομένην καὶ ταῖς ἄλλαις | δωρεαῖς τιμωμένην αἷς 595e
15 πρέπον ἦν τὴν σὴν μητέρα καὶ τὴν σοὶ συνοικοῦσαν. συνεπιμαρτυρεῖ δὲ τούτοις καὶ ὁ τὸν Ἀγῆνα τὸ σατυρικὸν δραμάτιον γεγραφὼς ὅπερ ἐδιδάχθη Διονυσίων ὄντων ἐπὶ τοῦ Ὑδάσπου, εἴτε Πύθων ἦν ὁ Καταναῖος ἢ Βυζάντιος ἢ καὶ αὐτὸς ὁ βασιλεύς. ἐδιδάχθη δὲ τὸ δρᾶμα ἤδη φυγόντος τοῦ Ἁρπάλου ἐπὶ θάλασσαν καὶ ἀποστάντος·
20 καὶ τῆς μὲν Πυθιονίκης ὡς τεθνηκυίας μέμνηται, τῆς δὲ Γλυκέρας ὡς οὔσης παρ' αὐτῷ καὶ τοῖς Ἀθηναίοις αἰτίας γινομένης | τοῦ 595f δωρεὰς λαμβάνειν παρὰ Ἁρπάλου, λέγων ὧδε (Python *TrGF* 91 F 1.1–8)·

(A.) ἔστιν δ' ὅπου μὲν ὁ κάλαμος πέφυχ' ὅδε
25 † φετωμ † ἄορνον, οὑξ ἀριστερᾶς δ' ὅδε
πόρνης ὁ κλεινὸς λαός, ὃν δὴ Παλλίδης
τεύξας κατέγνω διὰ τὸ πρᾶγμ' αὑτοῦ φυγήν.
ἐνταῦθα δὴ τῶν βαρβάρων τινὲς μάγοι 5
ὁρῶντες αὐτὸν παγκάλως διακείμενον

4 βασίλισσαις ἢ A : βασίλισσ' ἔσῃ Bentley ‖ **11** ἐν Ῥωσσῷ 13.586c : † ενερασσωι † A : ἐν Ταρσῷ B Mus ‖ **12** μέλλει Casaubon : μέλλειν A **17** ἐδιδάχθη scripsi, cf. infra : ἐδίδαξε A | τοῦ Ὑδάσπου τοῦ ποταμοῦ A : τοῦ ποταμοῦ ut glossam delevi : τοῦ solum del. Kaibel ‖ **18** ὁ Βυζάντιος A : ὁ om. 2.50f, delevi ‖ **19** θάλασσαν scripsi : θάλατταν A ‖ **24** δ' M P Mus : δὲ A πέφυχ' Dindorf : πέφυκε A ‖ **25** † φετωμαορνον † A | δ' Musurus : δε A **26** λαός A : ναός Casaubon ‖ **29** παγκάλως A : παγκάκως Jacobs

ἔπεισαν ὡς ἀξιοῦσι τὴν ψυχὴν ἄνω ‖
596a τὴν Πυθιονίκης.

Παλλίδην δ᾽ ἐνταῦθα ἐκάλεσε τὸν Ἅρπαλον. ἐν ⟨δὲ⟩ τοῖς ἑξῆς τῷ κυρίῳ καλέσας αὐτόν φησιν (Python *TrGF* 91 F 1.8–18)·

(A.) ἐκμαθεῖν δέ σου ποθῶ 5
μακρὰν ἀποικῶν κεῖθεν, Ἀτθίδα χθόνα
τίνες τύχαι καλοῦσιν † ἢ πράττουσι τί. 10
(B.) ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον,
ἱκανὸν ἐδείπνουν· νῦν δὲ τὸν χέδροπα μόνον
καὶ τὸν μάραθον ἔσθουσι, πυροὺς δ᾽ οὐ μάλα. 10
(A.) καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον |
596b αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάσσονας 15
σίτου διαπέμψαι καὶ πολίτην γεγονέναι.
(B.) Γλυκέρας ὁ σῖτος οὗτος ἦν, ἐστὶ δ᾽ ἴσως
αὐτοῖσιν ὀλέθρου κοὐχ ἑταίρας ἀρραβών. 15

[**69**] ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ κάλλει διαφερούσας ἤνεγκεν καὶ ἡ Ναύκρατις· Δωρίχαν τε, ἣν ἡ καλὴ Σαπφὼ (fr. 254c; cf. fr. 15) ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς κατ᾽ ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος διὰ τῆς ποιήσεως διαβάλλει ὡς
596c πολλὰ τοῦ Χαράξου νοσφισαμένην. Ἡρόδοτος (2.135.1) | δ᾽ αὐτὴν 20
Ῥοδῶπιν καλεῖ ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχας ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς (cf. Hdt. 2.135.4), ὧν μέμνηται Κρατῖνος (fr. 369) διὰ τούτων· ⟨...⟩. εἰς δὲ τὴν Δωρίχαν τόδ᾽ ἐποίησε τοὐπίγραμμα Ποσείδιππος, καίτοι καὶ ἐν τῇ Αἰθιοπίᾳ (146 Austin–Bastianini) πολλάκις αὐτῆς μνημονεύ- 25
σας. ἐστὶ ⟨δὲ⟩ τόδε (*HE* 3142–9 = 122 Austin–Bastianini)·

Δωρίχα, ὀστέα μὲν σ᾽ ἁπαλὰ † κοιμήσατο δεσμῶν

1 ἀξιοῦσι A : ἄξουσι Casaubon ‖ **3** ⟨δὲ⟩ add. Schweighäuser ‖ **5–6** ποθῶ / μακρὰν Jacobs : ποθῶν † ἄκραν † A ‖ **9** χέδροπα μόνον Porson : † χεδροπαν † ὠμὸν A : χεδροπὰν ἐμὸν Musurus ‖ **10** μάραθον M P Mus : † μαραθων † A ‖ **12** ἐλάσσονας A : ἐλάττονας 13.586d ‖ **14** ἐστὶ A : ἔσται 13.586d : ἐστὶν Musurus ‖ **15** κοὐχ M P Mus : καὶ οὐχ A ‖ **23** lac. indic. Bedrot : διὰ Πλούτων Meineke ‖ **24** Ποσείδιππος Musurus : Ποσίδιππος A καίτοι καὶ A : καίτοι M P Mus : καὶ τὸ B : καίτοι del. Wilamowitz ‖ **26** ⟨δὲ⟩ add. M P Mus ‖ **27** σ᾽ ἁπαλὰ κοιμήσατο δεσμῶν A : σὰ πάλαι κόνις ἦν ὅ τε δεσμὸς Austin

χαίτης ἥ τε μύρων ἔκπνοος ἀμπεχόνη, |
ᾗ ποτε τὸν χαρίεντα περιστέλλουσα Χάραξον 596d
σύγχρους ὀρθρινῶν ἥψαο κισσυβίων· 1345
Σαπφῷαι δὲ μένουσι φίλης ἔτι καὶ μενέουσιν 122.5
5 ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες
οὔνομα σὸν μακαριστόν, ὃ Ναύκρατις ὧδε φυλάξει
ἔστ' ἂν ἴῃ Νείλου ναῦς ἐφ' ἁλὸς † γεγανη †.

καὶ Ἀρχεδίκη δ' ἦν ἐκ τῆς Ναυκράτεως καὶ αὐτὴ ἑταίρα καλή· φιλεῖ γάρ πως ἡ Ναύκρατις, | ὡς ὁ Ἡρόδοτός (2.135.5) φησιν, 596e
10 ἐπαφροδίτους ἔχειν τὰς ἑταίρας. [70] καὶ ἡ ἐξ Ἐρέσου δὲ τῆς ἑτέρης⟨ὁμώνυμος⟩ Σαπφὼ τοῦ καλοῦ Φάωνος ἐρασθεῖσα περιβόητος ἦν, ὥς φησι Νύμφις ἐν Περίπλῳ Ἀσίας (Nymphodor. *FGrH* 572 F 6). Νικαρέτη δὲ ἡ Μεγαρὶς οὐκ ἀγεννὴς ἦν ἑταίρα ἀλλὰ καὶ γονέων ⟨ἕνεκα⟩ καὶ κατὰ παιδείαν ἐπέραστος ἦν, ἠκροᾶτο δὲ
15 Στίλπωνος τοῦ φιλοσόφου (fr. 156 Döring = *SSR* II O 17). Βιλιστίχη δ' ἡ Ἀργεία ἑταίρα καὶ αὐτὴ ἔνδοξος, τὸ γένος ἀπὸ τῶν Ἀτρειδῶν σῴζουσα, ὡς οἱ τὰ Ἀργολικὰ γράψαντες (*FGrH* 311 F 1) ἱστοροῦσιν. ἔνδοξος δ' ἐστὶ καὶ Λέαινα | ἡ ἑταίρα, Ἁρμοδίου 596f ἐρωμένη τοῦ τυραννοκτονήσαντος· ἥτις καὶ αἰκιζομένη ὑπὸ τῶν
20 περὶ Ἱππίαν τὸν τύραννον οὐδὲν ἐξειποῦσα ἐναπέθανε ταῖς βασάνοις. Στρατοκλῆς δ' ὁ ῥήτωρ ἐρωμένην εἶχε τὴν ἐπικληθεῖσαν Λήμην ἑταίραν, τὴν καλουμένην † Παρόραμα † διὰ τὸ καὶ δύο δραχμῶν φοιτᾶν πρὸς τὸν βουλόμενον, ὥς φησι Γοργίας ἐν τῷ Περὶ Ἑταιρῶν (*FGrH* 351 F 1).

25 ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν, ἀλλὰ μικροῦ, ἔφη, ἄνδρες φίλοι, ἐξελαθόμην ὑμῖν εἰπεῖν τήν τε Ἀντιμάχου Λυδήν, ‖ προσέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν Λυδήν, ἣν ἠγάπα 597a

596e cf. Ael. *VH* 12.19

2 ᾗ Jacobs : ἥ A ‖ **6** ὧδε B M P Mus : ᾧδε A ‖ **7** ἔστ' ἂν ἴῃ Νείλου Dindorf (ἔστ' ἂν εἴῃ Νείλου iam B M P Mus) : † εστανειηνειλου † A † ἐφαλοσγεγανη † A : ἐφ' ἁλὸς πελάγῃ Meineke ‖ **8** δ' ἦν B M P Mus : δι' ἣν A ‖ **10** τὰς A : om. C E, fort. recte ‖ **10–11** τῆς ἑτέρης ⟨ὁμώνυμος⟩ Musurus, Casaubon : τῆς ἑταίρας A : τῆς ⟨ποιητρίας ὁμώνυμος⟩ ἑταίρα Kaibel **12** Νύμφις A : Νυμφόδωρος Kaibel, cf. 6.265c, 7.321f, 8.331e ‖ **14** ⟨ἕνεκα⟩ Coraes : ⟨εὐγενῶν⟩ Schweighäuser : ⟨εὖ ἧκε⟩ Meineke : ⟨ἀπὸ⟩ γονέων ⟨ἔνδοξος⟩ Menagius ‖ **22** Παρόραμα A C E : Πάνορμον Jacobs | lac. post Παρόραμα indic. Meineke

Λαμύνθιος ὁ Μιλήσιος· ἑκάτερος γὰρ τούτων τῶν ποιητῶν, ὥς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς (fr. 34 Wehrli = Antim. test. 10 Matthews), τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν καταστὰς ἐποίησεν ὁ μὲν ἐν ἐλεγείοις, ὁ δ᾽ ἐν μέλει (*PMG* 839) τὸ καλούμενον ποίημα Λυδήν. παρέλιπον δὲ καὶ τὴν Μιμνέρμου αὐλητρίδα Ναννὼ καὶ 5
τὴν Ἑρμησιάνακτος τοῦ Κολοφωνίου Λεόντιον· ἀπὸ γὰρ ταύτης
597b ἐρωμένης αὐτῷ γενομένης συνέγραψεν ἐλεγειακὰ τρία βιβλία, | ὧν ἐν τῷ τρίτῳ κατάλογον ποιεῖται ἐρωτικῶν οὑτωσί πως λέγων (fr. 7, pp. 98–100 Powell)·

[71] οἵην μὲν φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο 10
Ἀγριόπην Θρῇσσαν στειλάμενος κιθάρην
Ἀιδόθεν· ἔπλευσεν δὲ κακὸν καὶ ἀπειθέα χῶρον,
ἔνθα Χάρων † ἀκοὴν ἕλκεται εἰς ἄκατον
ψυχὰς οἰχομένων, λίμνη δ᾽ ἐπὶ μακρὸν ἀϋτεῖ 5
ῥεῦμα διὲκ μεγάλων ῥυομένη δονάκων. | 15
597c ἀλλ᾽ ἔτλη παρὰ κῦμα μονόζωστον κιθαρίζων
Ὀρφεύς, παντοίους δ᾽ ἐξανέπεισε θεοὺς
Κωκυτόν τ᾽ ἀθέμιστον ὑπ᾽ ὀφρύσι μειδήσαντα.
ἠδὲ καὶ αἰνοτάτου βλέμμ᾽ ὑπέμεινε κυνός, 10
ἐν πυρὶ μὲν φωνὴν τεθοωμένου, ἐν πυρὶ δ᾽ ὄμμα 20
σκληρόν, τριστοίχοις δεῖμα φέρων κεφαλαῖς.
ἔνθεν Λυδιάων μεγάλους ἀνέπεισεν ἄνακτας
Ἀγριόπην μαλακοῦ πνεῦμα λαβεῖν βιότου.
οὐ μὴν οὐδ᾽ υἱὸς Μήνης ἀγέραστον ἔθηκε | 15
597d Μουσαῖος, Χαρίτων ἤρανος, Ἀντιόπην, 25
ἥ τε πολὺν μύστῃσιν Ἐλευσῖνος παρὰ πέζαν
εὐασμὸν κρυφίων ἐξεφόρει λογίων,

6 Ἑρμησιάνακτος M P Mus, cf. 13.599c : † εμησιάνακτοσ † A **7** συνέγραψεν scripsi : ἔγραψεν A : ἐπέγραψεν Kaibel : fort. ἀνέγραψεν, cf. v. 25 infra ‖ **10** Οἰάγροιο M P Mus : † οιαγροισ † A ‖ **11** Ἀγριόπην A : Ἀργιόπην Zoega ‖ **13** ἀκοὴν A : κοινὴν Lennep ‖ **16** μονόζωστον A : μονόζωστος Ruhnken ‖ **20** φωνὴν Lennep : † φωνηι † A : φωνὴ B M P **21** φέρων A : φέρον Ruhnken ‖ **22** Λυδιάων, i.e. Λ- A : ἀοιδιάων, i.e. A- Musurus ‖ **23** Ἀγριόπην A : Ἀργιόπην Zoega ‖ **25** ἤρανος Musurus : † ηραν †· ὃς A ‖ **26** πολὺν μύστῃσιν Blomfield : † πολυμηστηισιν † A : πολυμνήστῃσιν M P Mus

Ῥάριον † ὀργιωνανεμωι διαποιπνωιουσα †
Δημήτρᾳ· γνωστὴ δ' ἐστὶ καὶ εἰν Ἀΐδῃ. 20
φημὶ δὲ καὶ Βοιωτὸν ἀποπρολιπόντα μέλαθρον
Ἡσίοδον πάσης ἤρανον ἱστορίης
5 Ἀσκραίων ἐσικέσθαι ἔχων Ἑλικωνίδα κώμην·
ἔνθεν ὅ γ' Ἠοίην μνώμενος Ἀσκραϊκὴν |
πόλλ' ἔπαθεν, πάσας δὲ λόγων ἀνεγράψατο βίβλους 25 597e
ὑμνῶν, ἐκ πρώτης παιδὸς ἀνερχόμενος.
αὐτὸς δ' οὗτος ἀοιδός, ὃν ἐκ Διὸς αἶσα φυλάσσει
10 ἥδιστον πάντων δαίμονα μουσοπόλον,
λεπτὴν δ' εἰς Ἰθάκην ἀνετείνετο θεῖος Ὅμηρος
ᾠδῇσιν πινυτῆς εἵνεκα Πηνελόπης, | 30
ἣν διὰ πολλὰ παθὼν ὀλίγην εἰσενάσσατο νῆσον, 597f
πολλὸν ἀπ' εὐρείης λιπόμενος πατρίδος·
15 ἔκλαιε δ' Ἰκάρου τε γένος καὶ δῆμον Ἀμύκλου
καὶ Σπάρτην ἰδίων ἁπτόμενος παθέων.
Μίμνερμος δέ, τὸν ἡδὺν ὃς εὕρετο πολλὸν ἀνατλὰς ‖ 35
ἦχον καὶ μαλακοῦ πνεῦμ' ἀπὸ πενταμέτρου, 598a
καίετο μὲν Ναννοῦς, πολιῷ δ' ἐπὶ πολλάκι λωτῷ
20 κημωθεὶς κώμους εἶχε σὺν Ἐξαμύῃ,
ἠδ' ἤχθεε Ἑρμόβιον τὸν αἰεὶ βαρὺν οὐδὲ Φερεκλῆν
ἐχθρόν, μισήσας τοῖ' ἀνέπεμψεν ἔπη. 40
Λυδῆς δ' Ἀντίμαχος Λυσηίδος ἐκ μὲν ἔρωτος
πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ· |

1 † ὀργιωνανεμωι † A : ὀργειῶνα νόμῳ Blomfield | † διαποιπνωιουσα † A : διαποιπνώουσα B M P : διαποιπνύουσα Musurus : διαπομπεύουσα Powell **2** Δημήτρᾳ Hermann : Δήμητρα A ‖ **3** μέλαθρον M P : † μελαθραν † A : μελάθρων Musurus ‖ **5** ἔχων A : ἐρῶνθ' Riegler ‖ **10** μουσοπόλον A : μουσοπόλων Musurus ‖ **11** δ' εἰς A : δ' del. Diels : ἧσ' Kaibel | ἀνετείνετο A : ἐνετείνατο Kaibel, ducente Bergk ‖ **13** εἰσενάσσατο A : ἐσενάσσατο Musurus **14** λιπόμενος A : λειπόμενος B Mus ‖ **15** ἔκλαιε A : ἔκλεε Bergk | ἰκάρου A : Ἰκαρίου Hermann ‖ **18** πνεῦμ' ἀπὸ A : πνεῦμα τὸ Dalechamps (*mollis pentametri cantum*) ‖ **19** πολιῷ P Mus : πολίῳ M : † πολλιωι † (v.ll. πολιῷ et πολλῷ in unam confusas (sic Kaibel)) A ‖ **20** κημωθεὶς Hermann : † κνημωθεις † A | εἶχε, i.e. EIXE Schweighäuser : † σιχε †, i.e. ΣΙΧΕ A | σὺν Ἐξαμύῃ Dindorf : † συνεξαμυη † A ‖ **21** ἠδ' ἤχθεε] † ηδ'Ηχθεε † A : ἤχθεε Musurus | αἰεὶ A : ἀεὶ B M P Mus | οὐδὲ A : ἠδὲ Casaubon ‖ **22** τοῖ' (vel οἶ') ἀνέπεμψεν Ellis : τ' † οιαν ἐπεμψεν † A : τοῖανδ' ἔπεμψεν B : τοιάδ' ἔπεμψεν M P Mus ‖ **23** Λυσηίδος A : χρυηίδος M Mus : Λυδηίδος Ruhnken

598b † δαρδάνη † δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν
κλαίων, † αἴζαον † διῆλθεν ἀποπρολιπὼν
ἄκρον ἐς Κολοφῶνα, γόων δ' ἐνεπλήσατο βίβλους 45
ἱεράς, ἐκ παντὸς παυσάμενος καμάτου.
Λέσβιος Ἀλκαῖος δὲ πόσους ἀνεδέξατο κώμους 5
Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον
γινώσκεις· ὁ δ' ἀοιδὸς ἀηδόνος ἠράσαθ' ὕμνων |
598c Τήϊον ἀλγύνων ἄνδρα πολυφραδίῃ. 50
καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφωμίλησ' Ἀνακρέων
στελλομένην πολλαῖς ἄμμιγα Λεσβιάσι· 10
φοίτα δ' ἄλλοτε μὲν λείπων Σάμον, ἄλλοτε δ' αὐτὴν
οἰνηρὴν † δοῦριν † κεκλιμένην πατρίδα
Λέσβον εἰς εὔοινον· τὸ δὲ Μύσιον εἴσιδε Λεκτὸν 55
πολλάκις Αἰολικοῦ κύματος ἀντιπέρας.
αὖθις δ' οἷα μέλισσα πολυπρήωνα Κοδώνην 15
λειποῦσ' ἐν τραγικαῖς ἧδε χοροστασίαις |
598d Βάκχον καὶ τὸν ἔρωτ' † αγειραιθειαρειδοσ †
Ζεὺς ἔπορεν Σοφοκλεῖ. 60
φημὶ δὲ κἀκεῖνον τὸν αἰεὶ πεφυλαγμένον ἄνδρα
καὶ πάντων μῖσος κτώμενον ἐκ † συνοχῶν † 20
πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα
τόξου νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας·
ἀλλὰ Μακηδονίης πάσας κατενίσατο λαύρας 65
† αἰγειων †, μέθεπε δ' Ἀρχελάῳ ταμίην, |
598e εἰς ὅκε δαίμων Εὐριπίδῃ εὕρετ' ὄλεθρον 25

2 κλαίων, i.e. ΚΛΑΙ- Ilgen : † καλλιων †, i.e. ΚΑΛΛΙ- A | διῆλθεν A : δῆθεν M P Mus : δ' ἦλθεν Casaubon ‖ **3** ἄκρον A : ἄκραν M P Mus : ἄκρην Hermann ‖ **4** ϊεράς A : ἱράς Musurus ‖ **7** γινώσκεις A : γιγνώσκεις M P Mus ‖ **9** ἐφωμίλησ' A : ἐφημίλλητ' Powell ‖ **10** Λεσβιάσι(ν) M P Mus : † λαισβιασιν † A ‖ **12** οἰνηρὴν δοῦριν A : οἰνηρῇ δειρῇ Kaibel, Bergk ‖ **13** εἰς A : ἐς P^mg Mus | Μύσιον Wensch : † μυριον † A | Λεκτὸν Hermann : † λεκτρον † A ‖ **15** αὖθις A : Ἀτθὶς Ruhnken | πολυπρήωνα Ruhnken : † πολυπριωνα † A | Κοδώνην, i.e. ΚΟΔΩΝ- A : Κολωνὸν, i.e. ΚΟΛΩΝ- Ruhnken ‖ **16** χοροστασίαις B M P Mus : † χοροστασιας † A **17** † αγειραιθειαρειδοσ † A : Θεωρίδος latere agnovit Lennep, cf. 13.592a **19** αἰεὶ A : ἀεὶ B M P Mus ‖ **24** μέθεπε A : μέθεπεν M P Mus | Ἀρχελάωι A : Ἀρχέλεω Musurus ‖ **25** Εὐριπίδῃ Bedrot : † ἐυριπιδη † A

Ἀμφιβίου στυγνῶν ἀντιάσαντα κυνῶν.
ἄνδρα δὲ τὸν Κυθέρηθεν ἀνεθρέψαντο τιθῆναι
Βάκχου καὶ λωτοῦ πιστότατον ταμίην 70
Μοῦσαι παιδευθέντα Φιλόξενον, οἷα τιναχθεὶς
5 † ὠρυγη † ταύτης ἦλθε διὰ πτόλεως
γινωσκει † καὶ οὐσαν μέγαν πόθον ὃν Γαλατείης
αὐτοῖς μηλείοις θῆκαθ᾽ ὑπὸ προγόνοις.
οἶσθα δὲ καὶ τὸν ἀοιδόν τὸν Εὐρυπύλου πολιῆται | 75
Κῷοι χάλκειον στῆσαν ὑπὸ πλατάνῳ 598f
10 Βιττίδα μολπάζοντα θοήν, περὶ πάντα Φιλίταν
ῥήματα καὶ πᾶσαν ῥυόμενον λαλιήν.
οὐδὲ μὲν οὐδ᾽ ὁπόσοι σκληρὸν βίον ἐστήσαντο
ἀνθρώπων σκολιὴν μαιόμενοι σοφίην, 80
οὓς αὐτὴ περὶ πικρὰ λόγοις ἐσφίγξατο μῆτις
15 καὶ δεινὴ μύθων κῆδος ἔχουσ᾽ ἀρετή,
οὐδ᾽ οἵδ᾽ αἰνὸν ἔρωτος ἀπεστρέψαντο κυδοιμὸν ‖
φαινόμενον, δεινὸν δ᾽ ἦλθον ὑφ᾽ ἡνίοχον. 599a
οἵη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς 85
Πυθαγόρην ἑλίκων κομψὰ γεωμετρίης
20 εὑρόμενον καὶ κύκλον ὅσον περιβάλλεται αἰθὴρ
βίης ἐν σφαίρῃ πάντ᾽ ἀποτασσόμενον.
οἵῳ δ᾽ ἐχλίηνεν, ὃν ἔξοχον ἔχρην πολλῶν δ᾽
ἀνθρώπων εἶναι, Σωκράτη ἐν † σοφῇ | 90
Κύπρις μηνίουσα πυρὸς μένει· ἐκ δὲ βαθείης 599b
25 ψυχῆς κουφοτέρας ἐξεπόνησ᾽ ἀνίας

1 Ἀμφιβίου Hermann : ἀμφὶ βίου A : Ἀρριβίου Headlam | ἀντιάσαντα A : ἀντιάσαντι Musurus ‖ **2** ἀνεθρέψαντο A : ὃν ἐθρέψαντο Hermann **5** † ὠρυγη † A : Ὀρτυγίη Couat ‖ **6** γινωσκει καὶ οὐσαν A : γιγνώσκει καὶ οὖσαν M P : γιγνώσκει καὶ οὖσα Musurus : γιγνώσκεις, ἀΐουσα Dalechamps (*nosti*), Ruhnken, cf. v. 75 οἶσθα | Γαλατείης A : Γαλατείη Weston **7** μηλείοις Heringa : μηλίοις (vox nihili) A ‖ **8** τὸν[2] A : ὃν Casaubon **11** ῥυόμενον A : τρυόμενον Hermann ‖ **13** σκολιὴν A : σκοτίην Heinrich **14** πικρὰ A : πυκνὰ Porson ‖ **16** οὐδ᾽ οἵδ᾽ αἰνὸν Weston : ουδ᾽ οἶδεν ὃν A : οὐδ᾽ οἳ δεινὸν Musurus ‖ **17** φαινόμενον A : μαινομένου Anon. Londin. ‖ **21** βίης A : βαιῇ Musurus (βαιῆ scripsit) | ἐν A : ἐνὶ Dindorf | ἀποτασσόμενον A : ἀποπλασσάμενον Powell ‖ **22** δ᾽ ἐχλίηνεν, ὃν Heringa : † δεχλειημενον † A ἔχρην πολλῶν δ᾽ A : ἔξοχον ἔχρη Ἀπόλλων Porson ‖ **23** σοφῇ A : σοφίῃ M P Mus ‖ **25** ἐξεπόνησ᾽ M P Mus : ἐξεπόνησαν (dittographiam) A

οἰκί᾽ ἐς Ἀσπασίης πωλεύμενος· οὐδέ τι τέκμαρ
εὗρε λόγῳ πολλὰς εὑράμενος διόδους.
ἄνδρα Κυρηναῖον εἴσω πόθος ἔσπασεν Ἰσθμοῦ 95
δεινὸν ὅτ᾽ Ἀπιδανῆς Λαΐδος ἠράσατο
ὀξὺς Ἀρίστιππος, πάσας δ᾽ ἠνήνατο λέσχας 5
φεύγων † ουδαμενον † ἐξεφόρησε βίῳ. |

599c [72] ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται συγχρονεῖν οἰόμενος Σαπφὼ (fr. 250) καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ᾽ Ἀλυάττην τὸν Κροίσου πατέρα. Χαμαιλέων δ᾽ ἐν τῷ Περὶ Σαπφοῦς (fr. 26 Wehrli = fr. 28 Martano) 10 καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος (*PMG* 358) τάδε·

σφαίρῃ δεῦτέ με πορφυρέῃ
βάλλων χρυσοκόμης Ἔρως
νήνι ποικίλος † λαμβανω † 15
συμπαίζειν προκαλεῖται·
ἡ δ᾽, ἐστὶ γὰρ ἀπ᾽ εὐκτικοῦ 5
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται, |
599d πρὸς δ᾽ ἄλλην τινὰ χάσκει. 20

καὶ τὴν Σαπφὼ δὲ πρὸς αὐτὸν ταῦτά φησιν εἰπεῖν (adesp. *PMG* 953)·

κεῖνων, ὦ χρυσόθρονε Μοῦσ᾽, ἔνισπες
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
ὁ Τήιος χώρας ὅσ᾽ ἄειδε τερπνῶς 25
πρέσβυς ἀγλαός.

2 λόγῳ A : λόγων Heringa, Ruhnken | εὑράμενος A : εὑρόμενος Dindorf **3** εἴσω A : ἔσω Hermann ‖ **4** δεινὸν A : , δεινός, Ruhnken ‖ **13** δεῦτε A : δηὖτέ Seidler | πορφυρέῃ, i.e. -ΕΗΙ Barnes : † πορφυρενι †, i.e. -ΕΝΙ A : πορφυρῇ Page ‖ **15** ποικίλος † λαμβανω † A : ποικιλοσαμβάλῳ Seidler **17** ἐστι A : ἐστὶν Dindorf | ἀπ᾽ εὐκτικοῦ B M P Mus : ἀπευκτικοῦ A : ἀπ᾽ εὐκτίτου Barnes ‖ **23** κεῖνων A : κεῖνον Barnes | Μοῦσ᾽, ἔνισπες Barnes : Μοῦσα † εἰνσπες † A ‖ **25** ὁ A : del. Barnes | ὅσ᾽ Musurus : ὃς A : ὃν Barnes **26** ἀγλαός A : ἀγαυός Barnes

ὅτι δὲ οὐκ ἔστι Σαπφοῦς τοῦτο τὸ ᾆσμα παντί που δῆλον· ἐγὼ δὲ ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνακτα περὶ τούτου τοῦ ἔρωτος· καὶ γὰρ Δίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ δράματι (fr. 71) Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα. ταῦτα ὑμῖν, | ὦ 599e
5 ἑταῖροι, οὐκ ἀμερίμνως δοκῶ τὸν ἐρωτικὸν τοῦτον πεποιῆσθαι κατάλογον οὐκ ὢν οὕτως ἐρωτομανὴς ὡς διαβάλλων μ᾽ εἴρηκεν ὁ Κύνουλκος· ἀλλ᾽ ἐρωτικὸς μὲν εἶναι ὁμολογῶ, ἐρωτομανὴς δὲ οὔ.

τίς δ᾽ ἔστ᾽ ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν
ἐξὸν σιωπᾶν κἀν σκότῳ κρύπτειν τάδε;,

10 Αἰσχύλος ἔφη ὁ Ἀλεξανδρεὺς ἐν Ἀμφιτρύωνι (*TrGF* 179 F 1). οὗτος δέ ἐστιν Αἰσχύλος ὁ καὶ τὰ Μεσσηνιακὰ ἔπη (*SH* 13) συνθείς, ἀνὴρ εὐπαίδευτος (*FGrH* 488 T 1). [73] ὑπολαμβάνων οὖν | μέγαν εἶναι 599f δαίμονα καὶ δυνατώτατον τὸν Ἔρωτα προσέτι τε καὶ τὴν Ἀφροδίτην τὴν χρυσῆν τὰ Εὐριπίδου (fr. 898) ἐπὶ νοῦν λαμβάνων λέγω·

15 τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἣν οὐδ᾽ ἂν εἴποις οὐδὲ μετρήσειας ἂν
ὅση πέφυκε κἀφ᾽ ὅσον διέρχεται.
αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.
τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς· ‖ 5
20 ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τῆς θεοῦ. 600a
ἐρᾷ μὲν ὄμβρου γαῖ᾽ ὅταν ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ,
ἐρᾷ δ᾽ ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο. 10
25 ὅταν δὲ συμμιχθῆτον ἐς ταὐτὸν δύο,
φύουσιν ἡμῖν πάντα καὶ τρέφουσ᾽ ἅμα
δι᾽ ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος.

καὶ ὁ σεμνότατος δ᾽ Αἰσχύλος ἐν ταῖς Δαναΐσιν (fr. 44) αὐτὴν παράγει τὴν Ἀφροδίτην λέγουσαν· |

599e Eust. p. 988.19 = III.649.22–3 | **600a, 599e, 600a–b** Eust. p. 978.22–6 = III.615.23–616.4 | **600a, 599e, 600a–b** Eust. p. 978.22–6 = III.615.23–616.4

3 κωμῳδιοποιὸς A : κωμ(x) E : κωμικὸς C ‖ **8** ἔστ᾽ M P Mus : ἔσται A **17** κἀφ᾽ ὅσον Dindorf : καὶ ἔφ᾽ ὅσον A C E : καὶ ἐν ὅσῳ, i.e. κἀν ὅσῳ M P **20** δείξω A : δεῖξον C E | ἔργῳ … θεοῦ del. Gomperz ‖ **21** γαῖ᾽ P Mus : γαῖα A C E

600b ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν.
ὄμβρος δ᾽ ἀπ᾽ εὐνάεντος οὐρανοῦ πεσὼν
ἔκυσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον 5 5
† δένδρων τις ὥρα δ᾽ ἐκ νοτίζοντος γάμου
τέλειος ἐστι· τῶν δ᾽ ἐγὼ παραίτιος.

[74] ἐν Ἱππολύτῳ Εὐριπιδείῳ (3–6) πάλιν ἡ Ἀφροδίτη φησίν· |

600c ὅσοι τε Πόντου τερμόνων ταλαντικῶν
ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου, 10
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη, 5
σφάλλω δ᾽ ὅσοι φρονοῦσιν εἰς ἡμᾶς † μέτα·

νεανίσκῳ γὰρ τὴν πᾶσαν ἀρετὴν ἔχοντι τοῦτο μόνον τὸ ἁμάρτημα προσόν, ὅτι οὐκ ἐτίμα τὴν Ἀφροδίτην, αἴτιον ἐγένετο τοῦ ὀλέθρου· καὶ οὔτε ἡ Ἄρτεμις ἡ περισσῶς ἀγαπήσασα οὔτε τῶν ἄλλων θεῶν 15 τις ἢ δαιμόνων ἐβοήθησεν αὐτῷ. κατὰ τὸν αὐτὸν οὖν ποιητήν (E. fr. 269.1, 3–4)· |

600d ὅστις Ἔρωτα μὴ μόνον κρίνει θεὸν
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὢν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν· 20

ὃν (Chamael. fr. [58] Martano) ὁ σοφὸς ὑμνῶν ἀεί ποτε Ἀνακρέων πᾶσίν ἐστιν διὰ στόματος. λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας (88 B 1 D.–K.) τάδε·

τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ᾽ ᾠδὰς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ᾽ ἀνῆγεν, 25
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα, |
600e αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται 5

6–7 sic A : δένδρων τ᾽ ὀπώραν· ἐκ νοτίζοντος γάμου / τελεῖθ᾽ ὅσ᾽ ἔστι Diels **8** Εὐριπιδείῳ M P Mus : Εὐριπιδίῳ A ‖ **9** ταλαντικῶν (vox nihili) A : τ᾽ Ἀτλαντικῶν M P Mus et Eur. ‖ **12** μέτα, i.e. ΜΕΤΑ A : μέγα, i.e. ΜΕΓΑ M P Mus et Eur. ‖ **14** αἴτιον, i.e. ΑΙΤΙΟΝ M P Mus : ἀπιὸν, i.e. ΑΠΙΟΝ A **18** sic A : Ἔρωτα δ᾽ ὅστις μὴ θεὸν κρίνει μέγαν Stob. 4.20.11 ‖ **21** ἀεί B : αἰεί A : om. M P Mus

ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσι
παῖς διαπομπεύῃ προπόσεις ἐπὶ δεξιὰ νωμῶν
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσι,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
5 κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν. | 10

[75] Ἀρχύτας δ' ὁ ἁρμονικός, ὥς φησι Χαμαιλέων (fr. 25 Wehrli = fr. 27 Martano), Ἀλκμᾶνα γεγονέναι τῶν ἐρωτικῶν μελῶν ἡγεμόνα καὶ ἐκδοῦναι πρῶτον μέλος ἀκόλαστον ὄντα καὶ περὶ τὰς γυναῖκας καὶ τὴν τοιαύτην μοῦσαν εἰς τὰς διατριβάς· διὸ καὶ 10 λέγειν ἔν τινι τῶν μελῶν (*PMG* 59(a))· 600f

Ἔρως με δ' αὖτε Κύπριδος ἕκατι
γλυκὺς κατείβων καρδίαν ἰαίνει.

λέγει δὲ καὶ ὡς τῆς Μεγαλοστράτης οὐ μετρίως ἐρασθείη, ποιητρίας μὲν οὔσης, δυναμένης δὲ καὶ διὰ τὴν ὁμιλίαν τοὺς 15 ἐραστὰς προσελκύσασθαι. ‖ λέγει δ' οὕτω περὶ αὐτῆς (Alcm. *PMG* 59(b))· 601a

τοῦθ' ἁδεῖαν Μοῦσαν ἔδειξε
δῶρον μάκαιρα παρθένων
ἁ ξανθὰ Μεγαλοστράτα.

20 καὶ Στησίχορος δ' οὐ μετρίως ἐρωτικὸς γενόμενος συνέστησε καὶ τοῦτον τὸν τρόπον τῶν ᾀσμάτων ἃ δὴ καὶ τὸ παλαιὸν ἐκαλεῖτο παίδεια καὶ παιδικά. οὕτω δ' ἐναγώνιος ἦν ἡ περὶ τὰ ἐρωτικὰ πραγματεία· καὶ οὐδεὶς ἡγεῖτο φορτικοὺς τοὺς ἐρωτικούς, ὥστε καὶ Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα

1 συμμιγνύμενον A C E : συμμειγνύμενον Diels ‖ **2** προπόσεις M P Mus : πρόποσις A : πρόποσιν C E | ἐπὶ δεξιὰ νωμῶν] ἐπιδέξια νωμῶν E : ἐπὶ δεξιὰ κωμῶν C : † ἐπιδεξιαν † ὠμῶν A : ἐπὶ δεξιὸν ὦμον Musurus ‖ **4** πλάστιγξ C E B : πλάστιξ A | θ' M P Mus : τε A : δ' C E | καθίζῃ B : καθίζει A C : καθίξει E ‖ **6** Ἀρχύτας M P Mus : Ἀρχύτης A ‖ **11** με δ' αὖτε A : δ' αὖ με C E : με δηὖτε Page ‖ **13** οὐ μετρίως Schweighäuser, cf. infra καὶ Στησίχορος δ' οὐ μετρίως ἐρωτικὸς et 13.601c καὶ Πίνδαρος (fr. 127) δ' οὐ μετρίως ὢν γενόμενος : συμμέτρως A | ἐρασθείη Cobet : ἐρασθείς A ‖ **17** τοῦθ' ἁδεῖαν A : τοῦτο ϝαδειᾶν Stephanus, Bergk | Μοῦσαν ἔδειξε A : ἔδειξε Μωσᾶν Stephanus, Wilamowitz ‖ **18** παρθένων A : παρσένων Page ‖ **19** ἁ ξανθὰ A : ἡ ξανθὴ A[s] ‖ **22** παίδεια Welcker : παιδιὰ A C E

601b διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὁ μὲν | τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν παίδων, διὸ καὶ Παιδεράστριάν τινες καλοῦσι τὴν τραγῳδίαν· καὶ ἐδέχοντο τὰ τοιαῦτα ᾄσματα οἱ θεαταί. [76] καὶ ὁ Ῥηγῖνος δὲ Ἴβυκος (*PMG* 286) βοᾷ καὶ κέκραγεν· 5

ἦρι μὲν αἵ τε Κυδώνιαι
μηλίδες ἀρδόμεναι ῥοᾶν
ἐκ ποταμῶν, ἵνα Παρθένων
κῆπος ἀκήρατος, αἵ τ' οἰνανθίδος
αὐξόμεναι σκιεροῖσιν ὑφ' ἕρνεσιν 5 10
οἰναρέοις θαλέθοισιν· ἐμοὶ δ' ἔρος
οὐδεμίαν κατάκοιτος ὥραν
τε † ὑπὸ στεροπᾶς φλέγων
Θρηίκιοις βορέας
601c ἀίσσων | παρὰ Κύπριδος ἀζαλέ- 10 15
αις μανίαισιν ἐρεμνὸς ἀθάμβησεν
κραταιῶς παιδόθεν † φυλάσσει
ἡμετέρας φρένας.

καὶ Πίνδαρος (fr. 127) δ' οὐ μετρίως ὢν ἐρωτικός φησιν·

εἴη καὶ ἐρᾶν καὶ ἔρωτι 20
χαρίζεσθαι καὶ κατὰ καιρόν.
μὴ πρεσβυτέραν ἀριθμοῦ
δίωκε, θυμέ, πρᾶξιν·

διόπερ καὶ ὁ Τίμων ἐν τοῖς Σίλλοις (*SH* 791.2) ἔφη·

ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι, 25

καὶ μὴ ἀναμένειν ἔστ' ἂν ἐκεῖνό τις φθέγξηται κατὰ τὸν αὐτὸν τοῦτον φιλόσοφον (*SH* 791.1)· |

1 τοὺς ἔρωτας A : ⟨...⟩αρτικοὺς ... ἔρωτας C E (ubi ⟨παιδερασ⟩τικοὺς scripsi) **2–3** Παιδεράστριάν Schweighäuser : Παιδεραστάν A ‖ **7** ῥοᾶν Musurus : ῥοὰν A ‖ **9** οἰνανθίδος, i.e. οἰνανθί[δ()] A : οἰνανθίδες, i.e. οἰνανθί[δ()] M P Mus **12** κατάκοιτος Musurus : † καταкητος † A ‖ **14** Θρηίκιοις M P Mus : † θρηϊκοις † A : Θρηίκιος Ursinus ‖ **16–17** ἀθάμβησεν κραταιῶς A : ἀθαμβὴς / ἐγκρατέως Hermann ‖ **17** παιδόθεν B M P Mus : † παιδ' † ὅθεν A : πεδόθεν Naeke ‖ **21** καὶ A : om. C E et 13.561b

ἡνίκ᾽ ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι. 601d

μνησθεὶς δὲ καὶ τοῦ Τενεδίου Θεοξένου ὁ Πίνδαρος (fr. 123), ὃς ἦν αὐτοῦ ἐρώμενος, τί φησι;

χρῆν με κατὰ καιρὸν ἐρώ-
5 των δρέπεσθαι, θυμέ, σὺν ἡλικίᾳ·
τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου
μαρμαριζοίσας † δρακις †
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος
ἠὲ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν 5
10 ψυχρᾷ φλογί, πρὸς δ᾽ Ἀφροδί-
τας ἀτιμασθεὶς ἑλικογλεφάρου
ἢ περὶ χρήμασι μοχθίζει βιαίως
ἢ γυναικείῳ θράσει
ψυχρὰν φορεῖτε † πᾶσαν | ὁδὸν θεραπεύων. 601e
15 ἀλλ᾽ ἐγὼ δ᾽ ἕκατι τᾶς, κηρὸς ὣς δαχθεὶς ἕλᾳ 10
ἱρᾶν μελισσᾶν, τήκομαι εὖτ᾽ ἂν ἴδω
παίδων νεόγυιον ἐς ἥβαν.
ἐν δ᾽ ἄρα καὶ Τενέδῳ
Πειθώ τ᾽ ἔναιεν καὶ Χάρις
20 υἱὸν Ἁγησιλάου. 15

[77] ὅλως δὲ τοὺς παιδικοὺς ἔρωτας τῶν ἐπὶ ταῖς θηλείαις προκρίνουσι πολλοί· παρὰ γὰρ † ταῖς ἄλλαις † ταῖς εὐνομουμέναις πόλεσιν ἐπὶ τῆς Ἑλλάδος σπουδασθῆναι τόδε τὸ ἔθος· Κρῆτες γοῦν, ὡς ἔφην (cf. 13.561e–f), καὶ οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς περὶ τὰ
25 παιδικὰ δαιμονίως ἐπτόηνται· Ἐχεμένης γοῦν ἐν τοῖς Κρητικοῖς (*FGrH* 459 F 1) οὐ τὸν Δία φησὶν ἁρπάσαι | τὸν Γανυμήδην ἀλλὰ 601f

601f Eust. p. 986.40 = III.643.23–5

4 με A : μὲν Hermann ‖ **5** ἡλικίᾳ A : ἁλικίᾳ Boeckh ‖ **6** προσώπου A C E : † οσσων † 13.564e : πρὸς ὄσσων Kaibel ‖ **7** † δρακις † A : δρακὼν C E : δρακεὶς 13.564e ‖ **9** ἠὲ A C E : ἢ 13.564e | σιδάρου A et 13.564e : σιδήρου A[s] C E ‖ **14** φορεῖτε A : φορεῖται M P Mus ‖ **15** δ᾽ ἕκατι τᾶς κηρὸς M P Mus : † δεκατιτασκηροσ † A : τᾶς ἕκατι κηρὸς Hermann, Wilamowitz ‖ **15–16** ἕλᾳ / ἱρᾶν Bergk : ἐλεηρὰν (vox nihili) A ‖ **16** μελισσᾶν Hermann : μέλισσαν A τήκομαι A : τάκομαι Schneidewin ‖ **17** ἥβαν A : ἥβην A[s] ‖ **18** Τενέδῳ M P Mus : † τονεδω † A ‖ **20** Ἁγησιλάου A : Ἁγησίλα Bergk ‖ **22** ταῖς ἄλλαις A : τὰς ἄλλας Wilamowitz : fort. ἄλλαις εὐνομουμέναις πόλεσιν (del. ταῖς ... ταῖς)

Μίνωα. οἱ δὲ προειρημένοι Χαλκιδεῖς παρ' αὐτοῖς φασιν ἁρπασθῆναι τὸν Γανυμήδην ὑπὸ τοῦ Διὸς καὶ τὸν τόπον δεικνύντες Ἁρπάγιον καλοῦσιν, ἐν ᾧ καὶ μυρρίναι διάφοροι πεφύκασι. καὶ τὴν πρὸς Ἀθηναίους δ' ἔχθραν διελύσατο Μίνως, καίπερ ἐπὶ θανάτῳ παιδὸς συστᾶσαν, Θησέως ἐρασθείς, καὶ τὴν θυγατέρα τούτῳ γυναῖκα 5 ἔδωκε Φαίδραν, ὡς Ζῆνις φησιν ὁ Χῖος ἐν τῷ περὶ τῆς πατρίδος 602a συγγράμματι (*FGrH* 393 F 1). ‖ [78] Ἱερώνυμος δ' ὁ Περιπατητικὸς (fr. 34 Wehrli = fr. 35 White) περισπουδάστους φησὶ γενέσθαι τοὺς τῶν παίδων ἔρωτας, ὅτι πολλάκις ἡ τῶν νέων ἀκμὴ καὶ τὸ πρὸς ἀλλήλους ἑταιρικὸν συμφρονῆσαν πολλὰς τυραννίδας 10 καθεῖλε· παιδικῶν γὰρ παρόντων ἐραστὴς πᾶν ὁτιοῦν ἕλοιτ' ἂν παθεῖν ἢ δειλοῦ δόξαν ἀπενέγκασθαι παρὰ τοῖς παιδικοῖς· ἔργῳ γοῦν τοῦτο ἔδειξεν ὁ συνταχθεὶς Θήβησιν ὑπὸ Ἐπαμινώνδου ἱερὸς λόχος καὶ ὁ κατὰ τῶν Πεισιστρατιδῶν θάνατος ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος γενόμενος, περὶ Σικελίαν δ' ἐν Ἀκράγαντι τὰ 15 602b Χαρίτωνος | καὶ Μελανίππου. Μελάνιππος δ' ἦν τὰ παιδικά, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἐρωτικῶν (fr. 65 Wehrli = fr. 37 Schütrumpf)· χοὗτοι φανέντες ἐπιβουλεύοντες Φαλάριδι καὶ βασανιζόμενοι ἀναγκαζόμενοί τε λέγειν τοὺς συνειδότας οὐ μόνον οὐ κατεῖπον, ἀλλὰ καὶ τὸν Φάλαριν αὐτὸν εἰς 20 ἔλεον τῶν βασάνων ἤγαγον, ὡς ἀπολῦσαι αὐτοὺς πολλὰ ἐπαινέσαντα· διὸ καὶ Ἀπόλλων ἡσθεὶς ἐπὶ τούτοις ἀναβολὴν τοῦ θανάτου τῷ Φαλάριδι ἐχαρίσατο τοῦτο ἐμφήνας τοῖς πυνθανομένοις τῆς 602c Πυθίας ὅπως αὐτῷ ἐπιθῶνται. ἔχρησε | δὲ καὶ περὶ τῶν ἀμφὶ τὸν Χαρίτωνα προτάξας τοῦ ἑξαμέτρου τὸ πεντάμετρον, καθάπερ 25 ὕστερον καὶ Διονύσιος ὁ Ἀθηναῖος ἐποίησεν ὁ ἐπικληθεὶς Χαλκοῦς ἐν τοῖς Ἐλεγείοις. ἐστὶ δ' ὁ χρησμὸς ὅδε (Delphic Oracle Q85 Fontenrose)·

εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ,

1 φασιν B M P Mus : φησιν A ‖ **2** τὸν Γανυμήδην A : τὸ Τρωϊκὸν μειράκιον C E Eust. ‖ **6** Ζῆνις ἢ Ζηνεὺς A : ἢ Ζηνεὺς (glossam) del. Kaibel ‖ **9–10** vel πολλάκις vel πολλὰς delendum ‖ **10** ἑταιρικὸν del. Kaibel ‖ **11** παιδικῶν Schweighäuser : παίδων A ‖ **12** παρὰ τοῖς παιδικοῖς A : fort. ut glossa delenda vel παρ' αὐτοῖς scribendum ‖ **15** τὰ scripsi : ὁ A : ⟨ἔρως⟩ post Μελανίππου infra add. Schweighäuser ‖ **18** χοὗτοι scripsi : οὗτοι A **21** ἀπολῦσαι C E M P Mus : ἀπολαῦσαι A ‖ **22** ὁ Ἀπόλλων A : ὁ om. C E **24** δὲ Wilamowitz : τε A ‖ **26** Χαλκοῦς M P Mus : Χαλκεὺς A

θείας ἀγητῆρες ἐφαμερίοις φιλότατος.

διαβόητα δ' ἐστὶ καὶ τὰ ἐπὶ Κρατίνῳ τῷ Ἀθηναίῳ γενόμενα· ὃς μειράκιον ⟨ὢν⟩ εὔμορφον Ἐπιμενίδου καθαίροντος τὴν Ἀττικὴν ἀνθρωπείῳ αἵματι διά τινα μύση παλαιά, ὡς ἱστορεῖ Νεάνθης ὁ
5 Κυζικηνὸς | ἐν δευτέρῳ Περὶ Τελετῶν (*FGrH* 84 F 16), ἑκὼν αὑτὸν 602d ἐπέδωκεν ὑπὲρ τῆς θρεψαμένης· ᾧ καὶ ἐπαπέθανεν ὁ ἐραστὴς Ἀριστόδημος, λύσιν τ' ἔλαβε τὸ δεινόν. διὰ τοὺς τοιούτους οὖν ἔρωτας οἱ τύραννοι (πολέμιοι γὰρ αὐτοῖς αὗται αἱ φιλίαι) τὸ παράπαν ἐκώλυον τοὺς παιδικοὺς ἔρωτας πανταχόθεν αὐτοὺς
10 ἐκκόπτοντες. εἴσι δὲ οἳ καὶ τὰς παλαίστρας ὥσπερ ἀντιτειχίσματα ταῖς ἰδίαις ἀκροπόλεσιν ἐνεπίμπρασάν τε καὶ κατέσκαψαν, ὡς ἐποίησε Πολυκράτης ὁ Σαμίων τύραννος. [79] παρὰ δὲ Σπαρτιάταις, ὥς Ἅγνων φησὶν ὁ Ἀκαδημαϊκός, | πρὸ τῶν γάμων ταῖς 602e παρθένοις ὡς παιδικοῖς νόμος ἐστὶν ὁμιλεῖν· καὶ γὰρ ὁ νομοθέτης
15 Σόλων (fr. 25.2 West[2]) ἔφη·

μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

Αἰσχύλος τε καὶ Σοφοκλῆς ἀναφανδὸν ἔφασαν, ὁ μὲν Μυρμιδόσιν (A. fr. 135)·

σέβας δὲ μηρῶν † αγιον † οὐκ ἐπηδέσω,
20 ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων,

ὁ δ' ἐν Κολχίσι (S. fr. 345) περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος·

μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

οὐκ ἀγνοῶ δ' ὅτι τὰ περὶ Κρατῖνον καὶ Ἀριστόδημον πεπλάσθαι |
25 φησὶ Πολέμων ὁ περιηγητὴς ἐν ταῖς Πρὸς τὸν Νεάνθην ἀντιγρα- 602f φαῖς (fr. 53 Preller). ὑμεῖς δέ, ὦ Κύνουλκε, τὰς διηγήσεις ταύτας, κἂν ψευδεῖς ὦσιν, ἀληθεῖς εἶναι πιστεύετε καὶ τὰ τοιαῦτα τῶν

602f–3a cf. Ael. *NA* 6.15; *VH* 13.5

1 ἐφαμερίοις φιλότατος A : ἐφημερίοις φιλότητος A[s] ‖ **3** ⟨ὢν⟩ add. Dindorf, ducente Schweighäuser (⟨ὂν⟩) ‖ **6** ἐπέδωκεν ὁ Κρατῖνος A : ὁ Κρατῖνος ut glossam del. Kaibel ‖ **11** ἐνεπίμπρασάν A : ἐνέπρησάν Kaibel : fort. rectius κατέσκαπτον pro κατέσκαψαν infra ‖ **19** † αγιον † A : ἁγνὸν Canter **21** τινὰ A : τὸν Kaibel ‖ **26** δέ Schweighäuser : τε A

ποιημάτων ἃ περὶ τοὺς παιδικούς ἐστιν ἔρωτας ἡδέως μελετᾶτε ⟨…⟩ τοῦ παιδεραστεῖν παρὰ πρώτων Κρητῶν εἰς τοὺς Ἕλληνας παρελθόντος, ὡς ἱστορεῖ Τίμαιος (*FGrH* 566 F 144)· ἄλλοι δέ φασι τῶν τοιούτων ἐρώτων κατάρξασθαι Λάιον ξενωθέντα παρὰ Πέλοπι
603a καὶ ἐρασθέντα τοῦ ‖ υἱοῦ αὐτοῦ Χρυσίππου, ὃν καὶ ἁρπάσαντα καὶ 5 ἀναθέμενον εἰς ἅρμα εἰς Θήβας φυγεῖν. Πράξιλλα δ' ἡ Σικυωνία (*PMG* 751) ὑπὸ Διός φησιν ἁρπασθῆναι τὸν Χρύσιππον. καὶ Κελτοὶ δὲ τῶν βαρβάρων καίτοι καλλίστας ἔχοντες γυναῖκας παιδικοῖς μᾶλλον χαίρουσιν· ὡς πολλάκις ἐνίους ἐπὶ ταῖς δοραῖς μετὰ δύο ἐρωμένων ἀναπαύεσθαι. Πέρσας δὲ παρ' Ἑλλήνων φησὶν 10 Ἡρόδοτος (1.135) μαθεῖν τὸ παισὶ χρῆσθαι. [**80**] φιλόπαις δ' ἦν ἐκμανῶς καὶ Ἀλέξανδρος ὁ βασιλεύς· Δικαίαρχος γοῦν ἐν τῷ Περὶ
603b τῆς ἐν Ἰλίῳ Θυσίας (fr. 23 Wehrli = fr. 83 Mirhady) Βαγώου | τοῦ εὐνούχου οὕτως αὐτόν φησιν ἡττᾶσθαι ὡς ἐν ὄψει θεάτρου ὅλου καταφιλεῖν αὐτὸν ἀνακλάσαντα· καὶ τῶν θεατῶν ἐπιφωνησάντων 15 μετὰ κρότου οὐκ ἀπειθήσας πάλιν ἀνακλάσας ἐφίλησε. Καρύστιος δ' ἐν Ἱστορικοῖς Ὑπομνήμασι (fr. 5, *FHG* iv.357), Χάρωνι, φησί, τῷ Χαλκιδεῖ παῖς καλὸς ἦν καὶ εἶχεν εὖ πρὸς αὐτόν. ὡς δ' Ἀλέξανδρος παρὰ Κρατερῷ αὐτὸν ἐπῄνεσε γενομένου ποτὲ πότου, ὁ Χάρων ἐκέλευσε τὸν παῖδα καταφιλῆσαι τὸν Ἀλέξανδρον. καὶ ὅς, "μηδα- 20
603c μῶς," εἶπεν· "οὐ γὰρ οὕτως ἐμὲ εὐφρανεῖ | ὡς σὲ λυπήσει·" ὥσπερ γὰρ ἦν ἐρωτικὸς ὁ βασιλεὺς οὗτος, οὕτω καὶ πρὸς τὸ καθῆκον ἐγκρατὴς καὶ πρὸς τὸ πρεπωδέστατον· αἰχμαλώτους γοῦν λαβὼν τὰς Δαρείου θυγατέρας καὶ τὴν γυναῖκα κάλλει διαπρεπεστάτην οὖσαν οὐ μόνον ἀπέσχετο, ἀλλ' οὐδὲ ἐκείνας μαθεῖν ἐποίησεν ὅτι 25 εἰσὶν αἰχμάλωτοι, ἀλλ' ὡς ἔτι Δαρείου ἐν τῇ βασιλείᾳ ὄντος πάντα αὐταῖς χορηγεῖσθαι ἐκέλευσε· διόπερ καὶ Δαρεῖος τοῦτο μαθὼν ηὔξατο τῷ Ἡλίῳ τὰς χεῖρας ἀνατείνας ἢ αὐτὸν βασιλεύειν ἢ
603d Ἀλέξανδρον. Ῥαδαμάνθυος | δὲ τοῦ δικαίου Ἴβυκος (*PMG* 309) ἐραστήν φησι γενέσθαι Τάλων. Διότιμος δ' ἐν τῇ Ἡρακλείᾳ (*SH* 30 393) Εὐρυσθέα φησὶν Ἡρακλέους γενέσθαι παιδικά, διόπερ καὶ τοὺς ἄθλους ὑπομεῖναι· Ἀγαμέμνονά τε Ἀργύννου ἐρασθῆναι λόγος ἰδόντα ἐπὶ τῷ Κηφισῷ νηχόμενον· ἐν ᾧ καὶ τελευτήσαντα αὐτὸν (συνεχῶς γὰρ ἐν τῷ ποταμῷ τούτῳ ἀπελούετο) θάψας

1 ἡδέως B M P Mus : ἡδίως A : ἰδίως Kaibel ‖ **2** lac. indic. Kaibel **15** ἐπιφωνησάντων A : ἐπιφωνούντων C E ‖ **19** Χάρων Dutheil : Κρατερὸς A

εἵσατο καὶ ἱερὸν αὐτόθι Ἀφροδίτης Ἀργυννίδος. Ἀλκύμνιος δ' ὁ Χῖος ἐν Διθυράμβοις (Licymn. *PMG* 768) Ἀργύννου φησὶν ἐρώμενον Ὑμέναιον γενέσθαι. Ἀντιγόνου δὲ τοῦ βασιλέως ἐρώμενος | ἦν 603e Ἀριστοκλῆς ὁ κιθαρῳδός, περὶ οὗ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ 5 Ζήνωνος Βίῳ (p. 117 Wilamowitz = fr. 35A Dorandi = Zeno fr. 23, *SVF* i.10) γράφει οὕτως· Ἀντίγονος ὁ βασιλεὺς ἐπεκώμαζε τῷ Ζήνωνι. καί ποτε καὶ μεθ' ἡμέραν ἐλθὼν ἔκ τινος πότου καὶ ἀναπηδήσας πρὸς τὸν Ζήνωνα ἔπεισεν αὐτὸν συγκωμάσαι αὐτῷ πρὸς Ἀριστοκλέα τὸν κιθαρῳδόν, οὗ σφόδρα ἤρα ὁ βασιλεύς.
10 [**81**] φιλομεῖραξ δὲ ἦν ὁ Σοφοκλῆς (test. 75), ὡς Εὐριπίδης φιλογύνης· Ἴων γοῦν ὁ ποιητὴς (*TrGF* 19 T 4b = test. 5b Fowler) ἐν ταῖς ἐπιγραφομέναις Ἐπιδημίαις (*FGrH* 392 F 6) γράφει οὕτω· Σοφοκλεῖ τῷ ποιητῇ ἐν Χίῳ συνήντησα | ὅτε ἔπλει εἰς Λέσβον στρατη- 603f γός, ἀνδρὶ παιδιώδει παρ' οἶνον καὶ δεξιῷ. Ἑρμησίλεω δὲ ξένου οἱ 15 ἐόντος καὶ προξένου Ἀθηναίων ἑστιῶντος αὐτόν, ἐπεὶ παρὰ τὸ πῦρ ἑστεὼς ὁ τὸν οἶνον ἐγχέων παῖς ⟨...⟩ ἐὼν δῆλος ἦν εἶπέ τε· "βούλει με ἡδέως πίνειν;" φάντος δ' αὐτοῦ, "βραδέως τοίνυν καὶ πρόσφερέ μοι καὶ ἀπόφερε τὴν κύλικα." ἔτι πολὺ μᾶλλον ἐρυθριάσαντος τοῦ παιδὸς εἶπε πρὸς τὸν συγκατακείμενον· "ὡς καλῶς Φρύνιχος 20 (*TrGF* 3 F 13) ἐποίησεν εἴπας· ‖

λάμπει δ' ἐπὶ πορφυρέαις παρῇσιν φῶς ἔρωτος." 604a

καὶ πρὸς τόδε ἠμείφθη ὁ Ἐρετριεὺς γραμμάτων ἐὼν διδάσκαλος· "σοφὸς μὲν δὴ σύ γε εἶ, ὦ Σοφόκλεις, ἐν ποιήσει· ὅμως μέντοι γε οὐκ εὖ εἴρηκε Φρύνιχος πορφυρέας εἰπὼν τὰς γνάθους τοῦ καλοῦ· 25 εἰ γὰρ ὁ ζωγράφος χρώματι πορφυρέῳ ἐναλείψειε τοῦδε τοῦ παιδὸς τὰς γνάθους, οὐκ ἂν ἔτι καλὸς φαίνοιτο. οὐκ ἄρα δεῖ τὸ καλὸν τῷ μὴ καλῷ φαινομένῳ εἰκάζειν." ἀναγελάσας ⟨δ'⟩ ἐπὶ τῷ

1 εἵσατο Casaubon : † εἰσαυτο † A | Ἀλκύμνιος A : Λικύμνιος Reinesius **3** Ὑμέναιον B M P Mus : Ὑμαίνεον A ‖ **15** ἐόντος Musurus : † εοντες † A **16** lac. indic. Schweighäuser ‖ **21** παρῇσιν] παρηΐσιν A : παρειαῖσι C E : παρηΐσι B Mus et 13.564f C E B : † παρϊησι † 13.564f A ‖ **22** Ἐρετριεὺς ἢ Ἐρυθραῖος A : ἢ Ἐρυθραῖος ut glossam del. Jacoby (cf. τῷ Ἐρετριεῖ infra), quamquam Ἐρυθραῖος fort. hic aptius est ‖ **25** τοῦδε A : τουδὶ M P Mus **26** καλὸς φαίνοιτο A : καλαὶ φαίνοιντο C E | οὐκ ἄρα δεῖ M P Mus : οὐ † καρταδη † A : οὐ γὰρ δεῖ C E : οὐ κάρτα δεῖ Schweighäuser ‖ **27** εἰκάζειν." ἀναγελάσας ⟨δ'⟩ Coraes, Porson : εἰκάζειν ἀν. γελάσας A

604b Ἐρετριεῖ ⟨ὁ⟩ Σοφοκλῆς· “οὐδὲ τόδε σοι ἀρέσκει | ἄρα, ὦ ξένε, τὸ Σιμωνίδειον (*PMG* 585) κάρτα δοκέον τοῖς Ἕλλησιν εὖ εἰρῆσθαι·

> πορφυρέου ἀπὸ στόματος
> ἱεῖσα φωνὰν παρθένος,

οὐδ᾽ ὁ ποιητής (Pi. *O.* 6.41), ἔφη, ⟨ὁ⟩ λέγων· 5

> χρυσοκόμαν Ἀπόλλωνα·

χρυσέας γὰρ εἰ ἐποίησε ζωγράφος τὰς τοῦ θεοῦ κόμας καὶ μὴ μελαίνας, χεῖρον ἂν ἦν τὸ ζωγράφημα. οὐδὲ ὁ φάς (e.g. *Il.* 1.477)·

> ῥοδοδάκτυλον·

εἰ γάρ τις εἰς ῥόδεον χρῶμα βάψειε τοὺς δακτύλους, πορφυροβά- 10
φου χεῖρας καὶ οὐ γυναικὸς καλῆς ποιήσειεν ⟨ἄν⟩.” γελασάντων δὲ
604c ὁ μὲν Ἐρετριεὺς ἐνωπήθη τῇ ἐπιραπίξει, ὁ δὲ πάλιν | τοῦ παιδὸς τῷ λόγῳ εἴχετο· εἴρετο γάρ μιν ἀπὸ τῆς κύλικος κάρφος τῷ μικρῷ δακτύλῳ ἀφαιρετέοντα, εἰ καθορᾷ τὸ κάρφος. φάντος δὲ καθορᾶν, “ἄπο τοίνυν φύσησον αὐτό, ἵνα μὴ πλύνηται ὁ δάκτυλός σευ.” 15
προσαγαγόντος δ᾽ αὐτοῦ τὸ πρόσωπον πρὸς τὴν κύλικα ἐγγυτέρω τὴν κύλικα τοῦ ἑαυτοῦ στόματος ἦγεν, ἵνα δὴ ἡ κεφαλὴ τῇ κεφαλῇ ἀσσοτέρα γένηται. ὡς δ᾽ ἦν οἱ κάρτα πλησίον, προσλαβὼν τῇ χειρὶ ἐφίλησεν. ἐπικροτησάντων δὲ πάντων σὺν γέλωτι καὶ βοῇ
604d ὡς εὖ ὑπηγάγετο | τὸν παῖδα, “μελετῶ”, εἶπε, “στρατηγεῖν, ὦ 20
ἄνδρες· ἐπειδήπερ Περικλῆς ποιεῖν μέν ⟨με⟩ ἔφη, στρατηγεῖν δ᾽ οὐκ ἐπίστασθαι. ἆρ᾽ οὖν οὐ κατ᾽ ὀρθόν μοι πέπτωκε τὸ στρατήγημα;” τοιαῦτα πολλὰ δεξιῶς ἔλεγέ τε καὶ ἔπρησσεν ὅτε πίνοι. τὰ μέντοι πολιτικὰ οὔτε σοφὸς οὔτε ῥεκτήριος ἦν, ἀλλ᾽ ὡς ἄν τις εἷς τῶν χρηστῶν Ἀθηναίων. [82] καὶ Ἱερώνυμος δ᾽ ὁ Ῥόδιος ἐν τοῖς 25
Ἱστορικοῖς Ὑπομνήμασί (fr. 35 Wehrli = fr. 34 White) φησιν ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τείχους ἀπήγαγε χρησόμενος

1 ⟨ὁ⟩ addidi | Σοφοκλῆς M P Mus : Σοφοκλέης A ‖ **4** φωνὰν A : φωνὴν C E **5** ⟨ὁ⟩ add. Kaibel ‖ **7** ὁ ζωγράφος A : ὁ om. C E ‖ **10–11** βάψειε … ποιήσειεν ⟨ἄν⟩ Jacobs : βάψειε … ποιήσειεν A : βάψει … ποιήσει C E ‖ **15** πλύνηται Kaibel : πλύνοιτο, i.e. πλύν$^{τ()}$ A | σευ Dindorf : εὖ A : σοι Jacoby **16** ἐγγυτέρω B P Mus : ἐγγυτέρῳ A ‖ **18** οἱ M P Mus : ἡ A | προσλαβὼν A : περιλαβὼν Kaibel ‖ **21** ποιεῖν μέν ⟨με⟩ ἔφη Kaibel, ducente Musurus (ποιεῖν μὲν ἔφη ⟨με⟩) : ποιεῖν μὲν ἔφη A C E : ποιεῖν με ἔφη B ‖ **23** πίνοι ἢ πράσσοι A : ἢ πράσσοι del. Kaibel

αὐτῷ. ὁ μὲν οὖν | παῖς τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέστρωσε, τὴν δὲ τοῦ Σοφοκλέους χλανίδα περιεβάλοντο. μετ᾽ οὖν τὴν ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο καταλιπὼν τῷ Σοφοκλεῖ τὸ παιδικὸν ἱμάτιον. οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ 5 συμβεβηκότος Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων τὸ γεγονὸς καὶ αὐτός ποτε ἔφη τούτῳ κεχρῆσθαι τῷ παιδί, ἀλλὰ μηδὲν προσθεῖναι, τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι. καὶ ὁ Σοφοκλῆς ἀκούσας ἐποίησεν εἰς | αὐτὸν τὸ τοιοῦτον ἐπίγραμμα χρησάμενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ καί 10 τι πρὸς μοιχείαν αὐτοῦ παραινιττόμενος ("Sophocles" *FGE* 1040–3)·

604e

604f

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων 1040
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦντι ἑταίραν
Βορρᾶς ὡμίλησε. σὺ δ᾽ οὐ σοφός, ὃς τὸν Ἔρωτα
15 ἀλλοτρίαν σπείρων λωποδύτην ἀπάγεις.

[83] Θεόπομπος δὲ ἐν τῷ Περὶ τῶν Συληθέντων ἐκ ‖ Δελφῶν Χρημάτων (*FGrH* 115 F 247) Ἀσώπιχόν φησι τὸν Ἐπαμινώνδου ἐρώμενον τὸ Λευκτρικὸν τρόπαιον ἐντετυπωμένον ἔχειν ἐπὶ τῆς ἀσπίδος καὶ θαυμαστῶς αὐτὸν κινδυνεύειν, ἀνακεῖσθαί τε τὴν 20 ἀσπίδα ταύτην ἐν Δελφοῖς ἐν τῇ στοᾷ. ἐν δὲ τῷ αὐτῷ συγγράμματι Θεόπομπος (*FGrH* 115 F 248) φιλογύναιον μέν φησι γεγονέναι Φάυλλον τὸν Φωκέων τύραννον, φιλόπαιδα δὲ Ὀνόμαρχον· καὶ ἐκ τῶν τοῦ θεοῦ χαρίσασθαι τοῦτον εἰς Δελφοὺς παραγενομένῳ ⟨…⟩ τῷ Πυθοδώρου τοῦ Σικυωνίου υἱῷ ἀποκερουμένῳ τὴν κόμην | 25 ὄντι καλῷ συγγενόμενον τὰ Συβαριτῶν ἀναθήματα, στλεγγίδια χρυσᾶ τέσσαρα· τῇ Δεινιάδου δὲ αὐλητρίδι Βρομιάδι Φάυλλος καρχήσιον ἀργυροῦν Φωκαέων καὶ σ[τέφα]νον χρυσοῦν κιττοῦ Πεπαρηθίων. αὕτη δέ, φησί, καὶ ἔμελλε τὰ Πύθια αὐλεῖν, εἰ μὴ

605a

605b

13 ἐποίησεν C E M P Mus : ἐποίησε A | ἑταίραν A C E : ἑτέραν P Mus **18** Λευκτρικὸν B M P Mus : Λεκτρικὸν A ‖ **22** Φάυλλον Musurus : Φύλλον A ‖ **24** lac. stat. Kaibel ("pueri nomen intercidit"), cf. τῷ δὲ Λυκόλα τοῦ Τριχωνίου υἱῷ Φυσκίδᾳ et τῷ Ἐπιλύκου τοῦ Ἀμφιπολίτου υἱῷ … Δαμίππῳ infra | ἀποκερουμένῳ Kaibel : ἀποκειρομένῳ A ‖ **26** Βρομιάδι Dindorf : † βρομιαδια † (v.ll. Βρομιάδι et Βρομίᾳ in unam confusas) A : Βρομίᾳ B M P Mus ‖ **27** σ[. 4–5.]νον A : suppl. Schweighäuser ‖ **28** καὶ ἔμελλε A : ἔμελλε καὶ Meineke

ὑπὸ τοῦ πλήθους ἐκωλύθη. τῷ δὲ Λυκόλα τοῦ Τριχωνέως υἱῷ Φυσκίδᾳ ὄντι καλῷ Ὀνόμαρχος ἔδωκε, φησί, στέφανον ⟨χρυσοῦν⟩ δάφνης, Ἐφεσίων ἀνάθημα. οὗτος ὁ παῖς πρὸς Φίλιππον ἀχθεὶς
605c ὑπὸ τοῦ πατρὸς κἀκεῖ προαγωγευόμενος οὐδὲν λαβὼν | ἀπεστάλη. τῷ Ἐπιλύκου τοῦ Ἀμφιπολίτου υἱῷ ὄντι καλῷ Δαμίππῳ ⟨...⟩ 5
Πλεισθένους ἀνάθημα Ὀνόμαρχος ἔδωκε. Φαρσαλίᾳ τῇ Θεσσαλίδι ὀρχηστρίδι δάφνης στέφανον χρυσοῦν Φιλόμηλος ἔδωκε, Λαμψακηνῶν ἀνάθημα. αὕτη ἡ Φαρσαλία ἐν Μεταποντίῳ ὑπὸ τῶν ἐν τῇ ἀγορᾷ μάντεων γενομένης φωνῆς ἐκ τῆς δάφνης τῆς χαλκῆς ἣν ἔστησαν Μεταποντῖνοι κατὰ τὴν Ἀριστέα τοῦ Προκον- 10
νησίου (fr. 18 Bolton) ἐπιδημίαν, ὅτ᾽ ἔφησεν ἐξ Ὑπερβορέων παρα-
605d γεγονέναι, ὡς τάχιστα ὤφθη εἰς τὴν ἀγορὰν ἐμβαλοῦσα, | ἐμμανῶν γενομένων τῶν μάντεων διεσπάσθη. καὶ τῶν ἀνθρώπων ὕστερον ἀναζητούντων τὴν αἰτίαν εὑρέθη διὰ τὸν τοῦ θεοῦ στέφανον ἀνῃρημένη. [84] ὁρᾶτε οὖν καὶ ὑμεῖς, ὦ φιλόσοφοι, οἱ παρὰ 15
φύσιν τῇ Ἀφροδίτῃ χρώμενοι καὶ ἀσεβοῦντες εἰς τὴν θεόν, μὴ τὸν αὐτὸν διαφθαρῆτε τρόπον· τότε γὰρ καὶ οἱ παῖδές εἰσι καλοί, ὡς Γλυκέρα ἔφασκεν ἡ ἑταίρα, ὅσον ἐοίκασι γυναικὶ χρόνον, καθάπερ ἱστορεῖ Κλέαρχος (fr. 23 Wehrli)· ἐμοὶ μὲν γὰρ καὶ κατὰ φύσιν δοκεῖ πεποιηκέναι Κλεώνυμος ὁ Σπαρτιάτης, πρῶτος ἀνθρώπων | 20
605e εἰς ὁμηρείαν λαβὼν παρὰ Μεταποντίνων γυναῖκας καὶ παρθένους τὰς ἐνδοξοτάτας καὶ καλλίστας διακοσίας, ὡς ἱστορεῖ Δοῦρις ὁ Σάμιος ἐν τῇ τρίτῃ τῶν Περὶ Ἀγαθοκλέα Ἱστοριῶν (*FGrH* 76 F 18)· κἀγὼ δὲ κατὰ τὴν Ἐπικράτους Ἀντιλαΐδα (fr. 4)

> ἐρωτικὰ μεμάθηκα ταῦτα παντελῶς 25
> Σαπφοῦς, Μελήτου, Κλεομένους, Λαμυνθίου.

605e–f Eust. p. 1165.42–5 = IV.266.3–8

1 ὑπὸ M P Mus : ἐπὶ A | τῷ του A : τῷ del. Kaibel | Τριχωνέως scripsi, ducente Kaibel (Τριχονείου) : Τριχολέου A ‖ **2** ⟨χρυσοῦν⟩ add. Meineke, cf. δάφνης στέφανον χρυσοῦν infra ‖ **5** lac. indic. Schweighäuser ‖ **9** μάντεων A : νεανιῶν Schweighäuser, cf. Plut. *Mor.* 397f ‖ **10–11** Προκοννησίου scripsi : Προκονησίου A ‖ **13** τῶν μάντεων fort. ut glossa delenda | διεσπάσθη ὑπ᾽ αὐτῶν A : ὑπ᾽ αὐτῶν ut glossam del. Kaibel | τῶν ἀνθρώπων A : del. Kaibel **18** γυναικὶ A C E : γυναιξὶ Meineke ‖ **21** ὁμηρείαν D.S. 20.104.3 : ὁμήριαν A **25** ἐρωτικὰ μεμάθηκα A : τἀρωτίκ᾽ ἐκμεμάθηκα Dobree

ὑμεῖς δέ, ὦ φιλόσοφοι, κἂν ἐρασθέντες ποτὲ γυναικῶν ἐν ἐννοίᾳ λάβητε ὡς ἀδύνατόν ἐστι τὸ τυχεῖν, μάθετε ⟨...⟩ παύονται οἱ ἔρωτες, ὥς φησι Κλέαρχος (fr. 26 Wehrli)· τῇ τε γὰρ περὶ τὴν Πειρήνην χαλκῇ βοῒ βοῦς | ἐπανέβη ἀπατηθεὶς τῇ ὁμοιώσει· ἤδη 605f
5 δέ που καὶ γεγραμμένῃ κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ τῇ μὲν κύων, τῇ δὲ περιστερά, τῇ δὲ χὴν προσῆλθον καὶ ἐπεπήδησαν· φανέντων δὲ πᾶσι τούτοις ἀδυνάτων ἀπέστησαν, καθάπερ Κλείσοφος ὁ Σηλυμβριανός· οὗτος γὰρ τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν αὑτὸν ἐν τῷ ναῷ ὡς πλησιάσαι δυνησόμενος.
10 καὶ ὡς ἠδυνάτει διά τε τὴν ψυχρότητα καὶ τὸ ἀντίτυπον τοῦ λίθου, τηνικαῦτα τῆς ἐπιθυμίας ἀπέστη καὶ προβαλλόμενος τι σαρκίον ἐπλησίασε. τῆς πράξεως ταύτης μνημονεύει καὶ Ἄλεξις ὁ ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ δράματι Γραφῇ (fr. 41) λέγων ὧδε· ‖

γεγένηται δ', ὡς λέγουσιν, κἀν Σάμῳ 606a
15 τοιοῦθ' ἕτερον. λιθίνης ἐπεθύμησεν κόρης
ἄνθρωπος ἐγκατέκλεισέν θ' ἑαυτὸν τῷ νεῷ.

καὶ Φιλήμων (fr. 127) τοῦ αὐτοῦ μνημονεύων φησίν·

ἀλλ' ἐν Σάμῳ μὲν τοῦ λιθίνου ζῴου ποτὲ
ἄνθρωπος ἠράσθη τις· εἶτ' εἰς τὸν νεὼν
20 κατέκλεισεν αὑτόν.

Κτησικλέους δ' ἐστὶν ἔργον τὸ ἄγαλμα, ὥς φησιν Ἀδαῖος ὁ Μιτυληναῖος ἐν τῷ Περὶ Ἀγαλματοποιῶν. Πολέμων (fr. 28 Preller) δὲ ἢ ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλλαδικόν, ἐν Δελφοῖς, φησίν, | ἐν τῷ Σπινατῶν θησαυρῷ παῖδές εἰσι λίθινοι δύο, ὧν τοῦ ἑτέρου 606b
25 Δελφοί φασι τῶν θεωρῶν ἐπιθυμήσαντά τινα συγκατακλεισθῆναι καὶ τῆς ὁμιλίας ⟨...⟩ καταλιπεῖν στέφανον. φωραθέντος δ' αὐτοῦ

606b cf. Ael. *NA* 12.37 | **606b–c** Eust. p. 1166.28–9 = IV.268.13–15

2 lac. indic. Schweighäuser : ⟨ὅτι τοῖς μὴ τυχοῦσι⟩ vel sim. addenda **4–5** ἀπατηθεὶς τῇ ὁμοιώσει· ἤδη δέ που C E Eust. : om. A ‖ **7** καθάπερ ⟨καὶ⟩ Κλείσοφος Schweighäuser ‖ **9** δυνησόμενος A : δυνάμενος C E ‖ **11** τι Meineke : τὸ A ‖ **13** ὧδε M P Mus : ᾧδε A ‖ **14** δ' M P Mus : δὲ A **16** ἐγκατέκλεισέν θ' ἑαυτὸν A : ἐγκατέκλεισέ θ' ἑαυτὸν B : ἐγκατέκλεισέν τε αὑτὸν M Mus : ἐγκατέκλεισέ θ' αὑτὸν Casaubon ‖ **24** ἢ ἐν A : ἢ del. Dalechamps | Σπινατῶν Meineke : † πινακων † A ‖ **26** lac. indic. Meineke : ⟨μνημόσυνον⟩ Meineke : ⟨μισθὸν⟩ Kaibel

τὸν θεὸν χρωμένοις τοῖς Δελφοῖς συντάξαι ἀφεῖναι τὸν ἄνθρωπον· δεδωκέναι γὰρ αὐτῷ μισθόν. [85] καὶ ἄλογα δὲ ζῷα ἀνθρώπων ἠράσθη, Σεκούνδου μέν τινος βασιλικοῦ οἰνοχόου ἀλεκτρυών· ἐκαλεῖτο δὲ ὁ μὲν ἀλεκτρυὼν Κένταυρος, ὁ δὲ Σεκοῦνδος ἦν οἰκέ-
606c της Νικομήδους τοῦ Βιθυνῶν βασιλέως, ὡς ἱστορεῖ Νίκανδρος | ἐν 5
ἕκτῳ Περιπετειῶν (*FGrH* 700 F 2)· ἐν Αἰγίῳ δὲ παιδὸς ἠράσθη χήν, ὡς Κλέαρχος ἱστορεῖ ἐν πρώτῳ Ἐρωτικῶν (fr. 27 Wehrli). τὸν δὲ παῖδα τοῦτον Θεόφραστος ἐν τῷ Ἐρωτικῷ (fr. 567A Fortenbaugh) Ἀμφίλοχον καλεῖσθαί φησι καὶ τὸ γένος Ὠλένιον εἶναι· Ἑρμείας δ' ὁ τοῦ Ἑρμοδώρου, Σάμιος δὲ γένος, ἐρασθῆναι 10
Λακύδους τοῦ φιλοσόφου. ἐν δὲ Λευκαδίᾳ, φησὶ Κλέαρχος (fr. 28 Wehrli), οὕτως ἐρασθῆναι ταὼν παρθένου ὡς καὶ τὸν βίον ἐκλιπούσῃ συναποθανεῖν. δελφῖνα δ' ἐν Ἰασῷ παιδὸς ἐρασθῆναι λόγος, ὡς ἱστορεῖ Δοῦρις ἐν τῇ ἐνάτῃ (*FGrH* 76 F 7). ὁ δὲ λόγος
606d ἐστὶν αὐτῷ περὶ | Ἀλεξάνδρου καὶ λέγει οὕτω· μετεπέμψατο δὲ καὶ 15
τὸν ἐκ τῆς Ἰασοῦ παῖδα· περὶ γὰρ τὴν πόλιν ταύτην Διονύσιός τις ἦν παῖς, ὃς μετὰ τῶν ἄλλων ἐκ παλαίστρας παραγινόμενος ἐπὶ τὴν θάλασσαν ἐκολύμβα. δελφὶς δὲ πρὸς αὐτὸν ἐκ τοῦ πελάγους ἀπήντα καὶ ἀναλαβὼν ἐπὶ τὰ νῶτα ἔφερεν ἐπὶ πλεῖστον νηχόμε-
νος καὶ πάλιν ἀποκαθίστα εἰς τὴν γῆν. φιλανθρωπότατον δέ ἐστι 20
καὶ συνετώτατον ζῷον ὁ δελφὶς χάριν τε ἀποδιδόναι ἐπιστάμενον· Φύλαρχος γοῦν ἐν τῇ δωδεκάτῃ (*FGrH* 81 F 26), Κοίρανος, φησίν, |
606e ὁ Μιλήσιος ἰδὼν ἁλιέας τῷ δικτύῳ λαβόντας δελφῖνα καὶ μέλλοντας κατακόπτειν ἀργύριον δοὺς καὶ παραιτησάμενος ἀφῆκεν εἰς τὸ πέλαγος. καὶ μετὰ ταῦτα ναυαγίᾳ χρησάμενος περὶ Μύκονον καὶ 25
πάντων ἀπολομένων μόνος ὑπὸ δελφῖνος ἐσώθη. τελευτήσαντος δ' αὐτοῦ γηραιοῦ ἐν τῇ πατρίδι καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλασσαν

606c cf. Ael. *NA* 5.29 | **606c–d** cf. Ael. *NA* 6.15 | **606d–e** Eust. p. 1221.31–3 = IV.451.6–8 | **606d–f** cf. Ael. *NA* 8.3

2 αὐτῷ M P Mus : αὐτὸν A ‖ **6** Αἰγίῳ Schweighäuser et Ael. : † αγειω † A : Ἀγείῳ B M P Mus | ἠράσθη A : fort. delendum ‖ **15** ὁ περὶ A : ὁ om. B Mus **18** θάλασσαν scripsi : θάλατταν A ‖ **19** ἀναλαβὼν scripsi : ἀναλαμβάνων A **21** τὸ ζῷον A : τὸ om. C E B ‖ **24** παραιτησάμενος Dobree : παραστησάμενος A ‖ **26** ἀπολομένων Casaubon : ἀπολωμένων A | ἐσώθη ὁ Κοίρανος A : ὁ Κοίρανος om. C E B ‖ **27** θάλασσαν A C E : θάλατταν B M P Mus

γινομένης κατὰ τύχην ἐν τῷ λιμένι πλῆθος δελφίνων ἐφάνη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μικρὸν ἀπωτέρω τῶν ἐκκομιζόντων, | ὡσεὶ συνεκφερόντων καὶ συγκηδευόντων τὸν ἄνθρωπον. ὁ δὲ αὐτὸς ἱστορεῖ Φύλαρχος διὰ τῆς εἰκοστῆς (*FGrH* 81 F 36) ὅσην ἐλέφας φιλοστοργίαν ἔσχεν εἰς παιδίον. γράφει δ' οὕτω· τούτῳ δὲ τῷ ἐλέφαντι συνετρέφετο θήλεια ἣν Νίκαιαν ἐκάλουν· ᾧ τελευτῶσα ἡ τοῦ τρέφοντος Ἰνδοῦ γυνὴ παιδίον αὑτῆς τριακοσταῖον παρακατέθετο. ἀποθανούσης δὲ τῆς ἀνθρώπου δεινή τις φιλοστοργία γέγονε τοῦ θηρίου πρὸς τὸ παιδίον· οὔτε γὰρ ἀπ' αὐτοῦ χωριζόμενον τὸ βρέφος ὑπέμενε, τὸ δὲ εἰ μὴ βλέποι τὸ παιδίον, ἤσχαλλεν. ὅτ' οὖν ἡ τροφὸς ἐμπλήσειεν αὐτὸ γάλακτος, ἀνὰ μέσον τῶν ποδῶν τοῦ θηρίου ἐτίθει αὐτὸ ἐν σκάφῃ· ‖ εἰ δὲ μὴ τοῦτο πεποιήκοι, τροφὴν οὐκ ἐλάμβανεν ἡ ἐλέφας. καὶ μετὰ ταῦτα δι' ὅλης τῆς ἡμέρας τοὺς καλάμους λαμβάνων τῶν παρατιθεμένων χορτασμάτων καθεύδοντος τοῦ βρέφους τὰς μυίας ἀπεσόβει· ὅτε δὲ κλαίοι, τῇ προβοσκίδι τὴν σκάφην ἐκίνει καὶ κατεκοίμιζεν αὐτό. τὸ δ' αὐτὸ ἐποίει καὶ ὁ ἄρρην ἐλέφας πολλάκις. [**86**] ὑμεῖς δέ, ὦ φιλόσοφοι, καὶ τῶν δελφίνων καὶ τῶν ἐλεφάντων ἐστὲ κατὰ τὴν γνώμην ἀγριώτεροι ἔτι τε ἀνημερώτεροι, καίτοι Περσαίου τοῦ Κιτιέως ἐν τοῖς Συμποτικοῖς Ὑπομνήμασι (*FGrH* 584 F 4 = Persaeus fr. 451, *SVF* i.100) | βοῶντος καὶ λέγοντος περὶ ἀφροδισίων ἁρμοστὸν εἶναι ἐν τῷ οἴνῳ μνείαν ποιεῖσθαι· καὶ γὰρ πρὸς ταῦτα ἡμᾶς ὅταν ὑποπίωμεν ἐπιρρεπεῖς εἶναι. καὶ ἐνταῦθα τοὺς μὲν ἡμέρως τε καὶ μετρίως αὐτοῖς χρωμένους ἐπαινεῖν δεῖ, τοὺς δὲ θηριωδῶς καὶ ἀπλήστως ψέγειν. καὶ εἰ διαλεκτικοὶ συνελθόντες εἰς πότον περὶ συλλογισμῶν διαλέγοιντο, ἀλλοτρίως ἂν αὐτοὺς ὑπολάβοι τις ποιεῖν τοῦ

606f 607a 607b

606f–7a cf. Ael. *NA* 11.14

1 γινομένης C E : γιγνομένης A | κατὰ τύχην ἐν τῇ Μιλήτῳ A : ἐν τῇ Μιλήτῳ ut glossam del. Kaibel ‖ **2** ἐκκομιζόντων Kaibel : συνεκκομιζόντων A C E τὸν Κοίρανον (glossam ad ἐν τῇ πατρίδι supra) post συνεκκομιζόντων praeb. A C E : om. B ‖ **4** Φύλαρχος A : om. C E B, fort. recte | ἐλέφας τὸ ζῷον A : τὸ ζῷον (glossam) om. B M P Mus ‖ **6** θήλεια ἐλέφας A C E : ἐλέφας (glossam) del. Kaibel ‖ **7** τρέφοντος Ἰνδοῦ C E : τρέφοντος om. A : fort. vel τρέφοντος vel Ἰνδοῦ ut glossa delendum ‖ **10** τὸ[1] Wilamowitz : ὁ A C E **11** τοῦ γάλακτος A : τοῦ om. C E ‖ **12** σκάφῃ C E B : σκάφει A | πεποιήκοι C E : πεποιήκει A ‖ **13–14** τοὺς καλάμους A C E : τοὺς del. Wilamowitz **14** καὶ τῶν A : καὶ om. C E : ἐκ τῶν Kaibel

παρόντος καιροῦ· καὶ ὁ καλὸς γὰρ κἀγαθὸς ἀνὴρ μεθυσθείη ἄν. οἱ δὲ βουλόμενοι σωφρονικοὶ εἶναι σφόδρα μέχρι τινὸς διατηροῦσιν |
607c ἐν τοῖς πότοις τὸ τοιοῦτον· εἶθ' ὅταν παραλύῃ τὸ οἰνάριον, τὴν πᾶσαν ἀσχημοσύνην ἐπιδείκνυνται· ὃ καὶ πρώην ἐγένετο ἐπὶ τῶν ἐξ Ἀρκαδίας θεωρῶν πρὸς Ἀντίγονον παραγενομένων. ἐκεῖνοι γὰρ 5
ἠρίστων σφόδρα σκυθρωπῶς καὶ εὐσχημόνως, ὡς ᾤοντο, οὐχ ὅτι ἡμῶν τινα προσβλέποντες ἀλλ' οὐδὲ ἀλλήλους. ὡς δὲ ὁ πότος προέβαινε καὶ εἰσῆλθεν ἄλλα τε ἀκροάματα καὶ αἱ Θετταλαὶ αὗται ὀρχηστρίδες, καθάπερ αὐταῖς ἔθος ἐστίν, ἐν ταῖς διαζώστραις
607d γυμναὶ ὠρχοῦντο, οὐκέτι κατεῖχον αὑτοὺς | οἱ ἄνδρες, ἀλλὰ ἐκ τῶν 10
κλινῶν ἀνώρμων καὶ ἐβόων ὡς θαυμαστόν τι θέαμα θεώμενοι, καὶ μακάριον τὸν βασιλέα ἀπεκάλουν ὅτι ἔξεστιν αὐτῷ τούτων ἀπολαύειν, καὶ ἕτερα τούτοις παραπλήσια πάνυ πολλὰ τῶν φορτικῶν ἐποίουν. τῶν φιλοσόφων δέ τις συμπίνων ἡμῖν εἰσελθούσης αὐλητρίδος καὶ οὔσης εὐρυχωρίας παρ' αὐτῷ, βουλομένης τῆς 15
παιδίσκης παρακαθίσαι οὐκ ἐπέτρεψεν, ἀλλὰ σκληρὸν αὑτὸν εἰσῆγεν. εἶθ' ὕστερον πωλουμένης τῆς αὐλητρίδος, καθάπερ ἔθος
607e ἐστὶν ἐν τοῖς πότοις γίνεσθαι, ἐν τῷ | ἀγοράζειν πάνυ νεανικὸς ἦν καὶ τῷ πωλοῦντι ἄλλῳ τινὶ θᾶττον προσθέντι ἠμφισβήτει καὶ οὐκ ἔφη αὐτὸν πεπρακέναι. καὶ τέλος εἰς πυγμὰς ἦλθεν ὁ σκληρὸς 20
ἐκεῖνος φιλόσοφος καίπερ ἐν ἀρχῇ οὐδ' ἂν παρακαθίσαι ἐπιτρέπων τῇ αὐλητρίδι. μήποτε αὐτός ἐστι Περσαῖος ὁ περὶ τῆς αὐλητρίδος διαπυκτεύσας· φησὶ γὰρ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Περὶ Ζήνωνος (p. 117 Wilamowitz = fr. 34A Dorandi) γράφων ὧδε· Ζήνων ὁ Κιτιεὺς Περσαίου παρὰ πότον αὐλητρίδιον πριαμένου 25
607f καὶ διοκνοῦντος εἰσαγαγεῖν πρὸς αὑτὸν | διὰ τὸ τὴν αὐτὴν οἰκεῖν οἰκίαν συναισθόμενος εἰσείλκυσε τὴν παιδίσκην καὶ συγκατέκλεισε τῷ Περσαίῳ. οἶδα δὲ καὶ Πολύστρατον τὸν Ἀθηναῖον, μαθητὴν δὲ Θεοφράστου, τὸν ἐπικαλούμενον Τυρρηνόν, ὅτι τῶν αὐλητρίδων τὰ ἱμάτια περιέδυεν. [87] ἐσπουδάκεσαν δὲ καὶ οἱ βασιλεῖς περὶ 30

1 γὰρ C E : om. A : ⟨ὅτε⟩ ante καὶ add. Kaibel ‖ **3** παραλύῃ, i.e. -ΛΥΗΙ Wilamowitz : παραδυῇ vel παραδυῆ, i.e. -ΔΥΗΙ A C E : παρεισδυῇ Kaibel τὴν A : om. C E, fort. recte ‖ **5** ἐκεῖνοι τε A : τε om. B M P Mus ‖ **18** ἐν τε A : τε om. M P Mus | νεανικὸς Casaubon : νεανίσκος A ‖ **19** προσθέντι Casaubon : προσθέντος A ‖ **21** καίπερ scripsi : καὶ A : ⟨ὁ⟩ καὶ Wilamowitz **22** ὁ Περσαῖος A : ὁ del. Kaibel ‖ **27** συναισθόμενος A : αἰσθόμενος Kaibel εἰσείλκυσε Kaibel : συνείλκυσε A

τὰς μουσουργούς, ὡς δῆλον ποιεῖ Παρμενίων ἐν τῇ Πρὸς Ἀλέξανδρον ἐπιστολῇ, ἣν ἐπέστειλεν αὐτῷ μετὰ τὸ Δαμασκὸν ἑλεῖν καὶ τῆς ἀποσκευῆς τῆς Δαρείου ἐγκρατὴς γενέσθαι· καταριθμησάμενος γοῦν τὰ αἰχμάλωτα γράφει καὶ ταῦτα· παλλακίδας εὗρον
5 μουσουργοὺς τοῦ βασιλέως ‖ τριακοσίας εἴκοσι ἐννέα, ἄνδρας 608a στεφανοπλόκους τεσσαράκοντα ἕξ, ὀψοποιοὺς διακοσίους ἑβδομήκοντα ἑπτά, χυτρεψοὺς εἴκοσι ἐννέα, γαλακτουργοὺς τρισκαίδεκα, ποτηματοποιοὺς ἑπτακαίδεκα, οἰνοηθητὰς ἑβδομήκοντα, μυροποιοὺς τεσσαράκοντα. καὶ ὑμῖν δέ, ὦ ἑταῖροι, λέγω ὅτι οὐδέν
10 ἐστιν ὀφθαλμῶν οὕτως εὐφραντικὸν ὡς γυναικὸς κάλλος· ὁ γοῦν τοῦ τραγικοῦ Χαιρήμονος Οἰνεὺς (*TrGF* 71 F 14) περὶ παρθένων τινῶν διηγούμενος ὧν ἐθεᾶτό φησιν ἐν τῷ ὁμωνύμῳ δράματι· |

ἔκειτο γὰρ ἡ μὲν λευκὸν εἰς σεληνόφως 608b
φαίνουσα μαστὸν λελυμένης ἐπωμίδος,
15 τῆς δ' αὖ χορείας λαγόνα τὴν ἀριστερὰν
ἔλυσε· γυμνῆς δ' αἰθέρος θεάμασιν
ζῶσαν γραφὴν ἔφαινε, χρῶμα δ' ὄμμασι 5
λευκὸν μελαίνης ἔργον ἀνταυγεῖ σκιᾶς.
ἄλλη δ' ἐγύμνου καλλίχειρας ὠλένας
20 ἄλλης προσαμπέχουσα θῆλυν αὐχένα.
ἡ δ' ἐκραγέντων χλανιδίων ὑπὸ πτύχας |
ἔφαινε μηρόν, κἀξεπεσφραγίζετο 10 608c
ὥρας γελώσης χωρὶς ἐλπίδων ἔρως.
ὑπνωμέναι δ' ἔπιπτον ἑλενίων ἔπι
25 ἴων τε μελανόφυλλα συγκλῶσαι πτερὰ
κρόκον θ', ὃς ἡλιῶδες εἰς ὑφάσματα
πέπλων οἰκίας εἴδωλον † εισομοργνυται, 15

3–4 καταριθμησάμενος A : καταριθμούμενος Kaibel ‖ **4** γοῦν scripsi : οὖν A **6** τεσσαράκοντα ἕξ scripsi : ἓξ καὶ τεσσαράκοντα A ‖ **7** τρισκαίδεκα Kaibel : τρεισκαίδεκα A ‖ **8** ποτηματοποιοὺς A : πεμματοποιοὺς Wilamowitz **10** ὀφθαλμῶν A : ὀφθαλμοῖς lmAmg : fort. ὀφθαλμοὺς ‖ **13** γὰρ A : δ' Jacobs **15** χορείας A : χορείᾳ Casaubon ‖ **16** γυμνῆς A : γυμνοῖς Musurus : γυμνὴ Valckenaer ‖ **17** δ' M P Mus : δὲ A ‖ **18** ἀνταυγεῖ A : ἀντηύγει Schweighäuser ‖ **21** δ' ἐκραγέντων Casaubon : † δεκλαγεν † τῶν A : δὲ κλαγέντων M P Mus : δὲ ῥαγέντων Meineke | πτύχας A : πτυχαῖς Nauck **24** ὑπνωμέναι Lobeck : † ὑπτωμεναι † A ‖ **26** θ' Musurus : τε A ‖ **27** οἰκίας A : σκιᾶς Casaubon | † εισομοργνυται † A : ἐξωμόργνυτο Meineke

περσης † δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος
λειμῶσι μαλθακοῖσιν † ἐξέτεινον αὐχένας. |

608d [**88**] ἐπικατάφορος δὲ ὢν ὁ ποιητὴς οὗτος καὶ ἐπὶ τὰ ἄνθη ἐν Ἀλφεσιβοίᾳ (*TrGF* 71 F 1) φησί·

καὶ σώματος μὲν ὄψεις κατειργάζετο † 5
στίλβοντα λευκῷ χρώματι διαπρεπῆ.
αἰδὼς δ' ἐπερρύθμιζεν ἠπιώτατον
ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι·
κόμαι δὲ κηροχρῶτες ὡς ἀγάλματος 5
† αὐτοῖσι βοστρύχοισιν ἐκπεπλασμένοι 10
ξουθοῖσιν ἀνέμοις ἐνετρύφων φορούμενοι.

ἐν δὲ τῇ Ἰοῖ (*TrGF* 71 F 9) ἔαρος τέκνα προσηγόρευε τὰ ἄνθη· |

608e ἀνθηροῦ τέκνα
ἔαρος πέριξ στρώσαντες.

ἐν δὲ Κενταύρῳ (*TrGF* 71 F 10), ὅπερ δρᾶμα πολύμετρόν ἐστι, 15
λειμῶνος τέκνα·

ἔνθ' αἱ μὲν αὐτῶν εἰς ἀπείρονα στρατὸν
ἀνθέων ἀλόχων ἐστράτευσαν ἡδοναῖς
θηρώμενον τὰ λειμώνων τέκνα.

ἐν δὲ Διονύσῳ (*TrGF* 71 F 5)· 20

χορῶν ἐραστὴς κισσός, ἐνιαυτοῦ δὲ παῖς.

περὶ δὲ ῥόδων ἐν Ὀδυσσεῖ (*TrGF* 71 F 13) φησιν οὕτω·

κόμαισιν ὡρῶν σώματ' εὐανθῆ ῥόδα

608e–f Eust. p. 1658.56–7 = i.381.43–5

1 † περσης † A : ἕρσῃ Bergk, ducente Lobeck ‖ **2** μαλθακοῖσιν A : μαλακοὺς Wilamowitz | ἐξέτεινον A : ἐξέτεινεν Scaliger ‖ **3** καὶ ἐπὶ τὰ ἄνθη A : ἐπὶ τὰ ἄνθη καὶ Kaibel ‖ **4** Ἀλφεσιβοίᾳ Casaubon, cf. *Suda* χ 170 : † αλεσιβοᾶι † A **9** κηροχρῶτες A : κηρόχρωτος Wilamowitz ‖ **10** ἐκπεπλασμένοι A : ἐκπεπλασμένου Meineke ‖ **11** φορούμενοι A : φορούμεναι Hermann **14** ἔαρος Eust., cf. ἔαρος τέκνα supra : ἀέρος A ‖ **17** ἔνθ' αἱ μὲν Meineke : † ἐνθεμὲν † A : ἔνθεν μὲν B M P Mus ‖ **18** ἀλόχων A : ἄλογχον Meineke, ducente Hermann ‖ **19** θηρώμενον τὰ A : θηρώμεναι κομῶντα Hermann

εἶχον, τιθήνημ᾽ ἔαρος ἐκπρεπέστατον. |

καὶ ἐν Θυέστῃ (*TrGF* 71 F 8)· 608f

ῥόδ᾽ ὀξυφεγγῆ κρίνεσιν ἀργεννοῖς ὁμοῦ.

ἐν δὲ Μινύαις (*TrGF* 71 F 12)·

5 πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν
ἄκραισι περκάζουσαν οἰνάνθαις χρόνου.

[**89**] ἐπὶ κάλλει δέ —

ἔτι γὰρ γέρων ἀοιδὸς
κελαδεῖ Μναμοσύναν,

10 κατὰ τὸν Εὐριπίδην (*HF* 678–9) — διαβόητοι γεγόνασι γυναῖκες Θαργηλία ἡ Μιλησία, ἥτις καὶ τεσσαρεσκαίδεκα ‖ ἀνδράσιν 609a ἐγαμήθη οὖσα καὶ τὸ εἶδος πάνυ καλὴ καὶ σοφή, ὥς φησιν Ἱππίας ὁ σοφιστὴς ἐν τῷ ἐπιγραφομένῳ Συναγωγῇ (*FGrH* 6 F 3). Δίνων δ᾽ ἐν τῷ πέμπτῳ τῶν Περσικῶν (*FGrH* 690 F 1) τῆς πρώτης συντά-
15 ξεώς φησιν ὅτι ἡ Βαγάζου γυνή, ἥτις ἦν ὁμοπάτριος Ξέρξου ἀδελφή, ὄνομα Ἀνοῦτις, καλλίστη ἦν τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν καὶ ἀκολαστοτάτη. Φύλαρχος δὲ ἐν τῇ ἐννεακαιδεκάτῃ (*FGrH* 81 F 34) Τιμῶσάν φησι τὴν Ὀξυάρτου παλλακίδα πάσας γυναῖκας ὑπερβεβληκέναι κάλλει· ταύτην δ᾽ ἀπεστάλκει δῶρον | ὁ τῶν 609b
20 Αἰγυπτίων βασιλεὺς Στατίρᾳ τῇ βασιλέως γυναικί. Θεόπομπος δὲ ἐν τῇ ἕκτῃ καὶ πεντηκοστῇ τῶν Ἱστοριῶν (*FGrH* 115 F 240) Ξενοπείθειαν τὴν Λυσανδρίδου μητέρα πασῶν τῶν κατὰ Πελοπόννησον γυναικῶν γεγονέναι καλλίονα· ἀπέκτειναν δὲ αὐτὴν Λακεδαιμόνιοι καὶ τὴν ἀδελφὴν αὐτῆς Χρύσην ὅτε καὶ τὸν Λυσαν-
25 δρίδαν ἐχθρὸν ὄντα Ἀγησίλαος ὁ βασιλεὺς καταστασιάσας φυγαδευθῆναι ἐποίησεν ὑπὸ Λακεδαιμονίων. καλλίστη δ᾽ ἦν καὶ

1 τιθήνημ᾽ M P Mus : τιθήνημα A C E : τιθηνήματα Eust. ‖ **3** ῥόδ᾽ Musurus : ῥόδα A C E Eust. ‖ **8** γὰρ A : τοι Eur.[L] ‖ **9** κελαδεῖ A et Eur.[L] : κελαδῶ Stephanus | Μναμοσύναν A et Eur.[L] : Μνημοσύνην A[s] ‖ **14** τῷ πέμπτῳ scripsi : τῇ πέμπτῃ A ‖ **15** Βαγάζου A : Βαγαβάζου Ruehl, cf. Pomp.Tr. 3.1.5 : Μεγαβύζου Casaubon | Ξέρξου A C E : Ξέρξῃ B M P Mus : Ἀρταξέρξου Casaubon ‖ **16** Ἀνοῦτις A C E : Ἄμυτις Casaubon, cf. Ctes. *FGrH* 688 F 9.5ff : Ἀμοῦτις Marquart ‖ **20** Στατίρᾳ A : Στατείρᾳ Brueckner ‖ **22** Ξενοπείθειαν B M P Mus : † ξονοπειθειαν † A ‖ **23** καλλίονα A : fort. καλλίστην

Παντίκα ἡ Κυπρία, περὶ ἧς φησι Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν |
609c Ἱστοριῶν (*FGrH* 81 F 21) ὅτι παρ᾿ Ὀλυμπιάδι οὖσαν τῇ Ἀλεξάν-
δρου μητρὶ ᾔτει πρὸς γάμον Μόνιμος ὁ Πυθίωνος. καὶ ἐπεὶ ἦν
ἀκόλαστος ἡ γυνή, ἔφη ἡ Ὀλυμπιάς· "ὦ πόνηρε, τοῖς ὀφθαλμοῖς
γαμεῖς καὶ οὐ τῷ νῷ." καὶ τὴν καταγαγοῦσαν δὲ Πεισίστρατον 5
ἐπὶ τὴν τυραννίδα, ὡς Ἀθηνᾶς δῆθεν εἶδος ἔχουσαν, καλήν φασι
γεγονέναι, ἥτις καὶ τῇ θεῷ εἴκαστο τὴν μορφήν. στεφανόπωλις δ᾿
ἦν, καὶ αὐτὴν ἐξέδωκε πρὸς γάμου κοινωνίαν ὁ Πεισίστρατος
Ἱππάρχῳ τῷ υἱῷ, ὡς Κλείδημος ἱστορεῖ ἐν ὀγδόῳ Νόστων
609d (Anticleid. *FGrH* 140 F 6)· ἐξέδωκε | δὲ καὶ Ἱππάρχῳ τῷ υἱεῖ τὴν 10
παραιβατήσασαν αὐτῷ γυναῖκα Φύην τὴν Σωκράτους θυγατέρα,
καὶ Χάρμου τοῦ πολεμαρχήσαντος θυγατέρα ἔλαβεν Ἱππίᾳ
περικαλλεστάτην οὖσαν τῷ μετ᾿ αὐτὸν τυραννεύσαντι. συνέβη δέ,
ὥς φησι, τὸν Χάρμον ἐραστὴν τοῦ Ἱππίου γενέσθαι καὶ τὸν πρὸς
Ἀκαδημείᾳ Ἔρωτα ἱδρύσασθαι πρῶτον, ἐφ᾿ οὗ ἐπιγέγραπται 15
(anon. *FGE* 1482–3)·

ποικιλομήχαν᾿ Ἔρως, σοὶ τόνδ᾿ ἱδρύσατο βωμὸν
Χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίου. |

609e Ἡσίοδος δ᾿ ἐν τρίτῳ Μελαμποδίας (fr. 277) τὴν ἐν Εὐβοίᾳ
Χαλκίδα καλλιγύναικα εἶπεν· εὐπρεπεῖς γὰρ αὐτόθι γίνονται 20
γυναῖκες, ὡς καὶ Θεόφραστος (fr. 562 Fortenbaugh) εἴρηκε. καὶ
Νυμφόδωρος δ᾿ ἐν τῷ τῆς Ἀσίας Περίπλῳ (*FGrH* 572 F 7) καλλίο-
νάς φησι γίνεσθαι γυναῖκας τῶν πανταχοῦ ἐν Τενέδῳ τῇ Τρωϊκῇ
νήσῳ. [**90**] οἶδα δὲ καὶ περὶ κάλλους γυναικῶν ἀγῶνά ποτε διατε-
θέντα, περὶ οὗ ἱστορῶν Νικίας ἐν τοῖς Ἀρκαδικοῖς (*FGrH* 318 F 1) 25
διαθεῖναί φησιν αὐτὸν Κύψελον πόλιν κτίσαντα ἐν τῷ πεδίῳ περὶ

609e Eust. p. 875.52–3 = III.294.22–4 | **609e–f** Eust. p. 1185.14–16 = IV.332.13–16

5 τὴν καταγαγοῦσαν δὲ Πεισίστρατον Kaibel : τὴν κατάγουσαν δὲ Πεισίστρατον A : ἡ κάγουσα Πεισίστρατον (structura mutata) E* : ἡ παραιβατήσασα Πεισιστράτῳ (structura mutata) C ‖ **6** δῆθεν C E : † πειραν † A | φασι Schweighäuser : φησι A ‖ **9** Κλείδημος A : Ἀντικλείδης Stiehle ‖ **15** Ἀκαδημείᾳ scripsi : Ἀκαδημίᾳ A ‖ **20** γίνονται scripsi : γίγνονται A ‖ **23** τῶν πανταχοῦ γυναικῶν A : γυναικῶν del. Kaibel : fort. vel καλλίονας … ἀλλαχοῦ vel καλλίστας … πανταχοῦ scribendum **26** ⟨Βασιλίδα⟩ πόλιν Meineke, cf. Paus. 8.29.5

τὸν Ἀλφειόν· | εἰς ἣν κατοικίσαντα Παρρασίων τινὰς τέμενος καὶ 609f
βωμὸν ἀναστῆσαι Δήμητρι Ἐλευσινίᾳ, ἧς ἐν τῇ ἑορτῇ καὶ τὸν τοῦ
κάλλους ἀγῶνα ἐπιτελέσαι· καὶ νικῆσαι πρῶτον αὐτοῦ τὴν
γυναῖκα Ἡροδίκην. ἐπιτελεῖται δὲ καὶ μέχρι νῦν ὁ ἀγὼν οὗτος,
5 καὶ αἱ ἀγωνιζόμεναι γυναῖκες χρυσοφόροι ὀνομάζονται. Θεόφρα-
στος (fr. 563 Fortenbaugh) δὲ ἀγῶνα κάλλους φησὶ γίνεσθαι παρὰ
Ἠλείοις καὶ τὴν κρίσιν ἐπιτελεῖσθαι μετὰ σπουδῆς λαμβάνειν τε
τοὺς νικήσαντας ἆθλα ὅπλα· ἅπερ ἀνατίθεσθαί φησι Διονύσιος ὁ
Λευκτρικὸς τῇ Ἀθηνᾷ, ‖ τὸν δὲ νικήσαντα ταινιούμενον ὑπὸ τῶν 610a
10 φίλων καὶ πομπεύοντα ἕως τοῦ ἱεροῦ παραγίνεσθαι. τὸν στέφανον
δ᾽ αὐτοῖς δίδοσθαι μυρρίνης ἱστορεῖ Μυρσίλος ἐν Ἱστορικοῖς Παρα-
δόξοις (fr. 16, *FHG* iv.460 = fr. 1 Giannini). ἐνιαχοῦ δέ φησιν ὁ
αὐτὸς Θεόφραστος καὶ κρίσεις γυναικῶν περὶ σωφροσύνης
γίνεσθαι καὶ οἰκονομίας, ὥσπερ ἐν τοῖς βαρβάροις· ἑτέρωθι δὲ
15 κάλλους, ὡς δέον καὶ τοῦτο τιμᾶσθαι, καθάπερ καὶ παρὰ Τενεδί-
οις καὶ Λεσβίοις· ταύτην δὲ τύχης ἢ φύσεως εἶναι τιμήν, δέον
προκεῖσθαι σωφροσύνην· τὸ κάλλος γὰρ οὕτως | καλόν, εἰ δὲ μή, 610b
κίνδυνον ἔχον ἐπ᾽ ἀκολασίαν.

[**91**] τοσαῦτα τοῦ Μυρτίλου ἑξῆς καταλέξαντος καὶ πάντων
20 αὐτὸν ἐπὶ τῇ μνήμῃ θαυμασάντων ὁ Κύνουλκος ἔφη·

πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον οὐδέν,

Ἵππων ἔφη ὁ ἄθεος (38 B 3 D.–K.). ἀλλὰ καὶ Ἡράκλειτος ὁ θεῖός
(22 B 40 D.–K.) φησι· πουλυμαθίη νόον ἔχειν οὐ διδάσκει. καὶ ὁ
Τίμων (*SH* 794) δὲ ἔφη·

25 ἐν δὲ πλατυσμὸς
πολυμαθημοσύνης, τῆς οὐ κενεώτερον ἄλλο. |

τί γὰρ ὄφελος τῶν τοσούτων ὀνομάτων, ὦ γραμματικέ, πάντων 610c
ἐπιτρῖψαι μᾶλλον ἢ σωφρονίσαι δυναμένων τοὺς ἀκούοντας; καὶ

1 κατοικίσαντα Schweighäuser : κατοικήσαντας A ‖ **6** γίνεσθαι Meineke : γενέσθαι A ‖ **10** πομπεύοντα A : πομπευόμενον Kaibel ‖ **13** κρίσεις rec. A mg C E B M P Mus : κρίσις A ‖ **16** δέον Musurus : † δενεον † A : δὲ δεὸν M P **17** σωφροσύνην scripsi : σωφροσύνης A ‖ **18** ἔχον Kaibel : ἐσχον A : ἔσχεν M P Mus : fort. σχεῖν ‖ **23** πουλυμαθίη Schweighäuser (πολυμαθίη scripsit), cf. D.L. 9.1.1 : πολυμαθῆ A | ἔχειν A : del. Kaibel ‖ **26** πολυμαθημοσύνης A : πουλυμαθημοσύνης B M P Mus

ἐὰν μέν τίς σου πύθηται τίνες ἦσαν οἱ εἰς τὸν δούρειον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα· καὶ οὐδὲ ταῦτ᾽ ἐκ τῶν Στησιχόρου (*PMG* 199), σχολῇ γάρ, ἀλλ᾽ ἐκ τῆς † σακατου † Ἀργείου Ἰλίου Πέρσιδος (*Il. Pers.* test. 3 Bernabé, p. 87)· οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν. ἀλλὰ μὴν οὐδὲ τῶν 5 Ὀδυσσέως ἑταίρων ἔχοις ἂν οὕτως εὐρύθμως καταλέξαι τὰς 610d προσηγορίας | καὶ τίνες οἱ ὑπὸ τοῦ Κύκλωπος αὐτῶν καταβρωθέντες ἢ ὑπὸ τῶν Λαιστρυγόνων καὶ εἰ ὄντως κατεβρώθησαν· ὅστις οὖν οὐδὲ τοῦτ᾽ οἶδας, καίτοι συνεχῶς Φυλάρχου (*FGrH* 81 F 42) μνήμην ποιούμενος ὅτι ἐν ταῖς Κείων πόλεσιν οὔτε ἑταίρας οὔτε 10 αὐλητρίδας ἰδεῖν ἐστι.

[92] καὶ ὁ Μυρτίλος· τοῦτο δὲ ποῦ εἴρηκεν ὁ Φύλαρχος; κατανέγνων γὰρ αὐτοῦ πᾶσαν τὴν Ἱστορίαν. εἰπόντος δ᾽· ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ, ὁ Μυρτίλος ἔφη· εἶτ᾽ οὐκ ἐγὼ δικαίως πάντας ὑμᾶς τοὺς φιλοσόφους μισῶ μισοφιλολόγους ὄντας; οὓς οὐ μόνον | 15 610e Λυσίμαχος ὁ βασιλεὺς ἐξεκήρυξε τῆς ἰδίας βασιλείας ἀπελαύνων, ὡς ὁ Καρύστιός φησιν ἐν Ἱστορικοῖς Ὑπομνήμασιν (fr. 9, *FHG* iv.358), ἀλλὰ καὶ Ἀθηναῖοι· Ἄλεξις γοῦν ἐν Ἵππῳ (fr. 99) φησί·

> τοῦτ᾽ ἔστιν Ἀκαδήμια, τοῦτο Ξενοκράτης;
> πόλλ᾽ ἀγαθὰ δοῖεν οἱ θεοὶ Δημητρίῳ 20
> καὶ τοῖς νομοθέταις, διότι τοὺς τὰς τῶν λόγων,
> ὥς φασι, δυνάμεις παραδιδόντας τοῖς νέοις
> ἐς κόρακας ἔρρειν φασὶν ἐκ τῆς Ἀττικῆς. 5

610f καὶ Σοφοκλῆς δέ τις ψηφίσματι ἐξήλασε πάντας | φιλοσόφους τῆς Ἀττικῆς, καθ᾽ οὗ λόγον ἔγραψε Φίλων ὁ Ἀριστοτέλους γνώριμος 25 (cf. Baiter–Sauppe ii.343) ἀπολογίαν ὑπὲρ τοῦ Σοφοκλέους Δημοχάρους πεποιηκότος τοῦ Δημοσθένους ἀνεψιοῦ (I, Baiter–Sauppe ii.341–2). καὶ Ῥωμαῖοι δ᾽ οἱ πάντα ἄριστοι ἐξέβαλον τοὺς σοφιστὰς τῆς Ῥώμης ὡς διαφθείροντας τοὺς νέους· ἔπειτ᾽ οὐκ οἶδ᾽ ὅπως

1 δούρειον M P Mus : δούριον A ‖ **3** σχολῇ Casaubon : σχολὴ A **4** † σακατου † A : ἀκάτου B M P Mus : Ἀγία τοῦ CFHermann, cf. Arr. *An.* 4.9.9 Ἆγιν Ἀργεῖον, ἐποποιόν (sed hic Ἄγιδος scribendum) ‖ **9** οὖν A : del. Kaibel ‖ **10** Κείων Broendsted : Κίων A ‖ **18** Ἵππῳ A : Ἱππεῖ Schweighäuser, cf. 11.471e, 481f ‖ **19** Ἀκαδήμια A : Ἀκαδήμεια Dindorf ‖ **29** ἔπειτ᾽ A C E : ἔπει Wilamowitz

κατεδέξαντο. ἐμφανίζει δ' ὑμῶν καὶ τὸ ἀνόητον Ἀνάξιππος ὁ κωμῳδιοποιὸς ἐν Κεραυνουμένῳ (fr. 4) λέγων οὕτως·

οἴμοι, φιλοσοφεῖς. ἀλλὰ τούς τε φιλοσόφους ‖
ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον, 611a
5 ἐν τοῖσι δ' ἔργοις ὄντας ἀνοήτους ὁρῶ.

εἰκότως οὖν πολλαὶ τῶν πόλεων καὶ μάλιστα ἡ Λακεδαιμονίων, ὡς Χαμαιλέων φησὶν ἐν τῷ Περὶ Σιμωνίδου (fr. 35 Wehrli = fr. 38 Martano), οὐ προσίενται οὔτε ⟨φιλοσοφίαν οὔτε⟩ ῥητορικὴν διὰ τὰς ἐν τοῖς λόγοις ὑμῶν φιλοτιμίας καὶ ἔριδας καὶ τοὺς ἀκαίρους
10 ἐλέγχους· δι' οὓς Σωκράτης μὲν ἀπέθανεν ὁ πρὸς τοὺς εἰς τὰ δικαστήρια διακληρουμένους διαλεγόμενος περὶ τοῦ δικαίου κλεπτιστάτους ὄντας· ἀπέθανε δὲ διὰ ταῦτα καὶ Θεόδωρος ὁ ἄθεος (*SSR* IV H 11) | καὶ Διαγόρας ἐφυγαδεύθη, Θεότιμος δ' ὁ γράψας 611b τὰ κατ' Ἐπικούρου βιβλία ὑπὸ Ζήνωνος τοῦ Ἐπικουρείου ἐξαιτη-
15 θεὶς ἀνῃρέθη, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις (fr. 7 Mejer). [93] συνελόντι δ' εἰπεῖν κατὰ τὸν Σολέα Κλέαρχον (fr. 16 Wehrli) οὐ καρτερικὸν βίον ἀσκεῖτε, κυνικὸν δὲ τῷ ὄντι ζῆτε· καίτοι τοῦ ζῴου τούτου ἐν τέτταρσι τὴν φύσιν περιττὴν ἔχοντος, ὧνπερ ὑμεῖς τὰ χείρω μερισάμενοι τηρεῖτε· αἰσθήσει τε γὰρ τῇ
20 πρὸς ὄσφρανσιν καὶ πρὸς τὸ οἰκεῖον καὶ ἀλλότριον θαυμαστὸν | καὶ 611c τῷ συνανθρωπίζον οἰκουρὸν εἶναι καὶ φυλακτικὸν τοῦ τῶν εὖ δρώντων βίου πάντων περιττότατον· ὧν οὐδέτερον πρόσεστιν ὑμῖν τοῖς τὸν κυνικὸν βίον μιμουμένοις· οὔτε γὰρ συνανθρωπίζετε οὔτε διαγινώσκετε οὐδένα τῶν ὁμιλούντων, αἰσθήσει τε πολλῷ
25 ὑστεροῦντες ἀργῶς καὶ ἀφυλάκτως ζῆτε. λοιδόρου δὲ καὶ παμφάγου τοῦ ζῴου πεφυκότος, ἔτι δὲ ταλαιπώρου καὶ γυμνοῦ τὸν βίον,

3 τε, i.e. ΤΕ A : γε, i.e. ΓΕ Grotius ‖ **8** ⟨φιλοσοφίαν οὔτε⟩ add. M P Mus (οὔτε ῥητορικὴν ⟨οὔτε φιλοσοφίαν⟩) : hoc ordine Kaibel : fort. ⟨τὴν φιλοσοφίαν οὔτε τὴν⟩, cf. C E τὴν ῥητορικὴν ‖ **11** † διακληρουμενους † A : ἀποκληρουμένους Kaibel ‖ **13** Διαγόρας ⟨ἐξεκηρύχθη καὶ Πρωταγόρας⟩ Wilamowitz ἐφυγαδεύθη, ὅτε καὶ πλέων ναυαγίῳ (ναυαγίᾳ C E) ἐχρήσατο A C E : ὅτε καὶ κτλ. delevi | Θεότιμος A C E : Διότιμος Ionsius ‖ **14** Ἐπικουρείου C E : Ἐπικουρίου A ‖ **19** ὧνπερ Musurus : ὥσπερ A ‖ **20** ἀλλότριον θαυμαστὸν οἰκεῖον A : θαυμαστὸν οἰκεῖον om. C E : θαυμαστὸν οἰκεῖον καὶ ἀλλότριον P : οἰκεῖον del. Musurus ‖ **21** τῷ C E : τὸ A : τό τε Musurus | καὶ ante οἰκουρὸν praeb. C E Mus | ζῷον post εἶναι praeb. C E ‖ **24** πολλῷ Casaubon : πολλῶν A C E

ἄμφω ταῦτα μελετᾶτε κακολόγοι καὶ βοροὶ πρός τε τούτοις
611d ἄνοικοι καὶ ἀνέστιοι βιοῦντες. ἐξ ὧν | ἁπάντων ἀλλότριοι μὲν
ἀρετῆς, μάταιοι δὲ εἰς τὸ τοῦ βίου χρήσιμον· οὐδὲν γάρ ἐστι τῶν
καλουμένων φιλοσόφων ἀφιλοσοφώτερον. τίς γὰρ ἤλπισεν ⟨ἂν⟩
Αἰσχίνην τὸν Σωκρατικὸν τοιοῦτον γεγενῆσθαι τοὺς τρόπους 5
ὁποῖόν φησι Λυσίας ὁ ῥήτωρ ἐν τοῖς τῶν συμβολαίων λόγοις; ὃν ἐκ
τῶν φερομένων ὡς αὐτοῦ διαλόγων θαυμάζομεν ὡς ἐπιεικῆ καὶ
μέτριον, πλὴν εἰ μὴ ὡς ἀληθῶς τοῦ σοφοῦ Σωκράτους ἐστὶ
συγγράμματα, ἐχαρίσθη δὲ αὐτῷ ὑπὸ Ξανθίππης τῆς Σωκράτους
611e γυναικὸς μετὰ τὸν ἐκείνου | θάνατον, ὡς οἱ ἀμφὶ τὸν Ἰδομενέα 10
(*FGrH* 338 F 17c) φασίν. [94] ἀλλ' ὅ γε Λυσίας ἐν τῷ ἐπιγραφο-
μένῳ λόγῳ οὑτωσί, Πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν Χρέως (fr. 1
Carey) — ἀπομνημονεύσω δ' ἐγώ, εἰ καὶ πολλά ἐστι τὰ λεχθέντα,
διὰ τὸν βρένθον ὑμῶν τὸν πολύν, ὦ φιλόσοφοι — ἄρχεται δ' οὕτως
ὁ ῥήτωρ· οὐκ ἄν ποτ' ᾠήθην, ἄνδρες δικασταί, Αἰσχίνην τολμῆσαι 15
οὕτως αἰσχρὰν δίκην δικάσασθαι, νομίζω δ' οὐκ ἂν ῥᾳδίως αὐτὸν
ἑτέραν ταύτης συκοφαντωδεστέραν ἐξευρεῖν· οὗτος γάρ, ὦ ἄνδρες
611f δικασταί, ὀφείλων ἀργύριον | ἐπὶ τρισὶ δραχμαῖς Σωσινόμῳ τῷ
τραπεζίτῃ καὶ Ἀριστογείτονι προσελθὼν πρὸς ἐμὲ ἐδεῖτο μὴ
περιιδεῖν αὐτὸν διὰ τοὺς τόκους ἐκ τῶν ὄντων ἐκπεσόντα. "κατα- 20
σκευάζομαι δέ", ἔφη, "τέχνην μυρεψικήν· ἀφορμῆς δὲ δέομαι, καὶ
612a οἴσω δέ σοι ἐννέ' ὀβολοὺς τῆς μνᾶς τόκους." καλόν γε τέλος ‖ τῆς
εὐδαιμονίας τῷ φιλοσόφῳ ἡ μυρεψικὴ τέχνη ἀκόλουθός τε τῇ
Σωκράτους φιλοσοφίᾳ, ἀνδρὸς καὶ τὴν τοιαύτην χρῆσιν τῶν μύρων
ἀποδοκιμάσαντος (cf. X. *Smp.* 2.3–4), Σόλωνος δὲ τοῦ νομοθέτου 25
(fr. 73b Ruschenbusch) οὐδ' ἐπιτρέποντος ἀνδρὶ τοιαύτης προΐστα-
σθαι τέχνης· διὸ καὶ Φερεκράτης ἐν Ἰπνῷ ἢ Παννυχίδι (fr. 70)
φησί·

κᾆτα μυροπωλεῖν τί μαθόντ' ἄνδρ' ἐχρῆν καθήμενον

612a Eust. p. 974.58 = III.603.14

3 ⟨ἐστὲ⟩ post δὲ add. Kaibel ‖ **4** ἀφιλοσοφώτερον Musurus : φιλοσοφώτερον A | ⟨ἂν⟩ add. Kaibel ‖ **15** ὁ ῥήτωρ A : fort. ut glossa delenda | ἄνδρες A : ⟨ὦ⟩ ἄνδρες Kaibel ‖ **16** νομίζω δ' Sauppe : νομίζων A ‖ **22** τὸ τέλος A : τὸ delevi **24** ἀνδρὸς τοῦ A : τοῦ delevi | τοιαύτην A : del. Kaibel ‖ **29** κᾆτα μυροπωλεῖν Casaubon : καταμυροπωλεῖν A | ἄνδρ' ἐχρῆν Erfurdt : † ἀνδεχρην † A

ὑψηλῶς ὑπὸ σκιαδίῳ, κατεσκευασμένον
συνέδριον, οὗ τοῖς μειρακίοις ἐλάλει δι᾽ ἡμέρας;

εἶθ᾽ ἑξῆς φησιν·

αὐτίκ᾽ οὐδεὶς οὔτε μαγείραιναν | εἶδε πώποτε 612b
5 οὐ μὴν οὐδ᾽ ἰχθυοπώλαιναν·

ἑκάστῳ γὰρ γένει ἁρμόζοντα δεῖ εἶναι καὶ τὰ τῆς τέχνης. ἑξῆς δὲ τούτοις ὁ ῥήτωρ (Lys. fr. 1 Carey) τάδε λέγει· πεισθεὶς δ᾽ ὑπ᾽ αὐτοῦ τοιαῦτα λέγοντος καὶ ἅμα οἰόμενος τοῦτον Σωκράτους γεγονότα μαθητὴν καὶ περὶ δικαιοσύνης καὶ ἀρετῆς πολλοὺς καὶ σεμνοὺς 10 λέγοντα λόγους οὐκ ἄν ποτε ἐπιχειρῆσαι οὐδὲ τολμῆσαι ἅπερ οἱ πονηρότατοι καὶ ἀδικώτατοι ἄνθρωποι ἐπιχειροῦσι πράττειν. [95] καὶ μετὰ ταῦτα πάλιν καταδρομὴν αὐτοῦ ποιησάμενος, ὡς ἐδανείσατο χὠς οὔτε | τόκους οὔτε τἀρχαῖον ἀπεδίδου, καὶ ὅτι ὑπερήμερος ἐγένετο γνώμῃ δικαστηρίου ἐρήμην καταδικασθείς, καὶ ὡς 15 ἠνεχυράσθη οἰκέτης αὐτοῦ στιγματίας, καὶ πολλὰ ἄλλα κατειπὼν αὐτοῦ ἐπιλέγει ταῦτα· ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οὐκ εἰς ἐμὲ μόνον τοιοῦτός ἐστιν ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας τοὺς αὐτῷ κεχρημένους. οὐχ οἱ μὲν κάπηλοι οἱ ἐγγὺς οἰκοῦντες, παρ᾽ ὧν προδόσεις λαμβάνων οὐκ ἀποδίδωσι, δικάζονται αὐτῷ συγκλεί- 20 σαντες τὰ καπηλεῖα, οἱ δὲ γείτονες οὕτως ὑπ᾽ αὐτοῦ | δεινὰ πάσχουσιν ὥστ᾽ ἐκλιπόντες τὰς αὑτῶν οἰκίας ἑτέρας πόρρω μισθοῦνται; ὅσους δ᾽ ἐράνους συνείλεκται, τὰς μὲν ὑπολοίπους φορὰς οὐ κατατίθησιν ⟨…⟩ ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς περὶ στήλην διαφθείρονται. τοσοῦτοι δὲ ἐπὶ τὴν οἰκίαν ἅμα τῇ ἡμέρᾳ 25 ἀπαιτήσοντες τὰ ὀφειλόμενα ἔρχονται ὥστε οἴεσθαι τοὺς παριόντας ἐπ᾽ ἐκφορὰν αὐτοὺς ἥκειν τούτου τεθνεῶτος. οὕτω δ᾽ οἱ ἐν τῷ Πειραιεῖ διάκεινται ὥστε πολὺ ἀσφαλέστερον εἶναι δοκεῖν εἰς τὸν Ἀδρίαν πλεῖν ἢ | τούτῳ συμβάλλειν· πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείσηται αὑτοῦ νομίζει εἶναι ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν. ἀλλὰ γὰρ 30 οὐ τὴν οὐσίαν κέκτηται Ἑρμαίου τοῦ μυροπώλου τὴν γυναῖκα

612c 612d 612e

1 σκιαδίῳ A : σκιαδείῳ Erfurdt ‖ **2** οὗ … ἐλάλει A : οὗ del. Hermann : ἐλλαλεῖν Dobree ‖ **5** οὐ A : οὔτε Dindorf ‖ **8** τοῦτον Αἰσχίνην A : Αἰσχίνην ut glossam del. Kaibel | γεγονότα Sauppe : γεγονέναι A ‖ **12–13** ὡς ἐδανείσατο χὠς scripsi : ὡς ἐδανείσατο ὡς A : ὡς δανεισάμενος Kaibel ‖ **15** οἰκέτης … στιγματίας A : οἰκία … ἐστιγμένη Carey (ἐστιγμμένη scripsit) ‖ **23** lac. indic. Sauppe ‖ **28** συμβάλλειν A : συμβαλεῖν C E

διαφθείρας ἑβδομήκοντα ἔτη γεγονυῖαν; ἧς ἐρᾶν προσποιησάμενος οὕτω διέθηκεν ὥστε τὸν μὲν ἄνδρα αὐτῆς καὶ τοὺς υἱοὺς πτωχοὺς ἐποίησεν, αὐτὸν δὲ ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν· οὕτως ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο τῆς ἡλικίας αὐτῆς ἀπολαύων, ἧς 612f ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι | ἢ τῆς χειρὸς τοὺς δακτύλους. καί 5 μοι ἀνάβητε τούτων μάρτυρες. ὁ μὲν οὖν βίος τοῦ σοφιστοῦ τοιοῦτος. ὁ μὲν οὖν Λυσίας, ὦ Κύνουλκε, οὕτως· ἐγὼ δέ, κατὰ τὸν Ἀρίσταρχον τὸν τραγικὸν ποιητήν (*TrGF* 14 F 4),

τάδ' οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος,

καταπαύσω τὸν πρὸς σὲ καὶ τοὺς ἄλλους κύνας ἐνταῦθα λόγον. 10

5 ἀριθμῆσαι ὅσου ἐλάττους ἦσαν A C E : ὅσου ἐλάττους ἦσαν ut glossam del. Casaubon ‖ **10** Ἀθηναίου Ναυκρατίτου Δειπνοσοφιστῶν· ΙΓ´ — περὶ γυναικῶν post λόγον add. A

ΙΔ

[1] τὸν Διόνυσον, ἑταῖρε Τιμόκρατες, μαινόμενον οἱ πολλοὶ λέγουσιν ἀπὸ τοῦ τοὺς πλείονος ἀκράτου σπῶντας θορυβώδεις γίνεσθαι (*Od.* 21.293–8)· 613a

οἶνός σε τρώει μελιηδής, ὅς τε καὶ ἄλλους
5 βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ μηδ᾽ αἴσιμα πίνῃ.
οἶνος καὶ κένταυρον, ἀγακλυτὸν Εὐρυτίωνα, 295
ὤλεσ᾽ ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,
ἐς Λαπίθας ἐλθόνθ᾽. ὁ δ᾽ ἐπεὶ φρένας ἄασεν οἴνῳ, |
μαινόμενος κάκ᾽ ἔρεξε δόμοις ἐνὶ Πειριθόοιο· 613b

10 κατιόντος γοῦν τοῦ οἴνου ἐς τὸ σῶμα, ὥς φησιν Ἡρόδοτος (1.212.2), ἐπαναπλέει κακὰ ἔπεα καὶ μαινόμενα· Κλέαρχός τε ὁ κωμῳδιοποιὸς ἐν Κορινθίοις (fr. 3) φησίν·

εἰ τοῖς μεθυσκομένοις ἑκάστης ἡμέρας
ἀλγεῖν συνέβαινε τὴν κεφαλὴν πρὸ τοῦ πιεῖν
15 τὸν ἄκρατον, ἡμῶν οὐδὲ εἷς ἔπινεν ἄν.
νῦν δὲ πρότερόν γε τοῦ πόνου τὴν ἡδονὴν
προλαμβάνοντες ὑστεροῦμεν τἀγαθοῦ. | 5

Ξενοφῶντος δὲ τὸν Ἀγησίλαον (*Ages.* 5.1)· μέθης μὲν ἀπέχεσθαι ὁμοίως ᾤετο χρῆναι καὶ μανίας, σίτων δὲ ὑπερκαίρων ὁμοίως καὶ 613c
20 ἀργίας. ἀλλ᾽ οὐχ ἡμεῖς γε οὔτε τῶν πλεῖον πινόντων ὄντες ⟨οὔτε⟩ τῶν ἐξοίνων γινομένων πληθούσης ἀγορᾶς ἐπὶ τὰ μουσικὰ ταῦτα ἐρχόμεθα συμπόσια· καὶ γὰρ ὁ φιλεπιτιμητὴς Οὐλπιανὸς πάλιν τινὸς ἐπείληπτο εἰπόντος· ἔξοινος οὔκ εἰμι, λέγων· ὁ δ᾽ ἔξοινος ποῦ; καὶ ὅς· παρ᾽ Ἀλέξιδι ἐν Εἰσοικιζομένῳ (fr. 64)·

25 ἔξοινος ἐποίει ταῦτά γ᾽,

613a–b Eust. p. 1156.2–4 = IV.226.1–3

2 πλείονος Bedrot : πλείονας A C E Eust. ‖ **7** ὤλεσ᾽ A : ἄασ᾽ Hom. | ἐνὶ μεγάρῳ Hom. et B M P Mus : † ἐνιμμεγαρωι † A ‖ **8** ἐλθόνθ᾽ Hom. et Mus : ἐλθόντα A ‖ **9** δόμοις ἐνὶ A : δόμον κάτα Hom. ‖ **18** ἀπέχεσθαι A C E : ἀποσχέσθαι Xen. ‖ **19** ὑπερκαίρων A C E : ὑπὲρ καιρόν Xen. ‖ **20** γε, i.e. ΓΕ M P Mus : τε, i.e. ΤΕ A | ⟨οὔτε⟩ add. Casaubon ‖ **25** γ᾽, i.e. Γ Kaibel (γε scripsit) : τ᾽, i.e. Τ A : om. B M P Mus

ἔφη. [2] ἐπεὶ δὲ ἑκάστης ἡμέρας μετὰ τοὺς παρ᾽ ἡμῶν καινοὺς ἀεὶ
613d λεγομένους | λόγους καὶ ἀκροάματα ἑκάστοτε διάφορα ἐπεισάγει
ὁ λαμπρὸς ἡμῶν ἑστιάτωρ Λαρήνσιος ἔτι τε καὶ γελωτοποιούς,
φέρε λέγωμέν τι καὶ ἡμεῖς περὶ τούτων. καίτοι γε οἶδα καὶ
Ἀνάχαρσιν τὸν Σκύθην (A11A Kindstrand) ἐν συμποσίῳ γελωτο- 5
ποιῶν εἰσαχθέντων ἀγέλαστον διαμείναντα, πιθήκου δ᾽ ἐπεισα-
χθέντος γελάσαντα φάναι ὡς· "οὗτος μὲν φύσει γελοῖός ἐστιν, ὁ δ᾽
ἄνθρωπος ἐπιτηδεύει." καὶ Εὐριπίδης δὲ ἐν τῇ Δεσμώτιδι Μελα-
νίππῃ (fr. 492) ἔφη·

ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος οὕνεκα 10
ἀσκοῦσι χάριτας κερτόμους. ἐγὼ δέ πως
μισῶ γελοίους οἵτινες † τι εἶτι † σοφῶν ‖
614a ἀχάλιν᾽ ἔχουσι στόματα, κἀς ἀνδρῶν μὲν οὐ
τελοῦσιν ἀριθμόν, ἐν γέλωτι δ᾽ εὐπρεπεῖς. 5

οἰκοῦσι δ᾽ οἴκους καὶ τὰ ναυστολούμενα 15
ἔσω δόμων σῴζουσι. (E. fr. 494.9–10)

Παρμενίσκος δὲ ὁ Μεταποντῖνος, ὥς φησι Σῆμος ἐν πέμπτῳ
Δηλιάδος (*FGrH* 396 F 10), καὶ γένει καὶ πλούτῳ πρωτεύων εἰς
Τροφωνίου καταβὰς καὶ ἀνελθὼν οὐκέτι γελᾶν ἠδύνατο· καὶ
χρηστηριαζομένῳ περὶ τούτου ἡ Πυθία ἔφη (Delphic Oracle Q185 20
Fontenrose)·

εἴρῃ μ᾽ ἀμφὶ γέλωτος, ἀμείλιχε, μειλιχίοιο. |
614b δώσει σοι μήτηρ οἴκοι· τὴν ἔξοχα τῖε.

ἐλπίζων δ᾽ ἂν ἐπανέλθῃ εἰς τὴν πατρίδα γελάσειν, ὡς οὐδὲν ἦν
πλέον, οἰόμενος ἐξηπατῆσθαι ἔρχεταί ποτε κατὰ τύχην εἰς Δῆλον· 25
καὶ πάντα τὰ κατὰ τὴν νῆσον θαυμάζων ἦλθε καὶ εἰς τὸ Λητῷον

613d–14a Eust. pp. 1836.62–3, 1837.1 = ii.166.36–40

1 ἀεὶ B M P Mus : αἰεὶ A ‖ **8** ἐπιτηδεύει A C E : ἐπιτηδεύεται Eust. : ἐπιτηδεύσει M P Mus ‖ **10** οὕνεκα A : εἵνεκα E Eust. : ἕνεκα C ‖ **12** † τι εἶτι † A : τήτῃ Wilamowitz, ducente Dindorf ‖ **13** ἀχάλιν᾽ M P Mus : ἀχάλινα A C E | κἀς Kaibel : καὶ εἰς A C E : κεὶς M P Mus ‖ **15** οἰκοῦσι δ᾽ A C E : οἰκοῦσιν Meineke : νέμουσι δ᾽ *P.Oxy.* 1176 ‖ **16** σῴζουσι A C[s] E[s] : κομίζουσι C E **19** ἠδύνατο C E : ἐδύνατο A ‖ **23** οἴκοι Meineke : † οἰκω † A : οἴκῳ vel οἴκω C E B M P Mus

νομίζων τῆς Ἀπόλλωνος μητρὸς ἄγαλμά τι θεωρήσειν ἀξιόλογον. ἰδὼν δ᾽ αὐτὸ ξύλιον ὂν ἄμορφον παραδόξως ἐγέλασε· καὶ τὸν τοῦ θεοῦ χρησμὸν συμβαλὼν καὶ τῆς ἀρρωστίας ἀπαλλαγεὶς μεγαλωστὶ τὴν θεὸν ἐτίμησεν. [3] Ἀναξανδρίδης | δ᾽ ἐν Γεροντομανίᾳ (fr. 614c
5 10) καὶ εὑρετὰς τῶν γελοίων φησὶ γενέσθαι Ῥαδάμανθυν καὶ Παλαμήδην λέγων οὕτω·

> καίτοι πολλοί γε πονοῦμεν.
> τὸν ἀσύμβολον εὗρε γέλοια λέγειν Ῥαδάμανθυς καὶ
> Παλαμήδης.

10 γελωτοποιοῦ δὲ μέμνηται Ξενοφῶν ἐν τῷ Συμποσίῳ (1.11) Φιλίππου, περὶ οὗ καὶ οὑτωσὶ λέγει· Φίλιππος δ᾽ ὁ γελωτοποιὸς κρούσας τὴν θύραν εἶπε τῷ ὑπακούσαντι εἰσαγγεῖλαι ὅστις τε εἴη καὶ διότι κατάγεσθαι βούλεται· συνεσκευασμένος δὲ ἔφη παρεῖναι πάντα τἀπιτήδεια ὥστε | δειπνεῖν τἀλλότρια, καὶ τὸν παῖδα δ᾽ ἔφη 614d
15 πάνυ πιέζεσθαι διά τε τὸ φέρειν μηδὲν καὶ διὰ τὸ ἀνάριστον εἶναι. Ἱππόλοχος δ᾽ ὁ Μακεδὼν ἐν τῇ Πρὸς Λυγκέα ἐπιστολῇ (cf. 4.130c) γελωτοποιῶν μέμνηται Μανδρογένους καὶ Στράτωνος τοῦ Ἀττικοῦ. πλῆθος δ᾽ ἦν Ἀθήνησι τῆς σοφιστείας ταύτης· ἐν γοῦν τῷ Διομέων Ἡρακλείῳ συνελέγοντο ἑξήκοντα ὄντες τὸν ἀριθμὸν καὶ
20 ἐν τῇ πόλει δὲ ὠνομάζοντο ὡς· "οἱ ἑξήκοντα τοῦτ᾽ εἶπον", καί· "ἀπὸ τῶν ἑξήκοντα ἔρχομαι." ἐν δὲ τούτοις ἦσαν Καλλιμέδων τε ὁ Κάραβος καὶ | Δεινίας, ἔτι τε Μνασιγείτων καὶ Μέναιχμος, ὥς 614e φησι Τηλεφάνης ἐν τῷ Περὶ τοῦ Ἄστεος (*FHG* iv.507). τοσαύτη δ᾽ αὐτῶν δόξα τῆς ῥᾳθυμίας ἐγένετο ὥστε καὶ Φίλιππον ἀκούσαντα
25 τὸν Μακεδόνα πέμψαι αὐτοῖς τάλαντον, ἵν᾽ ἐκγραφόμενοι τὰ γελοῖα πέμπωσιν αὐτῷ. ὅτι δὲ ἦν περὶ τὰ γελοῖα ἐσπουδακὼς ὁ βασιλεὺς οὗτος μαρτυρεῖ Δημοσθένης ὁ ῥήτωρ ἐν τοῖς Φιλιππικοῖς (2.19). φιλόγελως δὲ ἦν καὶ Δημήτριος ὁ Πολιορκητής, ὥς φησι Φύλαρχος ἐν τῇ ἕκτῃ τῶν Ἱστοριῶν (*FGrH* 81 F 12)· ὅς γε καὶ τὴν

2 ξύλιον ὂν scripsi : ξύλινον A C E : ξύλον ὂν Meineke ‖ **3** συμβαλὼν C E : συμβάλλων A ‖ **4** θεὸν A : Λητὼ C E ‖ **10** γελωτοποιοῦ C E : γελοτοποιῶν A : γελωτοποιῶν B M P : γελωτοποιοῦν Musurus ‖ **10–11** Φιλίππου μέν A : μέν delevi ‖ **13** βούλεται A : βούλοιτο Xen. ‖ **18** σοφιστείας C E : σοφίας A **20** δὲ ὠνομάζοντο A : δὲ ἐλέγετο C E : διωνομάζοντο Kaibel | ὡς A C E : fort. οὕτως ‖ **22** Δεινίας C E M P Mus : Δινίας A | Μέναιχμος C E M P Mus : Μαίνεχμος A ‖ **24** ὥστε C E : ὡς A ‖ **25** ἐκγραφόμενοι E[s] : ἐγγραφόμενοι A C E ‖ **26** πέμπωσιν A : πέμποιεν C E

614f Λυσιμάχου αὐλὴν | κωμικῆς σκηνῆς οὐδὲν διαφέρειν ἔλεγεν· ἐξιέναι γὰρ ἀπ᾽ αὐτῆς πάντας δισυλλάβους, τόν τε Βῖθυν χλευάζων καὶ τὸν Πάριν, μεγίστους ὄντας παρὰ τῷ Λυσιμάχῳ, καί τινας ἑτέρους τῶν φίλων· παρὰ δ᾽ αὑτοῦ Πευκέστας καὶ Μενελάους, ἔτι δὲ Ὀξυθέμιδας. ταῦτα δ᾽ ἀκούων ὁ Λυσίμαχος, "ἐγὼ τοίνυν", ἔφη, 5 "πόρνην ἐκ τραγικῆς σκηνῆς οὐχ ἑώρακα ἐξιοῦσαν," τὴν
615a αὐλητρίδα Λαμίαν λέγων. ‖ ἀπαγγελθέντος δὲ καὶ τούτου πάλιν ὑπολαβὼν ὁ Δημήτριος ἔφη· "ἀλλ᾽ ἡ παρ᾽ ἐμοὶ πόρνη σωφρονέστερον τῆς παρ᾽ ἐκείνῳ Πηνελόπης ζῇ." [4] ὅτι δὲ καὶ Σύλλας ὁ Ῥωμαίων στρατηγὸς φιλόγελως ἦν προείρηται (6.261c). Λεύκιος 10 δὲ Ἀνίκιος, καὶ αὐτὸς Ῥωμαίων στρατηγήσας, Ἰλλυριοὺς καταπολεμήσας καὶ αἰχμάλωτον ἀγαγὼν Γένθιον τὸν τῶν Ἰλλυριῶν βασιλέα σὺν τοῖς τέκνοις ἀγῶνας ἐπιτελῶν τοὺς ἐπινικίους ἐν τῇ Ῥώμῃ παντὸς γέλωτος ἄξια πράγματα ἐποίησεν, ὡς Πολύβιος
615b ἱστορεῖ ἐν τῇ τριακοστῇ (30.22)· | μεταπεμψάμενος γὰρ τοὺς ἐκ 15 τῆς Ἑλλάδος ἐπιφανεστάτους τεχνίτας καὶ σκηνὴν κατασκευάσας μεγίστην ἐν τῷ κίρκῳ πρώτους εἰσήγαγεν αὐλητάς ἅμα πάντας. οὗτοι δ᾽ ἦσαν Θεόδωρος ὁ Βοιώτιος, Θεόπομπος ⟨ὁ ...⟩, Ἕρμιππος ὁ Λυσιμαχεύς, οἵτινες ἐπιφανέστατοι ἦσαν. τούτους οὖν στήσας ἐπὶ τὸ προσκήνιον μετὰ τοῦ χοροῦ αὐλεῖν ἐκέλευσεν ἅμα 20 πάντας. τῶν δὲ διαπορευομένων τὰς κρούσεις μετὰ τῆς ἁρμοζούσης κινήσεως προσπέμψας οὐκ ἔφη καλῶς αὐτοὺς αὐλεῖν, ἀλλ᾽
615c ἀγωνίζεσθαι | μᾶλλον ἐκέλευε. τῶν δὲ διαπορούντων ὑπέδειξέ τις τῶν ῥαβδούχων ἐπιστρέψαντας ἐπαγαγεῖν ἐφ᾽ αὑτοὺς καὶ ποιεῖν ὡσανεὶ μάχην. ταχὺ δὲ συννοήσαντες οἱ αὐληταὶ καὶ λαβόντες 25 οἰκείαν ⟨...⟩ ταῖς ἑαυτῶν ἀσελγείαις μεγάλην ἐποίησαν σύγχυσιν.

615a Eust. p. 1015.62 = III.731.1–2

8 ἐμοὶ C E : ἐμοῦ A ‖ **12** Γένθιον Schweighäuser, cf. 10.440a : Γένιον A C E : Γένιος (structura mutata) Eust. : Γέντιον E[corr.] et Bedrot ‖ **17** εἰσήγαγεν C E : εἰσῆγεν A | αὐλητάς ἅμα πάντας A : ἅμα πάντας om. C E, cf. αὐλεῖν ἐκέλευσεν ἅμα πάντας infra ‖ **18** Θεόπομπος ⟨ὁ Ἑρμιονεύς⟩ Meineke **18–19** Ἕρμιππος ὁ Λυσιμαχεύς Schweighäuser, ducente Casaubon : Ἕρμιππος ὁ Λυσίμαχος A : Ἕρμιππον (structura mutata) C E : ὁ del. Kaibel ‖ **23** ἐκέλευε A : ἐκέλευσε C E ‖ **24** ἐπαγαγεῖν ἐφ᾽ αὑτοὺς (vel ἐπ᾽ αὐτοὺς) Schweighäuser : ἀπαγαγεῖν ἐπ᾽ αὐτοὺς A : ἀπαγαγεῖν ἑαυτοὺς C E **26** οἰκείαν Casaubon : οἰκίαν A | lac. indic. Bedrot : post λαβόντες indic. Casaubon

συνεπιστρέψαντες δὲ τοὺς μέσους χοροὺς πρὸς τοὺς ἄκρους οἱ μὲν αὐληταὶ φυσῶντες ἀδιανόητα καὶ διαφέροντες τοὺς αὐλοὺς ἐπῆγον ἀνὰ μέρος ἐπ᾽ ἀλλήλους, ἅμα δὲ τούτοις ἐπικτυποῦντες οἱ χοροὶ καὶ συνεπισείοντες τὴν σκευὴν | ἐπεφέροντο τοῖς ἐναντίοις καὶ 615d
5 πάλιν ἀνεχώρουν ἐκ μεταβολῆς. ὡς δὲ καὶ περιζωσάμενός τις τῶν χορευτῶν ἐκ τοῦ καιροῦ στραφεὶς ἦρε τὰς χεῖρας ἀπὸ πυγμῆς πρὸς τὸν ἐπιφερόμενον αὐλητήν, τότ᾽ ἤδη κρότος ἐξαίσιος ἐγένετο καὶ κραυγὴ τῶν θεωμένων. ἔτι δὲ τούτων ἐκ παρατάξεως ἀγωνιζομένων ὀρχησταὶ δύο εἰσήγοντο μετὰ συμφωνίας εἰς τὴν ὀρχήστραν,
10 καὶ πύκται τέσσαρες ἀνέβησαν ἐπὶ τὴν σκηνὴν μετὰ σαλπιγκτῶν καὶ βυκανιστῶν. ὁμοῦ δὲ τούτων πάντων ἀγωνιζομένων ἄλεκτον ἦν τὸ συμβαῖνον. | περὶ δὲ τῶν τραγῳδῶν, φησὶν ὁ Πολύβιος, ὅ τι 615e ἂν ἐπιβάλωμαι λέγειν, δόξω τισὶν διαχλευάζειν.

[5] ταῦτα τοῦ Οὐλπιανοῦ διεξελθόντος καὶ πάντων ἀνακαγχα-
15 σάντων ἐπὶ ταῖς Ἀνικίκαις ταύταις θέαις ἐγένοντό τινες λόγοι καὶ περὶ τῶν καλουμένων πλάνων, καὶ ἐζητεῖτο εἰ μνήμη τις καὶ περὶ τούτων ἐγένετο παρὰ τοῖς παλαιοτέροις· περὶ γὰρ θαυματοποιῶν ἤδη προειρήκαμεν (1.19e–20a). καὶ ὁ Μάγνος ἔφη· Διονύσιος μὲν ὁ Σινωπεὺς ὁ τῆς κωμῳδίας ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ
20 Ὁμωνύμῳ (fr. 4) μνημονεύει Κηφισοδώρου τοῦ πλάνου διὰ τούτων·

Κηφισόδωρόν φασιν ἐπικαλούμενον
πλάνον τιν᾽ ἐν Ἀθήναις | γενέσθαι τὴν σχολὴν 615f
εἰς τοῦτο τὸ μέρος τοῦ βίου καταχρώμενον.
25 τοῦτον ἐντυχόντα † πρὸς τὸ σιμὸν ἀνατρέχειν
ἢ συγκαθεῖναι † τηπι † τῇ βακτηρίᾳ. 5

μνημονεύει δ᾽ αὐτοῦ καὶ Νικόστρατος ἐν Σύρῳ (fr. 25)·

615d Eust. p. 1242.42–3 = IV.524.3–4

1 συνεπιστρέψαντες A Cˢ Eˢ : συνεπιστρέφοντες C E ‖ **2** ἐπῆγον Kaibel : ἀπῆγον A C E ‖ **4** συνεπισείοντες τὴν σκευὴν Hermann : συνεπεισιόντες τὴν σκηνὴν A C E ‖ **6** καιροῦ A : χοροῦ B : fort. κέρως ‖ **10–11** σαλπιγκτῶν καὶ βυκανιστῶν E B Eust. : σαλπιγκτῶν καὶ κυκανιστῶν C : σαλπικτῶν καὶ βυκανητῶν A ‖ **13** ἂν Dindorf : ἐὰν A ‖ **15** Ἀνικίκαις scripsi : Ἀνικίοις A : ἀνοικείαις M P Mus ‖ **19** τῆς ⟨μέσης⟩ κωμῳδίας Gulick ‖ **20** Ὁμωνύμῳ A : Ὁμώνυμοι Schweighäuser, cf. 9.381c ‖ **22** φα(σιν) C E : φησιν A

Κηφισόδωρον οὐ κακῶς μὰ τὸν Δία
τὸν πλάνον φασὶ στενωπὸν εἰς στενὸν στῆσαί τινας
ἀγκαλίδας ἔχοντας, ὥστε μὴ παρελθεῖν μηδένα. ‖

616a Πανταλέοντος δὲ μνημονεύει Θεόγνητος ἐν Φιλοδεσπότῳ (fr. 2)·

ὁ Πανταλέων μὲν αὐτὸς αὐτοὺς τοὺς ξένους 5
τούς τ' ἀγνοοῦντας αὐτὸν ἐπλάνα, καὶ σχεδὸν
ἀπεκραιπάλα τὰ πλεῖστα τοῦ γελάσαι χάριν
ἰδίαν τιν' αὐτῷ θέμενος ἀδολεσχίαν.

καὶ Χρύσιππος δ' ὁ φιλόσοφος ἐν πέμπτῳ Περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς (xxviii fr. 7, *SVF* iii.199) περὶ τοῦ Πανταλέοντος τάδε 10
616b γράφει· ὁ δὲ πλάνος Πανταλέων τελευτᾶν | μέλλων ἑκάτερον τῶν υἱῶν κατ' ἰδίαν ἐξηπάτησε φήσας μόνῳ αὐτῷ λέγειν ὅπου κατωρύχοι τὸ χρυσίον· ὥστε μάτην ὕστερον κοινῇ σκάπτοντας αἰσθέσθαι ἐξηπατημένους.

[6] οὐκ ἠπόρει δ' ἡμῶν τὸ συμπόσιον οὐδὲ τῶν φιλοσκωπτούν- 15 των. περὶ δὲ τοιούτου τινὸς πάλιν ὁ Χρύσιππος ἐν τῷ αὐτῷ (xxviii fr. 8, *SVF* iii.199) γράφει· φιλοσκώπτης τις μέλλων ὑπὸ τοῦ δημίου σφάττεσθαι † εἰπεῖν † ἔφη θέλειν ὥσπερ τὸ κύκνειον ᾄσας ἀποθανεῖν· ἐπιτρέψαντος δ' ἐκείνου ἔσκωψεν. ὑπὸ δὴ τῶν τοιούτων
616c πολλάκις ὁ Μυρτίλος | σκωφθέντα καὶ ἀγανακτήσαντα εἶπε 20 καλῶς Λυσίμαχον τὸν βασιλέα πεποιηκέναι· Τελέσφορον γὰρ ἕνα τῶν ὑπάρχων αὐτοῦ, ἐπειδὴ ἔσκωψέ ποτε ἐν συμποσίῳ τὴν Ἀρσινόην (γυνὴ δ' ἦν τοῦ Λυσιμάχου) ὡς ἐμετικὴν οὖσαν εἰπών·

"κακῶν κατάρχεις τήνδ' ἐμοῦσαν εἰσάγων," (cf. E. fr. 183.1)

ὁ Λυσίμαχος ἀκούσας ἐμβληθῆναι αὐτὸν ἐκέλευσεν εἰς γαλεάγραν 25 καὶ δίκην θηρίου περιφερόμενον καὶ τρεφόμενον, κολαζόμενον ⟨δ'⟩ οὕτως ἐποίησεν ἀποθανεῖν. σὺ δέ, ὦ Οὐλπιανέ, εἰ τὴν γαλεάγραν

2 στενὸν A : μέσον Kock ‖ **8** τιν' M P Mus : τινὰ A ‖ **12** λέγειν ὅπου A : λέξειν ὅποι C E ‖ **15** ἡμῶν M P Mus : ὑμῶν A ‖ **17** τις C E : om. A **17–18** ὑπὸ τοῦ δημίου σφάττεσθαι A : ὑπὸ Δημη^{τρ}, i.e. Δημητρίου ... ἀναιρεθῆναι C E ‖ **18** εἰπεῖν ἔφη A : εἶπε C E : ἔτι ἕν τι ἔφη Kaibel : fort. εἰπών τι ἔφη ‖ **20** σκωφθέντα καὶ ἀγανακτήσαντα Kaibel : σκωφθεὶς καὶ ἀγανακτήσας A ‖ **22** ἔσκωψέ A : ἔσκωπτέ C E ‖ **24** τήνδ' ἐμοῦσαν A C E : τήνδε μοῦσαν Eur. ‖ **26** ⟨δ'⟩ addidi

ζητεῖς, ἔχεις παρ' | Ὑπερείδῃ τῷ ῥήτορι (fr. 34 Jensen)· ὅπου δέ, σὺ 616d
ζήτει. καὶ Ταχὼς δ' ὁ Αἰγυπτίων βασιλεὺς Ἀγησίλαον σκώψας
τὸν Λακεδαιμονίων βασιλέα, ὅτ' ἦλθεν αὐτῷ συμμαχήσων (ἦν γὰρ
βραχὺς τὸ σῶμα), ἰδιώτης ἐγένετο ἀποστάντος ἐκείνου τῆς συμμα-
5 χίας. τὸ δὲ σκῶμμα τοῦτ' ἦν·

ὤδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκεν μῦν·

ὅπερ ἀκούσας ὁ Ἀγησίλαος καὶ ὀργισθεὶς ἔφη· "φανήσομαί σοί
ποτε καὶ λέων·" ὕστερον γὰρ ἀφισταμένων τῶν Αἰγυπτίων, ὥς
φησι Θεόπομπος (*FGrH* 115 F 108) καὶ Λυκέας ὁ Ναυκρατίτης ἐν
10 τοῖς | Αἰγυπτιακοῖς (*FGrH* 613 F 2), οὐδὲν αὐτῷ συμπράξας ἐποίη- 616e
σεν ἐκπεσόντα τῆς ἀρχῆς φυγεῖν εἰς Πέρσας.

[7] πολλῶν οὖν πολλάκις ὄντων τῶν ἀκροαμάτων καὶ τῶν
αὐτῶν οὐκ ἀεί, ἐπειδὴ πολλοὶ περὶ αὐτῶν ἐγίνοντο λόγοι, τὰ
ὀνόματα τῶν εἰπόντων παραλιπὼν τῶν πραγμάτων
15 μνησθήσομαι· περὶ μὲν γὰρ αὐλῶν ὁ μέν τις ἔφη τὸν
Μελανιππίδην καλῶς ἐν τῷ Μαρσύᾳ (*PMG* 758) διασύροντα τὴν
αὐλητικὴν εἰρηκέναι περὶ τῆς Ἀθηνᾶς·

ἁ μὲν Ἀθάνα
ὄργαν' ἔρριψέν θ' ἱερᾶς ἀπὸ χειρὸς
20 εἶπέ τ'· "ἔρρετ' αἴσχεα, σώματι λύμα·
ἐμὲ δ' ἐγὼ κακότατι δίδωμι."

πρὸς ὃν ἀντιλέγων | ἄλλος ἔφη· ἀλλ' ὅ γε Σελινούντιος Τελέστης 616f
τῷ Μελανιππίδῃ ἀντικορυσσόμενος ἐν Ἀργοῖ (*PMG* 805a) ἔφη· ὁ
δὲ λόγος ἐστὶ περὶ τῆς Ἀθηνᾶς·

25 ὃν † σοφὸν σοφὰν λαβοῦσαν οὐκ ἐπέλπομαι νόῳ
δρυμοῖς ὀρείοις ὄργανον

616d–e Eust. p. 1642.43–54 = i.360.20–6

1 Ὑπερείδῃ M P Mus : Ὑπερίδῃ A ‖ **2** Ταχὼς vel Τάχως C E Eust. Mus : † ταχαως † A ‖ **13** ἀεί B M P Mus : αἰεί A ‖ **18** Ἀθάνα C E : ἀθάνατα A **19** ὄργαν' Dindorf : ὄργανα A C E : τὤργαν' Bergk | ἔρριψέν θ' Grotefend ap. Schweighäuser : ἔρριψέ τε A : ἔρριψεν C E ‖ **20** τ' ἔρρετ' Dindorf : τε ἔρρετε vel τε· ἔρρετε A C E | λύμα A C E : λύμη A[s] ‖ **21** κακότατι A C E : κακότητι A[s] M P Mus ‖ **26** ὀρείοις Musurus : † οριοις † A

δίαν Ἀθάναν δυσόφθαλμον αἶσχος ἐκφοβη-
θεῖσαν αὖθις ἐκ χερῶν βαλεῖν
νυμφαγενεῖ χειροκτύπῳ φηρὶ Μαρσύᾳ κλέος· ‖
617a τί γάρ νιν εὐηράτοιο κάλλεος ὀξὺς ἔρως ἔτειρεν, 5
ᾇ γὰρ παρθενίαν ἀγανὸν καὶ ἄπαιδ' ἀπένειμε Κλωθώ;, 5

ὡς οὐκ ἂν εὐλαβηθείσης τὴν αἰσχρότητα τοῦ εἴδους διὰ τὴν παρθενίαν· ἑξῆς τέ φησιν (Telest. *PMG* 805b)·

ἀλλὰ μάταν ἀναχόρευτος ἅδε ματαιολόγων
φήμα προσέπταθ' Ἑλλάδα μουσοπόλων,
σοφᾶς ἐπίφθονον βροτοῖς τέχνας ὄνειδος. 10

μετὰ ταῦτα δὲ ἐγκωμιάζων τὴν αὐλητικὴν λέγει (Telest. *PMG* 805c)·

τὰν συνεριθοτάταν Βρομίῳ παρέδωκε σεμνᾶς
δαίμονος ἀερθὲν πνεῦμ' αἰολοπτερύγων
617b σὺν ἀγλαᾶν ὠκύτατι | χειρῶν. 15

κομψῶς δὲ κἀν τῷ Ἀσκληπιῷ ὁ Τελέστης (*PMG* 806) ἐδήλωσε τὴν τῶν αὐλῶν χρείαν ἐν τούτοις·

ἢ Φρύγα καλλιπνόων αὐλῶν ἱερῶν βασιλῆα,
Λυδὸν ὃς ἥρμοσε πρῶτος
Δουρίδος ἀντίπαλον Μούσης † νομοαιολονορφναι † 20
πνεύματος εὔπτερον αὔραν ἀμφιπλέκων καλάμοις.

1 Ἀθάναν A : Ἀθηνᾶν A[s] : Ἀθην[(αν)] C : Ἀ[θν] E ‖ **2** ἐκ χερῶν βαλεῖν A C E : χερῶν ἐκβαλεῖν Wilamowitz ‖ **4** ἔτειρεν, i.e. -ΤΕΙΡΕΝ A : ἤγειρεν, i.e. -ΓΕΙΡΕΝ C E ‖ **5** γὰρ A : del. Dobree | ἀγανὸν A : ἄγαμον Casaubon **8** μάταν ἀναχόρευτος C E B P Mus : μὰ τὰν ἀναχόρευτος M : † ματαναναχορευτος † A : μάταν ἀχόρευτος Grotefend ‖ **9** φήμα A C E : φήμη A[s] : φάμα Meineke | προσέπταθ' Dindorf : προσέπτατο A C E **10** τέχνας A C E : τέχνης A[s] ‖ **11–13** λέγει· τὰν, i.e. -ΤΑΝ Musurus : † λεγεγαν †, i.e. -ΓΑΝ A : λέγει· ἂν Kaibel ‖ **13** συνεριθοτάταν Hecker : † ουμεριθοταταν † A : περιθεοτάταν Musurus | σεμνᾶς A : σεμνῆς A[s] **14** ἀερθὲν, i.e. -ΘΕΝ A : ἀερόεν, i.e. -ΟΕΝ Bergk | αἰολοπτερύγων A : ἀελλοπτερύγων Musurus : αἰολοπτέρυγον Hartung ‖ **15** ὠκύτατι A : ὠκύτητι A[s] ‖ **16** κομψῶς Schweighäuser : † κομψω † A ‖ **19** Λυδὸν ὃς, i.e. ΛΥΔ- Huschke : † ἀυδονοσ †, i.e. ΑΥΔ- A | ἥρμοσε Grotefend : † ηροσε † A **20** Δουρίδος A : Δωρίδος Schweighäuser | Μούσης A : Μούσας Page

[**8**] Πρατίνας δὲ ὁ Φλιάσιος αὐλητῶν καὶ χορευτῶν μισθοφόρων κατεχόντων τὰς ὀρχήστρας ἀγανακτεῖν τινάς ἐπὶ τῷ τοὺς αὐλητὰς μὴ συναυλεῖν τοῖς χοροῖς, | καθάπερ ἦν πάτριον, ἀλλὰ τοὺς χοροὺς συνᾴδειν τοῖς αὐληταῖς. ὃν οὖν εἶχε κατὰ τῶν ταῦτα ποιούντων θυμὸν ὁ Πρατίνας (*PMG* 708) ἐμφανίζει διὰ τοῦδε τοῦ ὑπορχήματος· 617c

τίς ὁ θόρυβος ὅδε; τί τάδε τὰ χορεύματα;
τίς ὕβρις ἔμολεν ἐπὶ Διονυσιάδα πολυπάταγα θυμέλαν;
ἐμὸς ἐμὸς ὁ Βρόμιος, ἐμὲ δεῖ κελαδεῖν, | ἐμὲ δεῖ παταγεῖν (617d)
ἀν᾽ ὄρεα σύμενον μετὰ Ναΐδων
οἷά τε κύκνον ἄγοντα ποικιλόπτερον μέλος. (5)
τὰν ἀοιδὰν κατέστασε Πιερὶς βασίλειαν· ὁ δ᾽ αὐλὸς
ὕστερον χορευέτω· καὶ γάρ ἐσθ᾽ ὑπηρέτας.
κωμῶν μόνον θυραμάχοις τε πυγμαχίαισι | νέων θέλει † [πάροινον (617e)
ἔμμεναι στρατηλάτας.
παῖε τὸν φρυνεοῦ ποικίλαν πνοὰν ἔχοντα, (10)
φλέγε τὸν ὀλοσιαλοκάλαμον
λαλοβαρύοπα παραμελορυθμοβάταν
θ᾽ ὑπαὶ τρυπάνῳ δέμας πεπλασμένον.
ἦν ἰδού· ἅδε | σοι δεξιᾶς καὶ ποδὸς διαρριφά· (617f)
θριαμβοδιθύραμβε κισσόχαιτ᾽ ἄναξ, (15)
ἄκουε τὰν ἐμὰν Δώριον χορείαν.

617e Eust. p. 1165.25 = IV.264.11–12

10 Ναΐδων, i.e. ΝΑΙΔ- A C E : Ναϊάδων, i.e. ΝΑΙΑΔ- Fiorello ‖ **12** κατέστασε Πιερὶς βασίλειαν Heringa, Bergk : † κατεστας ἐπιερεισβασιλεια † A ὁ δ᾽ C E : οὐδ᾽ A ‖ **14** κωμῶν μόνον A : κώμων μόνων C E : κώμῳ μόνον Bergk | θυραμάχοις A E[s] : θηρομάχοις E : θῆροαμάχοις (v.ll. θ᾽ ἤρο- et θ᾽ ἤρα- in unam confusas) C | θέλει, i.e. ΘΕΛΕΙ scripsi, ducente Wilamowitz (θέλοι) : † θεα † εἰ, i.e. ΘΕΑΕΙ A : θέα vel θεά C E ‖ **15** πάροινον A : παροίνων Bergk ‖ **17** φρυνεοῦ Girard : † φρυναιου † A ‖ **18** ὀλοσιαλοκάλαμον A C : ὀλοσιαλοκάλαμος (structura mutata) Eust. : ὀλοσιακάλαμον E : ὀλεσισιαλοκάλαμον Bergk ‖ **19** λαλοβαρύοπα παραμελορυθμοβάταν Bergk : † λαλοβαρυοπαραμελορυθμοβαταν † A : λαλοβαρυπαραμελορυθμοβάταν C E ‖ **20** θ᾽ ὑπαὶ Emperius : † θυπα † A : θ᾽ del. Page ‖ **21** δεξιᾶς Bamberger : † δεξια † A | ποδὸς, i.e. ΠΟΔΟΣ cens. Ien. : πόλος, i.e. ΠΟΛΟΣ A **22** θριαμβοδιθύραμβε A : θρίαμβε διθύραμβε Page

[9] περὶ δὲ τῆς αὐλῶν πρὸς λύραν κοινωνίας, ἐπεὶ πολλάκις καὶ αὐτὴ ἡμᾶς ἡ συναυλία ἔθελγεν, Ἔφιππος ἐν Ἐμπολῇ (fr. 7) φησι· ‖

618a κοινωνεῖ γάρ, ὦ μειράκιον, ἡ
ἐν τοῖσιν αὐλοῖς μουσικὴ κἀν τῇ λύρᾳ
τοῖς ἡμετέροισι παιγνίοις· ὅταν γὰρ εὖ 5
συναρμόσῃ τις τοῖς συνοῦσι τὸν τρόπον,
τόθ᾽ ἡ μεγίστη τέρψις ἐξευρίσκεται. 5

τὴν δὲ συναυλίαν τί ποτ᾽ ἐστὶν ἐμφανίζει Σῆμος ὁ Δήλιος ἐν πέμπτῳ Δηλιάδος (*FGrH* 396 F 11) γράφων οὕτως· ἀγνοουμένης δὲ παρὰ πολλοῖς τῆς συναυλίας λεκτέον. ἦν τις ἀγὼν συμφωνίας 10 ἀμοιβαῖος αὐλοῦ καὶ ῥυθμοῦ χωρίς του προσμελῳδοῦντος. | 618b ἀστείως δὲ αὐτὴν Ἀντιφάνης φανερὰν ποιεῖ ἐν τῷ Αὐλητῇ (fr. 49) λέγων·

ποίαν, φράσον γάρ, † ηδε † τὴν συναυλίαν
ταύτην ἐπίσταται γάρ † ἀλλ᾽ ηὔλουν ἔτι 15
μαθόντες † ὥστε τοὺς αὐλοὺς σύ τε
αὕτη τε λήψεσθ᾽, εἶθ᾽ ἃ μὲν σὺ τυγχάνεις
αὐλῶν πέραινε. δέξεται δὲ τἄλλα σοι 5
† ἡδύ τι κοινόν ἐστιν οὗ χωρὶς πάλιν
συννεύματ᾽ οὐ προβλήμαθ᾽ οἷς σημαίνεται 20
ἕκαστα.

Λίβυν δὲ τὸν αὐλὸν προσαγορεύουσιν οἱ ποιηταί, φησὶ Δοῦρις ἐν 618c δευτέρᾳ τῶν Περὶ Ἀγαθοκλέα (*FGrH* 76 F 16), | ἐπειδὴ Σειρίτης † ησ † δοκεῖ πρῶτος εὑρεῖν τὴν αὐλητικὴν Λιβύων ὢν τῶν νομά-

618b–d, 619d–e Eust.(1) p. 1236.55–60, 61 = IV.502.14–22, 502.23–503.2 **618c–d** Eust.(2) p. 1885.23–4 = ii.228.40–3

3–4 ἡ / ἐν Dindorf, ducente Casaubon (ἡ ᾽ν) : † ην † A : ἣν Musurus **6** συναρμόσῃ τις C E : συναρμόσωσι A ‖ **11** χωρὶς λόγου τοῦ A C E : λόγου ut glossam del. Kaibel ‖ **17** αὕτη τε λήψεσθ᾽, εἶθ᾽ ἃ μὲν σὺ τυγχάνεις Meineke : † αυτητελετηψεθειθαμεν † συντυγχάνεις A ‖ **20** προβλήμαθ᾽ οἷς Casaubon : † προβλημαθοις † A ‖ **24** † ησ †, i.e. ΗΣ A : ὃς M P Mus : τις, i.e. ΤΙΣ Kaibel | πρῶτος C E : πρῶτον A | Λιβύων scripsi : Λίβυς A et (structura mutata) C E | ὢν Kaibel : ἦν A

δων, ὃς καὶ κατηύλησε τὰ μητρῷα πρῶτος. αὐλήσεως δ᾽ εἰσὶν ὀνομασίαι, ὥς φησι Τρύφων ἐν δευτέρῳ Ὀνομασιῶν (fr. 109 Velsen), αἵδε· κῶμος, βουκολισμός, γίγγρας, τετράκωμος, ἐπίφαλλος, χορεῖος, καλλίνικος, πολεμικόν, ἡδύκωμος, σικιννοτύρβη, θυροκο-
5 πικόν (τὸ δὲ αὐτὸ καὶ κρουσίθυρον), κνισμός, μόθων. ταῦτα δὲ πάντα μετ᾽ ὀρχήσεως ηὐλεῖτο. [**10**] καὶ ᾠδῆς δὲ ὀνομασίας καταλέγει ὁ Τρύφων (fr. 113 Velsen) τάσδε· ἱμαῖος ἡ ἐπιμύλιος | καλου- 618d
μένη, ἣν παρὰ τοὺς ἀλετοὺς ᾖδον, ἴσως ἀπὸ τῆς ἱμαλίδος· ἱμαλὶς δ᾽ ἐστὶ παρὰ Δωριεῦσιν ὁ νόστος καὶ τὰ ἐπίμετρα τῶν ἀλεύρων. ἡ
10 δὲ τῶν ἱστουργῶν ᾠδὴ αἴλινος, ὡς Ἐπίχαρμος ἐν Ἀταλάνταις (fr. 14) ἱστορεῖ, ἡ δὲ τῶν ταλασιουργῶν ἴουλος. Σῆμος δ᾽ ὁ Δήλιος ἐν τῷ Περὶ Παιάνων (*FGrH* 396 F 23) φησί· τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ᾽ αὑτὰ προσηγόρευον ἀμάλας· συναθροισθέντα δὲ καὶ ἐκ πολλῶν μίαν γενόμενα δέσμην οὔλους καὶ ἰούλους· καὶ τὴν Δήμη-
15 τρα ὁτὲ μὲν Χλόην, ὁτὲ δὲ Ἰουλώ. ἀπὸ | τῶν οὖν τῆς Δήμητρος 618e
εὑρημάτων τούς τε καρποὺς καὶ τοὺς ὕμνους τοὺς εἰς τὴν θεὸν οὔλους καλοῦσι καὶ ἰούλους. Δημητρίουλοι καὶ καλλίουλοι. καί (carm. pop. *PMG* 849)·

πλεῖστον οὖλον ἵει, ἴουλον ἵει.

20 ἄλλοι δέ φασιν ἐριουργῶν εἶναι τὴν ᾠδήν. αἱ δὲ τῶν τιτθευουσῶν ᾠδαὶ καταβαυκαλήσεις ὀνομάζονται. ἦν δὲ καὶ ἐπὶ ταῖς Ἑώραις

618d–e Eust.(3) p. 1162.39–40, 41–2 = IV.253.4–5, 7–9 | **619b–c, 618d, 619a–b** Eust.(4) p. 1164.6–10, 11–12 = IV.259.9–16, 16–17

1 κατηύλησε A : ηὔλησε Meineke | αὐλήσεως lmAmg, cf. ᾠδῆς δὲ ὀνομασίας infra : αὐλήσεων A C E Eust.(1) ‖ **4** χορεῖος A C E Eust.(1) : χορεῖον Hsch. χ 636 | σικιννοτύρβη E Eust.(1) : σιλιννοτύρβη C : σικυννοτύρβη A ‖ **9** ἀλεύρων Hsch. λ 601 : † ἀλετων † A : ἀλέτων vel ἀλετῶν C E B M P Eust.(1–2) Mus **10** ἱστουργῶν Kaibel : ἱστορούντων A : ἱστουργούντων C E M P Eust.(4) : ἱστοργούντων Musurus | αἴλινος C E : αἴλινον (structura mutata) Eust.(4) : † ἔλινοσ † A ‖ **11** τῶν C E Eust.(4) : om. A ‖ **12** Παιάνων M P Mus et 14.622a : Παιώνων A ‖ **15** Χλόην Musurus : Χλόη A ‖ **17** Δημητρίουλοι C E Eust.(3) : † δημητρουλοι † A ‖ **19** ἵει … ἵει A C E Eust.(3) : ἵη … ἵη vel ἰὴ … ἰὴ Cs Es ‖ **20** τὴν ᾠδήν] τὴν ὠδήν A : ᾠδὴν τὸν ἴουλον C E | τιτθευουσῶν Schweighäuser : † τιτθεουσων † A : τιτθῶν C : τιτθενουσῶν B : τιτθηνουσῶν P : τιθηνουσῶν E M Mus ‖ **21** καταβαυκαλήσεις, i.e. ΚΑΤΑΒΑ- Musurus : καταβλυκαλήσεις, i.e. ΚΑΤΑΒΛ- A C E | Ἑώραις A, cf. Ἑώρας supra : Αἰώραις Poll. 4.55

τις ἐπ᾽ Ἠριγόνῃ, ἣν καὶ ἀλῆτιν λέγουσιν, ᾠδή· Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων Πολιτείᾳ (fr. 515 Rose = fr. 520.1 Gigon) φησίν· ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος (*SH* 753) ὕστερον βιαίῳ θανάτῳ.
618f λέγεται δὲ γενέσθαι | τρυφῶν τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστιν·
619a ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη ‖ περὶ τὰς Ἑώρας. 5 ἡ δὲ τῶν θεριστῶν ᾠδὴ Λιτυέρσης καλεῖται. καὶ τῶν μισθωτῶν δέ τις ἦν ᾠδὴ τῶν ἐς τοὺς ἀγροὺς φοιτώντων, ὡς Τηλεκλείδης φησὶν ἐν Ἀμφικτύοσι (fr. 8)· καὶ βαλανέων ἄλλαι, ὡς Κράτης ἐν Τόλμαις (fr. 42)· καὶ τῶν πτισσουσῶν ἄλλη τις, ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (fr. 352) καὶ Νικοχάρης ἐν Ἡρακλεῖ Χορηγῷ (fr. 9). 10 ἦν δὲ καὶ τοῖς ἡγουμένοις τῶν βοσκημάτων ὁ βουκολιασμὸς καλούμενος. Δίομος δ᾽ ἦν βουκόλος Σικελιώτης ὁ πρῶτος εὑρὼν τὸ
619b εἶδος· | μνημονεύει δ᾽ αὐτοῦ Ἐπίχαρμος ἐν Ἀλκυόνι (fr. 4) καὶ ἐν Ὀδυσσεῖ Ναυαγῷ (fr. 104). ἡ δ᾽ ἐπὶ τοῖς θανάτοις καὶ λύπαις ᾠδὴ ὀλοφυρμὸς καλεῖται. αἱ δὲ ἴουλοι καλούμεναι ᾠδαὶ Δήμητρι καὶ 15 Φερσεφόνῃ πρέπουσιν. ἡ δὲ εἰς Ἀπόλλωνα ᾠδὴ φηλικίας, ὡς Τελέσιλλα (*PMG* 718) παρίστησιν· οὔπιγγοι δὲ αἱ εἰς Ἄρτεμιν. ᾔδοντο δὲ Ἀθήνησι καὶ οἱ Χαρώνδου νόμοι παρ᾽ οἶνον, ὡς Ἕρμιππός φησιν ἐν ἕκτῳ Περὶ Νομοθετῶν (fr. 88 Wehrli = *FGrH* 1026 F 5). Ἀριστοφάνης δ᾽ ἐν Ἀττικαῖς φησι Λέξεσιν (Ar. Byz. fr. 340 20 Slater)· ἱμαῖος ᾠδὴ μυλωθρῶν· ἐν δὲ γάμοις ὑμέναιος· ἐν δὲ πένθε-
619c σιν ἰάλεμος. λίνος | δὲ καὶ αἴλινος οὐ μόνον ἐν πένθεσιν ἀλλὰ καὶ

ἐπ᾽ εὐτυχεῖ
μολπᾷ,

κατὰ τὸν Εὐριπίδην (*HF* 348–9). [**11**] Κλέαρχος δ᾽ ἐν πρώτῳ 25 Ἐρωτικῶν (fr. 32 Wehrli) νόμιον καλεῖσθαί τινά φησιν ᾠδὴν ἀπ᾽ Ἠριφανίδος γράφων οὕτως· Ἠριφανὶς ἡ μελοποιὸς Μενάλκου κυνηγετοῦντος ἐρασθεῖσα ἐθήρευε μεταθέουσα ταῖς ἐπιθυμίαις·

619b–c, 618d, 619a–b Eust.(4) p. 1164.6–10, 11–12 = IV.259.9–16, 16–17

1 ἀλῆτιν] ἀλῆτις Poll. 4.55 : αὐλητὶν (vox nihili) A | λέγουσιν ᾠδή Kaibel : † λεγουσιν † ᾠδήν A ‖ **4** ἐστιν A : del. Kaibel ‖ **8** βαλανέων Dalechamps (*balneatorum*) : βαλανείων A C E | ἄλλαι A C E : fort. ἄλλη ‖ **11** βουκολιασμὸς A : βουκολισμὸς C E Eust.(4) ‖ **12** ὁ βουκόλος Σικελιώτης A : βουκόλος ὁ Σικελιώτης C E : ὁ del. Kaibel ‖ **16** Φερσεφόνῃ] Φερσεφόνη A : Περσεφόνῃ C E B | φηλικίας A : φιληλιάς M P Mus

φοιτῶσα γὰρ καὶ πλανωμένη πάντας τοὺς ὀρείους ἐπεξῄει δρυμούς, ὡς μῦθον εἶναι τοὺς λεγομένους Ἰοῦς δρόμους· ὥστε μὴ μόνον τῶν ἀνθρώπων τοὺς ἀστοργίᾳ διαφέροντας ἀλλὰ καὶ τῶν θηρίων τοὺς ἀνημερωτάτους | συνδακρῦσαι τῷ πάθει λαβόντας 619d
5 αἴσθησιν ἐρωτικῆς ἐλπίδος· ὅθεν ἐποίησέ τε καὶ ποιήσασα περιῄει κατὰ τὴν ἐρημίαν, ὥς φασιν, ἀναβοῶσα καὶ ᾄδουσα τὸ καλούμενον νόμιον, ἐν ᾧ ἐστι (carm. pop. *PMG* 850)·

μακραὶ δρύες, ὦ Μέναλκα.

Ἀριστόξενος δὲ ἐν τετάρτῳ Περὶ Μουσικῆς (fr. 89 Wehrli), ᾖδον,
10 φησίν, αἱ ἀρχαῖαι γυναῖκες Καλύκην τινὰ ᾠδήν. Στησιχόρου (*PMG* 277) δ' ἦν ποίημα ἐν ᾧ Καλύκη τις ὄνομα ἐρῶσα Εὐάθλου νεανίσκου εὔχεται τῇ Ἀφροδίτῃ γαμηθῆναι αὐτῷ· ἐπεὶ δὲ ὑπερεῖδεν ὁ νεανίσκος, κατεκρήμνισεν ἑαυτήν. ἐγένετο δὲ τὸ πάθος περὶ Λευκάδα. σωφρονικὸν | δὲ πάνυ κατεσκεύασεν ὁ ποιητὴς τὸ τῆς 619e
15 παρθένου ἦθος οὐκ ἐκ παντὸς τρόπου θελούσης συγγενέσθαι τῷ νεανίσκῳ ἀλλ' εὐχομένης εἰ δύναιτο γυνὴ τοῦ Εὐάθλου γενέσθαι κουριδία ἤ, εἰ τοῦτο μὴ δυνατόν, ἀπαλλαγῆναι τοῦ βίου. ἐν δὲ τοῖς Κατὰ Βραχὺ Ὑπομνήμασιν ὁ Ἀριστόξενος (fr. 129 Wehrli), Ἴφικλος, φησίν, Ἁρπαλύκην ἐρασθεῖσαν ὑπερεῖδεν· ἡ δὲ ἀπέθανε,
20 καὶ γίνεται ἐπ' αὐτῇ παρθένοις ἀγὼν ᾠδῆς ἥτις Ἁρπαλύκη, φησί, καλεῖται. Νύμφις δ' ἐν πρώτῳ Περὶ Ἡρακλείας (*FGrH* 432 F 5b) περὶ Μαριανδυνῶν διηγούμενός φησιν· ὁμοίως δὲ καὶ τῶν ᾠδῶν ἐνίας κατανοήσειεν ἄν τις ἃς ἐκεῖνοι κατά τινα ἐπιχωριαζομένην | παρ' αὐτοῖς ⟨…⟩ ᾄδοντες ἀνακαλοῦνταί τινα τῶν ἀρχαίων προσα- 619f
25 γορεύοντες Βῶρμον. τοῦτον δὲ λέγουσιν υἱὸν γενέσθαι ἀνδρὸς ἐπιφανοῦς καὶ πλουσίου, τῷ δὲ κάλλει καὶ ‖ τῇ κατὰ τὴν ἀκμὴν 620a ὥρᾳ πολὺ τῶν ἄλλων διενεγκεῖν· ὃν ἐφεστῶτα ἔργοις ἰδίοις καὶ βουλόμενον τοῖς θερίζουσι δοῦναι πιεῖν βαδίζοντα ἐφ' ὕδωρ ἀφανισθῆναι· ζητεῖν οὖν αὐτὸν τοὺς ἀπὸ τῆς χώρας μετά τινος μεμελῳ-
30 δημένου θρήνου καὶ ἀνακλήσεως, ᾧ καὶ νῦν ἔτι πάντες χρώμενοι

618b–d, 619d–e Eust.(1) p. 1236.55–60, 61 = IV.502.14–22, 502.23–503.2

1 ὀρείους C E Mus : ὀρίους A ‖ **2** Ἰοῦς Casaubon : Ἰνοῦς A C E ‖ **4** θηρίων B M P Mus : † θηριων † A : θηρῶν C E ‖ **19** ἡ C E M P Mus : om. A **24** ⟨ἑορτὴν⟩ suppl. Wilamowitz ‖ **25** Βῶρμον Casaubon ex Hsch. β 1394 : † βωρβον † A : Βόρβον C E : Βῶρχον B M P Mus ‖ **30** καὶ ἀνακλήσεως ut glossam del. Kaibel

διατελοῦσι. τοιοῦτος δ' ἐστὶ καὶ ὁ παρ' Αἰγυπτίοις καλούμενος Μάνερως.

[12] οὐκ ἀπελείποντο δὲ ἡμῶν τῶν συμποσίων οὐδὲ ῥαψῳδοί· | 620b ἔχαιρε γὰρ τοῖς Ὁμήρου ὁ Λαρήνσιος ὡς ἄλλος οὐδὲ εἷς, ὡς λῆρον ἀποφαίνειν Κάσσανδρον τὸν Μακεδονίας βασιλεύσαντα, περὶ οὗ 5 φησι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν (fr. 8, *FHG* iv.358) ὅτι οὕτως ἦν φιλόμηρος ὡς διὰ στόματος ἔχειν τῶν ἐπῶν τὰ πολλά· καὶ Ἰλιὰς ἦν αὐτῷ καὶ Ὀδυσσεία ἰδίως γεγραμμέναι. ὅτι δ' ἐκαλοῦντο οἱ ῥαψῳδοὶ καὶ Ὁμηρισταὶ Ἀριστοκλῆς εἴρηκεν ἐν τῷ Περὶ Χορῶν (fr. 10, *FHG* iv.331). τοὺς δὲ νῦν Ὁμηριστὰς 10 ὀνομαζομένους πρῶτος εἰς τὰ θέατρα παρήγαγε Δημήτριος ὁ Φαληρεύς (fr. 33 Wehrli = fr. 55A Fortenbaugh–Schütrumpf). 620c Χαμαιλέων | δὲ ἐν τῷ Περὶ Στησιχόρου (fr. 28 Wehrli = fr. 30 Martano) καὶ μελῳδηθῆναί φησιν οὐ μόνον τὰ Ὁμήρου ἀλλὰ καὶ τὰ Ἡσιόδου καὶ Ἀρχιλόχου, ἔτι δὲ Μιμνέρμου καὶ Φωκυλίδου. 15 Κλέαρχος δ' ἐν τῷ προτέρῳ Περὶ Γρίφων (fr. 92 Wehrli), τὰ Ἀρχιλόχου, φησί, Σιμωνίδης ὁ Ζακύνθιος ἐν τοῖς θεάτροις ἐπὶ δίφρου καθήμενος ἐραψῴδει. Λυσανίας δ' ἐν τῷ πρώτῳ Περὶ Ἰαμβοποιῶν Μνασίωνα τὸν ῥαψῳδὸν λέγει ἐν ταῖς δείξεσι τῶν Σιμωνίδου τινὰς ἰάμβων ὑποκρίνασθαι. τοὺς δ' Ἐμπεδοκλέους (31 20 620d A 12 D.–K.) Καθαρμοὺς ἐραψῴδησεν | Ὀλυμπίασι Κλεομένης ὁ ῥαψῳδός, ὥς φησι Δικαίαρχος ἐν τῷ Ὀλυμπικῷ (fr. 87 Wehrli = fr. 85 Mirhady). Ἰάσων δ' ἐν τρίτῳ Περὶ τῶν Ἀλεξάνδρου Ἱερῶν (*FGrH* 632 F 1) ἐν Ἀλεξανδρείᾳ φησὶν ἐν τῷ μεγάλῳ θεάτρῳ ὑποκρίνασθαι Ἡγησίαν τὸν κωμῳδὸν τὰ Ἡροδότου, Ἑρμόφαντον δὲ 25 τὰ Ὁμήρου. [13] καὶ οἱ καλούμενοι δὲ ἱλαρῳδοί, οὓς νῦν τινες σιμῳδοὺς καλοῦσιν, ὡς Ἀριστοκλῆς φησιν ἐν πρώτῳ Περὶ Χορῶν (fr. 7, *FHG* iv.331), τῷ τὸν Μάγνητα Σῖμον διαπρέψαι μᾶλλον τῶν διὰ τοῦ ἱλαρῳδεῖν ποιητῶν, συνεχῶς ἡμῖν ἐπεφαίνοντο. καταλέγει |

620b–c Eust. p. 1360.34–41 = IV.937.20–4 | **620d–e, 621d** Eust. p. 1941.51–7 = ii.299.35–42

3 ἀπελείποντο Kaibel : ἀπελίποντο A | τῶν συμποσίων A : τοῦ συμποσίου tent. Kaibel ‖ **16** Γρίφων Casaubon : Γραφῶν A ‖ **17** ὁ Σιμωνίδης A : ὁ om. C E M P ‖ **20** ὑποκρίνασθαι Kaibel, ut infra : ὑποκρίνεσθαι A ‖ **25** Ἡροδότου A C E : Ἡσιόδου Meineke ‖ **27** σιμῳδοὺς A : σημωδοὶ (structura mutata) C E Eust. ‖ **28** Σῖμον Musurus, cf. Str. 14.648 : Σίμον M P : Σῆμον A C E Eust. **29** ἐπεφαίνοντο Kaibel : ἐπιφαίνονται A

δ᾽ ὁ Ἀριστοκλῆς καὶ τούσδε ἐν τῷ Περὶ Μουσικῆς γράφων ὧδε· 620e
μαγῳδός· οὗτος δ᾽ ἐστὶν ὁ αὐτὸς τῷ λυσιῳδῷ. Ἀριστόξενος (fr. 111
Wehrli) δέ φησι τὸν μὲν ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα
ὑποκρινόμενον μαγῳδὸν καλεῖσθαι, τὸν δὲ γυναικεῖα ἀνδρείοις
5 λυσιῳδόν· τὰ αὐτὰ δὲ μέλη ᾄδουσι, καὶ τἄλλα πάντα δ᾽ ἐστὶν
ὅμοια. ὁ δὲ Ἰωνικολόγος τὰ Σωτάδου καὶ τῶν πρὸ τούτου Ἰωνικὰ
καλούμενα ποιήματα Ἀλεξάνδρου τε τοῦ Αἰτωλοῦ (fr. 21, p. 129
Powell = fr. 18 Magnelli) καὶ Πύρητος τοῦ Μιλησίου (*SH* 714) καὶ
Ἀλέξου (*SH* 41) καὶ ἄλλων τοιούτων | ποιητῶν προφέρεται· 620f
10 καλεῖται δ᾽ οὗτος καὶ κιναιδολόγος. ἤκμασε δ᾽ ἐν τῷ εἴδει τούτῳ
Σωτάδης ὁ Μαρωνείτης, ὥς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ
περὶ αὐτοῦ συγγράμματι (fr. 19, *FHG* iv.359), καὶ ὁ τοῦ Σωτάδου
υἱὸς Ἀπολλώνιος. ἔγραψε δὲ καὶ οὗτος περὶ τῶν τοῦ πατρὸς
ποιημάτων σύγγραμμα, ἐξ οὗ ἐστὶ κατιδεῖν τὴν ἄκαιρον
15 παρρησίαν τοῦ Σωτάδου κακῶς μὲν εἰπόντος Λυσίμαχον τὸν
βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν Φιλάδελφον παρὰ
Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις τῶν πόλεων·
διόπερ τῆς δεούσης ἔτυχε τιμωρίας· ἐκπλεύσαντα γὰρ ‖ αὐτὸν τῆς 621a
Ἀλεξανδρείας, ὥς φησιν Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασι (fr. 12,
20 *FHG* iv.415–16), καὶ δοκοῦντα διαπεφευγέναι τὸν κίνδυνον (εἰρήκει
γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινά, ἀτὰρ καὶ τόδε ὅτε
τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει (Sotad. fr. 1, p. 238 Powell)·

"εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖ"),

Πάτροκλος ὁ τοῦ Πτολεμαίου στρατηγὸς ἐν Καύνῳ τῇ νήσῳ
25 λαβὼν αὐτὸν | καὶ εἰς μολυβῆν κεραμίδα ἐμβαλὼν καὶ ἀναγαγὼν 621b

620f, 621b Eust.(2) p. 885.15–16 = III.332.5–6 | **620f–1b** Eust.(1) p. 1069.10–19 = III.878.22–879.3 | **621a** Eust.(3) p. 1565.1–2 = i.256.14–16

5–6 ἐστὶν † ὁμοια † A : εἰσὶν ὅμοιοι Kaibel ‖ **6** Ἰωνικολόγος Dobree : Ἰωνικὸς λόγος A : Ἰωνικῷ λόγῳ (structura mutata) C E ‖ **8** Πύρητος B M P Mus : † πυρητοσ † A : Πύρης vel Πύρρος (structura mutata) *Suda* ‖ **9** Ἀλέξου A : Ἀλεξίου Kaibel ‖ **11** Μαρωνείτης C E Eust.(2) : Μαρωνείτην (structura mutata) Eust.(1) : Μαρωνίτης A ‖ **12** αὐτοῦ Σωτάδου A : αὐτοῦ om. B : Σωτάδου ut glossam del. Wilamowitz ‖ **21** ὅτε C E M P Mus : ὅτι A ‖ **23** ὤθει vel ὠθεῖ A C E Eust.(1, 3) : ὤθεις M P : ὠθεῖς [Plut.] *Mor.* 11a et Musurus **24** Πάτροκλος οὖν A : οὖν om. C E | τῇ νήσῳ A C E Eust.(1) : fort. ut glossa delenda ‖ **25** ἀναγαγὼν A : ἀπαγαγὼν C E

εἰς τὸ πέλαγος κατεπόντωσε. τοιαύτη δ᾽ ἦν αὐτοῦ ἡ ποίησις· Θεοδώρου τοῦ αὐλητοῦ Φιλῖνος ἦν πατήρ, εἰς ὃν ταῦτ᾽ ἔγραψεν (Sotad. fr. 2, p. 238 Powell)·

ὁ δ᾽ ἀποστεγάσας τὸ τρῆμα τῆς ὄπισθε λαύρης
διὰ δενδροφόρου φάραγγος ἐξέωσε βροντὴν 5
ἠλέματον, ὁκοίην ἀροτὴρ γέρων χαλᾷ βοῦς.

[14] σεμνότερος δὲ τῶν τοιούτων ἐστὶ ποιητῶν ὁ ἱλαρῳδὸς | 621c καλούμενος· οὐδὲ γὰρ σχινίζεται, χρῆται δ᾽ ἐσθῆτι λευκῇ ἀνδρείᾳ καὶ στεφανοῦται χρυσοῦν στέφανον, καὶ τὸ μὲν παλαιὸν ὑποδήμασιν ἐχρῆτο, ὥς φησιν ὁ Ἀριστοκλῆς (fr. 8, *FHG* iv.331), νῦν 10 δὲ κρηπῖσι, ψάλλει δ᾽ αὐτῷ ἢ ἄρρην ἢ θήλεια, ὡς καὶ τῷ αὐλῳδῷ. δίδοται δὲ ὁ στέφανος τῷ ἱλαρῳδῷ καὶ τῷ αὐλῳδῷ, οὐ τῷ ψάλτῃ οὐδὲ τῷ αὐλητῇ. ὁ δὲ μαγῳδὸς καλούμενος τύμπανα ἔχει καὶ κύμβαλα, καὶ πάντα τὰ περὶ αὐτὸν ἐνδύματα γυναικεῖα· σχινίζεταί τε καὶ πάντα ποιεῖ τὰ ἔξω κόσμου ὑποκρινόμενός ποτε 15 μὲν γυναῖκας καὶ μοιχοὺς καὶ μαστροπούς, ποτὲ δὲ ἄνδρα μεθύοντα καὶ ἐπὶ κῶμον παραγινόμενον πρὸς τὴν ἐρωμένην. φησὶ 621d δὲ ὁ Ἀριστόξενος (fr. 110 Wehrli) | τὴν μὲν ἱλαρῳδίαν σεμνὴν οὖσαν παρὰ τὴν τραγῳδίαν εἶναι, τὴν δὲ μαγῳδίαν παρὰ τὴν κωμῳδίαν· πολλάκις δὲ οἱ μαγῳδοὶ καὶ κωμικὰς ὑποθέσεις λαβόντες 20 ὑπεκρίθησαν κατὰ τὴν ἰδίαν ἀγωγὴν καὶ διάθεσιν. ἔσχε δὲ τοὔνομα ἡ μαγῳδία ἀπὸ τοῦ οἱονεὶ μαγικὰ προφέρεσθαι καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις. [15] παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τις τρόπος παλαιός, ὥς φησι Σωσίβιος (*FGrH* 595 F *7 = com. dor. test. 2), οὐκ ἄγαν σπουδαῖος, ἅτε δὴ κἀν 25 τούτοις τὸ λιτὸν τῆς Σπάρτης μεταδιωκούσης· ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ λέξει κλέπτοντάς τινας ὀπώραν ἢ ξενικὸν ἰατρὸν τοιαυτὶ

620d–e, 621d Eust. p. 1941.51–7 = ii.299.35–42

1 ἦν C E : ἐστιν A ‖ **2** Φιλῖνος Schweighäuser : Φιλῖνον (structura mutata) C E : † φιληνος † A ‖ **15** τε A C E : δὲ Wilamowitz ‖ **16** γυναῖκας καὶ μοιχοὺς C E : γυναῖκα καὶ μοιχοὺς A : καὶ del. Kaibel : fort. γυναῖκας μοιχικὰς **17** παραγινόμενον Meineke : παραγενόμενον A C E ‖ **20** κωμικὰς A : τραγικὰς Wilamowitz ‖ **22** τινα post μαγικὰ praeb. C E Eust. ‖ **27** τῇ λέξει A C E : τῇ delevi

λέγοντα, ὡς | Ἄλεξις ἐν Μανδραγοριζομένῃ (fr. 146) διὰ τούτων παρίστησιν· 621e

ἐὰν ἐπιχώριος
ἰατρὸς εἴπῃ· "τρύβλιον τούτῳ δότε
5 πτισάνης ἕωθεν", καταφρονοῦμεν εὐθέως,
ἐὰν δέ· "πτισάνας" καὶ "τρύβλιον", θαυμάζομεν.
καὶ πάλιν ἐὰν μέν· "σευτλίον", παρείδομεν, 5
ἐὰν δέ· "τευτλίον", ἀσμένως ἠκούσαμεν,
ὡς οὐ τὸ σεῦτλον ταὐτὸν ὂν τῷ τευτλίῳ.

10 ἐκαλοῦντο δ' οἱ μετιόντες τὴν τοιαύτην παιδιὰν παρὰ τοῖς Λάκωσι δεικηλισταί, ὡς ἄν τις σκευοποιοὺς εἴπῃ καὶ μιμητάς. τοῦ δὲ εἴδους τῶν δεικηλιστῶν | πολλαὶ κατὰ τόπους εἰσὶ προσηγορίαι· 621f Σικυώνιοι μὲν γὰρ φαλλοφόρους αὐτοὺς καλοῦσιν, ἄλλοι δ' αὐτοκαβδάλους, οἱ δὲ φλύακας, ὡς Ἰταλοί, σοφιστὰς δὲ οἱ πολλοί, 15 Θηβαῖοι δὲ κατὰ πολλὰ ἰδίως ὀνομάζειν εἰωθότες ἐθελοντάς. ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις (fr. 49) διὰ τούτων·

ξυνίετ' οὐδέν, πᾶσα Θηβαίων πόλις, ‖
οὐδέν ποτ' ἄλλ'· οἳ πρῶτα μὲν τὴν σηπίαν 622a
20 ὀπιτθοτίλαν, ὡς λέγουσιν, ὀνομάζετε,
τὸν ἀλεκτρύονα δ' ὀρτάλιχον, τὸν ἰατρὸν δὲ
σάκταν, βλέφυραν δὲ τὴν γέφυραν, τῦκα δὲ 5

621e, 622a Eust.(1) pp. 1817.63–1818.3 = ii.142.12–16 | **621e–f** Eust.(2) p. 884.21, 23–6 = III.328.14–15, 328.17–329.6 | **621e, 622a** Eust.(1) pp. 1817.63–1818.3 = ii.142.12–16

6 ἐὰν A C E Eust.(2) : ἂν Dindorf | πτισάνας C E : πτισσάνας Eust.(2) : πτισάναν A | τρύβλιον A : τρούβλιον Herwerden ‖ **7** σευτλίον A C E Eust.(2) : τευτλίον Meineke ‖ **8** τευτλίον A C E Eust.(2) : σεῦτλον Meineke **11** δεικηλισταί C E Eust.(2) : δεικηλιστάς (structura mutata) Eust.(1) : δικηλισταί A ‖ **12** δεικηλιστῶν scripsi : δικηλιστῶν A ‖ **15** κατὰ B M P Mus, cf. καινουργοῦσι κατὰ τὰς φωνὰς infra : καὶ τὰ A : τὰ (structura mutata) C E : κἄλλα Kaibel ‖ **19** ἄλλ' Musurus : ἄλλο A ‖ **20** ὀπιτθοτίλαν C E B M P Mus : † ὀπιτθοτιλαν † A : ὀπισθοτίλαν C[s] E[s] Eust. | ὡς λέγουσιν A : λέγουσι Eust.(1) : ὡς λέγουσ' Maltby ‖ **21** δ' Musurus : δὲ A C E ‖ **22** βλέφυραν δὲ A C E : βλέφυραν Eust. : βέφυραν (δὲ del.) Meineke

τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ' ἄκολον, τὸ γελᾶν δ' † ἐκκριδδαιωμεν †,
νεασπάτωτον δ' ἤν τι νεοκάττυτον ᾖ.

[16] Σῆμος δ' ὁ Δήλιος ἐν τῷ Περὶ Παιάνων (*FGrH* 396 F 24), οἱ
622b αὐτοκάβδαλοι, | φησί, καλούμενοι ἐστεφανωμένοι κιττῷ σχέδην 5
ἐπέραινον ῥήσεις· ὕστερον δὲ ἴαμβοι ὠνομάσθησαν αὐτοί τε καὶ τὰ
ποιήματα αὐτῶν. οἱ δὲ ἰθύφαλλοι, φησί, καλούμενοι προσωπεῖον
μεθυόντων ἔχουσι καὶ ἐστεφάνωνται χειρῖδας ἀνθινὰς ἔχοντες,
χιτῶσί τε χρῶνται μεσολεύκοις καὶ περιέζωνται Ταραντῖνον
καλύπτον αὑτοὺς μέχρι τῶν σφυρῶν. σιγῇ δὲ διὰ τοῦ πυλῶνος 10
εἰσελθόντες, ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέ-
φουσιν εἰς τὸ θέατρον λέγοντες (carm. pop. *PMG* 851a)· |

622c ἀνάγετ', εὐρυχωρίαν
ποιεῖτε τῷ θεῷ·
ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυρωμένος 15
διὰ μέσου βαδίζειν.

οἱ δὲ φαλλοφόροι, φησί, προσωπεῖον μὲν οὐ λαμβάνουσι, † προπό-
λιον † δ' ἐξ ἑρπύλλου περιτιθέμενοι καὶ παιδέρωτος ἐπάνω τούτου
ἐπιτίθενται στέφανον δασὺν ἴων καὶ κιττοῦ· καυνάκας τε περιβε-
βλημένοι παρέρχονται οἱ μὲν ἐκ παρόδου, οἱ δὲ κατὰ μέσας τὰς 20
θύρας, βαίνοντες ἐν ῥυθμῷ καὶ λέγοντες (carm. pop. *PMG* 851b)·

622b–c *Suda*(1) σ 327 | **622b–c** *Suda*(2) φ 327

1 κωτιλάδας A Eust. : κωτιλίδας C E ‖ **2** δ' † ἐκκριδδαιωμεν † A : δὲ ἐκκριδ-δέμεν Musurus : δὲ κριδδέμεν Valckenaer ‖ **6** ἐπέραινον Schweighäuser : ἐπέρραινον A : περαίνειν (structura mutata) C E ‖ **7** προσωπεῖον A C E : προσωπεῖα *Suda*(1–2), sed cf. infra οἱ δὲ φαλλοφόροι ... προσωπεῖον μὲν οὐ λαμβάνουσι ‖ **9** τε A C E : δὲ M P Mus ‖ **10** αὑτοὺς scripsi : αὐτοὺς A C E **13** ἀνάγετ' C E : ἀνάγετε A ‖ **14** ποιεῖτε τῷ θεῷ A : τῷ θεῷ ποιεῖτε Porson **15** ἐθέλει A C E : θέλει Meineke | ἐσφυρωμένος A C E : ἐσφυδωμένος Meineke ‖ **17–19** οἱ δὲ φαλλοφόροι ... κιττοῦ] sic A C E : οἱ δὲ φαλλοφόροι οὐ χωρὶς ἐξ ἑρπύλλου καὶ παιδέρωτος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι *Suda*(1) : οἱ δὲ φαλλοφόροι ἐκ βύβλου δέρματος ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι *Suda*(2) ‖ **17–18** προπόλιον A C E : προβόλιον Coraes : προκόμιον Meineke : προσκόπιον Kaibel ‖ **18** παιδέρωτος *Suda*(1) : παιδέρωτας A C E ‖ **19** στέφανον τε A C E : στέφανον δὲ P : τε del. Meineke | καυνάκας Casaubon : † αυνάκασ † A

σοί, Βάκχε, τάνδε Μοῦσαν ἀγλαΐζομεν
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει, |
καὶ μὰν ἀπαρθένευτον, οὔ τι ταῖς πάρος 622d
κεχρημέναν ᾠδαῖσιν, ἀλλ' ἀκήρατον
5 κατάρχομεν τὸν ὕμνον. 5

εἶτα προτρέχοντες ἐτώθαζον οὓς προέλοιντο. στάδην δὲ ἔπραττον· ὁ δὲ φαλλοφόρος ἰθὺ ἐβάδιζε καταπασθεὶς αἰθάλῳ.

[17] ἐπεὶ δ' ἐνταῦθα τοῦ λόγου ἐσμέν, οὐκ ἄξιον ἡγοῦμαι παραλιπεῖν τὰ περὶ Ἀμοιβέως τοῦ καθ' ἡμᾶς κιθαρῳδοῦ,

10 ἀνδρὸς τεχνίτου κατὰ νόμους τοὺς μουσικῆς.

οὗτός ποτε βράδιον ἥκων ἐπὶ τὸ συμπόσιον ἡμῶν ὡς ἔμαθε παρά τινος | τῶν οἰκετῶν ἀποδειπνήσαντας, ἐβουλεύετο τί χρὴ ποιεῖν, 622e ἕως παρελθὼν ὁ Σόφων αὐτῷ μάγειρος (γεγωνότερον δ' ἐφθέγγετο ὡς πάντας ἀκούειν) τὰ ἐξ Αὔγης εἶπεν Εὐβούλου (fr. 14)·

15 τί, ὦ πόνηρ', ἕστηκας ἐν πύλαις ἔτι,
ἀλλ' οὐ βαδίζεις; τοῖσδε γενναίως πάλαι
διεσπάρακται θερμὰ χηνίσκων μέλη,
διερράχισται σεμνὰ δελφάκων κρέα,
κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλος, 5
20 κατησίμωται πάντα τἀκροκώλια, |
νενωγάλισται σεμνὸς ἀλλᾶντος τόμος, 622f
παρεντέτρωκται τευθὶς ἐξωπτημένη,
παρεκκέκαπται † στερανι † ἐννέ' ἢ δέκα.
ὥστ' ἐπεὶ βούλει τῶν λελειμμένων φαγεῖν, 10

622f Eust. p. 1163.24 = IV.256.7–8

3 καὶ μὰν A : καινὰν Hemsterhuys ‖ **4** κεχρημέναν, i.e. -ΜΕΝΑΝ Porson : † κεχρημεηαν †, i.e. -ΜΕΗΑΝ A : κεχρήμεθα Musurus ‖ **6** προτρέχοντες C E : προστρέχοντες A | ἐτώθαζον A : τωθάζουσι C E | οὓς ἂν A C E : ἂν del. Kaibel ‖ **7** ἐβάδιζε scripsi : βαδίζων A | καταπασθεὶς, i.e. ΚΑΤΑΠΑ- Kaibel : καταπλησθεὶς, i.e. ΚΑΤΑΠΛ- A ‖ **10** τοὺς μουσικῆς A : τῆς μουσικῆς B M P Mus : τοὺς μουσικούς Kaibel ‖ **19** κατηλόηται C E Mus : κατηλόϊσται A **21** νενωγάλισται Meineke : † ενωγαλισται † A : ἐνωγάλισται C E Eust. **23** παρεκκέκαπται A : παρεγκέκαπται Valckenaer ‖ **24** ὥστ' ἐπεὶ C E M P Mus : ὥστε ἐπεὶ A : ὥστ' εἴ τι Canter

ἔπειγ' ἔπειγε, μή ποθ' ὡς λύκος χανὼν
καὶ τῶνδ' ἁμαρτὼν ὕστερον † συχνω δραχμης †.

(A.) πάντ' ἐστὶν ἡμῖν,

κατὰ τὸν ἥδιστον Ἀντιφάνην, ὃς ἐν τῷ Φιλοθηβαίῳ (fr. 216) φησίν·

ἥ τε γὰρ συνώνυμος 5
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία ‖
623a τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης
χλιαίνετ' † αἰρεθεξεται † παφλάζεται,
προσκάεθ'· ὥστε μηδ' ἂν εἰ χαλκεὺς ἔχων 5
μυκτῆρας εἰσέλθοι τις, ἐξελθεῖν πάλιν 10
εἰκῇ· τοσαύτην ἐξακοντίζει πνοήν.
(B.) λέγεις μάγειρον ζῶντα. (A.) πλησίον δέ γε
ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ' ὅλην
κεστρεύς, λεπισθείς, πασθείς, στραφείς, 10
χρωσθείς, ὁμοῦ τι πρὸς τέλος μέρος δρόμου περῶν, | 15
623b σίζει κεκραγώς, παῖς δ' ἐφέστηκε ῥανῶν
ὄξει, Λίβυς τε καυλὸς ἐξηρασμένος
ἀκτῖσι θείαις σιλφίου παραστατεῖ.
(B.) εἶτ' οὐκ ἐπῳδούς φασιν ἰσχύειν τινές· 15
ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασωμένους 20
σοῦ ταῦτα συστρέφοντος. (A.) ἥ τε σύννομος
τῆς κουφονώτου σῶμ' ἔχουσα σηπίας
ξιφηφόροισι χερσὶν ἐξωπλισμένη
τευθὶς μεταλλάξασα λευκαυγῆ φύσιν 20
σαρκὸς πυρωτοῖς ἀνθράκων ῥαπίσμασι | 25
623c ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται

1 ἔπειγ' ἔπειγε, μή ποθ' C E B : † ἐπειγ' ἐπεγε † μή ποτ' A ‖ **7** τμηθεῖσα A C E : μιχθεῖσα 4.169c ‖ **8** χλιαίνετ', † αἰρεθεξεται † (v.ll. αἴρεθ', ἐξαιρ- et αἴρεται in unam confusas) A : χλιαίνεται, ἐξαίρεται C E : χλιαίνετ', αἴρεθ', ἕψεται 4.169d ‖ **9** χαλκεὺς A : χαλκεῦς C E : χαλκοῦς Schweighäuser **14** λεπισθείς A C E : λοπισθείς Cobet | πασθείς C E : † σπασθεις † A : καὶ πασθείς Musurus ‖ **15** μέρος A : om. C E ‖ **16** σίζει C E : ἤξει A | ἐφέστηκε C E : ἐφέστηκεν A ‖ **18** παραστατεῖ C E Mus : † παραστρατει † A **19** ἐπῳδούς A C E : ἐπῳδάς C[s] E[s] ‖ **21** σύννομος A C E : σύννομον Schweighäuser ‖ **22** κουφονώτου A E : κουφονότου C : κυφονώτου Toup | σηπίας C E : σηπία A ‖ **25** ῥαπίσμασι A : ῥαπίσμ[α(ιν)] C : ῥαπίσμ[α] E : ῥιπίσμασι Abresch

δείπνου προφήτην λιμὸν ἐκκαλουμένη.
ὥστε γ' εἴσιθι.
μὴ μέλλε, χώρει· δεῖ γὰρ ἠριστηκότας 25
πάσχειν ἐάν τι καὶ παθεῖν ἡμᾶς δέῃ.

5 καὶ ὃς πάνυ ἐμμελέστατα ἀπαντήσας αὐτῷ ἀντεφώνησε τὰ ἐκ τοῦ Κλεάρχου Κιθαρῳδοῦ (fr. 2) τάδε·

γόγγρῳ † τελευκωι † πᾶσι τοῖς κολλώδεσι
βρόχθιζε· τούτοις γὰρ τρέφεται τὸ πνεῦμα καὶ
τὸ φωνάριον ἡμῶν περίσαργον γίνεται. |

10 κρότου δ' ἐπὶ τούτοις γενομένου καὶ πάντων ὁμοθυμαδὸν αὐτὸν καλεσάντων εἰσελθὼν καὶ πιὼν ἀναλαβών τε τὴν κιθάραν εἰς τοσοῦτον ἡμᾶς ᾖσεν ὡς πάντας θαυμάζειν τήν τε κιθάρισιν μετὰ τῆς τέχνης ταχίστην οὖσαν καὶ τῆς φωνῆς τὴν ἐμμέλειαν· ἐμοὶ μὲν γὰρ οὐδὲν ἐλάττων εἶναι νομίζεται τοῦ παλαιοῦ Ἀμοιβέως, ὅν 15 φησιν Ἀριστέας ἐν τῷ Περὶ Κιθαρῳδῶν ἐν Ἀθήναις κατοικοῦντα καὶ πλησίον τοῦ θεάτρου οἰκοῦντα, εἰ ἐξέλθοι ᾀσόμενος, τάλαντον Ἀττικὸν τῆς ἡμέρας λαμβάνειν. 623d

[**18**] περὶ δὲ | μουσικῆς τῶν μὲν τάδε λεγόντων, ἄλλων δ' ἄλλα γ' ὁσημέραι, πάντων δ' ἐπαινούντων τὴν παιδείαν ταύτην, 20 Μασούριος ὁ πάντα ἄριστος καὶ σοφὸς (καὶ γὰρ νόμων ἐξηγητὴς οὐδενὸς δεύτερος καὶ περὶ μουσικὴν ἐνδιατρίβων ἀεί· ἅπτεται γὰρ καὶ τῶν ὀργάνων) ἔφη· ὁ μὲν κωμῳδιοποιὸς Εὔπολις (fr. 366), ἄνδρες φίλοι, φησί· 623e

καὶ μουσικὴ πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον,

25 ἀεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυναμένοις· διόπερ καὶ Ἀναξίλας ἐν Ὑακίνθῳ (fr. 27) φησίν· |

623e–f Eust. p. 1422.53–5 = i.66.27–30

2 ὥστε γ' A : ὥστ' C E Mus ‖ **5** ἀντεφώνησε Kaibel : ἀνεφώνησε A **7** γόγγρῳ † τελευκωι † A : γόγγρων τε λευκῶν Emperius ‖ **9** περίσαργον (vox nihili) A : περίσαρκον Schweighäuser ‖ **19** παιδείαν Casaubon : παιδιὰν A ‖ **21** ἀεί B M P Mus : αἰεί A | ἅπτεται A : fort. ἥπτετο ‖ **24** καὶ[1] A : ἡ C E Eust. ‖ **25** ἀεί C E B M P Eust. Mus : αἰεί A

623f ἡ μουσικὴ δ᾽, ὥσπερ Λιβύη, πρὸς τῶν θεῶν,
ἀεί τι καινὸν κατ᾽ ἐνιαυτὸν τίκτει
θηρίον·

μέγας

γάρ, ὦ μακάριοι, κατὰ τὸν Θεοφίλου Κιθαρῳδόν (fr. 5), 5

θησαυρός ἐστι καὶ βέβαιος ἡ μουσικὴ
ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε·

καὶ γὰρ τὰ ἤθη παιδεύει καὶ τοὺς θυμοειδεῖς καὶ τὰς γνώμας διαφόρους καταπραΰνει· Κλεινίας γοῦν ὁ Πυθαγόρειος, ὡς Χαμαι-
624a λέων ὁ Ποντικὸς (fr. 4 Wehrli = fr. 5 Martano) ἱστορεῖ, ‖ καὶ τῷ 10
βίῳ καὶ τοῖς ἤθεσι διαφέρων, εἴ ποτε συνέβαινε χαλεπαίνειν αὐτὸν δι᾽ ὀργήν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζε, πρὸς δὲ τοὺς ἐπιζητοῦντας τὴν αἰτίαν ἔλεγε· "πραΰνομαι." καὶ ὁ Ὁμηρικὸς δὲ Ἀχιλλεὺς τῇ κιθάρᾳ κατεπραΰνετο (cf. *Il.* 9.186–9), ἣν αὐτῷ ἐκ τῶν Ἠετίωνος λαφύρων μόνην Ὅμηρος χαρίζεται, καταστέλλειν τὸ 15
πυρῶδες αὐτοῦ δυναμένην· μόνος γοῦν ἐν Ἰλιάδι ταύτῃ χρῆται τῇ μουσικῇ. ὅτι δὲ καὶ νόσους ἰᾶται μουσική, Θεόφραστος ἱστόρησεν ἐν τῷ Περὶ Ἐνθουσιασμοῦ (fr. 726B Fortenbaugh) ἰσχιδιακοὺς |
624b φάσκων ἀνόσους διατελεῖν εἰ καταυλήσοι τις τοῦ τόπου τῇ Φρυγιστὶ ἁρμονίᾳ. ταύτην δὲ τὴν ἁρμονίαν Φρύγες πρῶτοι εὗρον καὶ 20
μετεχειρίσαντο· διὸ καὶ τοὺς παρὰ τοῖς Ἕλλησιν αὐλητὰς Φρυγίους καὶ δουλοπρεπεῖς τὰς προσηγορίας ἔχειν. οἷός ἐστιν ὁ παρὰ Ἀλκμᾶνι (*PMG* 109)

Σάμβας καὶ Ἄδων καὶ Τῆλος,

623f–4a Eust.(1) p. 745.56–8 = II.694.21–695.1 | **623f–4a** Eust.(2) p. 1078.38–9 = III.906.27–907.1 | **623f–4a** cf. Ael. *VH* 14.23

1 δ᾽ M P Mus : δὲ B : δεῖ A : om. C E Eust. ‖ **2** ἀεί C E B M P Eust. Mus : αἰεί A ‖ **2–3** τίκτει θηρίον A C E Eust. : θηρίον / τίκτει Morell ‖ **6** ἐστι C E B M P Mus : ἐστιν A | ἡ A C E : del. Grotius ‖ **9** Πυθαγόρειος C E M P Eust.(1–2) Mus et Ael. : Πυθαγόριος A : Πυθαγορικὸς B ‖ **10–11** τῷ βίῳ A : τῇ γνώμῃ C E ‖ **11** διαφέρων Casaubon : διαφορῶν A C E ‖ **15** μόνην A, cf. C E μόνος : πρώτην Eust. et Ael. ‖ **17** ἱστόρησεν A : ἱστορεῖ C E ‖ **18** ἰσχιδιακοὺς scripsi : ἰσχιακοὺς A C E

παρὰ δὲ Ἱππώνακτι (fr. 153 Degani) Κίων καὶ Κώδαλος καὶ Βάβυς, ἐφ᾽ ᾧ καὶ ἡ παροιμία (Zenob. 4.81) ἐπὶ τῶν ἀεὶ πρὸς τὸ χεῖρον αὐλούντων·

κάκιον ἢ Βάβυς αὐλεῖ.

5 ὁ δ᾽ Ἀριστόξενος (fr. 78 Wehrli) τὴν εὕρεσιν αὐτῆς Ὑάγνιδι τῷ Φρυγὶ ἀνατίθησιν. | **[19]** Ἡρακλείδης δ᾽ ὁ Ποντικὸς ἐν τρίτῳ Περὶ Μουσικῆς (fr. 163 Wehrli = fr. 114 Schütrumpf) οὐδ᾽ ἁρμονίαν φησὶ δεῖν καλεῖσθαι τὴν Φρύγιον, καθάπερ οὐδὲ τὴν Λύδιον· ἁρμονίας γὰρ εἶναι τρεῖς, τρία γὰρ καὶ γενέσθαι Ἑλλήνων γένη, Δωριεῖς, 10 Αἰολεῖς, Ἴωνας. οὐ μικρᾶς οὖν οὔσης διαφορᾶς ἐν τοῖς τούτων ἤθεσι Λακεδαιμόνιοι μὲν μάλιστα τῶν ἄλλων Δωριέων τὰ πάτρια διαφυλάττουσι, Θεσσαλοὶ δὲ (οὗτοι γάρ εἰσιν τὴν ἀρχὴν τοῦ γένους Αἰολεῦσι ⟨οἱ⟩ μεταδόντες) παραπλήσιον ἀεὶ ποιοῦνται τοῦ βίου τὴν ἀγωγήν, Ἰώνων δὲ τὸ πολὺ | πλῆθος ἠλλοίωται διὰ τὸ 15 συμπεριφέρεσθαι τοῖς ἀεὶ δυναστεύουσιν αὐτοῖς τῶν βαρβάρων. τὴν οὖν ἀγωγὴν τῆς μελῳδίας ἣν οἱ Δωριεῖς ἐποιοῦντο Δώριον ἐκάλουν ἁρμονίαν, ἐκάλουν δὲ καὶ Αἰολίδα ἁρμονίαν ἣν Αἰολεῖς ᾖδον, Ἰαστὶ δὲ τὴν τρίτην ἔφασκον ἣν ἤκουον ᾀδόντων τῶν Ἰώνων. ἡ μὲν οὖν Δώριος ἁρμονία τὸ ἀνδρῶδες ἐμφαίνει καὶ μεγαλοπρε- 20 πὲς καὶ οὐ διακεχυμένον οὐδ᾽ ἱλαρὸν ἀλλὰ σκυθρωπὸν καὶ σφοδρόν, οὔτε δὲ ποικίλον οὔτε πολύτροπον. τὸ δὲ τῶν Αἰολέων ἦθος ἔχει τὸ γαῦρον καὶ | ὀγκῶδες, ἔτι δὲ ὑπόχαυνον· ὁμολογεῖ δὲ ταῦτα ταῖς ἱπποτροφίαις αὐτῶν καὶ ξενοδοχίαις· οὐ πανοῦργον δὲ ἀλλ᾽ ἐξηρμένον καὶ τεθαρρηκός, διὸ καὶ οἰκεῖόν ἐστ᾽ αὐτοῖς ἡ 25 φιλοποσία καὶ τὰ ἐρωτικὰ καὶ πᾶσα ἡ περὶ τὴν δίαιταν ἄνεσις· διόπερ ἔχουσι τὸ τῆς ὑποδωρίου καλουμένης ἁρμονίας ἦθος· αὕτη γάρ ἐστι, φησὶν ὁ Ἡρακλείδης, ἣν ἐκάλουν Αἰολίδα, ὡς καὶ Λᾶσος ὁ Ἑρμιονεὺς ἐν τῷ Εἰς τὴν ἐν Ἑρμιόνι Δήμητρα ὕμνῳ (*PMG* 702) λέγων οὕτω·

624c 624d 624e

2 ἀεὶ C E B M P Mus : αἰεὶ A ‖ **4** κάκιον ἢ Casaubon : καὶ κίων ἢ A E : καὶ κάκιον ἢ C : καίκιον γρ·E[mg] : ἢ del. Kaibel ‖ **13** ⟨οἱ⟩ hic addidi, ducente Kaibel (post εἰσιν) | ἀεὶ C E B M P Mus : αἰεὶ A ‖ **15** ἀεὶ C E B M P Mus : αἰεὶ A **19–20** τὸ μεγαλοπρεπὲς A : τὸ om. C E ‖ **24** ἐξηρμένον Dalechamps (*congruit*) : ἐξηρημένον A C E ‖ **26** διόπερ ἔχουσι Kaibel : διὸ περιέχουσι A C E ‖ **28** τῷ M P Mus : τοῖς A | Ἑρμιόνι Dindorf (Ἑρμίονι iam B) : † ερμειονι † A : Ἑρμιόνη (ἐν om.) M P : Ἑρμιόνην (ἐν om.) M[s] Mus : Ἑρμιόνῃ 10.455c

Δάματρα † με άπω † Κόραν τε Κλυμένοι' ἄλοχον
624f μελίβοιαν | ὕμνον ἀναγνῶν
Αἰολίδ' ἂμ βαρύβρομον ἁρμονίαν.

ταῦτα δ' ᾄδουσι πάντες ὑποδώρια. ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον, εἰκότως Αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λᾶσος. καὶ 5 Πρατίνας (*PMG* 712a) δέ πού φησι·

μήτε σύντονον δίωκε
μήτε τὰν ἀνειμέναν Ἰαστὶ
οὖσαν, ἀλλὰ τὰν μέσαν
νεῶν ἄρουραν Αἰόλιζε τῷ μέλει. 10

ἐν δὲ τοῖς ἑξῆς σαφέστερόν φησι (*PMG* 712b)·

πρέπει τοι
πᾶσιν ἀοιδὰ † λαβρακταις †
Αἰολὶς ἁρμονία. ‖

625a πρότερον μὲν οὖν, ὡς ἔφην (14.624d), Αἰολίδα αὐτὴν ἐκάλουν, 15 ὕστερον δ' ὑποδώριον, ὥσπερ ἔνιοί φασιν, ἐν τοῖς αὐλοῖς τετάχθαι νομίσαντες αὐτὴν ὑπὸ τὴν Δώριον ἁρμονίαν. ἐμοὶ δὲ δοκεῖ ὁρῶντας αὐτοὺς τὸν ὄγκον καὶ τὸ προσποίημα τῆς καλοκἀγαθίας ἐν τοῖς τῆς ἁρμονίας ἤθεσι Δώριον μὲν αὐτὴν οὐ νομίζειν, προσεμφερῆ δέ πως ἐκείνῃ· διόπερ ὑποδώριον ἐκάλεσαν, ὡς τὸ προσεμφε- 20 ρὲς τῷ λευκῷ ὑπόλευκον καὶ τὸ μὴ γλυκὺ μὲν ἐγγὺς δὲ τούτου 625b λέγομεν ὑπόγλυκυ· οὕτω καὶ ὑποδώριον τὸ μὴ πάνυ | Δώριον. [**20**] ἑξῆς ἐπισκεψώμεθα τὸ τῶν Μιλησίων ἦθος, ὃ διαφαίνουσιν οἱ Ἴωνες ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις βρενθυόμενοι καὶ θυμοῦ πλήρεις, δυσκατάλλακτοι, φιλόνικοι, οὐδὲν φιλάνθρωπον οὐδ' 25

1 Δάματρα] Δαμάτρα A : Δήμητρα M P Mus | † με άπω †, i.e. ΜΕΑΠΩ A : μέλπω, i.e. ΜΕΛΠΩ 10.455d | Κλυμένοι' Kaibel : † κλυμενοιο † A : Κλυμένοιο 10.455d ‖ **2** μελίβοιαν A : μελιβόαν Hartung | ἀναγνῶν A : ἀναγνέων Bergk ‖ **4** ὑποδώρια τὰ μέλη A : τὰ μέλη ut glossam del. Kaibel **4–5** ὑποδώριον τὰ μέλη A : τὰ μέλη (glossam) del. Casaubon ‖ **8** τὰν ἀνειμέναν A C E : τὴν ἀνειμένην A[s] P : τὰν/τὴν del. Musurus ‖ **8–9** Ἰαστὶ οὖσαν C E Mus : Ἰαστὶν οὖσαν A : Μοῦσαν pro οὖσαν Toup, Valckenaer : Ἰαστὶ ut glossam del. Page ‖ **9** μέσαν C E B M P Mus : † μεσσαν † A : μέσσαν B[s] ‖ **13** ἀοιδὰ † λαβρακταις † A : ἀοιδὴ † λαβρακταις † A[s] : ἀοιδολαβράκταις Bergk ‖ **15** ἔφην B M P Mus : ἔφη A | αὐτὴν A : ταύτην C E **25** φιλόνικοι C : φιλόνεικοι A E

ἱλαρὸν ἐνδιδόντες, ἀστοργίαν καὶ σκληρότητα ἐν τοῖς ἤθεσιν ἐμφανίζοντες· διόπερ οὐδὲ τὸ τῆς Ἰαστὶ γένος οὔτ᾽ ἀνθηρὸν οὔτε ἱλαρόν ἐστιν ἀλλὰ αὐστηρὸν καὶ σκληρόν, ὄγκον δ᾽ ἔχον οὐκ ἀγεννῆ· διὸ καὶ τῇ τραγῳδίᾳ προσφιλὴς ἡ ἁρμονία. τὰ δὲ τῶν νῦν Ἰώνων ἤθη
5 τρυφερώτερα καὶ πολὺ παραλλάττον τὸ | τῆς ἁρμονίας ἦθος. φασὶ 625c δὲ Πύθερμον τὸν Τήιον ἐν τῷ γένει τῆς ἁρμονίας τούτῳ ποιῆσαι σκολιὰ μέλη, καὶ διὰ τὸ εἶναι τὸν ποιητὴν Ἰωνικὸν Ἰαστὶ κληθῆναι τὴν ἁρμονίαν. οὗτός ἐστι ⟨ὁ⟩ Πύθερμος οὗ μνημονεύει Ἀνάνιος (fr. 2.1 West²) ⟨ἢ⟩ Ἱππῶναξ ἐν τοῖς Ἰάμβοις· ⟨... καὶ⟩ ἐν ἄλλῳ οὕτω
10 (fr. spur. 218 Degani)·

χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἄλλα.

λέγει δ᾽ οὕτως ὁ Πύθερμος (*PMG* 910)·

οὐθὲν ἦν ἄρα τἄλλα πλὴν χρυσός.

οὐκοῦν καὶ κατὰ τοῦτον τὸν λόγον πιθανόν ἐστι τὸν Πύθερμον
15 ἐκεῖθεν ὄντα ποιήσασθαι τὴν | ἀγωγὴν τῶν μελῶν ἁρμόττουσαν 625d τοῖς ἤθεσι τῶν Ἰώνων· διόπερ ὑπολαμβάνω οὐχ ἁρμονίαν εἶναι τὴν Ἰαστί, τρόπον δέ τινα θαυμαστὸν σχήματος ἁρμονίας. καταφρονητέον οὖν τῶν τὰς μὲν κατ᾽ εἶδος διαφορὰς οὐ δυναμένων θεωρεῖν, ἐπακολουθούντων δὲ τῇ τῶν φθόγγων ὀξύτητι καὶ
20 βαρύτητι καὶ τιθεμένων ὑπερμιξολύδιον ἁρμονίαν καὶ πάλιν ὑπὲρ ταύτης ἄλλην· οὐχ ὁρῶ γὰρ οὐδὲ τὴν ὑπερφρύγιον ἴδιον ἔχουσαν ἦθος· καίτοι τινές φασιν ἄλλην ἐξευρηκέναι | καινὴν ἁρμονίαν, 625e ⟨τὴν⟩ ὑποφρύγιον. δεῖ δὲ τὴν ἁρμονίαν εἶδος ἔχειν ἤθους ἢ πάθους, καθάπερ ἡ Λοκριστί· ταύτῃ γὰρ ἔνιοι τῶν γενομένων κατὰ Σιμω-
25 νίδην καὶ Πίνδαρον ἐχρήσαντό ποτε, καὶ πάλιν κατεφρονήθη. [**21**] τρεῖς οὖν αὗται, καθάπερ ἐξ ἀρχῆς εἴπομεν (14.624c) εἶναι

1 ⟨δὲ⟩ post ἀστοργίαν add. Kaibel ‖ **2** γένος ἁρμονίας A C E : ἁρμονίας ut glossam delevi ‖ **6** τῆς ἁρμονίας αὐτοῦ A : αὐτοῦ om. C E | ἁρμόττοντα τοῖς ἤθεσι τῶν Ἰώνων intra τούτῳ et ποιῆσαι praeb. C E ‖ **7** σκολιά, i.e. ΣΚΟΛΙΑ Casaubon : σκαιά, i.e. ΣΚΑΙΑ A C E | μέλη A C E : fort. ut glossa delendum καὶ C E Mus : om. A ‖ **8** ⟨ὁ⟩ addidi ‖ **9** ⟨ἢ⟩ add. Casaubon | lac. indic. et ⟨καὶ⟩ add. Kaibel ‖ **13** οὐθὲν A : οὐδὲν B P et Diogen. 6.94 [Plut.] *Prov.* 1.96 *Suda* o 793 | χρυσός A et Diogen. 6.94 : ὁ χρυσός [Plut.] *Prov.* 1.96 *Suda* o 793 **21** οὐδὲ C E : οὔτε A ‖ **23** ⟨τὴν⟩ add. Kaibel, ducente Wilamowitz ⟨ὑπὸ τὴν⟩ ὑπερφρύγιον ‖ **26–216,1** εἶναι ἁρμονίας ὅσας scripsi : εἶναι ἁρμονίας ὅσα A : ἁρμονίαι ... ὅσα C E

ἁρμονίας ὅσας καὶ τὰ ἔθνη. τὴν δὲ Φρυγιστὶ καὶ τὴν Λυδιστὶ παρὰ τῶν βαρβάρων οὔσας γνωσθῆναι τοῖς Ἕλλησιν ἀπὸ τῶν σὺν Πέλοπι κατελθόντων εἰς τὴν Πελοπόννησον Φρυγῶν καὶ Λυδῶν·
625f Λυδοὶ μὲν γὰρ αὐτῷ συνηκολούθησαν | διὰ τὸ τὴν Σίπυλον εἶναι τῆς Λυδίας, Φρύγες δὲ οὐχ ὅτι ὁμοτέρμονες τοῖς Λυδοῖς εἰσιν, ἀλλ᾽ 5 ὅτι καὶ αὐτῶν ἦρχεν ὁ Τάνταλος. ἴδοις δ᾽ ἂν καὶ τῆς Πελοποννήσου πανταχοῦ, μάλιστα δὲ ἐν Λακεδαίμονι, χώματα μεγάλα ἃ καλοῦσι τάφους τῶν μετὰ Πέλοπος Φρυγῶν. μαθεῖν οὖν τὰς ἁρμονίας ταύτας τοὺς Ἕλληνας παρὰ τούτων· διὸ καὶ Τελέστης ὁ Σελινούντιός (*PMG* 810) φησι· ‖ 10

626a πρῶτοι παρὰ κρατῆρας Ἑλλήνων ἐν αὐλοῖς
συνοπαδοὶ Πέλοπος Ματρὸς ὀρείας
Φρύγιον ἄεισαν νόμον·
τοῖς δ᾽ ὀξύφωνοις πηκτίδων ψαλμοὶ κρέκον
Λύδιον ὕμνον. 5 15

[22] οὐ παραληπτέον δὲ τὴν μουσικήν, φησὶ Πολύβιος ὁ Μεγαλοπολίτης (4.20.5–21.9), ὡς Ἔφορος (*FGrH* 70 F 8) ἱστορεῖ, ἐπὶ ἀπάτῃ καὶ γοητείᾳ παρεισῆχθαι τοῖς ἀνθρώποις, οὐδὲ τοὺς παλαι-
626b οὺς | Κρητῶν καὶ Λακεδαιμονίων αὐλὸν καὶ ῥυθμὸν εἰς τὸν πόλεμον ἀντὶ σάλπιγγος εἰκῇ νομιστέον εἰσαγαγεῖν, οὐδὲ τοὺς 20 πρώτους Ἀρκάδων εἰς τὴν ὅλην πολιτείαν τὴν μουσικὴν παραλαβεῖν ὥστε μὴ μόνον ἐν παισὶν ἀλλὰ καὶ ἐν νεανίσκοις γενομένοις ὡς τριάκοντα ἐτῶν κατ᾽ ἀνάγκην σύντροφον ποιεῖν αὐτήν, τἄλλα τοῖς βίοις ὄντας αὐστηροτάτους· παρὰ γοῦν μόνοις Ἀρκάσιν οἱ παῖδες ἐκ νηπίων ᾄδειν ἐθίζονται κατὰ νόμον τοὺς ὕμνους καὶ 25 παιᾶνας, οἷς ἕκαστοι κατὰ τὰ πάτρια τοὺς ἐπιχωρίους ἥρωας καὶ θεοὺς ὑμνοῦσι. μετὰ δὲ ταῦτα τοὺς Τιμοθέου καὶ Φιλοξένου νόμους μανθάνοντες χορεύουσι κατ᾽ ἐνιαυτὸν τοῖς Διονυσιακοῖς αὐληταῖς |
626c ἐν τοῖς θεάτροις, οἱ μὲν οὖν παῖδες τοὺς παιδικοὺς ἀγῶνας, οἱ δὲ

11 Ἑλλήνων A : Ἑλλάνων Page ‖ **12** Ματρὸς A : Μητρὸς A[s] ‖ **14** τοῖς A : τοὶ Musurus | ψαλμοὶ A : ψαλμοῖς M Mus : ψαλμοίς P ‖ **22** ἐν παισὶν κτλ] sic M P Mus : ἐμπεσεῖν ἀλλὰ καὶ ἐν νεανίσκοις A : παισὶν οὖσιν ἀλλὰ καὶ νεανίσκοις Plb. ‖ **23** ὡς A : ἕως Plb. ‖ **24** παρὰ γοῦν μόνοις Ἀρκάσιν] παρὰ γοῦν μόνοις Ἀρκάδων A : παρ᾽ οἷς μόνοις C E : παρὰ μόνοις Ἀρκάσιν Plb. **25** νόμον A C E : νόμους P et Plb. ‖ **27** Τιμοθέου καὶ Φιλοξένου A C E : Φιλοξένου καὶ Τιμοθέου Plb. ‖ **29–217,1** ὡσεὶ τριάκοντα ἐτῶν intra δὲ et νεανίσκοι praeb. C E

νεανίσκοι τοὺς τῶν ἀνδρῶν. καὶ παρ᾽ ὅλον δὲ τὸν βίον ἐν ταῖς
συνουσίαις ταῖς κοιναῖς οὐ διὰ τῶν ἐπεισάκτων ἀκροαμάτων ὡς δι᾽
αὑτῶν ἀνὰ μέρος ᾄδειν ἀλλήλοις προστάττοντες. καὶ τῶν μὲν
ἄλλων μαθημάτων ἀρνηθῆναί τι μὴ εἰδέναι οὐδὲν αὑτοῖς αἰσχρόν
5 ἐστι, τὸ δὲ ᾄδειν ἀποτρίβεσθαι αἰσχρὸν παρ᾽ αὐτοῖς νομίζεται. καὶ
μὴν ἐμβατήρια μετ᾽ αὐλοῦ καὶ τάξεως ἀσκοῦντες, ἔτι δὲ ὀρχήσεις
ἐκπονοῦντες μετὰ κοινῆς ἐπιστροφῆς καὶ δαπάνης κατ᾽ | ἐνιαυτὸν 626d
ἐν τοῖς θεάτροις ἐπιδείκνυνται. ταῦτ᾽ οὖν αὑτοὺς εἴθισαν οἱ παλαιοὶ
οὐ τρυφῆς καὶ περιουσίας χάριν ἀλλὰ θεωροῦντες τὴν ἑκάστου
10 κατὰ τὸν βίον σκληρότητα καὶ τὴν τῶν ἠθῶν αὐστηρίαν, ἥτις
αὐτοῖς παρέπεται διὰ τὴν τοῦ περιέχοντος ψυχρότητα καὶ στυγνό-
τητα τὴν κατὰ πλεῖστον ἐν τοῖς τόποις ὑπάρχουσαν, οἷς καὶ συνεξ-
ομοιοῦσθαι πεφύκαμεν πάντες ἄνθρωποι· διὸ καὶ κατὰ τὰς ἐθνικὰς
διαστάσεις πλεῖστον ἀλλήλων διαφέρομεν ἤθει καὶ μορφαῖς καὶ
15 χρώμασι. πρὸς δὲ τούτοις συνόδους κοινὰς καὶ θυσίας ἀνδράσι καὶ |
γυναιξὶ κατείθισαν, ἔτι δὲ χοροὺς παρθένων ὁμοῦ καὶ παίδων, 626e
σπεύδοντες τὸ τῆς φύσεως ἀτέραμνον διὰ τῆς τῶν ἐθισμῶν
κατασκευῆς ἐξημεροῦν καὶ πραΰνειν· ὧν Κυναιθεῖς ὀλιγωρήσαντες
εἰς τέλος, καίτοι σκληρότατον παρὰ πολὺ τῆς Ἀρκαδίας ὁμοῦ τῷ
20 τόπῳ καὶ τὸν ἀέρα ἔχοντες, πρὸς μὲν αὐτὰς τὰς ἐν ἀλλήλοις παρα-

1–2 ἐν ταῖς συνουσίαις ταῖς κοιναῖς A : τὰς ἀγωγὰς τὰς ἐν ταῖς συνουσίαις Plb. ‖ **2–3** οὐ διὰ … ὡς δι᾽ αὑτῶν scripsi : οὐ διὰ … ὡς διὰ τῶν A : οὐχ οὕτως ποιοῦνται διὰ τῶν ἐπεισάκτων ἀκροαμάτων ὡς δι᾽ αὑτῶν Plb. ‖ **4** εἰδέναι A C E : γινώσκειν Plb. | οὐδὲν αὑτοῖς M P Mus : οὐδὲν αὐτὸν A : αὐτοῖς … οὐδὲν C E : οὐδὲν Plb. : οὐδενὶ αὐτῶν Kaibel ‖ **5** τὸ δὲ ᾄδειν ἀποτρίβεσθαι αἰσχρὸν παρ᾽ αὐτοῖς νομίζεται A C E : τήν γε μὴν ᾠδὴν οὔτ᾽ ἀρνηθῆναι δύνανται διὰ τὸ κατ᾽ ἀνάγκην πάντας μανθάνειν, οὔθ᾽ ὁμολογοῦντες ἀποτρίβεσθαι διὰ τὸ τῶν αἰσχρῶν παρ᾽ αὐτοῖς νομίζεσθαι τοῦτο Plb. ‖ **8** αὑτοὺς scripsi : αὐτοὺς A C E ‖ **9–10** θεωροῦντες τὴν ἑκάστου κατὰ τὸν βίον σκληρότητα καὶ τὴν τῶν ἠθῶν αὐστηρίαν A C E : θεωροῦντες μὲν τὴν ἑκάστων αὐτουργίαν καὶ συλλήβδην τὸ τῶν βίων ἐπίπονον καὶ σκληρόν, θεωροῦντες δὲ τὴν τῶν ἠθῶν αὐστηρίαν Plb. ‖ **12** πλεῖστον A C E : τὸ πλεῖστον Plb. | οἷς καὶ A C E : ᾧ Plb. ‖ **14** ἤθει A C E : ἤθεσι Plb. ‖ **17** φύσεως A C E : ψυχῆς Plb. **19–20** καίτοι σκληρότατον παρὰ πολὺ τῆς Ἀρκαδίας ὁμοῦ τῷ τόπῳ καὶ τὸν ἀέρα ἔχοντες A C E : καὶ ταῦτα πλείστης δεόμενοι τῆς τοιαύτης ἐπικουρίας διὰ τὸ σκληρότατον παρὰ πολὺ τῆς Ἀρκαδίας ἔχειν ἀέρα καὶ τόπον Plb. **20** μὲν A : om. Plb., del. Schweighäuser ‖ **20–218,1** παρατριβὰς A : διατριβὰς Plb.

τριβὰς καὶ φιλοτιμίας ὁρμήσαντες τέλος ἀπεθηριώθησαν οὕτως ὡς μέγιστα ἀσεβήματα παρὰ μόνοις αὐτοῖς γίνεσθαι. καθ᾽ οὓς δὲ
626f καιροὺς τὴν μεγάλην σφαγὴν | ἐποιήσαντο, εἰς ἅς ποτε πόλεις Ἀρκαδικὰς κατὰ τὴν δίοδον εἰσῆλθον, οἱ μὲν ἄλλοι παραχρῆμα πάντες αὐτοὺς ἐξεκήρυξαν, Μαντινεῖς δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν 5 αὐτῶν καθαρμὸν τῆς πόλεως ἐποιήσαντο σφάγια περιαγαγόντες κύκλῳ τῆς χώρας ἁπάσης. [23] Ἁγίας δ᾽ ὁ μουσικὸς (fr. 4, *FHG* iv.293) ἔφη τὸν στύρακα τὸν ἐν ταῖς ὀρχήστραις θυμιώμενον τοῖς Διονυσίοις Φρύγιον ποιεῖν ὀδμὴν τοῖς αἰσθανομένοις. τὸ δ᾽
627a ἀρχαῖον ἡ μουσικὴ ἐπ᾽ ἀνδρείαν προτροπὴ ἦν· ‖ Ἀλκαῖος γοῦν ὁ 10 ποιητής, εἴ τις καὶ ἄλλος μουσικώτατος γενόμενος, πρότερα τῶν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος· διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενός φησι (Alc. fr. 140)·

μαρμαίρει δὲ μέγας δόμος 15
χάλκῳ, πᾶσα δ᾽ Ἄρῃ κεκόσμηται στέγη
λαμπραῖσι κυνίαισι, κὰτ
τὰν λευκοὶ καθύπερθεν ἴππιοι λόφοι 5
νεύουσιν, κεφαλαῖσιν ἄν-
627b δρῶν ἀγάλματα· | χάλκιαι δὲ πασσάλοις 20
κρυπτοῖσιν περικείμεναι
λαμπραὶ κνάμιδες, † ἄρκος † ἰσχυρῶ βέλευς·

627a–d Eust. pp. 1319.64–1320.5 = IV.798.8–15

1–2 ὡς μέγιστα ἀσεβήματα παρὰ μόνοις αὐτοῖς γίνεσθαι A C E : ὥστε μηδ᾽ ἐν ὁποίᾳ γεγονέναι τῶν Ἑλληνίδων πόλεων ἀσεβήματα μείζονα καὶ συνεχέστερα Plb. ‖ **3** ποτε πόλεις A C E : πόλεις ποτ᾽ Plb. ‖ **4** κατὰ τὴν δίοδον εἰσῆλθον A C E : εἰσῆλθον κατὰ τὴν ὁδόν Plb. ‖ **5** αὐτοὺς C E et Plb. : ἑαυτοὺς A ‖ **6** τῆς πόλεως A C E : om., sed τῆς τε πόλεως κύκλῳ καὶ τῆς χώρας ἁπάσης infra praeb. Plb. ‖ **10** προτροπὴ ἦν C E B Mus : προτροπήν A ‖ **16** πᾶσα A : [π]αῖσα *P.Oxy.* 2295 | στέγη] † στεγη † A : στέγα Welcker **17** λαμπραῖσι A : [λάμ]πραισιν *P.Oxy.* 2295 ‖ **17–18** κὰτ / τὰν, i.e. ΚΑΤΤ- Kaibel (κάτταν iam B M P, καττὰν iam Musurus) : † κατγαν †, i.e. ΚΑΤΓ- A ‖ **18** καθύπερθεν A : κατέπ[*P.Oxy.* 2295 et 2296 ‖ **19** νεύουσιν A : νεύοισιν Neue ‖ **20** πασσάλοις M P Mus : πασάλοις A ‖ **22** κνάμιδες] † κναμιδες † A : † κνημιδες † A[s] : κναμίδες B M P | ἄρκος A : ἔρκος Ursinus et Casaubon βέλευς] † βελευς † A : βελεύς B M P : βέλεος Fick

θόρρακές τε νέω λίνω, 10
κοιλαί τε κὰτ ἀσπίδες βεβλημέναι·
πὰρ δὲ Χαλκιδικαὶ σπάθαι,
πὰρ δὲ ζώματα πολλὰ καὶ † κυππατιδεσ †.
5 τῶν οὐκ ἔστι λάθεσθ' ἐπεὶ
δὴ πρώτισθ' ὑπὸ ἔργον ἔσταμεν τόδε. 15

καίτοι μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν ὀργάνων. ἀλλ' οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑπελάμβανον | εἶναι 627c μεγίστην τῶν πολιτικῶν ἀρετῶν, καὶ ταύτῃ τὰ πολλὰ προσνέμειν 10 ⟨...⟩ οὐ τοῖς ἄλλοις· Ἀρχίλοχος γοῦν ἀγαθὸς ὢν ποιητὴς πρῶτον ἐκαυχήσατο τῷ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων, δεύτερον δὲ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ λέγων (fr. 1 West²)·

εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος
15 καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

ὁμοίως (Chamael. fr. [64a] Martano) δὲ καὶ Αἰσχύλος (test. 162) τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικὴν οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγραφῆναι | ἠξίωσε μᾶλλον τὴν ἀνδρείαν ποιήσας (*FGE* 627d 478–9)·

20 ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ † βαθυχεταικεν μηδοι † ἐπιστάμενοι·

[**24**] διόπερ καὶ οἱ ἀνδρειότατοι Λακεδαιμόνιοι μετ' αὐλῶν στρατεύονται, Κρῆτες δὲ μετὰ λύρας, μετὰ δὲ συρίγγων καὶ αὐλῶν Λυδοί, ὡς Ἡρόδοτος (1.17.1) ἱστορεῖ. πολλοὶ δὲ καὶ τῶν 25 βαρβάρων τὰς ἐπικηρυκείας ποιοῦνται μετ' αὐλῶν καὶ κιθάρας

1 νέω Casaubon : † νεωι † A : † νεω † B M P ‖ **4** † κυππατιδεσ † A : κυπάσσιδες Casaubon, Ahrens ‖ **5** λάθεσθ' Schweighäuser : λαθέσθαι A **6** πρώτισθ' ὑπὸ A : πρώτιστ' ὐπὰ Lobel, Ahrens | † ἔργον † A : τὦργον Lobel ‖ **9** τὰ πολλὰ A : τὰ πολιτικὰ C E | προσνέμειν A C E : fort. προσένεμον ‖ **10** lac. indic. Schweighäuser | γοῦν, i.e. Γ- Schweighäuser : τοῦ, i.e. Τ- A : οὖν C E M P Mus ‖ **21** † βαθυχεταικεν † A : βαθυχαίται κεν B* : βαθυχαῖται vel βαθυχαίται M P : βαθυχαιτήεις A. test. 1.45 et Musurus † μηδοι † ἐπιστάμενοι A : Μῆδος ἐπιστάμενος A. test. 1.45 et Musurus

627e καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς. Θεόπομπος δ' ἐν | ἕκτῃ καὶ τεσσαρακοστῇ τῶν Ἱστοριῶν (*FGrH* 115 F 216), Γέται, φησί, κιθάρας ἔχοντες καὶ κιθαρίζοντες τὰς ἐπικηρυκείας ποιοῦνται· ὅθεν ἔοικε καὶ Ὅμηρος διατηρῶν τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν λέγειν (cf. *Od.* 8.99; 17.270–1)· 5

φόρμιγγός θ', ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην,

ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. ἦν δ', ὡς ἔοικε, τοῦτο νενομισμένον πρῶτον μὲν ὅπως ἕκαστος τῶν εἰς μέθην καὶ πλήρωσιν ὡρμημένων ἰατρὸν λαμβάνῃ τῆς ὕβρεως καὶ τῆς ἀκοσμίας τὴν μουσικήν, εἶθ' ὅτι τὴν αὐθάδειαν πραΰνει· 10
627f περιαιρουμένη | γὰρ τὴν στυγνότητα ποιεῖ πρᾳότητα καὶ χαρὰν ἐλευθέριον, ὅθεν καὶ Ὅμηρος εἰσήγαγε τοὺς θεοὺς χρωμένους ἐν τοῖς πρώτοις τῆς Ἰλιάδος τῇ μουσικῇ μετὰ τὴν περὶ τὸν Ἀχιλλέα φιλοτιμίαν· διετέλουν γὰρ ἀκροώμενοι (*Il.* 1.603–4)

φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων, 15
Μουσάων, αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ·

παύσασθαι γὰρ ἔδει τὰ νείκη καὶ τὴν στάσιν, καθάπερ ἐλέγομεν. ἐοίκασιν οὖν οἱ πολλοὶ τὴν ἐπιστήμην ἀποδιδόναι ταῖς συνουσίαις ἐπανορθώσεως χάριν καὶ ὠφελείας. ἀλλὰ μὴν οἱ ἀρχαῖοι καὶ
628a περιέλαβον ἔθεσι καὶ νόμοις τοὺς τῶν θεῶν ὕμνους ‖ ᾄδειν ἅπαντας 20 ἐν ταῖς ἑστιάσεσιν, ὅπως καὶ διὰ τούτων τηρῆται τὸ καλὸν καὶ σωφρονικὸν ἡμῶν· ἐναρμονίων γὰρ ὄντων τῶν ᾀσμάτων προσγινόμενος ὁ τῶν θεῶν λόγος ἀποσεμνύνει τὸν ἑκάστων τρόπον. Φιλόχορος (*FGrH* 328 F 172) δέ φησιν ὡς οἱ παλαιοὶ οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ' ὅταν † σπένδωσι, τὸν μὲν Διόνυσον ἐν οἴνῳ | 25
628b καὶ μέθῃ, τὸν δ' Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες· Ἀρχίλοχος (fr. 120 West[2]) γοῦν φησιν·

627e–f Eust. p. 1403.61–3 = i.39.1–3

1–2 ἕκτῃ καὶ τεσσαρακοστῇ scripsi : τεσσαρακοστῇ ἕκτῃ A ‖ **5** λέγειν Casaubon : λέγει A ‖ **6** θ' Hom. et M P Mus : τε A ‖ **13–14** μετὰ δὲ A : δὲ delevi : · μετὰ γὰρ τὴν ... διετέλουν ἀκροώμενοι Kaibel ‖ **17** ἐλέγομεν Schweighäuser : λέγομεν A ‖ **22–3** προσγινόμενος Kaibel : προσγενόμενος A ‖ **24** οἱ παλαιοὶ σπένδοντες A : σπένδοντες del. Wilamowitz | ἀεὶ B M P Mus : αἰεὶ A

ὡς Διονύσοι' ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον οἴνῳ συγκεραυνωθεὶς φρένας.

καὶ Ἐπίχαρμος δ' ἐν Φιλοκτήτῃ (fr. 131) ἔφη·

οὐκ ἔστι διθύραμβος, οὐχ ὕδωρ πίῃς.

5 ὅτι μὲν οὖν οὐχ ἡδονῆς χάριν ἐπιπολαίου καὶ δημοτικῆς ἡ μουσικὴ προῆλθε κατ' ἀρχὰς εἰς τὰς ἑστιάσεις, ὥσπερ ἔνιοι νομίζουσι, φανερὸν ἐκ τῶν εἰρημένων. Λακεδαιμόνιοι δ' εἰ μὲν ἐμάνθανον τὴν μουσικὴν οὐδὲν λέγουσιν· ὅτι δὲ κρίνειν δύνανται καλῶς τὴν τέχνην ὁμολογεῖται παρ' αὐτῶν, καί φασι τρὶς ἤδη 10 σεσωκέναι διαφθειρομένην αὐτήν. [25] καὶ πρὸς γυμνασίαν δὲ καὶ ὀξύτητα | διανοίας συμβάλλεται ἡ μουσική· διὸ καὶ τῶν Ἑλλήνων 628c ἕκαστοι καὶ τῶν βαρβάρων οἱ γινωσκόμενοι τυγχάνουσι χρώμενοι. οὐ κακῶς δὲ λέγουσιν οἱ περὶ Δάμωνα τὸν Ἀθηναῖον (37 B 6 D.–K.) ὅτι καὶ τὰς ᾠδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη γίνεσθαι κινου- 15 μένης πως τῆς ψυχῆς· καὶ αἱ μὲν ἐλευθέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας, αἱ δ' ἐναντίαι τὰς ἐναντίας· ὅθεν καὶ τὸ Κλεοσθένους τοῦ Σικυωνίων τυράννου χαρίεν καὶ σημεῖον διανοίας πεπαιδευμένης· ἰδὼν γάρ, ὥς φασι, φορτικῶς ὀρχησάμενον ἕνα τῶν τῆς θυγατρὸς | μνηστήρων (Ἱπποκλείδης δ' ἦν ὁ Ἀθηναῖος) ἀπωρχῆσθαι τὸν 628d 20 γάμον αὐτὸν ἔφησε νομίζων, ὡς ἔοικε, καὶ τὴν ψυχὴν τἀνδρὸς εἶναι τοιαύτην· καὶ γὰρ ἐν ὀρχήσει καὶ πορείᾳ καλὸν μὲν εὐσχημοσύνη καὶ κόσμος, αἰσχρὸν δὲ ἀταξία καὶ τὸ φορτικόν· διὰ τοῦτο γὰρ καὶ ἐξ ἀρχῆς συνέταττον οἱ ποιηταὶ τοῖς ἐλευθέροις τὰς ὀρχήσεις καὶ ἐχρῶντο τοῖς σχήμασι σημείοις μόνον τῶν ᾀδομένων 25 τηροῦντες ἀεὶ τὸ εὐγενὲς καὶ ἀνδρῶδες ἐπ' αὐτῶν· ὅθεν καὶ ὑπορχήματα τὰ τοιαῦτα προσηγόρευον. εἰ δέ τις ἀμέτρως | διαθείη 628e τὴν σχηματοποιίαν καὶ ταῖς ᾠδαῖς ἐπιτυγχάνων μηδὲν λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ' ἦν ἀδόκιμος· διὸ καὶ Ἀριστοφάνης ἢ

628d–f Eust. p. 1078.24–8 = III.906.5–11

1 Διονύσοι'] Διονύσοιο A : Διωνύσοι' Bentley : Διωνύσου Hermann ‖ **4** οὐχ A : ὄχχ' Casaubon ‖ **5** καὶ ⟨ὠφελείας⟩ δημοτικῆς Kaibel ‖ **7** εἰ A C E : ὅτι Kaibel ‖ **8** οὐδὲν A C E : οὐδὲ Kaibel ‖ **13** δὲ λέγουσιν M P Mus : δὲ λέγομεν A : δέ φασι C E : δ' ἔλεγον Kaibel ‖ **19** Ἱπποκλείδης δ' ἦν ὁ Ἀθηναῖος A C E : fort. ut glossa delenda ‖ **25** ἀεὶ C E B M P Mus : αἰεὶ A

νης ἢ Πλάτων (fr. 138) ἐν ταῖς Σκευαῖς, ὡς Χαμαιλέων (fr. 42 Wehrli = fr. 45 Martano) φησίν, εἴρηκεν οὕτως·

> ὥστ' εἴ τις ὀρχοῖτ' εὖ, θέαμ' ἦν· νῦν δὲ δρῶσιν οὐδέν,
> ἀλλ' ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται·

ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον τότε 5 καὶ μεγαλοπρεπὲς καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμούμενον· ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασι (fr. 3 West[2]) τοὺς 628f κάλλιστα | χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια λέγων οὕτως·

> οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι 10
> ἐν πολέμῳ·

σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία καὶ ἐπίδειξις οὐ μόνον τῆς λοιπῆς εὐταξίας ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας. ‖ 629a [**26**] Ἀμφίων δ' ὁ Θεσπιεὺς ἐν δευτέρῳ Περὶ τοῦ ἐν Ἑλικῶνι Μουσείου (*FGrH* 387 F 1) ἄγεσθαί φησιν ἐν Ἑλικῶνι παίδων 15 ὀρχήσεις μετὰ σπουδῆς παρατιθέμενος ἀρχαῖον ἐπίγραμμα τόδε (anon. *FGE* 1844–7)·

> ἀμφότερ', ὠρχεύμην τε καὶ ἐν Μώσαις ἐδίδασκον
> ἄνδρας· ὁ δ' αὐλητὰς ἦν Ἄνακος Φιαλεύς. 1845
> εἰμὶ δὲ Βακχίδα Σικυώνιος. ἦ ῥα θεοῖσι 20
> ταῖς Σικυῶνι καλὸν τοῦτ' ἀπέκειτο γέρας.

629b οὐ κακῶς δὲ καὶ Καφισίας ὁ αὐλητὴς ἐπιβαλλομένου | τινὸς τῶν μαθητῶν αὐλεῖν μέγα καὶ τοῦτο μελετῶντος πατάξας εἶπεν οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἶναι, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. ἐστὶ δὲ καὶ τὰ τῶν ἀρχαίων δημιουργῶν ἀγάλματα τῆς παλαιᾶς 25 ὀρχήσεως λείψανα· διὸ καὶ συνέστη τὰ κατὰ τὴν χειρονομίαν ἐπιμελεστέρως διὰ ταύτην τὴν αἰτίαν· ἐζήτουν γὰρ κἀν ταύτῃ

3 ὥστ' Musurus : ὥστε A | ὀρχοῖτ' Musurus : ὀρχοῖθ' A | οὐδέν C E B : οὐθέν A ‖ **6–7** ἀπομιμούμενον C E M P Eust. Mus : ἀπομιμουμένων A **15** Μουσείου B M P Mus : † μουσθιου † A : Μουσείῳ (structura mutata) E : Μουσίῳ (structura mutata) C ‖ **20** δὲ Βακχίδα B M P : δ' Βακχίδα A : δὲ Βακχείδας Musurus : δὲ Βακχιάδας Meineke ‖ **22** Καφισίας Dindorf, cf. 12.538f : Καφησίας A C E

κινήσεις καλὰς καὶ ἐλευθερίους ἐν τῷ εὖ τὸ μέγα περιλαμβάνοντες, καὶ τὰ σχήματα μετέφερον ἐντεῦθεν εἰς τοὺς χορούς, ἐκ δὲ τῶν χορῶν εἰς τὰς παλαίστρας· καὶ γὰρ ἐν τῇ μουσικῇ κἀν τῇ | τῶν 629c σωμάτων ἐπιμελείᾳ περιεποιοῦντο τὴν ἀνδρείαν, καὶ πρὸς τὰς ἐν
5 τοῖς ὅπλοις κινήσεις ἐγυμνάζοντο μετὰ ᾠδῆς· ὅθεν ἐκινήθησαν αἱ καλούμεναι πυρρίχαι καὶ πᾶς ὁ τοιοῦτος τρόπος τῆς ὀρχήσεως· πολλαὶ γὰρ αἱ ὀνομασίαι αὐτῶν, ὡς παρὰ Κρησὶν ὀρσίτης καὶ ἐπικρήδιος. τὴν δ' ἀπόκινον καλουμένην ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει (fr. 127) καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν (fr. 2)
10 Ἀριστοφάνης τ' ἐν Κενταύρῳ (fr. 287) καὶ ἄλλοι πλείονες, ὕστερον μακτρισμὸν ὠνόμασαν· ἣν καὶ πολλαὶ γυναῖκες ὠρχοῦντο, ἃς καὶ | μακτριστρίας ὀνομαζομένας οἶδα. [27] τὰ δὲ στασιμώτερα καὶ 629d ποικιλώτερα καὶ τὴν ὄρχησιν ἁπλουστέραν ἔχοντα καλεῖται δάκτυλοι, ἰαμβική, Μολοσσική, ἐμμέλεια, κόρδαξ, σίκιννις,
15 Περσική, Φρύγιος, νιβατισμός, Θρᾴκιος, καλαβρισμός, Τελεσιάς· Μακεδονικὴ δ' ἐστὶν αὕτη ὄρχησις, ᾗ χρησάμενοι οἱ περὶ Πτολεμαῖον Ἀλέξανδρον τὸν Φιλίππου ἀδελφὸν ἀνεῖλον, ὡς ἱστορεῖ Μαρσύας ἐν τρίτῳ Μακεδονικῶν (*FGrH* 135–6 F 11). μανιώδεις δ' εἰσὶν ὀρχήσεις κερνοφόρος καὶ | μιγγὰς καὶ θερμαυστρίς. ἦν δὲ καὶ 629e
20 παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα· ταύτην δὲ ὠρχοῦντο μετὰ λέξεως τοιαύτης μιμούμενοι καὶ λέγοντες (carm. pop. *PMG* 852)·

ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα,
ποῦ μοι τὰ καλὰ σέλινα;
25 ποῦ μοι ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα,
ταδὶ τὰ καλὰ σέλινα;

1 περιλαμβάνοντες, i.e. π^{ε}λαμ- Kaibel : παραλαμβάνοντες, i.e. π^{ε}λαμ- A C E **5** τῆς ᾠδῆς A : τῆς om. C E ‖ **7** πολλαὶ γὰρ αἱ ὀνομασίαι Kaibel : † αιπολλαιπαραιονομασίαι † A : αἱ πολλαὶ παρονομασίαι Musurus : fort. πολλαὶ αἱ παρονομασίαι ‖ **8** ἧς Casaubon : ὡς A ‖ **12** μακτριστρίας Coraes : † μαρκτυπιας † A ‖ **13** ποικιλώτερα A C E : πυκνότερα Kaibel **15** νιβατισμός A et Hsch. ν 588 : νικατισμός B M P Mus : νικτισμός C* E καλαβρισμός A C E : κολαβρισμός Poll. 4.100 | Τελεσιάς C E Mus : † τελεσειας † A ‖ **15–16** ἀπὸ Τελεσίου πρώτου μετὰ ὅπλων ταύτην ὀρχησαμένου post Τελεσιάς praeb. C E ‖ **19** μιγγὰς C E : † μογγας † A **25** ποῦ ... ταδὶ[1] ποῦ μοι ταδὶ A C E : ποῦ μοι del. cens. Ien.

παρὰ δὲ Συρακοσίοις καὶ Χιτωνέας Ἀρτέμιδος ὄρχησίς τίς ἐστιν ἴδιος καὶ αὔλησις. ἦν δέ τις καὶ Ἰωνικὴ ὄρχησις παροίνιος, καὶ τὴν ἀγγελικὴν δὲ πάροινον ἠκρίβουν ὄρχησιν. καλεῖται δέ τις καὶ ἄλλη ὄρχησις κόσμου ἐκπύρωσις, ἧς μνημονεύει Μένιππος ὁ
629f κυνικὸς ἐν τῷ Συμποσίῳ (fr. IV, p. 246 Riese). καὶ γελοῖαι | εἰσὶν 5
ὀρχήσεις ἴγδις καὶ μακτρισμὸς ἀπόκινός τε καὶ σοβάς, ἔτι δὲ μορφασμὸς καὶ γλαὺξ καὶ λέων ἀλφίτων τε ἔκχυσις καὶ χρεῶν ἀποκοπὴ καὶ στοιχεῖα. μετ᾽ αὐλῶν δ᾽ ὠρχοῦντο τὴν τοῦ κελευστοῦ καὶ τὴν καλουμένην πινακίδα. σχήματα δέ ἐστιν ὀρχήσεως ξιφισμός, καλαθισμός, καλλαβίδες, σκώψ, σκώπευμα. ἦν δὲ ὁ 10
σκὼψ τῶν ἀποσκοπούντων τι σχῆμα ἄκραν τὴν χεῖρα ὑπὲρ τοῦ μετώπου κεκυρτωκότων· μνημονεύει Αἰσχύλος ἐν Θεωροῖς (fr. 79)·

> καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων. ‖

630a καλλαβίδων δ᾽ Εὔπολις ἐν Κόλαξι (fr. 176.2–3)·

> καλλαβίδας δὲ βαίνει, 15
> σησαμίδας δὲ χέζει.

θερμαυστρίς, ἑκατερίδες, σκοπός, χεὶρ καταπρηνής, χεὶρ σιμή, διποδισμός, ξύλου παράληψις, ἐπαγκωνισμός, καλαθίσκος, στρόβιλος. καὶ Τελεσιὰς δ᾽ ἐστὶν ὄρχησις καλουμένη· στρατιωτικὴ δ᾽ ἐστὶν αὕτη ἀπό τινος ἀνδρὸς Τελεσίου λαβοῦσα τοὔνομα μεθ᾽ 20
ὅπλων τὸ πρῶτον αὐτὴν ἐκείνου ὀρχησαμένου, ὥς φησιν Ἱππαγόρας ἐν τῷ πρώτῳ Περὶ τῆς Καρχηδονίων Πολιτείας (*FGrH* 743 F
630b 1). | [**28**] καλεῖται δ᾽ ἡ μὲν σατυρικὴ ὄρχησις, ὥς φησιν Ἀριστοκλῆς ἐν πρώτῳ Περὶ Χορῶν (fr. 9, *FHG* iv.331), σίκιννις καὶ οἱ σάτυροι σικιννισταί· τινὲς δέ φασι Σίκιννόν τινα βάρβαρον εὑρετὴν 25
αὐτῆς γενέσθαι, ἄλλοι δὲ Κρῆτα λέγουσι τὸ γένος εἶναι τὸν Σίκιν-

629f Eust. p. 1524.1–3 = i.200.12–14

7 καί[2] … ἔκχυσις καὶ λέων ἀλφίτων τε ἔκχυσις Bapp : καὶ † λεων ἀλφιτωντε † ἐκχύσεις A : ἐλαίων, ἀλφίτων ἐκχύσεις C E : fort. καὶ ἐλαίων ἀλφίτων τε ἐκχύσεις vel καὶ ἐλαίου ἀλφίτων τε ἐκχύσεις ‖ **8** καὶ στοιχεῖα καὶ πυρρίχη A : καὶ πυρρίχη delevi, ducente Kaibel ‖ **10** καλαθισμός A C E : καλαθίσκος Meursius, cf. 14.630a et Hsch. κ 392 | καλλαβίδες A C[s] E[s], cf. 14.630a, 646f : κολλαβίδες C E : καλλακίδες B M P Mus ‖ **17** θερμαυστρίς Casaubon, cf. 14.629e : † θαυμαυστρεισ † A : θαυμαυστρίς Musurus | χεὶρ σιμή Meursius : χερσὶ † μη † A

νον. ὀρχησταὶ δ᾽ οἱ Κρῆτες, ὥς φησιν Ἀριστόξενος (fr. 107 Wehrli). Σκάμων δ᾽ ἐν πρώτῳ Περὶ Εὑρημάτων (*FGrH* 476 F 2) σίκιννιν αὐτὴν εἰρῆσθαι ἀπὸ τοῦ σείεσθαι καὶ πρῶτον ὀρχήσασθαι τὴν σίκιννιν Θέρσιππον. προτέρα δ᾽ εὕρηται ἡ περὶ τοὺς πόδας κίνησις
5 τῆς διὰ τῶν χειρῶν· | οἱ γὰρ παλαιοὶ τοὺς πόδας μᾶλλον ἐγυμνά- 630c
ζοντο ἐν τοῖς ἀγῶσι καὶ τοῖς κυνηγεσίοις. οἱ δὲ Κρῆτες κυνηγετικοί, διὸ καὶ ποδώκεις. εἴσι δέ τινες οἵ φασι τὴν σίκιννιν ποιητικῶς ὠνομάσθαι ἀπὸ τῆς κινήσεως, ἣν καὶ οἱ σάτυροι ὀρχοῦνται ταχυτάτην οὖσαν· οὐ γὰρ ἔχει πάθος αὕτη ἡ ὄρχησις, διὸ οὐδὲ
10 βραδύνει. συνέστηκε δὲ καὶ πᾶσα ποίησις τὸ παλαιὸν ἐκ χορῶν, ὡς καὶ ἡ τότε τραγῳδία· διόπερ οὐδὲ ὑποκριτὰς εἶχον. τρεῖς δ᾽ εἰσὶ τῆς σκηνικῆς | ποιήσεως ὀρχήσεις, τραγική, κωμική, σατυρική. 630d
ὁμοίως δὲ καὶ τῆς λυρικῆς ποιήσεως τρεῖς, πυρρίχη, γυμνοπαιδική, ὑπορχηματική. καὶ ἐστὶν ὁμοία ἡ μὲν πυρρίχη τῇ σατυρικῇ·
15 ἀμφότεραι γὰρ διὰ τάχους. πολεμικὴ δὲ δοκεῖ εἶναι ἡ πυρρίχη· ἔνοπλοι γὰρ αὐτὴν παῖδες ὀρχοῦνται. τάχους δὲ δεῖ ⟨ἐν⟩ τῷ πολέμῳ εἰς τὸ διώκειν καὶ εἰς τὸ ἡττωμένους

φεύγειν μηδὲ μένειν, μηδ᾽ αἰδεῖσθαι κακὸς εἶναι.
(cf. Delphic Oracle Q101.3 Fontenrose ap. Hdt. 1.55.2)

20 ἡ δὲ γυμνοπαιδικὴ παρεμφερής ἐστι | τῇ τραγικῇ ὀρχήσει ἥτις 630e
ἐμμέλεια καλεῖται· ἐν ἑκατέρᾳ δὲ ὁρᾶται τὸ βαρὺ καὶ σεμνόν. ἡ δ᾽ ὑπορχηματικὴ τῇ κωμικῇ οἰκειοῦται ἥτις καλεῖται κόρδαξ· παιγνιώδεις δ᾽ εἰσὶν ἀμφότεραι. [**29**] Ἀριστόξενος (fr. 103 Wehrli) δέ φησι τὴν πυρρίχην ἀπό τινος Πυρρίχου, Λάκωνος τὸ γένος, τὴν
25 προσηγορίαν λαβεῖν· Λακωνικὸν δ᾽ εἶναι μέχρι καὶ νῦν ὄνομα τὸν Πύρριχον. ἐμφανίζει δ᾽ ἡ ὄρχησις πολεμικὴ οὖσα, ὡς Λακεδαιμονίου τὸ εὕρημα· πολεμικοὶ δ᾽ εἰσὶν οἱ Λάκωνες, ὧν καὶ οἱ υἱοὶ τὰ ἐμβατήρια | μέλη ἀναλαμβάνουσιν, ἅπερ καὶ ἐνόπλια καλεῖται. 630f

630c–d Eust. p. 1078.28 = III.906.12–13 | **630d, 631a, c** Eust. p. 957.47 = III.547.8–10

4 προτέρα Meineke : πρώτη A C E ‖ **9** πάθος A C E : ἦθος Meineke : fort. βάρος ‖ **10** πᾶσα] σατυρικὴ πᾶσα (v.ll.) A : ἡ σατυρικὴ C E ‖ **16–17** ⟨ἐν⟩ τῷ πολέμῳ vel τῷ πολεμοῦντι Kaibel ‖ **18** μηδ᾽ αἰδεῖσθαι κακὸς C E ex Hdt. : μὴ δὲ δεῖσθαι κακοὺς A : μηδ᾽ αἰδεῖσθαι κακοὺς Musurus ‖ **24** τινος C E : om. A **26** ὡς A : ὅτι C E ‖ **26–7** Λακεδαιμονίου A : Λακεδαιμονίων C E : Λακεδαιμόνιον Schweighäuser ‖ **27** οἱ[2] C E B : om. A

καὶ αὐτοὶ δ᾿ οἱ Λάκωνες ἐν τοῖς πολέμοις τὰ Τυρταίου ποιήματα ἀπομνημονεύοντες ἔνρυθμον κίνησιν ποιοῦνται. Φιλόχορος (*FGrH* 328 F 216) δέ φησι κρατήσαντας Λακεδαιμονίους Μεσσηνίων διὰ τὴν Τυρταίου στρατηγίαν ἐν ταῖς στρατείαις ἔθος ποιήσασθαι, ὅταν δειπνοποιήσωνται καὶ παιωνίσωσιν, ᾄδειν καθ᾿ ἕνα ⟨τὰ⟩ 5 Τυρταίου· κρίνειν δὲ τὸν πολέμαρχον καὶ ἆθλον διδόναι τῷ 631a νικῶντι κρέας. ‖ ἡ δὲ πυρρίχη παρὰ μὲν τοῖς ἄλλοις Ἕλλησιν οὐκέτι παραμένει· ἐκλιπούσης δὲ αὐτῆς συμβέβηκε καὶ τοὺς πολέμους καταλυθῆναι. παρὰ μόνοις δὲ Λακεδαιμονίοις διαμένει προγύμνασμα οὖσα τοῦ πολέμου· ἐκμανθάνουσί τε πάντες ἐν τῇ 10 Σπάρτῃ ἀπὸ πέντε ἐτῶν πυρριχίζειν. ἡ δὲ καθ᾿ ἡμᾶς πυρρίχη Διονυσιακή τις εἶναι δοκεῖ ἐπιεικεστέρα οὖσα τῆς ἀρχαίας· ἔχουσι γὰρ οἱ ὀρχούμενοι θύρσους ἀντὶ δοράτων, προΐενται δὲ ἐπ᾿ ἀλλήλους, καὶ νάρθηκας καὶ λαμπάδας φέρουσιν ὀρχοῦνταί τε τὰ 631b περὶ τὸν Διόνυσον καὶ | τοὺς Ἰνδούς, ἔτι τε τὰ περὶ τὸν Πενθέα. 15 τακτέον δὲ ἐπὶ τῆς πυρρίχης τὰ κάλλιστα μέλη καὶ τοὺς ὀρθίους ῥυθμούς. [**30**] ἔοικε δὲ ἡ γυμνοπαιδικὴ τῇ καλουμένῃ ἀναπάλῃ παρὰ τοῖς παλαιοῖς· γυμνοὶ γὰρ ὀρχοῦνται οἱ παῖδες πάντες ἐνρύθμους φοράς τινας ἀποτελοῦντες καὶ σχήματά τινα τῶν χειρῶν κατὰ τὸ ἀνάπαλον, ὥστ᾿ ἐμφαίνειν θεωρήματά τινα τῆς 20 πάλης καὶ τοῦ παγκρατίου κινοῦντες εὐρύθμως τοὺς πόδας· τρόποι δ᾿ αὐτῆς οἵ τε Ὠσχοφορικοὶ καὶ οἱ βακχικοί, ὥστε καὶ τὴν 631c ὄρχησιν ταύτην εἰς τὸν Διόνυσον ἀναφέρεσθαι. | Ἀριστόξενος (fr. 108 Wehrli) δέ φησιν ὡς οἱ παλαιοὶ γυμναζόμενοι πρῶτον ἐν τῇ γυμνοπαιδικῇ εἰς τὴν πυρρίχην ἐχώρουν πρὸ τοῦ εἰσιέναι εἰς τὸ 25 θέατρον. καλεῖται δ᾿ ἡ πυρρίχη καὶ χειρονομία. ἡ δ᾿ ὑπορχηματική

630d, 631a, c Eust. p. 957.47 = III.547.8–10

2 ἔνρυθμον A : εὔρυθμον C E ‖ **5** ὅταν scripsi : ἂν A | ⟨τὰ⟩ add. Kaibel ‖ **8** καὶ συμβέβηκε] καὶ ἐκλιπούσης supra A : καὶ huc transp. Kaibel, cf. C E παρ᾿ ὃ καὶ οἱ πόλεμοι κατελύθησαν ‖ **15** τὰ περὶ τοὺς Ἰνδοὺς A : Ἰνδοὺς C E : τὰ περὶ del. Kaibel ‖ **16** ὀρθίους M P Mus : ὀρθρίους A ‖ **19** ἐνρύθμους A : εὐρύθμους C E Mus | ἀποτελοῦντες C[s] E[s] : ἀποτέμνοντες A C E ‖ **20** ἀνάπαλον Kaibel, cf. ἀναπάλῃ supra : ἁπαλόν A C E ‖ **21** πάλης C E : παλαίστρας A | εὐρύθμως A C E : ἐρρύθμως (i.e. ἐνρύθμους) Dindorf ‖ **22** Ὠσχοφορικοὶ Schweighäuser : ωσκοφορικοὶ A : Ὠσχοφόροι C E ‖ **22–3** τὴν ὄρχησιν A : ut glossam del. Kaibel

ἐστιν ἐν ᾗ ᾄδων ὁ χορὸς ὀρχεῖται· φησὶ γοῦν ὁ Βακχυλίδης (fr. 15.1)·

οὐχ ἕδρας ἔργον οὐδ᾽ ἀμβολᾶς.

καὶ Πίνδαρος (fr. 112) δέ φησι·

5 Λάκαινα μὲν παρθένων ἀγέλα.

ὀρχοῦνται δὲ ταύτην παρὰ τῷ Πινδάρῳ οἱ Λάκωνες, καὶ ἐστὶν ὄρχησις ἀνδρῶν καὶ γυναικῶν. βέλτιστοι δέ εἰσι τῶν τρόπων οἵτινες καὶ ὀρχοῦνται, | εἰσὶ δὲ οἵδε· προσοδιακοί, ἀποστολικοὶ 631d (οὗτοι δὲ καὶ παρθένιοι καλοῦνται), καὶ οἱ τούτοις ὅμοιοι· τῶν γὰρ
10 ὕμνων οἱ μὲν ὠρχοῦντο, οἱ δὲ οὐκ ὠρχοῦντο ⟨…⟩ ἢ τοὺς εἰς Ἀφροδίτην καὶ Διόνυσον, καὶ τὸν παιᾶνα δὲ ὁτὲ μέν, ὁτὲ δὲ οὔ. εἰσὶ δὲ καὶ παρὰ τοῖς βαρβάροις, ὥσπερ καὶ παρὰ τοῖς Ἕλλησι, σπουδαῖαι καὶ φαῦλαι ὀρχήσεις. ὁ μὲν κόρδαξ παρ᾽ Ἕλλησι φορτικός, ἡ δὲ ἐμμέλεια σπουδαία, καθάπερ καὶ ἡ παρὰ Ἀρκάσι κίδαρις
15 παρὰ Σικυωνίοις τε ὁ ἀλητήρ· οὕτω δὲ καὶ ἐν Ἰθάκῃ καλεῖται, ὡς ἱστορεῖ Ἀριστόξενος ἐν | πρώτῳ Συγκρίσεων (fr. 109 Wehrli). καὶ 631e περὶ μὲν ὀρχήσεως τοσαῦτά μοι ἐπὶ τοῦ παρόντος λέλεκται. [**31**] τὸ δὲ παλαιὸν ἐτηρεῖτο περὶ τὴν μουσικὴν τὸ καλὸν καὶ πάντ᾽ εἶχε κατὰ τὴν τέχνην τὸν οἰκεῖον αὐτοῖς κόσμον· διόπερ ἦσαν ἴδιοι καθ᾽
20 ἑκάστην ἁρμονίαν αὐλοὶ καὶ ἑκάστοις αὐλητῶν ὑπῆρχον αὐλοὶ ἑκάστῃ ἁρμονίᾳ πρόσφοροι ἐν τοῖς ἀγῶσι. Πρόνομος δ᾽ ὁ Θηβαῖος πρῶτος ηὔλησεν ἀπὸ τῶν ⟨αὐτῶν⟩ αὐλῶν ⟨πάσας⟩ τὰς ἁρμονίας· νῦν δὲ εἰκῇ καὶ ἀλόγως ἅπτονται τῆς μουσικῆς. καὶ πάλαι μὲν τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν σημεῖον | ἦν κακοτεχνίας· ὅθεν καὶ 631f
25 Ἀσωπόδωρος ὁ Φλιάσιος (*SH* 224) κροταλιζομένου ποτέ τινος τῶν αὐλητῶν διατρίβων αὐτὸς ἔτι ἐν τῷ ὑποσκηνίῳ, "τί τοῦτ᾽;" εἶπε· "δῆλον ὅτι μέγα κακὸν γέγονεν," ὡς οὐκ ἂν ἄλλως ἐν τοῖς πολλοῖς εὐδοκιμήσαντος. οἶδα δέ τινας τοῦθ᾽ ἱστορήσαντας ὡς

5 ἀγέλα A : ἀγέλη A[s] ‖ **7** ὑπορχηματικὴ ὄρχησις A : ὑπορχηματικὴ del. Kaibel : ὄρχησις om. B | lac. post γυναικῶν indic. Kaibel ‖ **8** προσοδιακοί Dindorf : προσῳδιακοί vel προσωδιακοί A C E ‖ **9–10** τῶν γὰρ ὕμνων Villebrune : τὸν γὰρ ὕμνον A ‖ **10** lac. indic. Kaibel ‖ **15** τε A : δ᾽ C E καλεῖται ἀλητήρ A : ἀλητήρ ut glossam delevi ‖ **22** ⟨αὐτῶν⟩ add. Casaubon : αὐτῶν pro αὐλῶν Kaibel | ⟨πάσας⟩ pro τὰς add. Meineke

Ἀντιγενείδου εἰπόντος. καίτοι οἱ καθ᾽ ἡμᾶς τέλος ποιοῦνται τῆς
632a τέχνης τὴν παρὰ τοῖς θεάτροις ‖ εὐημερίαν· διόπερ Ἀριστόξενος ἐν
τοῖς Συμμίκτοις Συμποτικοῖς (fr. 124 Wehrli), ὅμοιον, φησί,
ποιοῦμεν Ποσειδωνιάταις τοῖς ἐν τῷ Τυρρηνικῷ κόλπῳ κατοικοῦ-
σιν· οἷς συνέβη τὰ μὲν ἐξ ἀρχῆς Ἕλλησιν οὖσιν ἐκβεβαρβαρῶσθαι 5
Τυρρηνοῖς γεγονόσι καὶ τήν τε φωνὴν μεταβεβληκέναι τά τε
λοιπὰ τῶν ἐπιτηδευμάτων, ἄγειν δὲ μίαν τινὰ αὐτοὺς τῶν ἑορτῶν
τῶν Ἑλληνικῶν ἔτι καὶ νῦν, ἐν ᾗ συνιόντες ἀναμιμνήσκονται τῶν
ἀρχαίων ἐκείνων ὀνομάτων τε καὶ νομίμων, καὶ ἀπολοφυράμενοι |
632b πρὸς ἀλλήλους καὶ ἀποδακρύσαντες ἀπέρχονται. οὕτω δὴ οὖν, 10
φησί, καὶ ἡμεῖς, ἐπειδὴ καὶ τὰ θέατρα ἐκβεβαρβάρωται καὶ εἰς
μεγάλην διαφθορὰν προελήλυθεν ἡ πάνδημος αὕτη μουσική, καθ᾽
αὑτοὺς γενόμενοι ὀλίγοι ἀναμιμνησκόμεθα οἵα ἦν ἡ μουσική.
ταῦτα μὲν ὁ Ἀριστόξενος· **[32]** κἀμοὶ δὲ διὰ τοῦτο φαίνεται
φιλοσοφητέον εἶναι περὶ μουσικῆς· καὶ γὰρ Πυθαγόρας ὁ Σάμιος 15
τηλικαύτην δόξαν ἔχων ἐπὶ φιλοσοφίᾳ καταφανής ἐστιν ἐκ πολλῶν
632c οὐ παρέργως ἁψάμενος | μουσικῆς· ὅς γε καὶ τὴν τοῦ παντὸς
οὐσίαν διὰ μουσικῆς ἀποφαίνει συγκειμένην. τὸ δ᾽ ὅλον ἔοικεν ἡ
παλαιὰ τῶν Ἑλλήνων σοφία τῇ μουσικῇ μάλιστ᾽ εἶναι δεδομένη·
καὶ διὰ τοῦτο τῶν μὲν θεῶν Ἀπόλλωνα, τῶν δὲ ἡμιθέων Ὀρφέα 20
μουσικώτατον καὶ σοφώτατον ἔκρινον, καὶ πάντας τοὺς χρωμένους
τῇ τέχνῃ ταύτῃ σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ Αἰσχύλος (fr.
314) ἐποίησεν·

εἶτ᾽ οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν.

632d ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο | οἱ ἀρχαῖοι δῆλον 25
καὶ ἐξ Ὁμήρου, ὃς διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν

632d–e Eust. p. 900.21–4 = III.377.17–21

1 Ἀντιγενείδου Dindorf, cf. 4.131b : Ἀντιγενίδου A | καίτοι C E : καὶ A | οἱ καθ᾽ ἡμᾶς δὲ A : οἱ πλείους C E : οἱ καθ᾽ ἡμᾶς γε Kaibel : δὲ delevi **4** Ποσειδωνιάταις M P Mus : Ποσιδωνιάταις A : Ποσειδωνιᾶται (structura mutata) C E | Τυρρηνικῷ C E : Τυρσηνικῷ A ‖ **6** Τυρρηνοῖς ἢ Ρωμαίοις A : ἢ Ρωμαίοις del. Wilamowitz ‖ **7** δὲ Kaibel : τε A ‖ **9** νομίμων A : νόμων C E **10** οὖν A : fort. νῦν ‖ **11** φησί B M P Mus : φασί A ‖ **12** διαφθορὰν Casaubon : διαφορὰν A ‖ **13** ἀναμιμνησκόμεθα M P Mus : ἀναμιμνησκώμεθα A **19** δεδομένη A : δεδόσθαι (structura mutata) C E : ἐνδεδεμένη Schweighäuser, ducente Casaubon ‖ **25** οἰκειότατα B M P Mus : οἰκειότητα A

ποίησιν ἀφροντιστὶ πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ καὶ Σόλων καὶ Θέογνις καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν 5 ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων καὶ σκοποῦσιν ὅπως αὐτῶν μηδεὶς ⟨μήτε⟩ ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος. ἀκέφαλοι | δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες· 632e

ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντος. (*Il.* 23.2)
10 ἐπίτονος τετάνυστο βοὸς ἶφι κταμένοιο.

λαγαροὶ δὲ οἱ ἐν μέσῳ, οἷον·

αἶψα δ᾽ ἄρ᾽ Αἰνείαν υἱὸν φίλον Ἀγχίσαο.
τῶν αὖθ᾽ ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδε. (*Il.* 2.731)

μείουροι δ᾽ εἰσὶν οἱ ἐπὶ τῆς ἐκβολῆς, οἷον· |

15 Τρῶες δ᾽ ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν. (*Il.* 12.208) 632f
καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα.
τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἦα. (*Od.* 9.212)

[33] διετήρησαν δὲ μάλιστα τῶν Ἑλλήνων Λακεδαιμόνιοι τὴν μουσικὴν πλείστῃ αὐτῇ χρώμενοι, καὶ συχνοὶ παρ᾽ αὐτοῖς 20 ἐγένοντο μελῶν ποιηταί· τηροῦσί τε καὶ νῦν τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς ‖ πολυμαθεῖς τε εἰς ταύτας εἰσὶ καὶ ἀκριβεῖς· ὅθεν καὶ 633a Πρατίνας (*PMG* 709) φησί·

Λάκων ὁ τέττιξ εὔτυκος εἰς χορόν·

διὸ καὶ οἱ ποιηταὶ διετέλουν προσαγορεύοντες οὕτω τὰς ᾠδάς 25 (adesp. *PMG* 954a)·

1 τοὺς πολλοὺς A C E : τοὺς del. Meineke ‖ **5** lac. intra μέτρων et καὶ indic. Kaibel ‖ **6** μηδεὶς C E B : μηθεὶς A | ⟨μήτε⟩ add. Meineke ‖ **9** ἵκοντος A : ἵκοντο Hom. et M P Mus ‖ **10** cf. *Od.* 12.423 ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς, *Il.* 3.375 ἥ οἱ ῥῆξεν ἱμάντα βοὸς ἶφι κταμένοιο ‖ **12** υἱὸν φίλον A : φίλον υἱὸν Meineke ‖ **16** cf. *Il.* 8.305 καλὴ Καστιάνειρα δέμας εἰκυῖα θεῇσι **20** τε, i.e. ΤΕ scripsi : γε, i.e. ΓΕ A : δὲ Dindorf ‖ **23** εἰς A C E : ἐς Page

γλυκυτάτων πρύτανιν ὕμνων,

καί (adesp. *PMG* 954b)·

μέλεα μελιπτέρωτα Μουσᾶν·

ἀπὸ γὰρ τῆς τοῦ βίου σωφροσύνης καὶ αὐστηρίας μετέβαινον ἀσμένως ἐπὶ τὴν μουσικὴν ἐχούσης τι κηλητικὸν τῆς ἐπιστήμης. 5 εἰκότως οὖν ἐγίνετο χαίρειν τοὺς ἀκροωμένους. ἐκάλουν δὲ καὶ χορηγούς, ὥς φησιν ὁ Βυζάντιος Δημήτριος ἐν τετάρτῳ Περὶ | 633b Ποιημάτων (*FHG* ii.624), οὐχ, ὥσπερ νῦν, τοὺς μισθουμένους τοὺς χοροὺς ἀλλὰ τοὺς καθηγουμένους τοῦ χοροῦ (e.g. Alcm. *PMG* 1.44), καθάπερ αὐτὸ τοὔνομα σημαίνει. ἦν δὲ αὐτοῖς καὶ τὸ χρηστομουσεῖν 10 καὶ μὴ παραβαίνειν τοὺς ἀρχαίους τῆς μουσικῆς νόμους. συνέβαινε δὲ τὸ μὲν παλαιὸν φιλομουσεῖν τοὺς Ἕλληνας· μετὰ δὲ ταῦτα γενομένης ἀταξίας καὶ γηρασάντων σχεδὸν ἁπάντων τῶν ἀρχαίων νομίμων ἥ τε προαίρεσις αὕτη κατελύθη καὶ τρόποι μουσικῆς φαῦλοι κατεδείχθησαν· οἷς ἕκαστος τῶν χρωμένων ἀντὶ 15 633c μὲν πρᾳότητος | περιεποιεῖτο μαλακίαν, ἀντὶ δὲ σωφροσύνης ἀκολασίαν καὶ ἄνεσιν. ἔτι δ' ἴσως τοῦτο μᾶλλον καὶ ἐπὶ πλέον προαχθήσεται, ἐὰν μή τις ἀγάγῃ πάλιν εἰς τοὐμφανὲς τὴν πάτριον μουσικήν· τὸ παλαιὸν γὰρ καὶ τῶν ἡρώων τὰς πράξεις καὶ τῶν θεῶν τοὺς ὕμνους δι' ᾠδῆς ἐποιοῦντο· Ὅμηρος γοῦν φησιν 20 ἐπ' Ἀχιλλέως (*Il.* 9.189)·

ἄειδε δ' ἄρα κλέα ἀνδρῶν ἡρώων.

καὶ τὸν Φήμιον δέ φησιν ὅτι (*Od.* 1.337–8)·

πολλὰ βροτῶν θελκτήρια οἶδεν,

633b–c Eust. p. 1078.35–7 = III.906.22–5

1 ὕμνων Casaubon : ὑμῶν A ‖ **24–230,3** διὸ καὶ … Μουσᾶν del. Wilamowitz ‖ **3** Μουσᾶν Casaubon : Μοῦσαν A ‖ **5** τι Kaibel : τὸ A **6** ἐγίνετο A : ἐγένετο Kaibel ‖ **8** Ποιημάτων Dindorf, cf. 10.452d : Ποιήματος A ‖ **10** ἦν δὲ αὐτοῖς C E : om. A ‖ **13** καὶ γηρασάντων Musurus : κ(αὶ) γηρασάντων P : καιγηρασάντων A : γηρασάντων C E Eust. : καταγηρασάντων B : κατὰ γηρασάντων M ‖ **17** ἔτι Coraes : ἔσται A C E : ἔσται δ' ἴσως τοῦτο ⟨ἔτι⟩ μᾶλλον Kaibel ‖ **18** τοὐμφανὲς Kaibel : τὸ συμφανὲς A C E ‖ **22** ἡρώων A : om. Hom. ‖ **24** οἶδεν A : οἶδας Hom.

ἔργ᾽ ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί. |

τὸ δὲ ἔθος τοῦτο καὶ παρὰ τοῖς βαρβάροις ἐσῴζετο, ὥς φησι Δίνων 633d
ἐν τοῖς Περσικοῖς (*FGrH* 690 F 9)· τὴν γοῦν Κύρου τοῦ πρώτου
ἀνδρείαν καὶ τὸν μέλλοντα πόλεμον ἔσεσθαι πρὸς Ἀστυάγην
5 προείδοντο οἱ ᾠδοί· ὅτε γάρ, φησίν, ἠτήσατο τὴν εἰς Πέρσας
ἀποδημίαν ὁ Κῦρος (ἐγεγόνει δ᾽ αὐτοῦ πρότερον ἐπὶ τῶν ῥαβδοφό-
ρων, εἶθ᾽ ὕστερον ἐπὶ τῶν ὁπλοφόρων) ⟨...⟩ καὶ ἀπῆλθεν. εὐωχου-
μένου οὖν τοῦ Ἀστυάγους μετὰ τῶν φίλων τότε Ἀγγάρης ⟨τὸ⟩
ὄνομα (οὗτος δ᾽ ἦν τῶν ᾠδῶν ὁ ἐνδοξότατος) ᾖδεν εἰσκληθεὶς τά τε
10 ἄλλα τῶν εἰθισμένων καὶ τὸ | ἔσχατον εἶπεν ὡς ἀφεῖται εἰς τὸ ἕλος 633e
θηρίον μέγα, θρασύτερον ὑὸς ἀγρίου, ὃ ἂν κυριεύσῃ τῶν καθ᾽ αὑτὸ
τόπων, πολλοῖς μετ᾽ ὀλίγον ῥᾳδίως μαχεῖται. ἐρομένου δὲ τοῦ
Ἀστυάγους· "ποῖον θηρίον;", ἔφη Κῦρον τὸν Πέρσην. νομίσας οὖν
ὀρθῶς αὐτὸν ὑπωπτευκέναι καὶ μεταπεμπόμενος ⟨...⟩ οὐδὲν
15 ὤνησεν. [34] ἐγὼ δὲ ἔχων ἔτι πολλὰ λέγειν περὶ μουσικῆς αὐλῶν
ἀκούων βόμβου καταπαύσω τὸ πολυλογεῖν τὰ ἐκ Φιλαύλου
Φιλεταίρου (fr. 17) ἐπειπών·

ὦ Ζεῦ, καλόν γ᾽ ἔστ᾽ ἀποθανεῖν αὐλούμενον· |
τούτοις ἐν Ἅιδου γὰρ μόνοις ἐξουσία 633f
20 ἀφροδισιάζειν ἐστίν, οἱ δὲ τοὺς τρόπους
ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ
εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον. 5

μετὰ δὲ ταῦτα ζητήσεως γενομένης περὶ σαμβύκης ἔφη ὁ Μασού-
ριος ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην διειλέχθαι
25 τε περὶ αὐτοῦ Εὐφορίωνα τὸν ἐποποιὸν ἐν τῷ Περὶ Ἰσθμίων (fr. 9,
FHG iii.73 = fr. 181 van Groningen) χρῆσθαι φήσαντα αὐτῷ
Πάρθους καὶ Τρωγλοδύτας ‖ τετραχόρδῳ ὄντι· ἱστορεῖν δὲ τοῦτο 634a
Πυθαγόραν ἐν τῷ Περὶ τῆς Ἐρυθρᾶς Θαλάσσης. καλεῖται δέ τι
καὶ τῶν πολιορκητικῶν ὀργάνων σαμβύκη, οὗ τό τε σχῆμα καὶ
30 τὴν κατασκευὴν ἀποδείκνυσι Βίτων ἐν τῷ Πρὸς Ἄτταλον περὶ
Ὀργάνων (¶ 57–61, Marsden pp. 72–4). καὶ Ἀνδρέας ὁ Πανορμί-

1 ἔργ᾽ Hom. et Musurus : ἔργα A ‖ **5** ἠτήσατο, i.e. ΗΤΗ- Kaibel : ἡγήσατο, i.e. ΗΓΗ- A ‖ **7** lac. indic. Kaibel ‖ **8** ⟨τὸ⟩ addidi ‖ **10** τὸ ἕλος M P Mus : τὸ ἔλεος A : τοὺς Ἕλληνας C E ‖ **11** αὑτὸ Meineke : αὐτὸν A C E ‖ **14** lac. indic. Kaibel : ὅμως ante οὐδὲν praeb. C E ‖ **25** Ἰσθμίων M P Mus, cf. 4.182e : † ἴσμων † A ‖ **26** φήσαντα scripsi : φήσας A

της ἐν τῷ τρίτῳ καὶ τριακοστῷ τῶν Σικελικῶν τῶν κατὰ Πόλιν (*FGrH* 571 F 1), ὡς ἀπὸ δύο νεῶν προσάγοιτο τοῖς τῶν ἐναντίων τείχεσι· καλεῖσθαι δὲ σαμβύκην, ἐπειδὴ ὅταν ἐξαρθῇ, γίνεται σχῆμα νεὼς καὶ κλίμακος ἑνοποιουμένων, ὅμοιον δέ τί ἐστι καὶ τὸ
634b τῆς | σαμβύκης. Μόσχος δ' ἐν πρώτῳ Μηχανικῶν Ῥωμαϊκὸν 5 εἶναι λέγει τὸ μηχάνημα καὶ Ἡρακλείδην τὸν Ταραντῖνον εὑρεῖν αὐτοῦ τὸ εἶδος. Πολύβιος δ' ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν (8.6.5–6), Μάρκελλος, φησί, δυσχρηστούμενος ἐν τῇ Συρακουσῶν πολιορκίᾳ ὑπὸ τῶν Ἀρχιμήδους κατασκευασμάτων ἔλεγε ταῖς μὲν ναυσὶν αὐτοῦ κυαθίζειν ἐκ θαλάσσης Ἀρχιμήδην, τὰς δὲ σαμβύκας 10 ῥαπιζομένας ὥσπερ ἐκ πότου μετ' αἰσχύνης ἐκπεπτωκέναι.

[35] εἰπόντος δὲ ἐπὶ τούτοις Αἰμιλιανοῦ· ἀλλὰ μήν, ὦ ἑταῖρε |
634c Μασούριε, πολλάκις καὶ αὐτὸς ἐν ἐννοίᾳ γίνομαι μουσικῆς ὢν ἐραστὴς περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδος ἢ κιθάρας ἐστίν· ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων (*PMG* 374) λέγει που· 15

ψάλλω δ' εἴκοσι
  χορδαῖσι μάγαδιν ἔχων,
ὦ Λεύκασπι, σὺ δ' ἡβᾷς.

Ἴων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ (*TrGF* 19 F 23) ὡς περὶ αὐλῶν λέγει διὰ τούτων· 20

Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς·

ὅπερ ἐξηγούμενος ἰαμβεῖον Ἀρίσταρχος ὁ γραμματικός, ὃν μάντιν
634d ἐκάλει Παναίτιος ὁ Ῥόδιος | φιλόσοφος (fr. 93 van Straaten) διὰ τὸ ῥᾳδίως καταμαντεύεσθαι τῆς τῶν ποιημάτων διανοίας, γένος αὐλοῦ φησιν εἶναι τὸν μάγαδιν οὔτ' Ἀριστοξένου (fr. 100 Wehrli) 25 τοῦτ' εἰπόντος ἐν τοῖς Περὶ Αὐλητῶν ἢ Περὶ Αὐλῶν καὶ Ὀργάνων, ἀλλὰ μὴν οὐδὲ Ἀρχεστράτου· πεποίηται γὰρ καὶ τούτῳ δύο βιβλία Περὶ Αὐλητῶν. οὐκ εἶπε δὲ τοῦτο οὐδὲ Πύρρανδρος ἐν τῷ

1 τρίτῳ καὶ τριακοστῷ scripsi : τριακοστῷ τρίτῳ A ‖ **2** νεῶν Lipsius, cf. Plb. 8.4.4 : † ὄνων † A ‖ **3** δὲ C E B : τε A ‖ **4** ἑνοποιουμένων C E : ἑνοποιούμενον A : ἓν ποιούμενον M P Mus : cf. Plb. 8.4.11 ἑνοποιηθέν ‖ **8** Συρακουσῶν B M P Mus : Συρακουσσῶν A ‖ **10** θαλάσσης A : θαλάττης Plb. ‖ **11** ῥαπιζομένας A et Plb. : ἀκρατιζομένας Kaibel | ἐκ πότου B M P Mus : † ἐκποτου † A : ἐκσπόνδους Plb. ‖ **26** ἐν τοῖς Περὶ Αὐλῶν A : ἐν τοῖς delevi | Αὐλῶν καὶ del. Kaibel : fort. ἢ Περὶ Αὐλῶν καὶ Ὀργάνων omnia delenda ‖ **28** βιβλία B : βυβλία A

Περὶ Αὐλητῶν (*FHG* iv.486), οὐδὲ Φίλλις ὁ Δήλιος (fr. 6, *FHG* iv.476)· ξυνέγραψε γὰρ καὶ οὗτος Περὶ Αὐλητῶν καὶ Εὐφράνωρ. Τρύφων δ' ἐν δευτέρῳ Περὶ Ὀνομασιῶν (fr. 110 Velsen) λέγει οὕτως· ὁ δὲ μάγαδις καλούμενος αὐλός. καὶ | πάλιν· ὁ μάγαδις ἐν 634e
5 ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης ἐν Ὁπλομάχῳ (fr. 36) φησί·

μάγαδιν λαλήσω μικρὸν ἅμα σοι καὶ μέγαν.

τὴν ἀπορίαν οὖν μοι ταύτην οὐδεὶς ἄλλος δυνήσεται ἀπολύσασθαι, καλὲ Μασούριε, ἢ σύ.

10 **[36]** καὶ ὃς ἔφη· Δίδυμος ὁ γραμματικὸς ἐν ταῖς Εἰς Ἴωνα Ἀντεξηγήσεσιν (pp. 302–3 Schmidt), ἑταῖρε Αἰμιλιανέ, μάγαδιν αὐλὸν ἀκούει τὸν κιθαριστήριον· οὗ μνημονεύειν Ἀριστόξενον ἐν πρώτῳ Περὶ Αὐλῶν Τρήσεως (fr. 101 Wehrli) λέγοντα πέντε | γένη εἶναι αὐλῶν, παρθενίους, παιδικούς, κιθαριστηρίους, 634f
15 τελείους, ὑπερτελείους. ἢ ἐλλείπειν οὖν δεῖ παρὰ τῷ Ἴωνι (*TrGF* 19 F 23.1) τόν τε σύνδεσμον, ἵν' ᾖ·

μάγαδις αὐλός ⟨θ'⟩,

ὁ προσαυλούμενος τῇ μαγάδιδι· ἡ γὰρ μάγαδις ὄργανόν ἐστι ψαλτικόν, ὡς Ἀνακρέων (*PMG* 374) φησί, Λυδῶν τε εὕρημα· διὸ
20 καὶ τὰς Λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ (*TrGF* 19 F 22) διὰ τούτων·

ἀλλ' εἶα, Λυδαὶ ψάλτριαι, παλαιθέτων
ὕμνων ἀοιδοί, τὸν ξένον κοσμήσατε. ‖

Θεόφιλος δ' ὁ κωμῳδιοποιὸς ἐν Νεοπτολέμῳ (fr. 7) καὶ τὸ τῇ 635a
25 μαγάδιδι ψάλλειν μαγαδίζειν λέγει ἐν τούτοις·

4 ὁ[2] C E : om. A ‖ **5** Ἀναξανδρίδης Meursius, cf. 4.182d : Ἀλεξανδρίδης A **7** μάγαδιν A : μαγάδι Weston | μέγαν A : μέγα Casaubon ‖ **8** μοι M P Mus : μου A ‖ **10** Εἰς Wilamowitz : Πρὸς A ‖ **15** δεῖ, i.e. ΔΕΙ A : λέγει, i.e. ΛΕΓΕΙ Meineke ‖ **17** ⟨θ'⟩ add. Kaibel ‖ **18** μαγάδιδι Kaibel : μαγάδι A | μάγαδις A : μαγὰς C E ‖ **19** Λυδῶν, i.e. ΛΥΔ- M P Mus, cf. Λυδαί infra : ἀυδῶν, i.e. ΑΥΔ- A ‖ **20** Λυδὰς, i.e. ΛΥΔ- M P Mus, cf. Λυδαί infra : ἀυδὰς, i.e. ΑΥΔ- A **24** κωμῳδιοποιὸς vel κωμικὸς Schweighäuser : κωμωδικὸς A | Νεοπτολέμῳ M P Mus, cf. 13.560a : † νεοπτολεμου † A ‖ **25** μαγάδιδι Kaibel : † μαγιδι † A : μαγάδι C E

πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα
ἐστὶν μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους·
οὐδεὶς γὰρ ἡμῶν ταὐτὸν ᾄσεται μέλος.

Εὐφορίων δὲ ἐν τῷ Περὶ Ἰσθμίων (fr. 8, *FHG* iii.73) παλαιὸν μέν φησι ὄργανον εἶναι τὴν μάγαδιν, μετασκευασθῆναι δ᾽ ὀψέ ποτε 5 καὶ σαμβύκην μετονομασθῆναι· πλεῖστον δ᾽ εἶναι τοῦτο τὸ ὄργανον ἐν Μιτυλήνῃ, ὡς καὶ μίαν τῶν Μουσῶν ἔχουσαν αὐτὸ | 635b ὑπὸ Λεσβοθέμιδος ποιηθῆναι ⟨τοῦ⟩ ἀρχαίου ἀγαλματοποιοῦ. Μέναιχμος δ᾽ ἐν τοῖς Περὶ Τεχνιτῶν (*FGrH* 131 F 4a) τὴν πηκτίδα, ἣν τὴν αὐτὴν εἶναι τῇ μαγάδιδι, Σαπφώ (fr. 247) φησιν εὑρεῖν. 10 Ἀριστόξενος (fr. 99 Wehrli) δὲ τὴν μάγαδιν καὶ τὴν πηκτίδα φησὶ χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρέχεσθαι τὴν χρείαν, διόπερ καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ πρὸς Ἱέρωνα σκολίῳ (fr. 125.3) τὴν μάγαδιν ὀνομάσαντα·

ψαλμὸν ἀντίφθογγον, 15

διὰ τὸ διὰ δύο γενῶν ἅμα καὶ διὰ πασῶν ἔχειν τὴν συνῳδίαν 635c ἀνδρῶν τε καὶ παίδων. καὶ Φρύνιχος | δ᾽ ἐν Φοινίσσαις (*TrGF* 3 F 11) εἴρηκε·

ψαλμοῖσιν ἀντίσπαστ᾽ ἀείδοντες μέλη.

καὶ Σοφοκλῆς ἐν Μυσοῖς (fr. 412)· 20

πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστα
αὐδῆς ἐφύμνει πηκτίδος συνχορδίᾳ.

[37] διαποροῦσι δ᾽ ἔνιοι ὅπως τῆς μαγάδιδος ⟨οὐκ⟩ οὔσης κατὰ Ἀνακρέοντα (ὀψὲ γάρ ποτε τὰ πολύχορδα ὀφθῆναι) μνημονεύων αὐτῆς (*PMG* 374.1–3) λέγει· 25

ψάλλω δ᾽ εἴκοσι

5 τὸ ὄργανον A : τὸ delevi ‖ **8** ⟨τοῦ⟩ addidi, sed fort. ἀρχαίου ἀγαλματοποιοῦ ut glossa delenda ‖ **10** μαγάδιδι Kaibel : † μαγιδι † A : μαγάδι C : μάγαδι E ‖ **11** φησὶ C E : om. A ‖ **17** παίδων A : γυναικῶν C E ‖ **21** ἀντίσπαστα B M P : † ἀντισπαστα † A : ἀντίσπαστά γε Musurus : ἀντίσπαστά τε 4.183e **22** αὐδῆς] ἀυδῆς, i.e. ΑΥΔ- A : Λυδῆς, i.e. ΛΥΔ- 4.183e | συνχορδίᾳ A : συγχορδίᾳ 4.183e A : συγχορδία M P Mus (cf. 4.183e D B Q M P Mus) **23** ⟨οὐκ⟩ addidi ‖ **25** αὐτῆς ὁ Ἀνακρέων A : ὁ Ἀνακρέων delevi

χορδαῖσι μάγαδιν ἔχων,
ὦ Λεύκασπι.

καὶ ὁ μὲν Ποσειδώνιός (*FGrH* 87 F 107 = fr. 292 Edelstein–Kidd = fr. 471 Theiler) φησι τριῶν μελῳδιῶν | αὐτὸν μνημονεύειν, 635d
5 Φρυγίου τε ⟨καὶ Δωρίου⟩ καὶ Λυδίου· ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι· ὧν ἑπτὰ χορδαῖς ἑκάστης περαινομένης εἰκότως φάναι ψάλλειν αὐτὸν εἴκοσι χορδαῖς, τῷ ἀρτίῳ χρησάμενον ἀριθμῷ τὴν μίαν ἀφελόντα. ἀγνοεῖ δ' ὁ Ποσειδώνιος ὅτι ἀρχαῖόν ἐστιν ὄργανον ἡ μάγαδις σαφῶς Πινδάρου (fr. 125)
10 λέγοντος τὸν Τέρπανδρον ἀντίφθογγον εὑρεῖν τῇ παρὰ Λυδοῖς πηκτίδι τὸν βάρβιτον·

τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρε
πρῶτος, ἐν δείπνοισι Λύδιον
ψαλμὸν ἀντίφθογγος ὑψηλᾶς | ἀκούων πηκτίδος. 635e

15 πηκτὶς δὲ καὶ μάγαδις ταὐτόν, καθά φησιν ὁ Ἀριστόξενος (fr. 98 Wehrli) καὶ Μέναιχμος ὁ Σικυώνιος ἐν τοῖς Περὶ Τεχνιτῶν (*FGrH* 131 F 4b). καὶ τὴν Σαπφὼ (fr. 247) δέ φησιν οὗτος, ἥτις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος δῆλον ἐκ τούτων· τὰ
20 Κάρνεια πρῶτος πάντων Τέρπανδρος ἐνίκα, ὡς Ἑλλάνικος ἱστορεῖ ἔν τε τοῖς ἐμμέτροις Καρνεονίκαις κἀν τοῖς καταλογάδην (*FGrH* 4 F 85a). ἐγένετο δὲ ἡ θέσις τῶν Καρνείων κατὰ τὴν ἕκτην καὶ εἰκοστὴν Ὀλυμπιάδα, | ὡς Σωσίβιός φησιν ἐν τῷ Περὶ 635f Χρόνων (*FGrH* 595 F 3). Ἱερώνυμος δ' ἐν τῷ Περὶ Κιθαρῳδῶν,
25 ὅπερ ἐστὶ πέμπτον Περὶ Ποιητῶν (fr. 33 Wehrli = fr. 41 White), κατὰ Λυκοῦργον τὸν νομοθέτην τὸν Τέρπανδρόν φησι γενέσθαι, ὃς ὑπὸ πάντων συμφώνως ἱστορεῖται μετὰ Ἰφίτου τοῦ Ἠλείου τὴν πρώτην ἀριθμηθεῖσαν τῶν Ὀλυμπίων θέσιν διαθεῖναι· Εὐφορίων τε ἐν τῷ Περὶ Ἰσθμίων (fr. 8, *FHG* iii.73) τὰ πολύχορδά φησι τῶν
30 ὀργάνων ὀνόμασι μόνον παρηλλάχθαι, παμπάλαιον δ' αὐτῶν εἶναι τὴν χρῆσιν, ‖ [38] Διογένης δ' ὁ τραγικὸς διαφέρειν πηκτίδα 636a μαγάδιδος λέγων οὕτως ἐν τῇ Σεμέλῃ (*TrGF* 45 F 1)·

3 Ποσειδώνιός M[pc] P Mus, cf. infra : Ποσειδώνειός M[ac] : Ποσιδώνιός A **5** ⟨καὶ Δωρίου⟩ add. M P Mus, cf. [Plut.] *Mor.* 1134a ‖ **13** Λύδιον A : Λυδῶν Schneider ‖ **14** † ἀντιφθογγος † A : ἀντίφθογγον B et 14.635b | ὑψηλᾶς A : ὑψηλης A[s] | πηκτίδος A : πακτίδος Snell ‖ **20** ἐνίκα scripsi : νικᾷ A

καίτοι κλύω μὲν Ἀσιάδος μιτρηφόρους
Κυβέλης γυναῖκας, παῖδας ὀλβίων Φρυγῶν,
τυμπάνοισι καὶ ῥόμβοισι καὶ χαλκοτύπων
βόμβοις βρεμούσας ἀντίχερσι κυμβάλων †
σοφὴν θεῶν ὑμνῳδὸν ἰατρόν θ' ἅμα. 5 5
κλύω δὲ Λυδὰς Βακτρίας τε παρθένους
ποταμῷ παροίκους Ἅλυϊ Τμωλίαν θεὸν
δαφνόσκιον κατ' ἄλσος Ἄρτεμιν σέβειν |
636b ψαλμοῖς τριγώνων πηκτίδων ἀντιζύγοις
ὁλκοῖς κρεκούσας μάγαδιν, ἔνθα Περσικῷ 10 10
νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς.

καὶ Φίλλις δ' ὁ Δήλιος ἐν δευτέρῳ Περὶ Μουσικῆς (fr. 2, *FHG* iv.476) διαφέρειν φησὶ πηκτίδα μαγάδιδος λέγων οὕτω· φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβῦκαι, ἰαμβῦκαι, τρίγωνα, κλεψίαμβοι, σκινδαψοί, ἐννεάχορδα. ἐν οἷς μὲν οὖν, φησί, τοὺς ἰάμβους ᾖδον, 15
636c ἰαμβύκας ἐκάλουν, ἐν οἷς δὲ παρελογίζοντο τὰ ἐν | τοῖς μέτροις, κλεψιάμβους, μαγάδιδας δὲ ⟨ἐν οἷς …⟩ τὰ διὰ πασῶν καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα. καὶ ἄλλα δ' ἦν παρὰ ταῦτα· καὶ γὰρ βάρβιτος ἢ † βαρμοσ †. καὶ ἄλλα πλείονα, τὰ μὲν ἔγχορδα, τὰ δὲ ἔνηχα κατεσκεύαζον· [39] ἦν γὰρ δή τινα καὶ χωρὶς τῶν 20 ἐμφυσωμένων καὶ χορδαῖς διειλημμένων ἕτερα ψόφου μόνον παρασκευαστικά, καθάπερ τὰ κρέμβαλα· περὶ ὧν φησι Δικαίαρχος ἐν τοῖς Περὶ τοῦ τῆς Ἑλλάδος Βίου (fr. 60 Wehrli = fr. 72 Mirhady)
636d ἐπιχωριάσαι φάσκων ποτὲ καθ' ὑπερβολὴν | εἰς τὸ προσορχεῖσθαί τε καὶ προσᾴδειν ταῖς γυναιξὶν ὄργανά τινα ποιά, ὧν ὅτε τις 25 ἅπτοιτο τοῖς δακτύλοις ποιεῖν λιγυρὸν ψόφον, δηλοῦσθαι δὲ ἐν τῷ τῆς Ἀρτέμιδος ᾄσματι οὗ ἐστιν ἀρχή (adesp. *PMG* 955)·

636b Eust. p. 1558.6–7 = i.247.16–17

2 Κυβέλης Wecklein : † κυβελασ † A ‖ **3** τυμπάνοισι A : τυπάνοισι Casaubon | ῥόμβοισι Pierson : † βομβοισι † A | χαλκοτύπων A : χαλκοκτύπων P Mus ‖ **5** θ' M P Mus : τε A ‖ **7** παροίκους Ἅλυϊ Canter : παροικοῦσα † λυι † A ‖ **10** κρεκούσας Casaubon : † κρεκουσαις † A : κεκρούση C E ‖ **14** ἰαμβῦκαι Casaubon : ἴαμβοι καὶ A : ἴαμβοι C E ‖ **15** μὲν οὖν C E : γάρ A ‖ **16** παρελογίζοντο A C E : παρακατελογίζοντο Hermann **17** ⟨ἐν οἷς⟩ add. Kaibel : fort. ⟨ἐν οἷς ἐμάγευον⟩ vel sim. ‖ **19** † βαρμοσ † A : βάρωμος 4.182f | ἔγχορδα C E M P Mus : ἔνχορδα A ‖ **21–2** παρασκευαστικά A : ποιητικά C E

Ἄρτεμι, σοί μέ τι φρὴν ἐφίμερον
ὕμνον † ϋεναιτε ὅθεν
αδε † τις ἀλλὰ † χρυσοφανια †
κρέμβαλα χαλκοπάραια χερσίν.

5 Ἕρμιππος δ᾽ ἐν Θεοῖς (fr. 31) τὸ τούτοις κρούειν κρεμβαλιάζειν εἴρηκεν ἐν τούτοις·

λεπάδας δὲ πετρῶν ἀποκόπτοντες κρεμβαλιάζουσι.

Δίδυμος (14.18, pp. 250–1 Schmidt) δέ φησιν εἰωθέναι τινὰς ἀντὶ τῆς λύρας κογχύλια καὶ ὄστρακα συγκρούοντας ἔνρυθμον | ἦχόν 636e
10 τινα ἀποτελεῖν τοῖς ὀρχουμένοις, καθάπερ καὶ Ἀριστοφάνην ἐν Βατράχοις (1304–6) φάναι. [40] Ἀρτέμων δ᾽ ἐν τῷ πρώτῳ Περὶ Διονυσιακοῦ Συστήματος (fr. 11, *FHG* iv.342) Τιμόθεόν φησι τὸν Μιλήσιον παρὰ πολλοῖς δόξαι πολυχορδοτέρῳ συστήματι χρήσασθαι τῇ μαγάδιδι· διὸ καὶ παρὰ τοῖς Λάκωσιν εὐθυνόμενον ὡς
15 παραφθείροι τὴν ἀρχαίαν μουσικὴν καὶ μέλλοντός τινος ἐκτέμνειν αὐτοῦ τὰς περιττὰς τῶν χορδῶν δεῖξαι παρ᾽ αὐτοῖς ὑπάρχοντα | Ἀπολλωνίσκον πρὸς τὴν αὐτοῦ σύνταξιν ἰσόχορδον λύραν ἔχοντα 636f καὶ ἀφεθῆναι. Δοῦρις δ᾽ ἐν τῷ Περὶ Τραγῳδίας (*FGrH* 76 F 28) ὠνομάσθαι φησὶ τὴν μάγαδιν ἀπὸ Μάγδιος, Θρᾳκὸς γένος.
20 Ἀπολλόδωρος δ᾽ ἐν τῇ Πρὸς τὴν Ἀριστοκλέους Ἐπιστολὴν Ἀντιγραφῇ (*FGrH* 244 F 219), ὃ νῦν, φησίν, ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ᾽ εἶναι μάγαδιν, ὁ δὲ κλεψίαμβος κληθείς, ἔτι δ᾽ ὁ τρίγωνος καὶ ὁ ἔλυμος καὶ τὸ ἐννεάχορδον, ἀμαυρότερα τῇ χρείᾳ καθέστηκε. καὶ Ἀλκμὰν (*PMG* 101) δέ φησι·

25 μάγαδιν δ᾽ ἀποθέσθαι. ‖

Σοφοκλῆς δὲ ἐν Θαμύρᾳ (fr. 238)· 637a

637a Eust. pp. 1107.64–1108.1 = IV.57.8–9

4 χαλκοπάραια Schweighäuser (χαλκοπάρᾳα scripsit) : χαλκοπάραα A : χαλκοπάρηα A[s] ‖ **5** κρεμβαλιάζειν A et Hsch. κ 4049 : κρεμβαλίζειν C E B M P Mus ‖ **7** λεπάδας M P Mus : † λεπαιδασ † A | κρεμβαλιάζουσι Dindorf, cf. κρεμβαλιάζειν supra : κραμβαλίζουσιν A : κρεμβαλίζουσι B M P Mus **9** ἔνρυθμον A : εὔρυθμον C E ‖ **12** Συστήματος Coraes : Ἐπιστήματος A **13** τοῖς πολλοῖς A : τοῖς delevi : πρῶτον τοῖς πολλοῖς Kaibel : παραλόγως Wilamowitz ‖ **14** τῇ μαγάδιδι M P Mus : τῇ μαγάδι A C E : τῆς μαγάδιδος Kaibel ‖ **17** αὐτοῦ A : αὐτὴν C E ‖ **22** ἔτι C E : ἔστι A

πηκταὶ δὲ λύραι καὶ μαγάδιδες
τά τ᾽ ἐν Ἕλλησι ξόαν᾽ ἡδυμελῆ.

Τελέστης δ᾽ ἐν Ὑμεναίῳ διθυράμβῳ (*PMG* 808) πεντάχορδόν φησιν αὐτὴν εἶναι διὰ τούτων·

ἄλλος δ᾽ ἄλλαν κλαγγὰν ἱεὶς 5
κερατόφωνον ἐρέθιζε μάγαδιν
ἐν πενταρράβδῳ χορδᾶν ἀριθμῷ
χεῖρα καμψιδίαυλον ἀναστρωφῶν τάχος. |

637b οἶδα δὲ καὶ ἄλλο ὄργανον ᾧ τῶν Θρᾳκῶν οἱ βασιλεῖς ἐν τοῖς δείπνοις χρῶνται, ὥς φησι Νικομήδης ἐν τῷ Περὶ Ὀρφέως (*FGrH* 10 772 F 3). φοίνικα δὲ Ἔφορος (*FGrH* 70 F 4) καὶ Σκάμων ἐν τοῖς Περὶ Εὑρημάτων (*FGrH* 476 F 4) ὑπὸ Φοινίκων εὑρεθέντα ταύτης τυχεῖν τῆς προσηγορίας· Σῆμος δὲ ὁ Δήλιος ἐν πρώτῳ Δηλιάδος (*FGrH* 396 F 1) διὰ τὸ ἐκ τοῦ ἐν Δήλῳ φοίνικος τοὺς ἀγκῶνας αὐτοῦ ἐξειργάσθαι. τῇ σαμβύκῃ πρώτην φησὶ χρήσασθαι Σίβυλ- 15
637c λαν, ἧς Σκάμων ὁ | προειρημένος ⟨...⟩· ὀνομασθῆναι δ᾽ αὐτὴν εὑρεθεῖσαν ὑπὸ Σάμβυκος τινός. [**41**] καὶ περὶ τοῦ τρίποδος δὲ καλουμένου (ὄργανον δὲ καὶ τοῦτο μουσικόν) ὁ προειρημένος (14.636e) Ἀρτέμων (fr. 12, *FHG* iv.342–3) γράφει οὕτως· ὅθεν πολλὰ τῶν ὀργάνων οὐδ᾽ εἰ γέγονέ ποτε γινώσκεται, καθάπερ ὁ 20 Πυθαγόρου τοῦ Ζακυνθίου τρίπους· ὀλιγοχρόνιον γὰρ τὴν ἀκμὴν σχὼν ἢ διὰ τὸ δοκεῖν ἐργώδης εἶναι κατὰ τὴν χειροθεσίαν ἢ δι᾽ ἣν δή ποτ᾽ οὖν αἰτίαν συντόμως καταλυθεὶς διαλέληθε τοὺς πολλούς. ἦν δὲ παραπλήσιος μὲν Δελφικῷ τρίποδι καὶ τοὔνομ᾽ ἐντεῦθεν ἔσχε, τὴν δὲ χρῆσιν τριπλῆς κιθάρας παρείχετο· τῶν γὰρ ποδῶν 25 ἑστώτων ἐπί τινος βάσεως εὐστρόφου, καθάπερ αἱ τῶν περιάκτων

1 μαγάδιδες M P Mus : μαγαδίδες A C E : μαγαδῖδες Meineke ‖ **3** Ὑμεναίῳ B M P Mus : † ὑμαιναιωι † A ‖ **7** πενταρράβδῳ Musurus : πενταράβδῳ A : πενταράδῳ C : πενταρόδῳ E | χορδᾶν C E : χορδὰν A : χορδαῖς Eust. | ἀριθμῷ A C E : ἀρθμῷ Bergk ‖ **8** χεῖρα A C E Eust. : χέρα Wilamowitz καμψιδίαυλον ἀναστρωφῶν C E Eust. : καμψίδαυλον ἀναστροφῶν Musurus : κάμψει δίαυλον ἀναστροφῶν A ‖ **8–9** lac. intra τάχος et οἶδα indic. Kaibel ("instrumenti nomen intercidit") : melius post ὄργανον ‖ **11** φοίνικα δὲ τὸ ὄργανον A : τὸ ὄργανον ut glossam delevi | Σκάμων Schweighäuser, cf. Σκάμων ὁ προειρημένος infra : Σκάμμων A : Σκάμνων B M P Mus **15** ἐξειργάσθαι Schweighäuser : ἐξεργάσασθαι A ‖ **16** lac. indicavi : "haec mutila et corrupta" Kaibel ‖ **22** ἢ[1] Kaibel : καὶ A

δίφρων | κατασκευάζονται θέσεις, τὰς μέσας τρεῖς χώρας τὰς ἀπὸ ποδὸς ἐπὶ πόδα διεστώσας ἐνέτεινε χορδαῖς ὑπερθεὶς ἑκάστῃ πῆχυν καὶ κάτω προσαρμόσας χορδοτόνια καὶ τὸν ἐπάνω κόσμον κοινὸν τοῦ λέβητος καὶ τῶν παρηρτημένων † ἐνίων † ἀποδούς, ἐξ 5 ὧν καὶ τὴν φαντασίαν εἶχεν ἀστείαν καὶ τὸν ἦχον προσέβαλλεν ἁδρότερον. διένειμε δ' ἑκάστης χώρας ⟨...⟩ ταῖς τρισὶν ἁρμονίαις, τῇ τε Δωριστὶ καὶ Φρυγιστὶ καὶ Λυδιστί· καὶ καθεζόμενος αὐτὸς ἐπί τινος δίφρου περὶ ταὐτὸν συμμέτρως ἔχοντα τῇ συστάσει, διάρας δὲ τὴν εὐώνυμον χεῖρα πρὸς τὴν ἐπιβολὴν καὶ τῇ ἑτέρᾳ 10 χρησόμενος τῷ πλήκτρῳ, | καθ' ὁποίαν δὴ πρώτην ἡρεῖτο τῶν ἁρμονιῶν μετέστρεφε τῷ ποδὶ τὴν βάσιν εὔτροχον οὖσαν, καὶ πρὸς ἑτέραν πάλιν ἐπιβάλλων ἐχρῆτο καὶ πάλιν ἑτέραν. οὕτω δ' ὀξέως ὑπὸ τὴν χεῖρα προσῆγεν αὐτῷ τὰ συστήματα ἡ τῆς βάσεως εὐκινησία τῷ ποδὶ ψαυομένη, καὶ τὴν χειροθεσίαν ἐπὶ τοσοῦτον 15 εἰθίσθη κατοξύνειν, ὥστ' εἴ τις μὴ συνορῴη τὸ γινόμενον ἀλλὰ διὰ τῆς ἀκοῆς μόνον κρίνοι, νομίζειν τριῶν κιθαρῶν ἀκούειν διαφόρως ἡρμοσμένων. καὶ τοῦτο τὸ ὄργανον θαυμασθὲν ἰσχυρῶς μετὰ τὸν ἐκείνου βίον ἐξέλιπεν εὐθέως. [**42**] τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτόν φησι Μέναιχμος (*FGrH* 131 F 5) εἰσαγαγεῖν | Ἀριστόνικον τὸν 20 Ἀργεῖον, τῇ ἡλικίᾳ γενόμενον κατ' Ἀρχίλοχον, κατοικήσαντα ἐν Κορκύρᾳ. Φιλόχορος δ' ἐν τρίτῃ Ἀτθίδος (*FGrH* 328 F 23), Λύσανδρος, φησίν, ὁ Σικυώνιος κιθαριστὴς πρῶτος μετέστησε τὴν ψιλοκιθαριστικὴν μακροὺς τοὺς τόνους ἐντείνας καὶ τὴν φωνὴν εὔογκον ποιήσας, καὶ τὴν ἔναυλον κιθάρισιν, ᾗ πρῶτοι οἱ περὶ 25 Ἐπίγονον ‖ ἐχρήσαντο, ⟨...⟩. καὶ περιελὼν τὴν συντομίαν τὴν ὑπάρχουσαν ἐν τοῖς ψιλοῖς κιθαρισταῖς χρώματά τε εὔχροα

637d 637e 637f 638a

4 ἐνίων A : τονίων Wilamowitz ‖ **6** δ' ἑκάστης χώρας ταῖς τρισὶν ἁρμονίαις A : lac. indicavi : τριῶν γὰρ οὐσῶν τῷ ὀργάνῳ χωρῶν ἑκάστη χώρα (ἑκάστῃ χώρᾳ scripsi) διένειμε τὰς τρεῖς ἁρμονίας C E : δὲ τὰς τρεῖς χώρας ταῖς τρισὶν ἁρμονίαις Wilamowitz ‖ **7** τῇ Wilamowitz : τήν A ‖ **9** διάρας Schweighäuser (διᾴρας scripsit) : διείρας A | καὶ A : del. Kaibel ‖ **10** δή, i.e. ΔΗ Kaibel : ἄν, i.e. ΑΝ A : οὖν Meineke ‖ **11** εὔτροχον δ' A : δ' del. Musurus ‖ **12** ἑτέραν[1] πλευρὰν A : πλευρὰν ut glossam del. Kaibel ‖ **15** εἰθίσθη Schweighäuser : ἠθίσθη A : εἴθιστο C E ‖ **16** κιθαρῶν Kaibel : κιθαριστῶν A C E ‖ **17** τὸ C E M P Mus : † τ † A ‖ **18** ἐξέλιπεν C E B Mus : ἐξέλειπεν A ‖ **23** ἐντείνας A C E : ἐκτείνας Jacoby ‖ **24–5** lac. indicavi : ἐκιθάρισεν pro κιθάρισιν Kaibel

πρῶτος ἐκιθάρισε καὶ ἰαμβύκην καὶ μάγαδιν, καὶ ὄργανον μετέλαβε μόνος τῶν πρὸ αὐτοῦ, καὶ τὸ πρᾶγμα αὐξήσας χορὸν περιεστήσατο πρῶτος· Δίωνα δὲ τὸν Χῖον τὸ τοῦ Διονύσου σπονδεῖον πρῶτον κιθαρίσαι Μέναιχμος (*FGrH* 131 F 6). Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς (*FGrH* 754 F 1) Στήσανδρον λέγει τὸν 5
Σάμιον ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην καὶ πρῶτον ἐν Δελφοῖς
638b κιθαρῳδῆσαι | τὰς καθ' Ὅμηρον μάχας ἀρξάμενον ἀπὸ τῆς Ὀδυσσείας. ἄλλοι δὲ πρῶτόν φασι παρ' Ἐλευθερναίοις κιθαρίσαι τὰς ἐρωτικὰς ᾠδὰς Ἀμήτορα τὸν Ἐλευθερναῖον, οὗ καὶ τοὺς ἀπογόνους Ἀμητορίδας καλεῖσθαι. Ἀριστόξενος (fr. 136 Wehrli) δέ φησιν· 10
ὥσπερ τῶν ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδίας ἐξεῦρον, οὕτω καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας· ὃν ἐζήλωσαν Πολύευκτός τε ὁ Ἀχαιὸς καὶ Διοκλῆς ὁ Κυναιθεύς. καὶ μοχθηρῶν δὲ ᾀσμάτων γεγόνασι ποιηταί, περὶ ὧν φησι Φαινίας ὁ Ἐρέσιος ἐν
638c τοῖς Πρὸς τοὺς | Σοφιστὰς (fr. 10 Wehrli) γράφων οὕτω· Τελένικος 15
ὁ Βυζάντιος, ἔτι δὲ Ἀργᾶς ποιηταὶ μοχθηρῶν ὄντες νόμων πρὸς μὲν τὸν ἴδιον χαρακτῆρα τῆς ποιήσεως εὐπόρουν, τῶν δὲ Τερπάνδρου καὶ Φρύνιδος νόμων οὐδὲ κατὰ μικρὸν ἠδύναντο ἐπιψαῦσαι. τοῦ Ἀργᾶ μνημονεύει Ἄλεξις ἐν Ἀποβάτῃ (fr. 19) οὕτω·

(Α.) Χορόνικος ποιητὴς ὁδί. 20
(Β.) τίνων ποιητὴς ᾀσμάτων; (Α.) σεμνῶν πάνυ.
(Β.) τί πρὸς τὸν Ἀργᾶν οὗτος; (Α.) ἡμέρας δρόμῳ
κρείττων.

καὶ Ἀναξανδρίδης ἐν Ἡρακλεῖ (fr. 16)· |

638d ὁ μὲν γὰρ εὐφυής τις εἶναι φαίνεται· 25
ὡς δ' εὔρυθμος λαβὼν τὸ μελετητήριον
εἶτ' ἐσχεδίασε δριμέως † ενπαπαι †

638c Eust. p. 1226.13–14 = IV.467.14–16

1 ἰαμβύκην scripsi : ἰάμβους A | μάγαδιν τὸν καλούμενον συριγμόν A : τὸν καλούμενον συριγμόν ut glossam delevi ‖ **9** ᾠδὰς Ἀμήτορα P Mus : ᾠδὰς Ἀμύτορα M : ὡς † δα † σαμίτωνα A ‖ **10** Ἀμητορίδας Meineke, cf. Hsch. α 3642 : † αμίτορας † A : Ἀμήτορας M P Mus ‖ **11** παρῳδίας scripsi : παρῳδὰς A C E | ἐξεῦρον C E : εὗρον A ‖ **14** Ἐρέσιος Schweighäuser (Ἐρέσσιος iam M P Mus) : † αιρέσιοσ † A ‖ **20** ὁ ante ποιητὴς add. B M P Mus ‖ **26** εὔρυθμος A : εὐρύθμως Schweighäuser

μεστὸς γενόμενος πρὸς τὸν Ἀργᾶν βούλομαι
κωδωνίσας πέμψαι σ᾿ ἀγωνιούμενον, 5
ἵνα καὶ σὺ νικᾷς τοὺς σοφιστάς, ὦ φίλε.

[43] ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους ποιήσας Πτωχοὺς (fr.
5 4) Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου τῆς ἱλαρᾶς μούσης
λέγων οὕτω·

ταῦτ᾿ οὐ μὰ Δία Γνήσιππος οὐδ᾿ ὁ Κλεομένης
ἐν | ἐννέα χορδαῖσιν κατεγλυκάνατο. 638e

καὶ ὁ τοὺς Εἵλωτας δὲ πεποιηκώς (Eup. fr. 148) φησι·

10 τὰ Στησιχόρου τε καὶ Ἀλκμᾶνος Σιμωνίδου τ᾿
ἀρχαῖον ἀείδειν, ὁ δὲ Γνήσιππος ἔστ᾿ ἀκούειν.
κεῖνος νυκτερίν᾿ εὗρε μοιχοῖς ἀείσματ᾿ ἐκκαλεῖσθαι
γυναῖκας ἔχοντας ἰαμβύκην τε καὶ τρίγωνον.

Κρατῖνος ἐν Μαλθακοῖς (fr. 104)·

15 τίς ἄρ᾿ ἔρωτα † μοιδεν † ὦ Γνήσιππε, ἐγὼ † πολλῇ χολη †;
οἴομαι μηδὲν οὕτως μωρὸν εἶναι καὶ κενόν.

σκώπτει δ᾿ αὐτὸν εἰς τὰ ποιήματα καὶ ἐν Βουκόλοις (fr. 17)· |

ὃς οὐκ ἔδωκ᾿ αἰτοῦντι Σοφοκλεῖ χορόν, 638f
τῷ Κλεομάχῳ δ᾿, ὃν οὐκ ἂν ἠξίουν ἐγὼ
20 ἐμοὶ διδάσκειν οὐδ᾿ ἂν εἰς Ἀδώνια.

ἐν δὲ ταῖς Ὥραις (fr. 276)·

ἴτω δὲ καὶ τραγῳδίας
ὁ Κλεομάχου διδάσκαλος
μετὰ τῶν παρατιλτριῶν
25 ἔχων χορὸν Λυδιστὶ τιλ-
λουσῶν μέλη πονηρά. ‖ 5

4 Χιωνίδην Schweighäuser (Χιονίδην iam Musurus) : Χιωνίδη A ‖ **8** ἐννέα χορδαῖσιν A : ἐννέ᾿ ἂν χορδαῖς Porson : χορδαῖσιν om. M P Mus ‖ **9** Εἵλωτας Casaubon : ἰλεώτας A ‖ **10** τ᾿ A : τε M P Mus ‖ **12** νυκτερίν᾿ Dindorf : νυκτερινὰ A C E | εὗρε A C E : ηὗρε Herwerden ‖ **13** τρίγωνον A : τρίγωνα C E ‖ **18** Σοφοκλεῖ A : Σοφοκλέει Meineke ‖ **19** Κλεομάχῳ A : Κλεομάχου Dobree | δ᾿ Casaubon : δέ A ‖ **20** Ἀδώνια M P Mus : † αδωνεια † A

639a Τηλεκλείδης δὲ ἐν τοῖς Στερροῖς (fr. 36) καὶ περὶ μοιχείας ἀναστρέφεσθαί φησιν αὐτόν. Κλέαρχος δὲ ἐν δευτέρῳ Ἐρωτικῶν (fr. 33 Wehrli) τὰ ἐρωτικά φησιν ᾄσματα καὶ τὰ Λοκρικὰ καλούμενα οὐδὲν τῶν Σαπφοῦς καὶ Ἀνακρέοντος διαφέρειν. ἔτι δὲ τὰ Ἀρχιλόχου καὶ τῶν Ὁμήρου Ἐπικιχλίδων τὰ πολλὰ διὰ τῆς 5 ἐμμέτρου ποιήσεως τούτων ἔχεταί τινος τῶν παθῶν, ἀλλὰ καὶ τὰ Ἀσωποδώρου περὶ τὸν Ἔρωτα (*SH* 223) καὶ πᾶν τὸ τῶν ἐρωτικῶν ἐπιστολῶν γένος ἐρωτικῆς τινος διὰ λόγου ποιήσεώς ἐστι.

639b [**44**] τοσαῦτα τοῦ Μασουρίου διεξελθόντος | περιηνέχθησαν ἡμῖν καὶ αἱ δεύτεραι καλούμεναι τράπεζαι, πολλάκις ἡμῖν 10 διδόμεναι οὐ μόνον ταῖς τῶν Κρονίων ἡμέραις, ἐν αἷς Ῥωμαίων παισὶν ἔθος ἐστὶν ἑστιᾶν τοὺς οἰκέτας, αὐτοὺς τὰς τῶν οἰκετῶν ἀναδεχομένους λειτουργίας. Ἑλληνικὸν δὲ τοῦτο τὸ ἔθος· ἐν Κρήτῃ γοῦν τῇ τῶν Ἑρμαίων ἑορτῇ τὸ ὅμοιον γίνεται, ὥς φησι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν (fr. 13, *FHG* iv.358–9)· 15 εὐωχουμένων γὰρ τῶν οἰκετῶν οἱ δεσπόται ὑπηρετοῦσι πρὸς τὰς

639c διακονίας. καὶ ἐν Τροιζῆνι δὲ μηνὶ Γεραιστίῳ· πανήγυρις | δὲ τότε γίνεται πολυήμερος, ἧς ἐν μιᾷ οἱ δοῦλοι τε μετὰ τῶν πολιτῶν κοινῇ ἀστραγαλίζουσι καὶ οἱ κύριοι τοὺς δούλους ἑστιῶσιν, ὡς ὁ αὐτός φησι Καρύστιος. Βήρωσος δ' ἐν πρώτῳ Βαβυλωνιακῶν 20 (*FGrH* 680 F 2) τῷ Λώῳ φησὶ μηνὶ ἑκκαιδεκάτῃ ἄγεσθαι ἑορτὴν Σακαία προσαγορευομένην ἐν Βαβυλῶνι ἐπὶ ἡμέρας πέντε, ἐν αἷς ἔθος εἶναι ἄρχεσθαι τοὺς δεσπότας ὑπὸ τῶν οἰκετῶν ἀφηγεῖσθαί τε τῆς οἰκίας ἕνα αὐτῶν ἐνδεδυκότα στολὴν ὁμοίαν τῇ βασιλικῇ, ὃν

639d καὶ καλεῖσθαι ζωγάνην. μνημονεύει τῆς ἑορτῆς καὶ Κτησίας | ἐν 25 δευτέρῳ Περσικῶν (*FGrH* 688 F 4). Κῷοι δὲ τοὐναντίον δρῶσιν, ὡς ἱστορεῖ Μακαρεὺς ἐν τρίτῳ Κῳακῶν· ὅταν γὰρ τῇ Ἥρᾳ θύωσι, δοῦλοι οὐ παραγίνονται ἐπὶ τὴν εὐωχίαν· διὸ καὶ Φύλαρχον (*FGrH* 81 F 84 = *SH* 694A) εἰρηκέναι·

† σουριηι † μοῦνοι μὲν ἐλεύθεροι ἱεροεργοί, 30

639c Eust. p. 1098.56–8 = IV.26.17–19

4 διαφέρειν B M P Mus : διαφθείρειν A ‖ **8** διὰ λόγου Casaubon : διαλόγου A ‖ **12** ἔθος ἐστὶν Musurus : ἔθος ἦν E : ἔθος C : om. A ‖ **18** τε hic statui : post κοινῇ infra A ‖ **22** Σακαία Casaubon ex Hsch. σ 65, cf. Str. 11.512 : Σακέαν A : Σακέα (structura mutata) C E Eust. : Σακέας Musurus ‖ **25** ζωγάνην A : ζογάνης (structura mutata) C E

ἀνδράσι † προσκεινοισιν † ἐλεύθερον ἆμαρ ἔχοντες·
δούλων δ' οὔτις πάμπαν ἐσέρχεται οὐδ' ἠβαιόν.

[45] Βάτων δ' ὁ Σινωπεὺς ὁ ῥήτωρ ἐν τῷ Περὶ Θεσσαλίας | καὶ 639e
Αἱμονίας (*FGrH* 268 F 5) σαφῶς ἐμφανίζει τὴν τῶν Σατουρναλίων
5 ἑορτὴν Ἑλληνικωτάτην φάσκων αὐτὴν παρὰ τοῖς Θεσσαλοῖς
Πελώρια καλεῖσθαι γράφων οὕτω· θυσίας κοινῆς τοῖς Πελασγοῖς
γινομένης ἀπαγγεῖλαί τινα τῷ Πελασγῷ ἄνδρα, ᾧ ὄνομα ἦν
Πέλωρος, διότι ἐν τῇ Αἱμονίᾳ σεισμῶν μεγάλων γενομένων
ῥαγείη τὰ Τέμπη ὄρη ὀνομαζόμενα, καὶ διότι διὰ τοῦ διαστήμα-
10 τος ὁρμῆσαν τὸ τῆς λίμνης ὕδωρ ἐμβάλλοι εἰς τὸ τοῦ Πηνειοῦ
ῥεῖθρον, καὶ τὴν πρότερον λιμνάζουσαν χώραν ἅπασαν | γεγυμνῶ- 639f
σθαι καὶ ἀναξηραινομένων τῶν ὑδάτων πεδία θαυμαστὰ τῷ
μεγέθει καὶ τῷ κάλλει ἀναφαίνεσθαι. ἀκούσαντα οὖν τὸν Πελα-
σγὸν τὴν τράπεζαν ἀφθόνως αὐτῷ κεκοσμημένην τῷ Πελώρῳ
15 παραθεῖναι, καὶ τοὺς ἄλλους δὲ φιλοφρονουμένους ἕκαστον φέρειν ὅ
τι ἔχοι παρ' αὐτῷ βέλτιστον καὶ παρατιθέναι ἐπὶ τὴν τράπεζαν τῷ
ἀπαγγείλαντι, καὶ αὐτὸν τὸν Πελασγὸν προθύμως διακονεῖν καὶ
τῶν ἄλλων τοὺς ἐν ἀξιώματι ὄντας ὑπηρετεῖν καθότι ἑκάστῳ ὁ
καιρὸς παρέπιπτε· διόπερ, φασίν, ἐπεὶ τὴν χώραν κατέσχον,
20 ἀπομίμημα τῆς τότε γενομένης ἑορτῆς καὶ θύοντας Διὶ Πελωρίῳ ‖
τραπέζας τε λαμπρῶς κοσμοῦντας παρατιθέναι καὶ οὕτω φιλάν- 640a
θρωπον τὴν πανήγυριν συντελεῖν ὥστε καὶ τοὺς ξένους ἅπαντας
ἐπὶ τὴν θοίνην παραλαμβάνειν καὶ τοὺς δεσμώτας λύειν καὶ τοὺς
οἰκέτας κατακλίναντας μετὰ πάσης παρρησίας ἑστιᾶν διακονούν-
25 των αὐτοῖς τῶν δεσποτῶν· καὶ τὸ σύνολον ἔτι καὶ νῦν Θεσσαλοὺς
μεγίστην ἑορτὴν ἄγοντας προσαγορεύειν Πελώρια.

639e–40a Eust. p. 1101.14–26 = IV.34.10–23

1 ἐλεύθερον M P : † ἐλευρον † A | † αμαρ † A : ἦμαρ A[s] ‖ **7** ἀπαγγεῖλαί Meineke, cf. τῷ ἀπαγγείλαντι infra : ἀναγγεῖλαί A : ἀνήγγειλέ (structura mutata) C E ‖ **8** γενομένων C E B Eust. : γινομένων A ‖ **10** ὁρμῆσαν τὸ C E Eust. Mus : ὁρμήσαντος A ‖ **19** φασίν A : φησίν Wilamowitz ‖ **20** καὶ θύοντας A : θύουσι (structura mutata) C E : καὶ del. Schweighäuser : lac. intra ἑορτῆς et καὶ indic. Kaibel | Πελωρίῳ C E : Πελώρῳ Eust. : Πέλωρι A ‖ **21** παρατιθέναι Meineke, cf. παραθεῖναι supra : προτιθέναι A : προτίθενται (structura mutata) C E Eust. ‖ **21–2** φιλάνθρωπον τε A : τε om. C E Eust. : e.g. φιλάνθρωπόν τε ⟨καὶ κοινὴν⟩ Kaibel ‖ **26** Πελώρια Meineke, cf. 14.639e : Πελωρίαν A C E Eust.

[46] πολλάκις οὖν, ὡς ἔφην (14.639b), τῶν τοιούτων ἡμῖν παρατιθεμένων ἐπιδορπισμάτων ἔφη τις τῶν παρόντων· |

640b αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. (E. *Hipp.* 436)

τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;
πλήρης μὲν ὄψων ποντίων, πάρεισι δὲ 5
μόσχων τέρειναι σάρκες χηνεία τε δαὶς
καὶ πεπτὰ καὶ κροτητὰ τῆς ξουθοπτέρου
πελανῷ μελίσσης ἀφθόνως δεδευμένα, 5

φησὶν Εὐριπίδης ἐν Κρήσσαις (fr. 467). καὶ ὡς Εὔβουλος δ' ἐν Ὀλβίᾳ (fr. 74) ἔφη· 10

(A.) ἐν τῷ γὰρ αὐτῷ πάνθ' ὁμοῦ πωλήσεται
ἐν ταῖς Ἀθήναις· σῦκα, (B.) κλητῆρες (A.) βότρυς, |
640c γογγυλίδες, ἄπιοι, μῆλα, (B.) μάρτυρες (A.) ῥόδα,
μέσπιλα, χόρια, σχαδόνες, ἐρέβινθοι, (B.) δίκαι
(A.) πυός, πυριάτη, μύρτα, (B.) κληρωτήρια 5 15
(A.) ὑάκινθος, ἄρνες, (B.) κλεψύδραι, νόμοι, γραφαί.

μέλλοντος οὖν τοῦ Ποντιανοῦ λέγειν περὶ ἑκάστου τῶν παρακειμένων, οὐ πρότερόν γε, ἔφη ὁ Οὐλπιανός, ἀκουσόμεθα περὶ τούτων, ἕως ἂν περὶ τῶν ἐπιδορπισμάτων εἴπῃς. καὶ ὁ Ποντιανός· τραγήματα Κράτης (fr. 112 Broggiato) φησὶ Φιλιππίδην λέγειν ἐν 20 Φιλαργύρῳ (fr. 20) οὕτω· |

640d πλακοῦντες, ἐπιδορπίσματ', ᾠά, σήσαμα·
ὅλην λέγοντά μ' ἐπιλείποι τὴν ἡμέραν.

καὶ Δίφιλος ἐν Τελεσίᾳ (fr. 80)·

640b Eust. p. 1532.16 = i.210.38–9 | **640c, 640f–1a, 641b, 642d–e** Eust. p. 1141.3–4, 6–9 = IV.169.5–6, 7–9

4 τῷ C E Mus : τὸ A ‖ **6** τέρειναι C E Eust. Mus : τέριναι A | χηνεία C E Mus : χηνία A ‖ **9** ὁ Εὐριπιδης A : ὁ delevi | ὁ Εὔβουλος A : ὁ delevi **12** σῦκα, (B.) κλητῆρες Pierson : οὐ † κακλητηρες † A : οὐκ ἀκλητῆρες Musurus ‖ **19** εἴπῃς Schweighäuser : εἴπῃ A ‖ **23** λέγοντά A : λέγοντ' ἂν Jacobs | μ' ἐπιλείποι M P : με ἐπιλείποι A : μ' ἐπιλίποι Musurus

(A.) τράγημα, μυρτίδες, πλακοῦς, ἀμυγδαλαῖ.
(B.) ἐγὼ δὲ ταῦθ' ἥδιστά γ' ἐπιδορπίζομαι.

Σώφιλος ἐν Παρακαταθήκῃ (fr. 5)·

ἡδύ γε μετ' ἀνδρῶν ἐστιν Ἑλλήνων ἀεὶ
5 συνάγειν. τὸ πρᾶγμα χάριεν· "οὐχὶ δύο
κυάθους" ἀνεβόησέν τις, "ὑποχεῖς; κωμάσαι
πρὸς τὴν Ταναγρικὴν δεῖ γάρ, ἵν' ἐκεῖ κατακλεισθεὶς
ἐπιδορπίσηται τὰς ὀνείας ματτύας." | 5

Πλάτων ἐν τῷ Ἀτλαντικῷ (*Criti.* 115a–b) μεταδόρπια αὐτὰ καλεῖ 640e
10 ἐν τούτοις· πάντα τε εὐώδη ἐφέρετο τοῖς κατοικοῦσιν ἡ γῆ, καὶ τὸν ἥμερον δὲ καρπὸν πλεῖστον ἔφερε καὶ ἀκροδρύων πλῆθος καὶ ὅσα παραμύθια ἡδονῆς μεταδόρπια. [47] Τρύφων (fr. 136 Velsen) δέ φησι τὸ παλαιόν, πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας, ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν, ὕστερον δὲ πολλά τε καὶ ποικίλα
15 ἐπεισφέρεσθαι, διὸ καὶ ἐπιφορήματα κληθῆναι. Φιλύλλιος δ' ἐν Φρεωρύχῳ (fr. 18) φησὶ περὶ τῶν δευτέρων τραπεζῶν λέγων·

ἀμύγδαλα, κάρυα, ἐπιφορήματα.

καὶ Ἄρχιππος ἐν Ἡρακλεῖ (fr. 11) καὶ Ἡρόδοτος ἐν πρώτῃ (1.133.2). καὶ ἐπιδορπίσασθαι δ' ἔλεγον τὸ ἐντραγεῖν καὶ ἐπιδει-
20 πνῆσαι. ἅπερ | Ἄρχιππος ἐν Ἡρακλεῖ Γαμοῦντι (fr. 11) ἐπιφορή- 640f
ματα καλεῖ διὰ τούτων·

† ἰτρίοις † ἐπιφορήμασι τ' ἄλλοις γέμουσα.

καὶ Ἡρόδοτος δὲ ἐν τῇ πρώτῃ (1.133.2)· σιτίοις δὲ ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖς. ‖ τὸ μέντοι κατὰ τὴν παροιμίαν 641a
25 λεγόμενον Ἀβυδηνὸν ἐπιφόρημα τέλος τί ἐστιν ἐλλιμένιον, ὡς

640c, 640f–1a, 641b, 642d–e Eust. p. 1141.3–4, 6–9 = IV.169.5–6, 7–9

1 τράγημα A C E : τρωγάλια 2.52e | ἀμυγδαλαῖ vel ἀμυγδαλαί vel sim. A C E : ἀμυγδαλή E[s] : ἀμύγδαλα 2.52e ‖ **4** ἀεὶ B M P Mus : αἰεὶ A ‖ **5** β', i.e. δύο A : δώδεκα, i.e. ιβ' Cobet ‖ **6** ὑποχεῖς Cobet : † ὑποχει † A ‖ **7** κατακλεισθεὶς A : κατακλιθεὶς P Mus ‖ **10** ἐφέρετο A : τρέφει που Pl., unde ἔφερέ που Kaibel **12** ἡδονῆς A : πλησμονῆς Pl. ‖ **17** ἀμύγδαλα A : ἀμυγδάλια Meineke | κάρυα A : καρύδι' 14.641a ‖ **12–20** Τρύφων δέ … ἐπιδειπνῆσαι del. Kaibel, cf. infra ‖ **23–4** σιτίοισι … χρέωνται Hdt. ‖ **25** καὶ ἐλλιμένιον (pro ἐνλιμένιον, i.e. ΕΝΛ-) Casaubon : καὶ † εναιμενιον †, i.e. ΕΝΑ- A : καὶ del. Kaibel

Ἀριστείδης φησὶν ἐν τρίτῳ Περὶ Παροιμιῶν. Διονύσιος δ' ὁ τοῦ Τρύφωνος (fr. 136 Velsen)· τὸ μὲν παλαιόν, πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας, ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν, ὕστερον δὲ πολλὰ ποικίλα ἐπιφέρεσθαι, διὸ καὶ ἐπιφορήματα
641b κληθῆναι. | Φιλύλλιος δ' ἐν Φρεωρύχῳ (fr. 18) τὰ ἐπιφερόμενα 5
μετὰ τὸ δειπνῆσαι λέγων ὧδε·

ἀμύγδαλα, καρύδι', ἐπιφορήματα.

Πλάτων δ' ἐν Μενέλεῳ (fr. 76) ἐπιτραπεζώματα αὐτὰ καλεῖ, οἷον τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα, λέγων οὕτως·

(A.) εἰπέ μοι, 10
ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων; |
641c (B.) ὁ γὰρ θεοῖσιν ἐχθρὸς αὐτὰ κατέφαγεν.

Ἀριστοτέλης δ' ἐν τῷ Περὶ Μέθης (fr. 104 Rose = fr. 674 Gigon) τὰ τραγήματά φησι λέγεσθαι ὑπὸ τῶν ἀρχαίων τρωγάλια· ὡσεὶ γὰρ ἐπιδορπισμὸν εἶναι. Πίνδαρος (fr. 124c) δέ ἐστιν ὁ εἰπών· 15

δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον
καίπερ πεδ' ἄφθονον βοράν·

ὄντως γὰρ κατὰ τὸν Εὐριπίδην (fr. 1052.3) ἀποβλέψαντα ἔστιν εἰς τὰ παρακείμενα εἰπεῖν·

ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος· 20

[**48**] ὅτι γὰρ ἦσαν καὶ παρὰ τοῖς ἀρχαίοις αἱ δεύτεραι τράπεζαι πολυτελῶς μεμεριμνημέναι παρίστησι Πίνδαρος ἐν Ὀλυμπιονίκαις (1.50–2) περὶ τῆς Πέλοπος κρεουργίας διηγούμενος·

τραπέζαισι δ' † ἀμφιδευρα † κρεῶν |

641c, e–f Eust.(1) p. 1401.48–54 = i.35.27–35

1 Ἀριστείδης B M P Mus : Ἀριστίδης A ‖ **4** πολλὰ A : πολλά τε καὶ 14.640e ἐπιφέρεσθαι A : ἐπεισφέρεσθαι 14.640e ‖ **7** ἀμύγδαλα A : ἀμυγδάλια Meineke ‖ **14** τρωγάλια ὡσεὶ, i.e. -ΑΛΙΑ- Schweighäuser : † τρωγαλιλωσει †, i.e. -ΑΛΙΛ- A : τρωγάλια M P Mus, cf. C E ‖ **17** καίπερ πεδ' ἄφθονον Boeckh, Schneider : καὶ † περιπαιδαφθονον † A : καὶ περὶ παῖδ' ἄφθονον Musurus ‖ **22** πολυτελῶς A : πολυτελῶς πάνυ (v.ll.?) C E ‖ **24** δ'] δὲ A : τ' Pi. | † ἀμφιδευρα † A : ἀμφὶ δεύτατα Pi. et Musurus

σέθεν διεδάσαντο καὶ φάγον. 641d
ἐμοὶ δ' ἄπορα γαστρίμαρ-
γον † μακαρωτιν † εἰπεῖν.

οἱ δὲ παλαιότεροι ἁπλῶς τραπέζας ἔλεγον, ὡς Ἀχαιὸς ἐν Ἡφαί-
5 στῳ σατυρικῷ (*TrGF* 20 F 17)·

(A.) θοίνην δὲ πρῶτον τέρψομεν· πάρεστι δέ.
(B.) τὸ δεύτερον τῷ με κηλήσεις τρόπῳ;
(A.) μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας.
(B.) ὕδωρ δὲ νῖψαι χεῖρας οὐ πρόσθεν δίδως;
10 (A.) † ναι † τράπεζά γ' ἐκποδὼν ἀπαίρεται. 5

Ἀριστοφάνης Σφηξίν (1216)·

ὕδωρ κατὰ χειρός· τὰς τραπέζας εἰσφέρειν.

Ἀριστοτέλης δ' ἐν τῷ Περὶ Μέθης (fr. 104 Rose = fr. 675 Gigon) | παραπλησίως ἡμῖν δευτέρας τραπέζας προσαγορεύει διὰ τούτων· 641e
15 τὸ μὲν οὖν ὅλον διαφέρειν τράγημα βρώματος νομιστέον ὅσον ἔδεσμα τρωγαλίου· τοῦτο γὰρ πάτριον τοὔνομα τοῖς Ἕλλησιν, ἐπεὶ ἐν τραγήμασι παρατίθενται· διόπερ οὐ κακῶς ἔοικεν εἰπεῖν ὁ πρῶτος δευτέραν προσαγορεύσας τράπεζαν· ὄντως γὰρ ἐπιδορπισμός τις ὁ τραγηματισμός ἐστι, καὶ δεῖπνον ἕτερον παρατίθεται
20 ⟨τὰ⟩ τραγήματα. Δικαίαρχος δ' ἐν πρώτῳ τῆς Εἰς Τροφωνίου Καταβάσεώς (fr. 19 Wehrli) φησιν οὕτως· ἥ γε τὴν πολλὴν δαπάνην ἐν τοῖς δείπνοις παρέχουσα δευτέρα τράπεζα προσεγένετο καὶ στέφανοι καὶ μύρα | καὶ θυμιάματα καὶ τὰ τούτοις ἀκόλουθα 641f

641c, e–f Eust.(1) p. 1401.48–54 = i.35.27–35 | **641e** Eust.(2) p. 1594.8–9 = i.294.14–15

2–3 ἄπορα γαστρίμαργον Pi. : ἄπορον ἀγαστρίμαργον (v.ll. ἄπορον γαστρίμαργον et ἄπορα γαστρίμαργον in unam confusas) A : ἄπορον γαστρίμαργον Musurus ‖ **3** † μακαρωτιν † A : μακάρων τιν' Pi. et Musurus **6** θοίνην δὲ A : θοίνῃ σε Casaubon ‖ **8** μύρῳ σε B M P Mus : † μυροσε † A **10** † ναι † A : ἡνίκα Kaibel ‖ **14** προσαγορεύει Kaibel, cf. προσαγορεύσας infra : ἀπαγορεύει A : ἐπαγορεύει M P Mus ‖ **16** ἔδεσμα τρωγαλίου A : ἐδέσματος τρωγάλιον Schweighäuser ‖ **17** ἐν τραγήμασι τὰ βρώματα A : τὰ βρώματα ut glossam del. Kaibel ‖ **18–19** ἐπιδορπισμὸς τραγηματισμός τίς ἐστιν A : ὁ τραγηματισμὸς (τραγισμὸς E) ἐπιδορπισμός τίς ἐστι C E Eust.(1–2) ‖ **20** ⟨τὰ⟩ add. Kaibel

πάντα. [49] ἐδίδοτο δὲ καὶ ᾠὰ ἐν τῇ δευτέρᾳ τραπέζῃ, ὥσπερ καὶ λαγῷα καὶ κίχλαι κοινῇ μετὰ τῶν μελιπήκτων εἰσεφέροντο, ὡς Ἀντιφάνης ἐν Λεπτινίσκῳ (fr. 138) φησὶν οὕτως·

(A.) οἶνον Θάσιον πίνοις ἄν; (B.) εἴ τις ἐγχέαι.
(A.) πρὸς ἀμυγδάλας δὲ πῶς ἔχεις; (B.) εἰρηνικῶς. 5
μαλακὰς † σφοδραδιασ † μέλιτι προσπαίζειν βίᾳ.
(A.) μελίπηκτα δ' εἴ σοι προσφέροι; (B.) τρώγοιμι καὶ ‖
642a ᾠὸν δὲ καταπίνοιμ' ἄν. (A.) ἄλλου δεῖ τινος; 5

ἐν δὲ Ὁμοίοις (fr. 172.5–6)·

εἶτ' ἐπεισῆγεν χορείαν ἢ τράπεζαν δευτέραν 10
καὶ παρέθηκε γέμουσαν πέμμασι παντοδαποῖς.

Ἄμφις δὲ ἐν Γυναικομανίᾳ (fr. 9)·

(A.) ἤδη ποτ' ἤκουσας βίον
ἀληλεμένον; αἵ † τοῦτ' ἐκεῖν' ἔστιν σαφῶς·
ἄμητες, οἶνος ἡδύς, ᾠά, σησαμαῖ, 15
μύρον, στέφανος, αὐλητρίς. (B.) ὦ Διοσκόρω, |
642b ὀνόματα τῶν δώδεκα θεῶν διελήλυθας. 5

Ἀναξανδρίδης Ἀγροίκοις (fr. 2)·

ὡς δ' ἐστεφανώθην, ἡ τράπεζ' ἐπήγετο
τοσαῦτ' ἔχουσα βρώμαθ' ὅσα μὰ τοὺς θεοὺς 20
καὶ τὰς θεὰς οὐδ' ἔνδον ὄντ' ᾔδειν ἐγώ·
οὕτως παρέζων χρηστῶς οὐκ ἔζων τότε.

Κλέαρχος Πανδρόσῳ (fr. 4)·

1 ᾠὰ C E Eust.(1) : ᾠὸν A ‖ **2** εἰσεφέροντο scripsi : εἰσεφέρετο A : προσεφέρετο C E : προεφέροντο Eust.(1) ‖ **4** ἐγχέαι A C E Eust.(1) : ἐγχέοι Rutherford ‖ **6** μαλακὰς † σφοδραδιασ † A : μᾶλλον δι' ἃς C E Eust.(1) : μαλακὰς σφόδρα † διας † M P : μαλακὰς σφόδρα δι' ἃς B Mus | βίᾳ A : δέει C* E : δέδοται Eust.(1) ‖ **7** προσφέροι A : προσφέρει C E M P Eust.(1) Mus τρώγοιμι καὶ A : τρώγοιμ' ἄν· C E Eust.(1) : τρώγοιμ' ἂν καὶ Musurus ‖ **8** δεῖ Dobree : † δη † A ‖ **14** αἵ A : ναί. (B.) Dobree, ducente Schweighäuser **15** ᾠά, σησαμαῖ Casaubon : † ωσασησαμαι † A : ᾠά, σήσαμα C : ᾠά, σήσα^μ E ‖ **19** ἐπήγετο A : εἰσῄρετο Kassel–Austin, ducente Kock ‖ **20** τοσαῦτ' M P Mus : † σαυτ † A | βρώμαθ' Musurus : βρώματα A

(A.) λάβ᾽ ὕδωρ κατὰ χειρός. (B.) μηδαμῶς· καλῶς ἔχει.
(A.) λάβ᾽, ὦγάθ᾽· | οὐδὲν χεῖρον. παῖς, ἐπιτίθει 642c
ἐπὶ τὴν τράπεζαν κάρυα καὶ τραγήματα.

Εὔβουλος Καμπυλίωνι (fr. 44)·

5 (A.) τραγημάτων δ᾽ ἔσθ᾽ ἡ τράπεζά σοι πλέα.
(B.) οὐ φιλοτραγήμων εἰμί πως ἑκάστοτε.

Ἄλεξις Πολυκλείᾳ (fr. 190) (ἑταίρας δ᾽ ὄνομα Πολύκλεια)·

ὁ πρῶτος εὑρὼν κομψὸς ἦν τραγήματα·
τοῦ συμποσίου γὰρ διατριβὴν ἐξεῦρε
10 κἀργοὺς ἔχειν μηδέποτε τὰς σιαγόνας. |

καὶ ἐν Ὁμοίᾳ (fr. 168) (τὸ δ᾽ αὐτὸ δρᾶμα καὶ ὡς Ἀντιδότου 642d
φέρεται)·

(A.) οὐδὲ φιλόδειπνός εἰμι μὰ τὸν Ἀσκληπιόν,
τραγήμασι δὲ χαίρω μᾶλλον. (B.) εὖ πάνυ.
15 (A.) τραγήματ᾽ αἰσθάνομαι γὰρ ὅτι νομίζετε
τοῖς νυμφίοις μετιοῦσι τὴν νύμφην † λέγεις
παρέχειν, ἄμητας καὶ λαγῷα καὶ κίχλας. 5
τούτοισι χαίρω, τοῖς δὲ κεκαρυκευμένοις
ὄψοισιν καὶ ζωμοῖσιν ἥδομ᾽, ὦ θεοί.

20 Ἀπίων (*FGrH* 616 F 32) δὲ καὶ Διόδωρος (= Gloss. Ital. 204 K.–A.), ὥς φησι Πάμφιλος (fr. IV Schmidt), ἐπαίκλειά | φησι 642e καλεῖσθαι τὰ μετὰ τὸ δεῖπνον τραγήματα. [50] Ἔφιππος Ἐφήβοις (fr. 8)·

χόνδρος μετὰ ταῦτ᾽ εἰσῆλθεν, μύρον Αἰγύπτιον,
25 † φοινικου † βῖκός τις ὑπανεῴγνυτο,

640c, 640f–1a, 641b, 642d–e Eust. p. 1141.3–4, 6–9 = IV.169.5–6, 7–9
642e Eust. p. 1020.62 = III.743.20 | **642e** Eust. p. 948.39 = III.519.12–13

6 οὐ C E : οὐχι A ‖ **10** κἀργοὺς A : ἀργοὺς C E Eust. : καὶ / ἀργοὺς Wilamowitz | μηδέποτε C E Eust. : μηδεπώποτε A ‖ **14** τραγήμασι A : τραγήμασιν Musurus | δὲ χαίρω A : χαίρω δὲ Scaliger ‖ **19** ὄψοισιν A : ὄψοισι M P Mus | ἥδομ᾽, ὦ θεοί M P Mus : † ηδ᾽ ομωθεοι † A ‖ **22** τραγήματα A : βρώματα C E ‖ **24** μετὰ ταῦτ᾽ Jacobs : † μετατ᾽ † A | εἰσῆλθεν A : εἰσῆλθε Jacobs ‖ **25** † φοινικου † A : Φοινικίνου 1.29d : Φοινικικοῦ Casaubon

εἶτ' ἴτρια, τραγήματα θῆκε, πυραμοῦς, ἄμης,
ᾠῶν ἑκατόμβη. πάντα ταῦτ' ἐχναύομεν.
ἐμασώμεθ' οὕτως ἀνδρικῶς ὅσ' εἴχομεν· 5
καὶ γὰρ παραμασύντας τινὰς παρὰ † μασυλτας † τινὰς
παραβόσκομεν. 5

καὶ ἐν Κύδωνι (fr. 13)·

καὶ μετὰ τὸ δεῖπνον κόκκος,
ἐρέβινθος, κύαμος,
χόνδρος, τυρός, μέλι, σησαμίδες,
† βράχος † βρυγμός, μνοῦς, πυραμίδες, 10
μῆλον, κάρυον, γάλα, κανναβίδες, 5
κόγχαι, χυλός, Διὸς ἐγκέφαλος.

Ἄλεξις Φιλίσκῳ (fr. 252)·

ἀρτέον
642f τράπεζαν, ἀπονίψασθαι | δοτέον, προσοιστέος 15
στέφανος, μύρον, σπονδή, λιβανωτός, ἐσχαρίς,
τραγήματα δοτέον ἔτι, πλακοῦντος ἁπτέον.

ἐπεὶ δὲ καὶ ὁ Κυθήριος Φιλόξενος ἐν τῷ Δείπνῳ (*PMG* 836(e))
643a δευτέρων ‖ τραπεζῶν μνημονεύων πολλὰ καὶ τῶν ἡμῖν παρακειμέ-
νων ὠνόμασε, φέρε καὶ τούτων ἀπομνημονεύσωμεν· 20

τὰς δὲ δὴ πρόσθεν μολούσας
λιπαραυγεῖς
πορθμίδας πολ-
λῶν ἀγαθῶν πάλιν εἰσέφε-
ρον γεμούσας, 25
τὰς ἐφημέριοι καλέοντι

643a Eust. p. 1192.42–3 = IV.355.4–6

1 εἶτ' A : om. 1.29d | τραγήματα θῆκε (v.ll. -τα et -θ' in unam confusas?) A : τραγήματα 1.29d : τραγήμαθ' ἧκε Porson ‖ **4–5** τινὰς παρὰ † μασυλτας † τινὰς παραβόσκομεν (v.ll.) A : τινὰς παραβόσκομεν vel τινὰς παραμησήτας Casaubon : fort. τινὰς παρεβόσκομεν ‖ **7** τὸ A : del. Meineke ‖ **14–15** ἀρτέον / τράπεζαν] † ἄρτεον † τράπεζαν A : ἀρτέα / τράπεζ' Meineke ‖ **20** ubique et foede corrupta quae sequuntur ‖ **24–5** εἰσέφερον A C E Eust. : εἴσφερον Meineke ‖ **26** ἐφημέριοι A C E Eust. : ἐφήμεροι Meineke

νῦν τραπέζας,
ἀθάνατοι δέ τ᾽ Ἀμαλθεί-
ας κέρας· ταῖσι δ᾽ ἐν μέσαις
ἐγκαθιδρύ- 5
5 θη μέγα χάρμα βροτοῖς, λευ-
κὸς μυελὸς γλυκερὸς
λεπτοῖς ἀράχνας ἐναλιγκί-
οισι πέπλοις
συγκαλυπτὸν ὄψιν αἰσχύ-
10 νας ὕπο, μὴ κατίδῃς
μηλογενὲς | πῶυ λιπὼν 643b
ταῖς ἀνάγκαις
ξηρὸν ἐν ξηροῖς Ἀρισταί-
ου παλιρρύτοισι παγαῖς·
15 τὸ δ᾽ ὄνομ᾽ ἦς ἄμυλος, 10
χερσὶν δ᾽ ἐπέθεντο
στόμιον μαλεραῖς
ταν δεξαμένην ὅ τι καὶ
διδῷ τις, ἃ Ζανὸς καλέοντι
20 τρώγματ᾽· ἔπειτ᾽ ἐπένειμεν
ἐγκατακνακομιγὲς
πεφρυγμένον
πῦροβρο μολευκερεβινθο-
ακανθουμικτριτυαδυ
25 βρῶμα τὸ πανταναμικτον
ἀμπυκικηροιδηστι-
χας παρεγίνετο τούτοις

1 τραπέζας ⟨δευτέρας⟩ Bergk, cf. 14.642f–3a δευτέρων τραπεζῶν μνημονεύων ‖ **2** τ᾽ Musurus : τε A C E Eust. ‖ **3** ταῖσι δ᾽ ἐν μέσαις C E B Mus : σταισι δ᾽ ἐνμεσαις A : ταῖς δ᾽ ἐν μέσαισιν Meineke ‖ **4–5** ἐγκαθιδρύθη C E B M P Mus : ἐνκαθιδρύθη A ‖ **7** λεπτοῖς A : λεπτᾶς Page **9** συγκαλυπτὸν A : συγκαλύπτον B M P Mus : συγκαλύπτων Casaubon **10** κατίδῃς Casaubon (κατίδῃς iam M P Mus) : κατιδης A ‖ **11** μηλογενὲς A : μαλογενὲς Meineke ‖ **13** ξηροῖς A : ξηραῖς Meineke ‖ **14** παλιρρύτοισι A : πολυρρύτοισι Bergk : μελιρρύτοισι Meineke ‖ **15** τὸ] το A : τῷ Meineke **16** ἐπέθεντο Musurus : ἐπιθεντο A ‖ **18** δεξαμένην M P Mus : δεξαμενην A : δεξαμέναν Meineke | καὶ A : κεν Page ‖ **23** πῦροβρο A : πυρβρο- Meineke **25** τὸ Schweighäuser : το A

ταιτιν ὁ κογχομανὴς 15
τοξαισελαιο-
ξανθεπιπανκάπυρ-
ος χοιρινις,
ἀδέα δὲ 5
κυκλωτὰ ὁμοφλωκτὰ ἀνάριθμα |
643c καὶ μελίπακτα τετυγμέν᾽
ἄφθονα σασαμοφλωκτα·
τυρακίνας δὲ γάλακτι
καὶ μέλιτι συγκατάφυρτος 10
ἦς ἄμυλος πλατανις
σασαμορυτοπαγη δὲ
καὶ ζεσελαιοπαγη
πλατυντο σασαμοπαστα
πέμματα και τερεβινθο- 20 15
κνακοσυμμιγεισ ἀπαλαῖς θάλ-
λοντες ὥραις
ᾠά τ᾽ ἀμυγδαλίδες
τᾶν μαλακόφλοια ων
τετο τρωκτά τε παισὶν 20
αδϋιδη κάρυ᾽ ἄλλα
θ᾽ ὅσσα πρέπει παρὰ θοίναν
ὀλβιόπλουτον·
πόσις δ᾽ ἐπεραίνετο κότ-
ταβοί τε λόγοι τ᾽ ἐπὶ κοινᾶς· 25

1 ταιτιν ὁ κογχομανὴς A : σταιτινοκογχομαγὴς Meineke ‖ **3–4** ξανθεπιπανκάπυρος A : ξανθεπιπαγκαπύρ⟨ωτ⟩ος Meineke ‖ **4** χοιρινις A : χοιρίνας Meineke ‖ **5** ἀδέα Meineke : αδεα A ‖ **6** κυκλωτὰ ὁμοφλωκτὰ Schweighäuser : κυκλωτα ὁμοφλωκτα A ‖ **7** μελίπακτα A : μελίπηκτα A[s] B M P Mus | τετυγμέν᾽ Meineke : τετυγμένα A ‖ **8** σασαμοφλωκτα A : σασαμόφωκτα Meineke ‖ **10** μέλιτι A : μέλι- Meineke ‖ **11** πλατανις A : πλαθανίτας Meineke ‖ **12** σασαμορυτοπαγη A : σασαμοτυροπαγῆ Schmidt **14** πλατυντο A : πλατύνετο Meineke | σασαμοπαστα, i.e. -ΠΑΣΤΑ A : σασαμόπλαστα, i.e. -ΠΛΑΣΤΑ Page ‖ **15–16** καὶ τερεβινθοκνακοσυμμιγεισ A : κᾆτ᾽ ἐρέβινθοι κνακομιγεῖς Meineke, Schmidt ‖ **18** τ᾽ Meineke : τε A **19** μαλακόφλοια ων, i.e. -ΟΙΑΩΝ A : μαλακοφλοΐδων, i.e. -ΟΙΔΩΝ Bergk **21** κάρυ᾽ Meineke : κάρυα A ‖ **22** θ᾽ Meineke : τε A | θοίναν A : θοίνην A[s]

ἔνθα τι κηνον ἐλέχθη
κομψὸν | ἀθυρμάτιον, καὶ 643d
ἐθαύμασαν αὐτό, ἔπειτ' ᾔνη-
σαν.

5 ταῦτα καὶ ὁ Κυθήριος Φιλόξενος, ὃν ἐπαινῶν Ἀντιφάνης ἐν τῷ Τριταγωνιστῇ (fr. 207) φησι·

πολύ γ' ἐστὶ πάντων τῶν ποιητῶν διάφορος
ὁ Φιλόξενος· πρῶτα μὲν γὰρ ὀνόμασιν
ἰδίοις καὶ κοινοῖσι χρῆται πανταχοῦ,
10 ἔπειτα μέλη μεταβολαῖς καὶ χρώμασιν
ὡς εὖ κέκραται. θεὸς ἐν ἀνθρώποισιν ἦν 5
ἐκεῖνος εἰδώς τ' ἀληθῶς μουσικήν· |
οἱ νῦν δὲ κισσόπληκτα καὶ κρηναῖα καὶ 643e
ἀνθεσιπότατα μέλεα μελέοις ὀνόμασι
15 ποιοῦσιν ἐμπλέκοντες ἀλλότρια μέλη.

[51] πλακούντων δὲ ὀνόματα πολλῶν καταλεξάντων, ὅσων μέμνημαι τούτων σοι καὶ μεταδώσω. οἶδα δὲ καὶ Καλλίμαχον ἐν τῷ τῶν Παντοδαπῶν Συγγραμμάτων Πίνακι (fr. 435 Pfeiffer) ἀναγράψαντα πλακουντοποιικὰ συγγράμματα Αἰγιμίου καὶ 20 Ἡγησίππου καὶ Μητροβίου, ἔτι δὲ Φαίστου. ἡμεῖς δὲ ἃ μετεγράψαμεν ὀνόματα | πλακούντων, τούτων σοι καὶ 643f μεταδώσομεν, οὐχ ὡς τοῦ ⟨ὑπ'⟩ Ἀλκιβιάδου πεμφθέντος Σωκράτει· ὃν Ξανθίππης καταγελασάσης ὁ Σωκράτης, "οὐκοῦν", ἔφη, "οὐδὲ σὺ μεθέξεις τούτου." τοῦτο δὲ ἱστόρησεν Ἀντίπατρος ἐν τῷ πρώτῳ 25 Περὶ Ὀργῆς (fr. 65, *SVF* iii.257). ‖ ἐγὼ δὲ φιλοπλάκουντος ὢν οὐκ 644a ἂν περιεῖδον τὸν θεῖον ἐκεῖνον ἐξυβριζόμενον πλακοῦντα.

643f cf. Ael. *VH* 11.12 | **644f, a–b** Eust. p. 1114.1–3 = IV.77.16–19 **644a** Eust. p. 1345.29–30 = IV.887.24–6

1 κηνον A : καινὸν Dalechamps (*novis*) ‖ **3** ἐθαύμασαν ἀυτὸ ἔπειτ' A : θαύμασαν αὔτ' ἐπί τ' Meineke ‖ **8** πρῶτα A : πρώτιστα Dobree ‖ **9** ἰδίοις καὶ κοινοῖσι A : ἰδίοις καὶ κοινοῖς (prosa) C E : ἰδίοισι καὶ καινοῖσι Morelius, Grotius ‖ **12** τ' A : τὴν Casaubon ‖ **13** κισσόπληκτα C E M Mus : κισόπληκτα A : κισσόπλεκτα P ‖ **14** ἀνθεσιπότατα τε A : τε om. C E **19** Αἰγιμίου B[ac] M P Mus : Αἰγημίου A ‖ **20** Φαίστου Meineke : † φαιτου † A ‖ **21** τούτων Coraes : ὧν A ‖ **22** ⟨ὑπ'⟩ add. Casaubon ‖ **23** καταγελασάσης A : κατακλασάσης Kaibel ex Ael. ἡ Ξανθίππη … κατεπάτησε

μνημονεύων οὖν ὁ κωμικὸς Πλάτων εἴρηκεν ἐν τῷ Ποιητῇ (fr. 121) οὕτω·

μόνος δ᾽ ἄγευστος,
ἄσπλαγχνος ἐνιαυτίζομαι, ἀπλάκουντος, ἀλιβάνωτος.

ἀλλὰ μὴν οὐδὲ τῆς κώμης ἀμνήμων εἰμὶ ἣν Πλακοῦντά φησι 5 καλεῖσθαι Δημήτριος ὁ Σκήψιος ἐν δωδεκάτῳ Τρωϊκοῦ Διακόσμου (fr. 8 Gaede) τῶν Ὑποπλακίων Θηβῶν φάσκων αὐτὴν ἀπέχειν 644b σταδίους ἕξ. περισπαστέον | δὲ λέγοντας πλακοῦς τὴν ὀνομαστικήν· συνῄρηται γὰρ ἐκ τοῦ πλακόεις, ὡς τυρόεις τυροῦς, σησαμόεις σησαμοῦς. εἴρηται δὲ κατ᾽ ἔλλειψιν τοῦ ἄρτος. ὅτι δὲ καλοὺς 10 πλακοῦντας ἐν Παρίῳ τοῦ Ἑλλησπόντου φαγεῖν ἐστιν οἱ ἐπιδημήσαντες μαρτυρήσουσιν· Ἄλεξις γὰρ πεπλάνηται λέγων τοὺς ἐκ Πάρου. λέγει δὲ οὕτως ἐν τῷ ἐπιγραφομένῳ Ἀρχιλόχῳ (fr. 22)·

ὦ τὴν εὐτυχῆ ναίων Πάρον, ὄλβιε πρέσβυ,
ἣ κάλλιστα φέρει χώρα δύο τῶν συναπασῶν, | 15
644c κόσμον μὲν μακάρεσσι λίθον, θνητοῖς δὲ πλακοῦντας.

ὅτι δὲ καὶ οἱ Σάμιοι διαφέροντές εἰσι πλακοῦντες Σώπατρος ὁ φλυακογράφος φησὶν ἐν Βακχίδος Μνηστῆρσι (fr. 4)·

πλακουντοποιὸν ὠνομασμένην Σάμον.

[52] ἐγχύτων δὲ πλακούντων μνημονεύει Μένανδρος μὲν ἐν 20 Ψευδηρακλεῖ (fr. 409.6–13)·

οὐκ ἔστι κανδύλους ποιεῖν οὐδ᾽ ὅσα σὺ
εἴωθας εἰς ταὐτὸν καρυκεύειν μέλι, |
644d σεμίδαλιν, ᾠά· πάντα γὰρ τἀναντία
νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ, 25
πλακοῦντας ὀπτούς, χόνδρον ἕψει καὶ φέρει 10
μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς·

1 μνημονεύων οὖν A : fort. οὐ μνημονεύων ‖ **3** δ᾽ M P Mus : δὲ A **4** ἄσπλαγχνος B Eust. Mus : ἄσπλαχνος A C E | ἐνιαυτίζομαι, ἀπλάκουντος, i.e. -ΑΥΤΙΖ- Casaubon : ἐνιαυγιζομαιαβλακοῦντος, i.e. -ΑΥΓΙΖ- A : ἀπλάκουντος C E Eust. ‖ **14** εὐτυχῆ A : εὔτειχῆ Dindorf, Meineke : ἠὔτυχῆ Arnott | ὄλβιε Musurus : † ὀλβιαε † A ‖ **17** πλακοῦντες A : fort. ut glossa delendum ‖ **22** ὅσα A : οἷα 4.172b ‖ **24** σεμίδαλιν, ᾠά 4.172b : † σενμιδαλινωι † ἃ A ‖ **26** ὀπτούς A C E : ὀπτᾷ 4.172b

ἡ δημιουργὸς δ᾽ ἀντιπαρατεταγμένη
κρεάδι᾽ ὀπτᾷ καὶ κίχλας.

Εὐάγγελος δ᾽ ἐν Ἀνακαλυπτομένῃ (fr. 1)·

(A.) τέτταρας τραπέζας τῶν γυναικῶν εἶπά σοι,
5 ἓξ δὲ τῶν ἀνδρῶν, τὸ δὲ δεῖπνον ἐντελὲς καὶ μηδὲν
ἐλλιπές. | λαμπροὺς γίνεσθαι βουλόμεσθα τοὺς γάμους. 644e
οὐ παρ᾽ ἑτέρου δεῖ πυθέσθαι, πάντα δ᾽ αὐτόπτης ἐρῶ.
τῶν μὲν ἐλαῶν ἄφελε πάνθ᾽ ὅσα βούλει γένη. 5
εἰς δὲ τὰ κρέα μόσχον ἔλαβες, δέλφακα, χοίρους, λαγῴους,
10 (B.) ὡς ἀλαζὼν ὁ κατάρατος. (A.) θρῖα, τυρόν, ἐγχύτους,
(B.) παῖ Δρόμων. (A.) κάνδυλον ᾠά τ᾽, ἀμύλιον.
τὸ πέρας, ὕψος τῆς τραπέζης πήχεών ἐστι τριῶν, |
ὥστε τὸν δειπνοῦντ᾽ ἐπαίρειν, ἄν τι βούληται λαβεῖν. 10 644f

ἄμης. πλακοῦντος γένος. Ἀντιφάνης (fr. 297)·

15 ἄμητες, ἄμυλοι.

Μένανδρος ἐν Ὑποβολιμαίῳ (fr. 381.1)·

τὸν ἄμητα, Χαίριππ᾽, οὐκ ἐᾷς πέττειν τινά.

Ἴωνες δέ, ὥς φησι Σιληνὸς ἐν ταῖς Γλώσσαις, ἄμην αὐτὸν καλοῦσι. καὶ τοὺς μικροὺς ἀμητίσκους Τηλεκλείδης (fr. 1.12)·

20 αὐτόμαται δὲ κίχλαι μετ᾽ ἀμητίσκων εἰς τὸν φάρυγγ᾽
εἰσεπέτοντο.

[53] διακόνιον. Φερεκράτης (fr. 167)· ‖

644f, a–b Eust. p. 1114.1–3 = IV.77.16–19

1 δ᾽ 4.172b et Musurus : δὲ A ‖ **3** Ἀνακαλυπτομένῃ ex *Suda* (structura alia) : Ἀνακαλυπτόμενος Dalechamps : δὲ ἐν † ἀκαλυπτομενηι † A : δ᾽ ἐν ἀκαλυπτομένῃ B M P Mus ‖ **4** εἶπά σοι Schweighäuser : εἶπας οἱ A ‖ **5** τὸ δὲ δεῖπνον A : τὸ δεῖπνον δ᾽ Dindorf | μηδὲν A : μηδενὶ Fiorillo ‖ **6** ἐλλιπές B Mus : ἐλλειπές A | γίνεσθαι A : γενέσθαι Dindorf ‖ **8** ὅσα βούλει A : ὅσα βούλῃ B^pc : ὅσ᾽ ἂν βούλῃ Dindorf ‖ **9** δέλφακα A : δέλφακας B | λαγῴους] λαγωούς A : λαγώς Schweighäuser ‖ **12** ἐστι A : ἔσται Bothe ‖ **13** δειπνοῦντ᾽ Musurus : δειπνοῦντα A ‖ **17** Χαίριππ᾽, οὐκ ἐᾷς πέττειν Porson : † χαιρίππουκεαιεσπεττιν † A ‖ **20** αὐτόμαται A : ὀπταὶ 2.64f, 6.268c | εἰς A : ἐς Kassel–Austin | φάρυγγ᾽ A : φάρυγ᾽ Pierson

645a ὑπὸ τῆς ἀπληστίας
διακόνιον ἐπῆσθεν ἀμφιφῶντ᾿ ἔχων.

ἀμφιφῶν. πλακοῦς Ἀρτέμιδι ἀνακείμενος· ἔχει δ᾿ ἐν κύκλῳ καόμενα δᾴδια. Φιλήμων ἐν Πτωχῇ ἢ Ῥοδίᾳ (fr. 70)·

Ἄρτεμι, φίλη δέσποινα, τοῦτόν σοι φέρω, 5
ὦ πότνι᾿, ἀμφιφῶντα καὶ σπονδήσιμα.

μνημονεύει αὐτοῦ καὶ Δίφιλος ἐν Ἑκάτῃ (fr. 27). Φιλόχορος (*FGrH* 328 F 86b) δ᾿ ἀμφιφῶντα αὐτὸν κληθῆναι καὶ εἰς τὰ τῆς Ἀρτέμιδος ἱερὰ φέρεσθαι ἔτι τε καὶ εἰς τὰς τριόδους, ἐπεὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
645b ἐπικαταλαμβάνεται ἡ σελήνη ἐπὶ ταῖς δυσμαῖς ὑπὸ τῆς | τοῦ ἡλίου 10
ἀνατολῆς, καὶ ὁ οὐρανὸς ἀμφιφῶς γίνεται.

βασυνίας. Σῆμος ἐν δευτέρῳ Δηλιάδος (*FGrH* 396 F 5), ἐν τῇ τῆς Ἑκάτης, φησί, νήσῳ τῇ Ἴριδι θύουσι Δήλιοι τοὺς βασυνίας καλουμένους (ἐστὶ δὲ ἑφθὸν πύρινον, σταῖς σὺν μέλιτι) καὶ τὰ καλούμενα κόκκωρα, ἰσχὰς καὶ κάρυα τρία. 15

στρεπτοὶ καὶ νεήλατα. τούτων μνημονεύει Δημοσθένης ὁ ῥήτωρ ἐν τῷ Ὑπὲρ Κτησιφῶντος περὶ τοῦ Στεφάνου (18.260).

ἐπίχυτον. Νικοχάρης ἐν Χειρογάστορσιν (fr. 6)· |

645c ἐγὼ μὲν ἄρτους, μᾶζαν, ἀθάρην, ἄλφιτα,
κόλλικας, ὀβελίαν, μελιττοῦταν, ἐπιχύτους, 20
πτισσάνην, πλακοῦντας, δενδαλίδας, ταγηνίας.

Πάμφιλος (fr. II Schmidt) δὲ τὸν ἀττανίτην καλούμενον ἐπίχυτόν φησι καλεῖσθαι. τοῦ δὲ ἀττανίτου Ἱππῶναξ (fr. 37 Degani) ἐν τούτοις μνημονεύει·

† ουκατταστε † καὶ † λαγως † καταβρύκων, 25
οὐ τηγανίτας σησάμοισι φαρμάσσων
οὐδ᾿ ἀττανίτας κηρίοισιν ἐμβάπτων. |

18 Νικοχάρης A : Νικοφῶν *EM* p. 367.32 ‖ **20** μελιττοῦταν A : μελιτοῦτταν *EM* p. 367.34 ‖ **21** πτισσάνην A : πτισάνην B Mus ‖ **22–3** vel καλούμενον vel καλεῖσθαι delendum ‖ **25** † ουκατταστε † A : οὐδ᾿ ἀτάγγας τε 9.388b : οὐκ ἀτταγᾶς τε Degani | † λαγως † A : † σιλαγως † 9.388b : λαγοὺς Tzetzes **26** τηγανίτας Casaubon : τηγανίας (vox nihili) A

χηρίον πλακοῦς. ἄρτος ὃν Ἀργεῖοι παρὰ τῆς νύμφης πρὸς τὸν νυμφίον φέρουσιν. ὀπτᾶται δ᾿ ἐν ἄνθραξι, καὶ καλοῦνται ἐπ᾿ αὐτὸν οἱ φίλοι. παρατίθεται δὲ μετὰ μέλιτος, ὥς φησι Φιλητᾶς ἐν Ἀτάκτοις (fr. 9 Dettori = fr. 37 Spanoudakis). 645d

5 γλυκίνας. ὁ διὰ γλεύκου καὶ ἐλαίου πλακοῦς παρὰ Κρησίν, ὥς φησι Σέλευκος ἐν Γλώσσαις (fr. 44 Müller).

ἐμπέπτας, ὁ αὐτός (Seleucus fr. 53 Müller) φησι, πύρινος ἄρτος, κοῖλος καὶ σύμμετρος, ὅμοιος ταῖς λεγομέναις κρηπῖσιν εἰς ἃς ἐντίθενται τὰ διὰ τυροῦ σκευαζόμενα πλακούντια. |

10 [54] ἐγκρίδες. πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ καὶ μετὰ τοῦτο μελιτούμενον. μνημονεύει αὐτῶν Στησίχορος (*PMG* 179(a).1–2) διὰ τούτων· 645e

> χόνδρον τε καὶ ἐγκρίδας
> ἄλλα τε πέμματα καὶ μέλι χλωρόν.

15 μνημονεύει αὐτῶν καὶ Ἐπίχαρμος (fr. 46.1) καὶ ἐν τοῖς Ἐγχειρογάστορσι Νικοφῶν (fr. 10.5). Ἀριστοφάνης (fr. 269) δ᾿ ἐν Δαναΐσι καὶ πωλητήν φησιν αὐτῶν εἶναι ἐν τούτοις·

> † μητ᾿ αρμα † εἶναι ἐγκριδοπώλην.

Φερεκράτης δ᾿ ἐν Κραπατάλλοις (fr. 99)·

20 > ταῦτ᾿ ἔχων ἐν ταῖς ὁδοῖς ἁρπαζέτω τὰς ἐγκρίδας.

ἐπικύκλιος. πλακοῦς τις παρὰ | Συρακοσίοις οὕτω καλούμενος· καὶ μέμνηται αὐτοῦ Ἐπίχαρμος ἐν Γᾷ καὶ Θαλάσσᾳ (fr. 23). 645f

645e Eust. p. 1139.4 = IV.161.9–10 | **645f–6a** Eust. p. 1864.8–9 = ii.201.35–6

1 χηρίον Kaibel, cf. Hsch. κ 2546 : † χρηϊον † A ‖ **3** Φιλητᾶς Dindorf (Φιλήτας iam M P Mus) : Φιλίτας A ‖ **5** γλεύκου scripsi : γλυκέος A C E **7** ἐμπέπτας M P Mus, cf. Hsch. ε 2438 : † ἐμπεμπτας † (v.ll. ἐμπεμπάς et ἐμπέπτας in unam confusas) A : ἐμπεμπτάς rubr.Cmg E : ἐμπεμπάς C **9** ἐντίθενται A C E : ἐντίθεται B | διὰ τοῦ τυροῦ A : διὰ χηροῦ C E : τοῦ del. Casaubon ‖ **15–16** ἐν τοῖς Ἐγχειρογάστορσι Kaibel : ἐν τοῖς Ἐνχειρογάστορσι A : ἐν τοῖς Χειρογάστορσι B M P Mus : sed cf. 3.126e Νικοφῶν ... ἐν τοῖς Χειρογάστορσιν, 14.645b ἐν Χειρογάστορσιν **17** πωλητήν (et εἶναι del.) Schweighäuser : † ποιητην † A ‖ **22** Θαλάσσᾳ Dindorf, cf. 7.313a, 9.370b, etc. : Θαλάσσῃ A

γοῦρος. ὅτι πλακοῦντος εἶδος ὁ Σόλων ἐν τοῖς Ἰάμβοις (fr. 38 West[2]) φησί·

> πίνουσι· καὶ τρώγουσιν οἱ μὲν ἴτρια,
> οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
> γούρους φακοῖσι· κεῖθι δ' οὔτε πεμμάτων 5
> ἄπεστιν οὐδ' ἓν, ἅσσ' ἐν ἀνθρώποισι γῆ
> φέρει μέλαινα, πάντα δ' ἀφθόνως πάρα. ‖ 5

646a κριβάνας. πλακοῦντάς τινας ὀνομαστικῶς Ἀπολλόδωρος (*FGrH* 244 F 255) παρ' Ἀλκμᾶνι (*PMG* 94.1). ὁμοίως καὶ Σωσίβιος ἐν τρίτῳ Περὶ Ἀλκμᾶνος τῷ σχήματι μαστοειδεῖς εἶναι φάσκων αὐτούς, 10 χρῆσθαι δ' αὐτοῖς Λάκωνας πρὸς τὰς τῶν γυναικῶν ἑστιάσεις, περιφέρειν τ' αὐτοὺς ὅταν μέλλωσιν ᾄδειν τὸ παρεσκευασμένον ἐγκώμιον τῆς Παρθένου αἱ ἐν τῷ χορῷ ἀκόλουθοι.

κριμνίτης. πλακοῦς ποιὸς διὰ κρίμνων γινόμενος, ὡς Ἰατροκλῆς ἐν τῷ Περὶ Πλακούντων ἀναγράφει. | 15

646b [55] σταιτίτας. πλακοῦς ποιὸς ἐκ σταιτὸς καὶ μέλιτος· μνημονεύει Ἐπίχαρμος ἐν Ἥβας Γάμῳ (fr. 46.1). σταῖς δ' ἐστὶν ὑγρὸν εἰς τήγανον ὑποχεόμενον μέλιτος ἐπιβαλλομένου καὶ σησάμης καὶ τυροῦ, ὡς Ἱεροκλῆς φησί.

χαρίσιος. τούτου μνημονεύει Ἀριστοφάνης ἐν Δαιταλεῦσιν (fr. 20 211)·

> ἐγὼ † δενων †
> πέμψω πλακοῦντ' ἑσπέραν χαρίσιον.

Εὔβουλος δ' ἐν Ἀγκυλίωνι (fr. 1.2–3) ὥσπερ ἄρτου αὐτοῦ ὄντος οὑτωσὶ λέγει· 25

> ἐξεπίλησας † ἀρτίως

646a–b Eust. p. 1407.24 = i.44.12–13

1 γοῦρος A, cf. Sol. fr. 38.3 West[2] γούρους infra : γῦρος C : γύρος Eust. : γῶρος E ‖ **6** οὐδ' ἕν, ἅσσ' ἐν Musurus (οὐδέν, ἅσσ' ἐν scripsit) : οὐδ' ἕνασσεν A ‖ **8** κριβάνας Schweighäuser, cf. 3.115a κρίβανα : † κυριβανας † A **18** ὑποχεόμενον Kaibel : ἐπιχεόμενον A ‖ **19** Ἱεροκλῆς A : Ἰατροκλῆς Pearson, cf. Ἰατροκλῆς ἐν τῷ Περὶ Πλακούντων supra ‖ **24** ὥσπερ scripsi : ὡς περὶ A ‖ **26** ἐξεπίλησας (vox nihili), i.e. -ΛΗΣ- A : ἐξεπήδησα, i.e. -ΔΗΣ- 15.668d : ἐξεπήδησ' Schweighäuser

πέττουσα τὸν χαρίσιον.

ἐπίδαιτρον. | πλακουντῶδες μαζίον ἐπὶ τῷ δείπνῳ ἐσθιόμενον, 646c
ὥς φησι Φιλήμων ἐν τῷ Περὶ Ἀττικῶν Ὀνομάτων.
νᾶνος. ἄρτος πλακουντώδης διὰ τυροῦ καὶ ἐλαίου σκευαζόμενος.
5 ψωθία. τὰ ψαθύρια. Φερεκράτης Κραπατάλλοις (fr. 86)·

λήψει δ᾽ ἐν Ἅιδου κραπάταλλον τριωβόλου καὶ ψωθία.

Ἀπολλόδωρος δ᾽ ὁ Ἀθηναῖος (*FGrH* 244 F 283) καὶ Θεόδωρος ἐν Ἀττικαῖς Γλώσσαις (*FGrH* 346 F 2) τοῦ ἄρτου τὰ ἀποθραυόμενα ψωθία καλεῖσθαι, ἅ τινας ὀνομάζειν ἀτταράγους. |
10 ἴτριον. πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον· 646d
μνημονεύει αὐτοῦ Ἀνακρέων (*PMG* 373.1–2) οὕτως·

ἠρίστησα μὲν ἰτρίου λεπτὸν ἀποκλάς,
οἴνου δ᾽ ἐπέπιον κάδον.

Ἀριστοφάνης Ἀχαρνεῦσι (1092)·

15 πλακοῦντες, σησαμοῦντες, ἴτρια.

Σοφοκλῆς Ἔριδι (fr. 199)·

ἐγὼ δὲ † πεινωσαγαν † πρὸς ἴτρια βλέπω.

ἀμόραι. τὰ μελιτώματα Φιλητᾶς ἐν Ἀτάκτοις (fr. 8 Dettori = fr. 36 Spanoudakis) ἀμόρας φησὶ καλεῖσθαι. μελιτώματα δ᾽ ἐστὶ
20 πεπεμμένα.

646c Eust. p. 1635.30–1 = i.350.36–8 | **646d** Eust. p. 1139.8 = IV.161.15–162.1

2 πλακουντῶδες μαζίον Schweighäuser (μάζιον scripsit) : πλακούντων † δεσμαζιον † A : πλακούντων δ᾽ ἐς μάζιον B ‖ **6** κραπάταλλον A : κραπάταλον Herwerden | τριωβόλου A : ut glossam del. Meineke **7** Θεόδωρος δ᾽ A : δ᾽ del. Jacoby ‖ **8** ἀποθραυόμενα Kaibel, cf. Hsch. ψ 308 : ἀποψαυόμενα A C E Eust. ‖ **9** ἀτταράγους C E B Eust. Mus, cf. Hsch. α 8189 : † ἀτταρραγους † A ‖ **12** λεπτὸν A : λεπτοῦ 11.472e : λεπτοῦ μικρὸν Hephaest. *Ench.* p. 34.1 ‖ **13** ἐπέπιον A : ἐξέπιον 11.472e et Hephaest. *Ench.* p. 34.2 ‖ **17** † πεινωσαγαν † A : † πεινω † σ᾽ ἄγαν B : πεινῶσ᾽ αὖ M P Mus **18** Φιλητᾶς Dindorf (Φιλήτας iam M P Mus) : Φιλίτας A ‖ **19–20** ἐστὶ ⟨μέλιτι⟩ πεπεμμένα Kaibel

646e ταγηνίτης. πλακοῦς | ἐν ἐλαίῳ τετηγανισμένος· μνημονεύει Μάγνης ⟨ἢ⟩ ὁ ποιήσας τὰς εἰς αὐτὸν ἀναφερομένας κωμῳδίας ἐν Διονύσῳ δευτέρῳ (fr. 2)·

> ταγηνίας ἤδη τεθέασαι χλιαροὺς
> σίζοντας ὅταν αὐτοῖς ἐπιχέῃς μέλι; 5

καὶ Κρατῖνος ἐν Νόμοις (fr. 130)·

> καὶ δρόσον βάλλων ἕωθεν χλιαρὸς ταγηνίας.

ἔλαφος. πλακοῦς ὁ τοῖς Ἐλαφηβολίοις ἀναπλασσόμενος διὰ σταιτὸς καὶ μέλιτος καὶ σησάμου.

ναστός. πλακοῦντος εἶδος, ἔχων ἔνδον καρυκείας. 10

[56] χορία. βρώματα διὰ μέλιτος καὶ γάλακτος γινόμενα.

ἀμορβίτης. πλακοῦντος εἶδος παρὰ Σικελοῖς (Gloss. Ital. 188 K.–A.)· οἱ δὲ ⟨...⟩

646f παισά. | πλακούντια παρὰ Κῴοις, ὥς φησιν Ἰατροκλῆς.

σησαμίδες. ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου 15 σφαιροειδῆ πέμματα. Εὔπολις Κόλαξιν (fr. 176)·

> ὃς Χαρίτων με νομίζει,
> καλλαβίδας δὲ βαίνει,
> σησαμίδας δὲ χέζει,
> μῆλα δὲ χρέμπτεται. 20

Ἀντιφάνης Δευκαλίωνι (fr. 79)·

> σησαμίδας ἢ μελίπηκτα ἢ τοιοῦτό τι.

μνημονεύει αὐτῶν καὶ Ἔφιππος ἐν Κύδωνι (fr. 13.3)· πρόκειται τὸ μαρτύριον (14.642e). ‖

647a μύλλοι. Ἡρακλείδης ὁ Συρακόσιος ἐν τῷ Περὶ Θεσμῶν ἐν 25 Συρακούσαις φησὶ τοῖς Παντελείοις τῶν Θεσμοφορίων ἐκ σησάμου

646e Eust. p. 1652.57–8 = i.374.11–13 | **646e** Eust. p. 1904.34–5 = ii.254.7–8
647a–b Eust. p. 306.17 = I.474.18

1 ἐν A : om. C E ‖ **2** ⟨ἢ⟩ add. M P Mus ‖ **10** καρυκείας Eust. : καρυκκείας C E : † καρυκκιας † A ‖ **13** lac. indic. Kaibel ‖ **17** με νομίζει A : μὲν ὄζει Porson, cf. v. 3, quo ὄζει pro χέζει praeb. C, ὄξει pro χέζει E **23–4** ⟨γελώνιος. πλακοῦς ...⟩ ex *An.Ox.* iii.168.21 post πρόκειται τὸ μαρτύριον add. Kaibel

καὶ μέλιτος κατασκευάζεσθαι ἐφήβαια γυναικεῖα, ἃ καλεῖσθαι κατὰ πᾶσαν Σικελίαν μυλλοὺς καὶ περιφέρεσθαι ταῖς θεαῖς.

ἐχῖνος. Λυγκεὺς ὁ Σάμιος ἐν τῇ Πρὸς Διαγόραν ἐπιστολῇ (fr. 15 Dalby) ἐκ παραλλήλου τιθεὶς τὰ κατὰ τὴν Ἀττικὴν ἐξαιρέτως
5 γινόμενα τοῖς ἐν τῇ Ῥόδῳ γράφει οὕτω· τῇ δὲ | περὶ τὸν ἄμητα 647b
δόξῃ τὸν καινὸν ἀνταγωνιστὴν ἐπὶ τῆς δευτέρας εἰσάγουσα τραπέζης ἐχῖνον· ὑπὲρ οὗ νῦν μὲν ἐπὶ κεφαλαίου, παραγενομένου δὲ σοῦ καὶ συντεθέντων κατὰ τοὺς ἐν Ῥόδῳ νόμους διαμασησαμένου πειράσομαι πλείω παραθεῖναι λόγον.

10 κοτυλίσκοι. Ἡρακλέων ὁ Ἐφέσιος πλακοῦντάς τινάς φησιν οὕτω καλεῖσθαι τοὺς ἐκ τρίτου μέρους τῆς χοίνικος γινομένους.

χοιρίναι. τούτων μνημονεύει Ἰατροκλῆς ἐν τῷ Περὶ Πλακούντων καὶ τοῦ πυραμοῦντος καλουμένου διαφέρειν | λέγων τῆς πυρα- 647c
μίδος καλουμένης· γίνεσθαι γὰρ ταύτην ἐκ πυρῶν πεφωσμένων
15 καὶ μέλιτι δεδευμένων. αὗται δὲ ἆθλα τίθενται ταῖς παννυχίσι τῷ διαγρυπνήσαντι.

[57] Χρύσιππος δ' ὁ Τυανεὺς ἐν τῷ ἐπιγραφομένῳ Ἀρτοκοπικῷ εἴδη πλακούντων καὶ γένη τάδε ἀναγράφει· Τερεντῖνον, Κρασσιανόν, Τουτιανόν, Σαβελλικὸν κλοῦστρον, Ἰουλιανόν, Ἀπικιανόν,
20 Κανωπικά, περλούκιδον, Καππαδοκικόν, ἡδύβια, μαρυπτόν, πλίκιον, γουττᾶτον, Μοντιανόν (τοῦτον, φησί, μάξεις ἐξ οἴνου σκληρόν· εἰ δέ σοι τυρίον παρέσται, ἥμισυ μάξεις ἐξ οἴνου καὶ ἥμισυ ἐκ τυροῦ· ἡδονικώτερον | γὰρ γίνεται), κλοῦστρον Κυριανόν, 647d
κλοῦστρον γουττᾶτον, κλοῦστρον Φαβωνιανόν, μουστάκια ἐξ οἰνο-
25 μέλιτος, μουστάκια σησαμᾶτα, κλοῦστρον πούριον † γωσλωανιον † Παυλινιανόν. ἐκ τυροῦ δέ, φησί, γίνεται πλακουντηρὰ τάδε· ἔγχυτος, σκριβλίτης, σουβίτυλλος (γίνεται δὲ καὶ ἐξ ἄλικος

647b–c Eust. p. 1753.27–8 = ii.64.42–3 | **647d–e** Eust. p. 1753.3–5 = ii.64.12–14

6 εἰσάγουσα A : εἰσάγουσι Meineke ‖ **7** παραγενομένου Kaibel : παραγινομένου A ‖ **8** συντεθέντων scripsi : συντεθέντος A ‖ **8–9** διαμασησαμένου scripsi : ἀναμασησάμενος A : ἀπομασησαμένου Kaibel **9** παραθεῖναι, i.e. πᵉθεῖναι Kaibel : περιθεῖναι, i.e. πᵉθεῖναι A ‖ **13** ⟨οὐ⟩ διαφέρειν Kaibel ‖ **14** ⟨καὶ⟩ ταύτην Kaibel ‖ **24** γουττᾶτον, i.e. ΓΟ- Casaubon : † τουττατον †, i.e. ΤΟ- A | Φαβωνιανόν Buecheler, cf. Plin. *Nat.* 15.54 : † ταβωνιανον † A ‖ **27** σκριβλίτης, i.e. -ΒΛΙΤΗΣ Casaubon, cf. Cato *RR* 78ff : † σκιρβαιτης †, i.e. -ΒΑΙΤΗΣ A

σουβίτυλλος), σπῖρα (καὶ οὗτος ἐκ τυροῦ γίνεται), λούκουντλοι, ἀργυροτρύφημα, λίβος, κίρκλος, λιξόλας, κλουστροπλακοῦς. γίνεται δέ, φησί, καὶ ὀρυζίτης πλακοῦς. ὁ δὲ φθόις οὕτω γίνεται· τυρὸν
647e ἐκπιέσας τρῖβε καὶ ἐμβαλὼν εἰς | κόσκινον χάλκεον διήθει, εἶτ' ἐπίβαλε μέλι καὶ σελίγνεως ἡμίναν καὶ συμμάλαξον εἰς ἕν. 5 κάτιλλος δὲ ὀρνᾶτος ὁ λεγόμενος παρὰ Ῥωμαίοις οὕτω γίνεται· θρίδακας πλύνας ξέσον καὶ ἐμβαλὼν οἶνον εἰς θυείαν τρῖβε τὰς θρίδακας, εἶτα τὸν χυλὸν ἐκπιέσας σελίγνιον συμφύρασον αὐτῷ, καὶ συμπεσεῖν ἐάσας μετ' ὀλίγον τρῖψον εὐτόνως προσβαλὼν ὀλίγον στέατος χοιρείου καὶ πέπερι, καὶ πάλιν τρίψας ἕλκυσον 10 λάγανον, καὶ λειάνας ἐκτεμὼν κατάτεμνε καὶ ἕψε εἰς ἔλαιον
647f θερμότατον εἰς ἠθμὸν | βαλὼν τὰ κατακεκομμένα. ἄλλα πλακούντων γένη· ὀστρακίτης, ἀττανῖται, ἄμυλον, τυροκόσκινον. τυρὸν ἐκπιέσας καλῶς θὲς εἰς ἄγγος, εἶτ' ἄνω κόσκινον χαλκοῦν ἐπιθεὶς δίαγε τὸν τυρόν. ὅταν δὲ μέλλῃς προσφέρειν, βάλε μέλιτος 15 αὔταρκες ἐπάνω. ὑποτυρίδες δὲ οὕτω γίνονται· εἰς γάλα βαλὼν μέλι ἐκπίεσον καὶ βάλε εἰς σκεῦος καὶ ἔα παγῆναι. ἐὰν δέ σοι παρῇ κοσκίνια μικρά, ἐπίβαλε εἰς αὐτὰ τὸ σκεῦος καὶ ἔα ἐκρεῖν τὸν ὀρόν. καὶ ὅταν σοὶ δόξῃ πεπηγέναι, ἄρας τὸ σκεῦος μετάβαλε εἰς ἀργύρωμα, καὶ ἔσται ἡ ὄψις ἄνωθεν. ἐὰν δὲ μὴ ᾖ κοσκίνια, 20 φλαβιλλίοις καινοῖς χρῶ οἷς τὸ πῦρ ῥιπίζεται· τὴν γὰρ αὐτὴν ποιεῖ χρείαν. κοπτοπλακοῦς. ἐν Κρήτῃ δέ, φησί, πλακουντάριον ποιοῦσιν ὅπερ ὀνομάζουσι γάστριν. γίνεται δὲ οὕτω· κάρυα Θάσια
648a καὶ Ποντικὰ καὶ ἀμύγδαλα, ἔτι δὲ ‖ μήκων· ἃ φρύξας θεράπευσον καλῶς καὶ εἰς θυείαν καθαρὰν τρῖψον ἐπιμελῶς· συμμίξας τε τὴν 25 ὀπώραν μάλαξον μέλιτι ἡψημένῳ προσβαλὼν πέπερι πλέον καὶ μάλαξον· γίνεται δὲ μέλαν διὰ τὴν μήκωνα. διαπλατύνας ποίησον τετράγωνον· εἶτα σήσαμον λευκὸν τρίψας μάλαξον μέλιτι ἡψημένῳ καὶ ἕλκυσον λαγάνια δύο, ἓν θὲς ὑποκάτω καὶ τὸ ἄλλο

2 κίρκλος, λιξόλας Buecheler : † κιρκοσαιξαφασ † A ‖ **3** γίνεται C E B M P Mus : γίγνεται A ‖ **4** εἰς C E : ἐς A ‖ **5** σελίγνεως A : σιλίγνεως C E Eust. **6** γίνεται scripsi : γίγνεται A ‖ **9** εὐτόνως Schweighäuser : ἑαυτὸν ὡς A : αὐτὸν ὡς Musurus ‖ **11** λειάνας Musurus : λιάνας A ‖ **14** ἐκπιέσας M P Eust. Mus : ἐκπιάσας A ‖ **21** ἐν οἷς A : ἐν delevi ‖ **22** πλακουντάριον Wilamowitz : † πλακουντηρον † A ‖ **23** γάστριν] † γαστριν † A : γάστριον Hsch. γ 199 **24** μήκων ἃ Kaibel : μήκωνα ὃν A ‖ **26** μάλαξον (cf. infra) Kaibel : † μαξον † A ‖ **27** ⟨καὶ⟩ διαπλατύνας Kaibel ‖ **29** ἓν θὲς Bedrot : καὶ ἔνθες A : καὶ delevi

ἐπάνω, ἵνα τὸ μέλαν εἰς μέσον γένηται, εὖ ῥύθμισόν τε αὐτό. ταῦτα καὶ ὁ σοφὸς πεμματολόγος Χρύσιππος. [58] Ἁρποκρατίων | δὲ ὁ Μενδήσιος ἐν τῷ Περὶ Πλακούντων τὴν παρ᾽ Ἀλεξανδρεῦσι 648b καλουμένην † πανκαπραν † ⟨...⟩ καλεῖ. ἴτρια δ᾽ ἐστὶ ταῦτα συντε-
5 θρυμμένα μετὰ μέλιτος ἑψόμενα, καὶ μετὰ τὴν ἕψησιν σφαιρηδὸν συντεθέντα περιδεῖται βύβλῳ λεπτῇ ἕνεκα τοῦ συμμένειν. πολτοῦ δὲ μνημονεύει Ἀλκμὰν (*PMG* 96) οὕτως·

ἤδη παρέξει πυάνιόν τε πολτὸν
χίδρον τε λευκὸν κηρίναν τ᾽ ὀπώραν.

10 ἐστὶ δὲ τὸ πυάνιον, ὥς φησι Σωσίβιος (*FGrH* 595 F 12), πανσπερμία ἐν γλεύκει ἡψημένη, χίδρον δὲ οἱ ἑφθοὶ πυροί. κηρίναν δὲ ὀπώραν λέγει τὸ μέλι. καὶ | Ἐπίχαρμος δὲ οὕτω λέγει ἐν Γᾷ καὶ 648c Θαλάσσᾳ (fr. 20)·

πολτὸν ἕψειν ὄρθριον.

15 καὶ τῶν καλουμένων δὲ μελικηρίδων μνημονεύει Φερεκράτης ἐν Αὐτομόλοις (fr. 30) οὕτως·

ὥσπερ τῶν αἰγιδίων ὄζειν ἐκ τοῦ στόματος μελικήρας.

[59] λεχθέντων καὶ τούτων ὁ σοφὸς Οὐλπιανὸς ἔφη· πόθεν ὑμῖν, ὦ πολυμαθέστατοι γραμματικοί, καὶ ἐκ ποίας βιβλιοθήκης
20 ἀνεφάνησαν οἱ σεμνότατοι οὗτοι συγγραφεῖς Χρύσιππος καὶ Ἁρποκρατίων διαβάλλοντες καλῶν ὀνόματα φιλοσόφων τῇ ὁμωνυμίᾳ; τίς δὲ καὶ ἡμίναν Ἑλλήνων ὠνόμασεν | ἢ τίς ἀμύλου 648d μνημονεύει; ἀπαντήσαντος δ᾽ αὐτῷ τοῦ Λαρηνσίου καὶ εἰπόντος· τὴν μὲν ἡμίναν οἱ τὰ εἰς Ἐπίχαρμον ἀναφερόμενα ποιήματα
25 πεποιηκότες οἴδασι, κἀν τῷ Χείρωνι ἐπιγραφομένῳ ([Epich.] fr. 289) οὕτω λέγεται·

καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρόν, ἡμίνας δύο.

648b Eust. p. 1563.1 = i.253.45–6 | **648b** Eust. p. 1735.50 = ii.42.26

1 εὖ ῥύθμισόν Lobeck : εὐρύθμησόν A ‖ **4** † πανκαπραν † A : παγκαρπίαν Musurus (παγκάρπαν iam M : παγκάρπ P) | lac. indic. Kaibel ‖ **11** γλεύκει scripsi : † γλυκι † A : γλυκεῖ B M P Mus ‖ **12–13** Γᾷ καὶ Θαλάσσᾳ Dindorf, cf. 7.313b, 9.370b, etc. : Γῇ καὶ Θαλάσσῃ A : Γᾷ καὶ Θαλάσσῃ M P Mus

τὰ δὲ ψευδεπιχάρμεια ταῦτα ([Epich.] *Pseud.* test. i) ὅτι πεποιήκασιν ἄνδρες ἔνδοξοι ⟨…⟩ Χρυσόγονός τε ὁ αὐλητής, ὥς φησιν Ἀριστόξενος ἐν ὀγδόῳ Πολιτικῶν Νόμων (fr. 45 Wehrli), τὴν Πολιτείαν ἐπιγραφομένην. Φιλόχορος δ᾽ ἐν τοῖς Περὶ Μαντικῆς (*FGrH* 328 F 79) Ἀξιόπιστον τὸν εἴτε Λοκρὸν γένος ἢ Σικυώνιον | 5
648e τὸν Κανόνα καὶ τὰς Γνώμας πεποιηκέναι φησίν· ὁμοίως δὲ ἱστορεῖ καὶ Ἀπολλόδωρος (*FGrH* 244 F 226). τοῦ δὲ ἀμύλου μνημονεύει Τηλεκλείδης ἐν Στερροῖς (fr. 34) οὑτωσὶ λέγων·

φιλῶ πλακοῦντα θερμόν, ἀχράδας οὐ φιλῶ,
χαίρω λαγῴοις ἐπ᾽ ἀμύλῳ καθημένοις. 10

[**60**] τούτων ἀκούσας ὁ Οὐλπιανὸς ἔφη· ἀλλ᾽ ἐπειδὴ καὶ κοπτήν τινα καλεῖτε, ὁρῶ δὲ ἑκάστῳ κειμένην ἐπὶ τῆς τραπέζης, λέγετε ἡμῖν, ὦ λίχνοι· τίς τοῦ ὀνόματος τούτου τῶν ἐνδόξων μνημονεύει; καὶ ὁ Δημόκριτος ἔφη· τὸ μὲν θαλάσσιον πράσον κοπτήν φησι
648f καλεῖσθαι Διονύσιος ὁ Ἰτυκαῖος ἐν ἑβδόμῳ | Γεωργικῶν. τοῦ δὲ 15 ἡμῖν παρακειμένου μελιπήκτου μέμνηται Κλέαρχος ὁ Σολεὺς ἐν τῷ Περὶ Γρίφων (fr. 87 Wehrli) οὑτωσὶ λέγων· σκεύων κελεύοντι λέγειν ὀνόματα εἰπεῖν·

τρίπους, χύτρα, λυχνεῖον, ἀκταία, βάθρον,
σπόγγος, λέβης, σκαφεῖον, ὅλμος, λήκυθος, 20
σπυρίς, μάχαιρα, τρύβλιον, κρατήρ, ῥαφίς.

ἢ πάλιν ὄψων οὕτως·

ἔτνος, φακῆ, τάριχος, ἰχθύς, γογγυλίς,
649a σκόροδον, ‖ κρέας, θυννίον, ἅλμη, κρόμμυον,
σκόλυμος, ἐλαία, κάππαρις, βολβός, μύκης. 25

ἐπί τε τῶν τραγημάτων ὁμοίως·

1 ψευδεπιχάρμεια Schweighäuser : ψευδεπιχάρμια A ‖ **2** lac. indic. Bernhardy : intra ἐπιγραφομένην et Φιλόχορος infra Meineke ‖ **14** πράσον Hsch. κ 3569 : πράσσον A | κοπτήν Hsch. κ 3569 : κόπτην B : κοίτην A **17** Γρίφων Casaubon : † γραφων † A | σκεύων Kaibel : σκεύη A | κελεύοντι Kaibel, cf. 10.457e : κελεύοντα A : κελεύοντος Schweighäuser ‖ **18** ὀνόματα Kaibel : ὅμοια A ‖ **24** θυννίον A : θύννειον Schweighäuser | ἅλμη M P Mus : † αλλη † A

ἄμης, πλακοῦς, ἔντιλτος, ἴτριον, ῥόα,
ᾠόν, ἐρέβινθος, σησάμη, κοπτή, βότρυς,
ἰσχάς, ἄπιος, πέρσεια, μηλέ', ἀμύγδαλα.

ταῦτα μὲν ὁ Κλέαρχος. ὁ δὲ φλυακογράφος Σώπατρος ἐν τῷ
5 ἐπιγραφομένῳ Πύλαι δράματί (fr. 16) φησι·

τίς δ' ἀναρίθμου μήκωνος εὗρε κοπτὰς
ἢ κνηκοπύρους ἡδονὰς τραγημάτων ἔμιξεν;

ἀπέχεις, ὦ καλέ μου λογιστὰ Οὐλπιανέ, τὴν κοπτήν· ἧς συμβου-
λεύω | σοι ἀπεσθίειν. 649b
10 καὶ ὃς οὐδὲν μελλήσας ἀνελόμενος ἤσθιε. γελασάντων δὲ
πάντων ἔφη ὁ Δημόκριτος· ἀλλ' οὐκ ἐσθίειν σοι προσέταξα, καλὲ
ὀνοματοθήρα, ἀλλὰ μὴ ἐσθίειν· τὸ γὰρ ἀπεσθίειν οὕτως εἴρηκεν ἐν
Φινεῖ ὁ κωμῳδιοποιὸς Θεόπομπος (fr. 63)·

παῦσαι κυβεύων, μειράκιον, καὶ τοῖς βλίτοις
15 διαχρῶ τὸ λοιπόν. κοιλίαν σκληρὰν ἔχεις·
τὰ πετραῖα τῶν ἰχθυδίων ἀπέσθιε.
ἡ τρὺξ ἄριστόν ἐστιν εἰς εὐβουλίαν.
ταῦτ' ἢν ποῇς, ῥᾴων ἔσει τὴν οὐσίαν. 5

χρῶνται δὲ | τῷ ἀπεσθίειν καὶ ἀντὶ τοῦ ἀπό τινος ἐσθίειν, ὡς 649c
20 Ἕρμιππος ἐν Στρατιώταις (fr. 51)·

οἴμοι τάλας, δάκνει, δάκνει,
ἀπεσθίει μου τὴν ἀκοήν.

[61] ἐπὶ τούτῳ ἐλεγχθεὶς ὁ Σύρος καὶ δηχθεὶς σφόδρα, ἀλλὰ
μήν, ἔφη, παράκειται ἡμῖν ἐπὶ τῆς τραπέζης καὶ ψιττάκια· ἅπερ
25 ἢν εἴπῃς παρὰ τίνι κεῖται,

δώσω σοι

649b–c Eust. p. 1753.25–7 = ii.64.38–41 | **649c–e** Eust. p. 1210.40–2 = IV.414.8–12

1–2 ῥόα, / ᾠόν, i.e. ΡΟΑ- Salmasius : ῥοδῷον (vox nihili), i.e. ΡΟΔ- A
3 πέρσεια Salmasius : † περσια † A | μηλέ' Schweighäuser : μηλέα A : μῆλ' Schneider ‖ **7** ἔμιξεν A : ἔμειξεν Kassel–Austin ‖ **18** ταῦτ' ἢν ποῇς Scaliger : ταύτην † ποης † A

οὐ

χρυσέους δέκα στατῆρας,

κατὰ τὸν Ποντικὸν λεσχηνευτήν (Heraclid. Pont. Jun. *SH* 480), ἀλλὰ τουτὶ τὸ ἔκπωμα. σιωπήσαντος δὲ τοῦ Δημοκρίτου, ἀλλ' ἐπεὶ ἀπορεῖς, ἔφη, ἐγώ σε διδάξω. Νίκανδρος μὲν ὁ Κολοφώνιος 5
649d ἐν τοῖς Θηριακοῖς (891) | μνημονεύων αὐτῶν φησι·

φιττάκι' ἀκρεμόνεσσιν ἀμυγδαλέοισιν ὅμοια.

γράφεται δὲ καί·

βιστάκια ἀμύγδαλα ὄντα πέφανται.

καὶ Ποσειδώνιος δὲ ὁ ἀπὸ τῆς Στοᾶς ἐν τῇ τρίτῃ τῶν Ἱστοριῶν 10 (*FGrH* 87 F 3 = fr. 55a Edelstein–Kidd = fr. 87 Theiler) γράφει οὕτω· φέρει δὲ καὶ τὸ πέρσειον ἡ Ἀραβία καὶ ἡ Συρία καὶ τὸ καλούμενον βιστάκιον· ὃ δὴ βοτρυώδη τὸν καρπὸν ἀφίησι λευκόφαιον ὄντα καὶ μικρόν, παρεμφερῆ τοῖς δακρύοις, ἃ δὴ ῥαγῶν τρόπον ἀλλήλοις ἐπιβάλλει, τὰ δ' ἔνδον ἔγχλωρον καὶ τοῦ κωνίου τῶν στροβίλων 15 ἧττον μὲν εὔχυμον, εὐώδη δὲ μᾶλλον. οἱ δὲ τὰ Γεωργικὰ |
649e συγγράψαντες ἀδελφοὶ ἐν τῷ τρίτῳ γράφουσιν οὕτω· καὶ τὴν μελίαν καὶ τὴν τέρμινθον, ἃ δὴ νῦν πιστάκια οἱ Σύροι καλοῦσι. καὶ οὗτοι μὲν διὰ τοῦ π̄ πιστάκια ταῦτα ὠνόμασαν, ὁ δὲ Νίκανδρος δασέως φιττάκια, Ποσειδώνιος δὲ βιστάκια. 20

[**62**] περιβλέψας οὖν ἐπὶ τούτοις τοὺς παρόντας καὶ τυχὼν ἐπαίνου ἔφη· ἀλλὰ μὴν καὶ περὶ τῶν ἄλλων πάντων τῶν παρακειμένων λελέξεταί μοι, ἵνα με τῆς πολυμαθίας ἀγασθῆτε. ἐρῶ δὲ πρότερον περὶ τῶν παρὰ Ἀλεξανδρεῦσι καλουμένων
649f κοννάρων καὶ παλιούρων. | μνημονεύει δ' αὐτῶν Ἀγαθοκλῆς ὁ 25 Κυζικηνὸς ἐν τρίτῳ τῶν περὶ τῆς πατρίδος (*FGrH* 472 F 4) λέγων οὕτω· κεραυνοῦ δὲ σκήψαντος εἰς τὸν τάφον ἀνεβλάστησεν ἐκ τοῦ σήματος δενδρίον ὃ ἐκεῖνοι κόνναρον ἐπονομάζουσιν. ἐστὶ δὲ τὸ δενδρίον μεγέθει μὲν πτελέης καὶ πεύκης οὐθέν τι μεῖον,

7 φιττάκι' C E : φιττάκια Eust. : ψιττάκι' A | πιστάκι' ἀκρεμόνεσσιν ἀμυγδαλόεντα πέφανται Nic. ‖ **12** πέρσειον E : πέρσιον A C E^{s} ‖ **13** λευκόφαιον Schweighäuser : † λευκοφαοιον † A : λευκοφαῆ C E : λευκόφλοιον Musurus **14** μικρόν scripsi : μακρόν A C E ‖ **15** ἔγχλωρον B M P Mus : ἐνχλωρον A : ἐστὶ χλωρὸν C E ‖ **21** ἐπὶ Kaibel : ἐν A

ἀκρεμόνας δὲ ἔχει θαμέας καὶ δολιχοὺς καὶ ἐπ' ὀλίγον ἀκανθώδεας, τὸ δὲ φύλλον τέρεν καὶ χλωρόν, τῇ φυῇ περιφερές. ‖ καρποφορεῖ δὲ δὶς τοῦ ἔτεος, ἦρός τε καὶ φθινοπώρου. γλυκὺς δὲ 650a πάνυ ὁ καρπός, μέγεθος κατὰ φαυλίην ἐλάαν καὶ τὴν σάρκα καὶ
5 τὸ ὀστέον ταύτῃ προσείκελον, διαλλάσσον δὲ τῇ τοῦ χυμοῦ ἡδονῇ. καὶ τρώγεται ἔτι χλωρὸς ὁ καρπός. καὶ ἐπὴν αὐανθῇ, ποιοῦσιν ἐξ αὐτοῦ ἄλευρα, καὶ πατέονται ταῦτα οὐ μάξαντες οὐδ' ὕδατι δεύοντες ἀλλὰ φαύλως ὁκοῖά περ πέφυκε. καὶ Εὐριπίδης ἐν Κύκλωπί (394) φησι·

10 παλιούρου κλάδῳ·

Θεόπομπός τε ἐν πρώτῃ καὶ εἰκοστῇ Φιλιππικῶν (*FGrH* 115 F 133) μνημονεύει | αὐτῶν καὶ Δίφιλος ὁ Σίφνιος ἰατρὸς ἐν τῷ Περὶ 650b τῶν Προσφερομένων τοῖς Ὑγιαίνουσι καὶ τοῖς Νοσοῦσι. τούτων δὲ πρῶτον ἐμνήσθην, ἄνδρες φίλοι, οὐχ ὅτι ἡμῖν παράκειται νῦν, ἀλλ'
15 ὅτι πολλάκις ἐν τῇ καλῇ Ἀλεξανδρείᾳ ἐπὶ τῶν δευτέρων τραπεζῶν παρακείμενα ἔλαβον, καὶ ζητηθέντος ἐκεῖ τοῦ ὀνόματος ἐνθάδε τῷ βιβλίῳ ἐντυχὼν ἀνελεξάμην. [**63**] ἑξῆς οὖν λέξω περὶ τῶν παρακειμένων ἀπιῶν· ἐπεὶ ἀπ' αὐτῶν καὶ ἡ Πελοπόννησος Ἀπία ἐκλήθη διὰ τὸ ἐπιδαψιλεύειν | ἐν αὐτῇ τὸ φυτόν, φησὶν Ἴστρος ἐν 650c
20 τοῖς Ἀργολικοῖς (*FGrH* 334 F 39). ὅτι δὲ τὰς ἀπίους ἐν ὕδατι εἰσέφερον εἰς τὰ συμπόσια Ἄλεξις ἐν Βρεττίᾳ (fr. 34) παρίστησι διὰ τούτων·

(A.) εἶδές ποτε
πίνουσιν ἀνθρώποις ἀπίους παρακειμένας
25 ἐν ὕδατι πολλῷ; (B.) πολλάκις δήπου. τί οὖν;
(A.) οὐκοῦν ἕκαστος ἐκλεγόμενος λαμβάνει
τῶν ἐπινεουσῶν τὴν πεπαιτάτην ἀεί; 5
(B.) † δη † ὄντι.

650b–c Eust. p. 1845.16 = ii.177.37–8

4 αὐτοῦ post καρπός praeb. C E B | ἐλάαν C E : ἐλάην A ‖ **7** πατέονται Wesseling : † πατεον † A : πατέοντι Musurus : προσφέρονται C E **11** πρώτῃ καὶ εἰκοστῇ scripsi : εἰκοστῇ πρώτῃ A ‖ **21** Βρεττίᾳ Dalechamps, cf. Stob. 4.41.4 : Βρευτίᾳ (vox nihili) A ‖ **24** πίνουσιν Dobree : † πεινουσιν † A* ‖ **25** ἐν ὕδατι πολλῷ A : ἐν ὕδατι; (B.) πολλὰ Meineke ‖ **28** † δη † ὄντι A : δηλονότι M P Mus

650d αἱ δ᾽ ἀμαμηλίδες οὔκ εἰσιν ἄπιοι, | ὥς τινες οἴονται, ἀλλ᾽ ἕτερόν τι καὶ ἥδιον καὶ ἀπύρηνον. Ἀριστομένης ἐν Διονύσῳ (fr. 11) φησίν·

ὁ Χῖος οὐκ οἶσθ᾽ ὡς ἀμαμηλίδας ποιεῖ;

ὅτι δ᾽ ἐστὶν ἕτερον τῆς ἀπίου καὶ ἥδιον Αἰσχυλίδης παρίστησιν ἐν τρίτῳ Γεωργικῶν· περὶ Κέω γοῦν τῆς νήσου λέγων γράφει οὕτως· 5 ἀπίους ἡ νῆσος φέρει κρατίστας κατὰ τὰς ἐν Ἰωνίᾳ καλουμένας ἀμαμηλίδας· εἰσὶ γὰρ ἀπύρηνοί τε καὶ ἡδεῖαι καὶ γλυκεῖαι. Ἀέθλιος δ᾽ ἐν πέμπτῳ Ὥρων Σαμίων (*FGrH* 536 F 1b = fr. 1 Fowler), εἰ
650e γνήσια τὰ συγγράμματα, ὁμομηλίδας αὐτὰς | καλεῖ. Πάμφιλος δ᾽ ἐν τοῖς Περὶ Γλωσσῶν καὶ Ὀνομάτων (fr. V Schmidt), ἐπιμηλίς, 10 φησίν· ἀπίου γένος. Ἀντιφῶν δ᾽ ἐν τῷ Περὶ Γεωργικῶν (Androt. *FGrH* 324 F *78) φωκίδας φησὶν εἶδος ἀπίων εἶναι.

[**64**] ῥόων δὲ σκληροκόκκων ⟨...⟩· τῶν γὰρ ἀπυρήνων Ἀριστοφάνης ἐν Γεωργοῖς (fr. 120) μνημονεύει. καὶ ἐν Ἀναγύρῳ (fr. 52)·

πλὴν ἀλεύρου καὶ ῥόας. 15

καὶ ἐν Γηρυτάδῃ (fr. 188). Ἕρμιππος δ᾽ ἐν Κέρκωψί (fr. 37) φησιν·

ἤδη τεθέασαι κόκκον ἐν χιόνι ῥόας;

ῥοΐδιον μέντοι ὡς βοΐδιον τὸ ὑποκοριστικόν. Ἀντιφάνης ἐν Βοιωτίᾳ (fr. 60)·

ἐνεγκεῖν ἐξ ἀγροῦ μοι τῶν ῥοῶν 20
τῶν σκληροκόκκων.

Ἐπίλυκος Κωραλίσκῳ (fr. 2)·

μῆλα καὶ ῥόας λέγεις.

Ἄλεξις Μνηστῆρσι (fr. 73)·

ῥόαν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν. | 25

4 ⟨καὶ ἀπύρηνον⟩ post ἥδιον add. Kaibel ‖ **10** Γλωσσῶν Dalechamps (*linguis*) : Γλώσσης A ‖ **11** Ἀντιφῶν A : Ἀνδροτίων Kaibel, cf. 3.75d, 78a, 82c **13** lac. hic indicavi : ante ῥόων Meineke : post ῥόων Kaibel : λέγονται δέ τινες ῥόαι ἀπύρηνοι καὶ ἕτεραι σκληρόκοκκοι C E | ἀπυρήνων M P Mus : ἀπυρίνων A : ἀπύρηνοι (structura mutata) C E ‖ **18** ῥοΐδιον … τὸ ὑποκοριστικόν] "ab hoc loco aliena" Kaibel ‖ **20** ῥοῶν Schweighäuser : ῥοιῶν A ‖ **22** Κωραλίσκῳ Schweighäuser, cf. 4.140a, 15.691c : Φωραλίσκῳ A

σίδας δ' ὅτι τὰς ῥόας καλοῦσι Βοιωτοὶ Ἀγαθαρχίδης ἐν τῇ ἐννεα- 650f
καιδεκάτῃ τῶν Εὐρωπιακῶν (*FGrH* 86 F 8) οὕτω γράφει· ἀμφισβη-
τούντων Ἀθηναίων πρὸς Βοιωτοὺς περὶ τῆς χώρας ἣν καλοῦσι
Σίδας, Ἐπαμεινώνδας δικαιολογούμενος ἐξαίφνης ἐκ τῆς ἀριστε-
5 ρᾶς μεταλαβὼν κεκρυμμένην ῥόαν καὶ δείξας ἤρετο τί καλοῦσι
τοῦτο. τῶν δ' εἰπόντων ῥόαν, "ἀλλ' ἡμεῖς", εἶπε, "σίδαν" ‖ (ὁ δὲ 651a
τόπος τοῦτ' ἔχει τὸ φυτὸν ἐν αὐτῷ πλεῖστον, ἀφ' οὗ τὴν ἐξ ἀρχῆς
εἴληφε προσηγορίαν), καὶ ἐνίκησε. Μένανδρος δ' ἐν Αὑτὸν Τιμω-
ρουμένῳ (fr. 83) ῥοιδία αὐτὰς ὠνόμασε διὰ τούτων·

10 μετ' ἄριστον γὰρ ὡς ἀμυγδάλας † ἐγὼ
παρέθηκα καὶ τῶν ῥοιδίων ἐτρώγομεν.

λέγεται δέ τι καὶ φυτὸν σίδη ὅμοιον ῥόᾳ γινόμενον ἐν τῇ περὶ
Ὀρχομενὸν λίμνῃ ἐν αὐτῷ τῷ ὕδατι, οὗ τὰ μὲν φύλλα τὰ πρόβατα
ἐσθίει, τὸν δὲ βλαστὸν αἱ ὕες, ὡς ἱστορεῖ Θεόφραστος ἐν τετάρτῳ
15 Περὶ Φυτῶν (fr. 401 Fortenbaugh) γίνεσθαι λέγων κἀν τῷ Νείλῳ
ὁμώνυμόν τι | αὐτῇ ἄνευ ῥιζῶν. 651b

[65] φοίνικες. Ξενοφῶν μὲν ἐν δευτέρῳ Ἀναβάσεώς (2.3.14–15)
φησιν· † ἐν † δὲ σῖτος πολὺς καὶ οἶνος φοινίκων καὶ ὄψον † και †
ἑψητὸν ἀπὸ τῶν αὐτῶν. αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων οἵας
20 μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν τοῖς οἰκέταις ἀπέκειντο, αἱ δὲ τοῖς
δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι, θαυμάσιοι τὸ κάλλος καὶ
τὸ μέγεθος, ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερε. τὰς δέ τινας
ξηραίνοντες τραγήματα παρετίθεντο, καὶ ἦν παρὰ πότον ἡδὺ μέν,
κεφαλαλγὲς δέ. Ἡρόδοτος δ' ἐν τῇ δευτέρᾳ (1.193.4–5) | περὶ 651c
25 Βαβυλῶνος λέγων φησίν· εἰσὶ δ' αὐτόθι φοίνικες πεφυκότες ἀνὰ
πᾶν τὸ πεδίον, οἱ πλεῦνες αὐτῶν καρποφόροι, ἐκ τῶν καὶ σιτία καὶ
οἶνον καὶ μέλι ποιέονται. τοὺς συκέων τρόπον θεραπεύουσι· τῶν
γὰρ φοινίκων οὓς ἔρσενας καλέουσι, τούτων τὸν καρπὸν περιδέουσι
τῇσι βαλανηφόροισι τῶν φοινίκων ἵνα τε πεπαίνῃ σφιν ὁ ψὴν τὴν
30 βάλανον ἐνδύνων καὶ μὴ ἀπορρέῃ ὁ καρπὸς τοῦ φοίνικος· ψῆνας

1 ῥόας scripsi : ῥοιὰς A C E ‖ **4** Ἐπαμεινώνδας Jacoby : Ἐπαμινώνδας A C E ‖ **12** ῥόᾳ scripsi : ῥοιᾷ A C E ‖ **18** ἐν A : ἐνῆν Xen. ‖ **18–19** ὄψον και ἑψητὸν A : ὄξος ἑψητὸν Xen. ‖ **19** φοινίκων Xen. : φοινικίων A **23** παρετίθεντο A : ἀπετίθεσαν Xen. ‖ **24** τῇ β', i.e. τῇ δευτέρᾳ A : τῷ δευτέρῳ C E : τῇ πρώτῃ Bedrot ‖ **29** πεπαίνῃ Hdt. et B M P Mus : † πεπενη † A ‖ **30** ἐνδύνων A : ἐσδύνων Hdt.

γὰρ δὴ φορέουσιν ἐν τῷ καρπῷ οἱ ἔρσενες καθάπερ οἱ ὄλονθοι. τὰ
651d παραπλήσια τοῖς παρὰ τῷ Ἡροδότῳ ἱστορεῖ | περὶ τοῦ ἐν Λιβύῃ
καλουμένου λωτοῦ αὐτόπτης γενόμενος ὁ Μεγαλοπολίτης Πολύ-
βιος ἐν τῇ δωδεκάτῃ (12.1.2) τῶν Ἱστοριῶν λέγων οὕτως· ἐστὶ δὲ
τὸ δένδρον οὐ μέγα, τραχὺ δὲ καὶ ἀκανθῶδες, ἔχει δὲ φύλλον 5
χλωρὸν παραπλήσιον τῇ ῥάμνῳ, μικρὸν βαθύτερον καὶ πλατύ-
τερον. ὁ δὲ καρπὸς τὰς μὲν ἀρχὰς ὅμοιός ἐστι καὶ τῇ χρόᾳ καὶ τῷ
μεγέθει ταῖς λευκαῖς μυρτίσι ταῖς τετελειωμέναις, αὐξανόμενος δὲ
τῷ μὲν χρώματι γίνεται φοινικοῦς, τῷ δὲ μεγέθει ταῖς γογγύλαις
651e ἐλαίαις παραπλήσιος, πυρῆνα δὲ ἔχει τελέως | μικρόν. ἐπὰν δὲ 10
πεπανθῇ, συνάγουσι καὶ τὸν μὲν τοῖς οἰκέταις μετὰ χόνδρου
κόψαντες σάττουσιν εἰς ἀγγεῖα, τὸν δὲ τοῖς ἐλευθέροις ἐξελόντες
τὸν πυρῆνα συντιθέασιν ὡσαύτως καὶ σιτέονται τοῦτον. ἐστὶ δὲ τὸ
χρῶμα παραπλήσιον σύκῳ καὶ φοινικοβαλάνῳ, τῇ δὲ εὐωδίᾳ
βέλτιον. γίνεται δὲ καὶ οἶνος ἐξ αὐτοῦ βρεχομένου καὶ τριβομένου 15
δι᾽ ὕδατος, κατὰ μὲν τὴν γεῦσιν ἡδὺς καὶ ἀπολαυστικός, οἰνο-
μέλιτι χρηστῷ παραπλήσιος, ᾧ χρῶνται χωρὶς ὕδατος. οὐ δύναται
651f δὲ πλέον δέκα μένειν ἡμερῶν, διὸ καὶ ποιοῦσι κατὰ βραχὺ | πρὸς
τὴν χρείαν. ποιοῦσι δὲ καὶ ὄξος ἐξ αὐτοῦ. [**66**] Μελανιππίδης δ᾽ ὁ
Μήλιος ἐν ταῖς Δαναΐσι (*PMG* 757) φοίνικας τὸν καρπὸν οὕτως 20
ὀνομάζει τὸν λόγον ποιούμενος περὶ αὐτῶν τῶν Δαναΐδων·

οὐ γὰρ ἀνθρώπων φόρευν μορφὰν † ενεῖδος †
οὐδὲ † ταν † αὐτὰν γυναικίαν ἔχον,
ἀλλ᾽ ἐν ἁρμάτεσσι διφρού-
χοις ἐγυμνάζοντ᾽ ἀν᾽ εὐ- 25
ήλι᾽ ἄλσεα πολλάκι
θῆρες φρένα τερπόμεναι,

651d–e Eust. p. 1616.53–7 = i.324.37–43

2 παρὰ (i.e. πε) τῷ Ἡροδότῳ scripsi : περὶ (i.e. πε) τὸν Ἡρόδοτον A ‖ **5** τὸ δένδρον ὁ λωτὸς A : δένδρον C E Eust. : ὁ λωτὸς ut glossam delevi, ducente Kaibel ‖ **7** αὐτοῦ post καρπὸς praeb. C E Eust. ‖ **8** αὐξανόμενος A : αὐξόμενος C E Eust. ‖ **13** σιτέονται A : σιτεύονται B M P Mus ‖ **14** χρῶμα C E : βρῶμα A ‖ **19** αὐτοῦ scripsi : αὐτῶν A C E ‖ **21** Δαναΐδων Dobree, cf. ἐν ταῖς Δαναΐσι supra : γὰρ ἀΐδων A ‖ **23** γυναικίαν A : γυναικείαν Casaubon **25** ἐγυμνάζοντ᾽ Meineke : ἐγυμνάζοντο A ‖ **25–6** ἀν᾽ εὐήλι᾽ ἄλσεα, i.e. -ΑΛΣΕΑ Meineke, Emperius : † ἀνευηλιασδεα †, i.e. -ΑΣΔΕΑ A **26** πολλάκι A : πολλάκις Meineke ‖ **27** θῆρες A : θήραις Porson

ἱερόδακρυ λίβανον εὐώ- 5
δεις τε φοίνικας κασίαν τε πατεῦσαι
τέρενα Συρίας τέρματα. ‖

καὶ Ἀριστοτέλης ἐν τῷ Περὶ Φυτῶν (fr. 267 Rose = fr. 326 Gigon) 652a
5 οὕτω· φοινίκων ἀνόρχων, οὕς τινες εὐνούχους καλοῦσιν, οἱ δ' ἀπυρήνους. φοίνικα δὲ τὸν καρπὸν καὶ Ἑλλάνικος κέκληκεν ἐν τῇ εἰς Ἄμμωνος Ἀναβάσει (*FGrH* 4 F 56), εἰ γνήσιον τὸ σύγγραμμα, καὶ Φόρμος ὁ κωμικὸς ἐν Ἀταλάνταις (fr. 1). περὶ δὲ τῶν Νικολάων καλουμένων φοινίκων τοσοῦτον ὑμῖν εἰπεῖν ἔχω τῶν ἀπὸ τῆς
10 Συρίας καταγομένων, ὅτι ταύτης τῆς προσηγορίας ἠξιώθησαν ὑπὸ τοῦ Σεβαστοῦ αὐτοκράτορος σφόδρα χαίροντος τῷ βρώματι Νικολάου τοῦ Δαμασκηνοῦ (*FGrH* 90 T 10a) ἑταίρου ὄντος | αὐτῷ καὶ 652b πέμποντος φοίνικας συνεχῶς. τῶν ἀπὸ τοῦ Περιπάτου δ' ἦν ὁ Νικόλαος καὶ ἱστορίαν συνέγραψε πολλήν.

15 **[67]** ἰσχάδες. σφόδρα τῶν ἰσχάδων ἐθαυμάζοντο αἱ Ἀττικαί· Δίνων γοῦν ἐν τοῖς Περσικοῖς (*FGrH* 690 F 12) φησι· παρετίθεντο δ' ἐπὶ τῆς τραπέζης τῆς βασιλέως ὅσα ἡ γῆ βρώματα φέρει ἧς ἄρχει βασιλεύς, ἀφ' ἑκάστου ὅσον ἀπαρχήν. ξενικῷ δὲ οὐδενὶ οὔτε βρώματι οὔτε ποτῷ ᾤετο δεῖν † ἐξαρχῆς † τοὺς βασιλεῖς χρῆσθαι·
20 ὅθεν καὶ νόμος τις ὕστερον ἐγένετο· εἰσενέγκαντος | γάρ ποτε τῶν 652c εὐνούχων τινὸς ἐν τοῖς λοιποῖς τραγήμασιν ἰσχάδας Ἀττικὰς ἐρωτῆσαι ποταπαὶ εἶεν. ἐπεὶ δὲ ἐπύθετο ἐξ Ἀθηνῶν, τοῖς ἀγορασταῖς ἐκέλευσε ⟨μὴ⟩ ὠνεῖσθαι ἕως ἂν ἐξουσία γένηται αὐτῷ λαμβάνειν ὅταν ἐθέλῃ καὶ μὴ ἀγοράζειν. λέγεται δὲ τὸν εὐνοῦχον
25 ἐπίτηδες τοῦτο ποιῆσαι ἵνα αὐτὸν ὑπομνήσῃ τῆς ἐπὶ τὰς Ἀθήνας στρατείας. Ἄλεξις δ' ἐν Κυβερνήτῃ (fr. 122) φησίν·

652a Eust. p. 1735.41 = ii.42.15 | **652c** Eust. p. 955.7 = III.539.3–4
652c Eust. p. 1411.34 = i.50.26

1 ἱερόδακρυ A : ἱερόδακρυν Emperius ‖ **2** πατεῦσαι (vox nihili) A : κατεῦσαι P Mus : ματεῦσαι Emperius ‖ **3** Συρίας τέρματα A : Σύρια σπέρματα Fiorillo **5** ἀνόρχων Casaubon : ἐνόρχων A C E Eust. ‖ **13** ἦν C E : ὢν A ‖ **19** ἐξαρχῆς, i.e. ἐξ ἀρχῆς A : ὁ ἐξ ἀρχῆς B M P Mus : ὁ Ξέρξης Ruhnken : fort. ἐξῆν (glossa pro ᾤετο δεῖν; delendum) vel ἐξ Ἀθηνῶν ‖ **23** ἐκέλευσε ⟨μὴ⟩ scripsi : ἐκέλευσε(ν) C E : ἐκέλευεν A : ἀπηγόρευεν Kaibel | ἕως M P Mus : ὡς A C E αὐτῷ Musurus : αὐτῶν A C E

εἰσέβαινον ἰσχάδες,
τὸ παράσημον τῶν Ἀθηνῶν, καὶ θύμου δέσμαι τινές.

652d Λυγκεὺς δὲ ἐν τῇ Πρὸς τὸν Κωμικὸν Ποσείδιππον | ἐπιστολῇ (fr. 17 Dalby), ἐν τοῖς τραγικοῖς, φησί, πάθεσιν Εὐριπίδην νομίζω Σοφοκλέους οὐδὲν διαφέρειν, ἐν δὲ ταῖς ἰσχάσι τὰς Ἀττικὰς τῶν 5 ἄλλων πολὺ προέχειν. κἀν τῇ Πρὸς Διαγόραν δὲ ἐπιστολῇ (fr. 13 Dalby) γράφει οὕτως· ἡ δὲ γῆ ταῖς μὲν χελιδονείοις ἰσχάσιν ἀντιπαρατιθεῖσα τὰς Βριγινδαρίδας καλουμένας, τῷ μὲν ὀνόματι βαρβαριζούσας, ταῖς δὲ ἡδοναῖς οὐδὲν ἧττον ἐκείνων Ἀττικιζούσας. Φοινικίδης δ᾽ ἐν Μισουμένῃ (fr. 2) φησί· 10

(Α.) μύρτων λέγουσιν καὶ μέλιτος ἐγκώμια |
652e καὶ τῶν προπυλαίων καὶ τέταρτον ἰσχάδων·
τούτων ἐγευσάμην καταπλεύσας εὐθέως —
(Β.) καὶ τῶν προπυλαίων; (Α.) κοὐδὲν ἦν τούτων ὅλως
πρὸς ἀτταγῆνα συμβάλλειν τῶν βρωμάτων. 5 15

ἐν τούτοις τηρητέον καὶ τὴν τοῦ ἀτταγῆνος μνήμην. Φιλήμων δ᾽ ἐν τῷ Περὶ τῶν Ἀττικῶν Ὀνομάτων Αἰγιλίδας φησὶν εἶναι τὰς καλλίστας ἰσχάδας, Αἴγιλα δ᾽ εἶναι δῆμον τῆς Ἀττικῆς ἀπὸ Αἰγίλου τινὸς ἥρωος ὠνομασμένον, χελιδονείους δὲ καλεῖσθαι τὰς
652f ἐρυθρομελαίνας ἰσχάδας. Θεόπομπος | δ᾽ Εἰρήνῃ (fr. 12) τὰς 20 Τιθρασίας ἐπαινῶν ἰσχάδας φησὶν οὕτω·

μᾶζαι, πλακοῦντες, ἰσχάδες Τιθράσιαι.

οὕτω δὲ ἦσαν περισπούδαστοι πᾶσιν ἀνθρώποις αἱ ἰσχάδες — ὄντως γὰρ κατὰ τὸν Ἀριστοφάνην (fr. 681)·

οὐδὲν γὰρ οὕτως γλυκύτερον τῶν ἰσχάδων — 25

3 Ποσείδιππον M[pc] Mus : Ποσίδιππον A ‖ **5** Σοφοκλέους A C E : Σωσιφάνους Wilamowitz ‖ **6** προέχειν C E B M P Mus : προσέχειν A ‖ **7** χελιδονείοις Kaibel, ducente Dindorf : χελιδονίοις A C E ‖ **8** Βριγινδαρίδας A C E : Βρυγινδαρίδας Kaibel, ducente Ross ‖ **12** προπυλαίων M P Mus : προσπυλαίων A ‖ **14** προπυλαίων M P Mus : προσπυλαίων A | κοὐδὲν M P Mus : καὶ οὐδὲν A ‖ **15** συμβάλλειν A : συμβαλεῖν Casaubon ‖ **19** χελιδονείους scripsi : χελιδονίας A C E | δὲ C E : τε A ‖ **22** Τιθράσιαι A : Τειθράσιαι Kock **25** οὐδὲν γὰρ οὕτως A : γὰρ οὕτως om. C E : ὄντως γὰρ B : οὐδὲν γὰρ ὄντως M P

ὡς καὶ Ἀμιτροχάτην τὸν τῶν Ἰνδῶν βασιλέα γράψαι Ἀντιόχῳ ἀξιοῦντα, φησὶν Ἡγήσανδρος (fr. 43, *FHG* iv.421), πέμψαι αὐτῷ γλεῦκον καὶ ἰσχάδας καὶ σοφιστὴν ἀγοράσαντα, ‖ καὶ τὸν Ἀντίο- 653a
χον ἀντιγράψαι· ἰσχάδας μὲν καὶ γλεῦκον ἀποστελοῦμέν σοι,
5 σοφιστὴν δ᾽ ἐν Ἕλλησιν οὐ νόμιμον πωλεῖσθαι. ὅτι δὲ καὶ πεφωσμένας ἰσχάδας ἤσθιον Φερεκράτης δείκνυσιν ἐν Κοριαννοῖ (fr. 74) λέγων οὕτως·

ἀλλ᾽ ἰσχάδας μοι πρόελε τῶν πεφωσμένων.

καὶ μετ᾽ ὀλίγα δέ·

10 οὐκ ἰσχάδας οἴσεις; τῶν μελαινῶν· μανθάνεις;
ἐν τοῖς Μαριανδυνοῖς ἐκείνοις βαρβάροις
χύτρας καλοῦσι τὰς μελαίνας ἰσχάδας. |

οἶδα δὲ καὶ Πάμφιλον (fr. XXXI Schmidt) εἰρηκότα πρόκνιδας 653b
γένος ἰσχάδων.

15 [**68**] βότρυς δὲ ὅτι μὲν κοινόν, δῆλον. σταφυλῆς δὲ μέμνηται, καίτοι δοκοῦντος τοῦ ὀνόματος Ἀσιαγενοῦς εἶναι, Κράτης ἐν δευτέρῳ Ἀττικῆς Διαλέκτου (fr. 109 Broggiato) ἐν τοῖς Ὕμνοις τοῖς ἀρχαίοις φάσκων ἀντὶ τοῦ βότρυος τὴν σταφυλὴν κεῖσθαι διὰ τούτων·

20 αὐτῇσι σταφυλῇσι μελαίνῃσι κομόωντες. (*h.Bacch.* fr. B West)

ὅτι δὲ καὶ παρ᾽ Ὁμήρῳ (e.g. *Il.* 18.561; *Od.* 5.69) ἐστὶ παντί, δῆλον. Πλάτων δὲ ἐν ὀγδόῳ Νόμων (844d–e) καὶ βότρυς καὶ σταφυλὰς ὀνομάζει διὰ τούτων· ὃς ἂν ἀγροίκου | ὀπώρας γεύσηται, βοτρύων 653c
εἴτε καὶ σύκων, πρὶν ἐλθεῖν τὴν ὥραν τὴν τοῦ τρυγᾶν Ἀρκτούρῳ
25 σύνδρομον, εἴτ᾽ ἐν τοῖς αὑτοῦ χωρίοις εἴτε καὶ ἐν ἄλλων, ἱερὰς μὲν ὀφειλέτω τῷ Διονύσῳ δραχμάς, ἐὰν ἐκ τῶν αὑτοῦ δρέπῃ, ἐὰν δὲ καὶ τῶν γειτόνων, μνᾶν, ἐὰν δ᾽ ἐξ ἄλλων, δύο μέρη τῆς μνᾶς. ὃς δ᾽

653a Eust. p. 1123.22 = IV.109.2–3

3 γλεῦκον scripsi : γλυκὺν A C E ‖ **4** γλεῦκον scripsi : γλυκὺν A C E ἀποστελοῦμέν A : ἀποστελοῦ^{μ} E : ἀποστελοῦμαί C ‖ **8** πεφωσμένων A : πεφωγμένων *EM* p. 803.35 *Synag.* φ 240 ‖ **13** πρόκνιδας Poll. 6.81 Hsch. π 3540 : † προσκνιδας † A ‖ **20** μελαίνῃσι A : μελαίνῃσιν Schweighäuser **25** μὲν ⟨πεντήκοντα⟩, i.e. ⟨N⟩ add. Casaubon ex Pl. ‖ **26–7** δὲ καὶ A : δ᾽ ἐκ Pl.

ἂν τὴν γενναίαν νῦν λεγομένην σταφυλὴν ⟨ἢ⟩ τὰ γενναῖα σῦκα ἐπονομαζόμενα ὀπωρίζειν βούληται, ἐὰν μὲν ἐκ τῶν οἰκείων λαμβάνῃ, ὅπως ἂν ἐθέλῃ καὶ ὁπόταν βούληται καρπούσθω, ἐὰν δ᾽
653d ἐξ ἄλλων μὴ | πείσας, ἑπόμενος τῷ νόμῳ τῷ μὴ κινεῖν ὅτι μὴ κατέθετο, ἐκείνως ἀεὶ ζημιούσθω. ταῦτα μὲν ὁ θεῖος Πλάτων· ἐγὼ 5 δὲ πάλαι ζητῶ τίς ἡ γενναία σταφυλὴ καὶ τίνα τὰ γενναῖα σῦκα. ὥρα οὖν ὑμῖν ζητεῖν ἕως ἐγὼ περὶ τῶν ἑξῆς παρακειμένων διεξέλθω.

καὶ ὁ Μασούριος ἔφη·

μηδ᾽ ἀναβάλλεσθαι ἔς τ᾽ αὔριον ἔς τ᾽ ἔνηφι. (Hes. *Op.* 410) 10

γενναῖα λέγει τὰ εὐγενῆ ὁ φιλόσοφος, ὡς καὶ Ἀρχίλοχος (fr. 225 West²)·

πάρελθε, γενναῖος γάρ εἶς·

ἢ τὰ ἐπιγεγεννημένα, οἷον τὰ ἐπεμβεβλημένα· ὁ γὰρ Ἀριστοτέ-
653e λης (fr. 274 Rose = fr. 327 Gigon) καὶ ἐπεμβολάδας ἀπίους | ὀνομά- 15 ζει τὰς ἐγκεκεντρισμένας. Δημοσθένης ἐν τῷ Ὑπὲρ Κτησιφῶντος (18.262)· σῦκα καὶ βότρυς καὶ ἐλαίας συλλέγων. Ξενοφῶν ἐν Οἰκονομικῷ (19.19)· ὑπὸ τοῦ ἡλίου γλυκαίνεσθαι τὰς σταφυλάς. οἴδασι δὲ οἱ πρὸ ἡμῶν καὶ τοὺς ἐν οἴνῳ συντιθεμένους βότρυς· Εὔβουλος γοῦν ἐν Κατακολλωμένῳ (fr. 48) φησίν· 20

ἀλλὰ παραλαβὼν ἀκράτῳ κροῦε καὶ δίδου πυκνὰς
καὶ βότρυς τρώγειν ἀνάγκαζ᾽ αὐτὸν ἐξ οἴνου συχνούς.

ὁ δὲ τὸν Χείρωνα πεποιηκὼς τὸν εἰς Φερεκράτην (fr. 158) ἀναφερό-
653f μενόν | φησιν·

653d–e Eust. p. 545.40–4 = II.69.1–5 | **653d–e** Eust. p. 1405.41 = i.41.37–8
653f–4a Eust. p. 1573.21–3 = i.267.34–7

1 ⟨ἢ⟩ add. Bedrot ex Pl. ‖ **4** ἑπόμενος A : ἑπομένως Pl. ‖ **5** ἀεὶ Pl. et B P Mus : αἰεὶ A ‖ **6** πάλαι Kaibel : πάλιν A ‖ **7** ⟨καὶ⟩ ὑμῖν Kaibel ‖ **9** Μασούριος M P Mus : Μασσούριος A : Μανσούριος B ‖ **10** τ᾽² A : τε 3.100b et Hes. ‖ **14** ἐπιγεγεννημένα C E Eust. : ἐπιγεγενημένα A ‖ **17** συλλέγων Dem. et B M P Mus : συνλέγων A

ἀμυγδάλας καὶ μῆλα καὶ μιμαίκυλα
καὶ μύρτα καὶ σέλινα κἀξ οἴνου βότρυς
καὶ μυελόν.

ὅτι δ᾽ ἐν ταῖς Ἀθήναις διηνεκεῖς ἦσαν αἱ ὀπῶραι πᾶσαι μαρτυρεῖ
5 Ἀριστοφάνης ἐν Ὥραις (fr. 581.1–5). τί οὖν παράδοξον ἱστορεῖν δοκεῖ Ἀέθλιος ὁ Σάμιος ἐν πέμπτῳ Σαμίων Ὥρων (*FGrH* 536 F 1a = fr. 1 Fowler) λέγων· σῦκον καὶ σταφυλὴ καὶ ὁμομηλὶς καὶ μῆλα καὶ ῥοὰ δὶς τοῦ ἐνιαυτοῦ ἐγένετο; ‖ Λυγκεὺς δ᾽ ἐν τῇ Πρὸς Διαγό- 654a ραν ἐπιστολῇ (fr. 7 Dalby) ἐπαινῶν τὸν κατὰ τὴν Ἀττικὴν γινόμε-
10 νον Νικοστράτειον βότρυν καὶ ἀντιτιθεὶς αὐτῷ τοὺς Ῥοδιακούς φησι· τῷ δ᾽ ἐκεῖ καλουμένῳ βότρυι Νικοστρατείῳ τὸν Ἱππώνειον ἀντεκτρέφουσι βότρυν, ὃς ἀπὸ Ἑκατομβαιῶνος μηνὸς ὥσπερ ἀγαθὸς οἰκέτης διαμένει τὴν αὐτὴν ἔχων εὔνοιαν. [**69**] ἐπεὶ δὲ πολλάκις ὑμῖν εἴρηται περί τε κρεῶν καὶ ὀρνίθων, ἔρχομαι κἀγὼ
15 λέξων ὅσα ἐκ πολυαναγνωσίας εὑρεῖν ἠδυνήθην παρὰ τὰ προειρημένα. | περιστέριον οὕτως ἐστὶν εὑρεῖν εἰρημένον παρὰ Μενάνδρῳ 654b ἐν Παλλακῇ (fr. 280)·

μικρὸν ἐπέμεινας· προστρέχει
"ἠγόρακά σοι περιστέρια" λέγων.

20 ὁμοίως Νικόστρατος Ἅβρᾳ (fr. 2)·

ταῦτ᾽ ἀξιῶ·
εἶτ᾽ ὀρνιθάριον, τὸ περιστέριον, τὸ γαστρίον.

Ἀναξανδρίδης ἐν Ἀντερῶντι (fr. 7)·

περιστέρια γὰρ εἰσάγων καὶ στρουθία.

654b–c Eust. p. 1257.27–8 = IV.573.7–8

5 Ὥραις A : Εἰρήνῃ C : Εἰρ^ή E ‖ **7** ἐν Σάμῳ ante σῦκον praeb. C E Eust. **8** ῥοά, i.e. POA scripsi : ῥόδα, i.e. ΡΟΔΑ A C E Eust. | ἐγένετο A : ἐγένετό ποτε C E Eust. : ἐγίνετο Kaibel ‖ **10** Νικοστράτειον Musurus, cf. C E Νικοστρατείῳ infra : Νικοστράτιον A ‖ **11** Νικοστρατείῳ C E : Νικοστρατίῳ A | Ἱππώνειον C^s E^s : Ἱππώνιον A C E ‖ **12** ἀντεκτρέφουσι A : ἀντεκφέρουσι C E B ‖ **14** καὶ ὀρνίθων καὶ περιστεριδίων A : καὶ περιστεριδίων ut glossam del. Kaibel ‖ **18** ἐπέμεινας A : ἐπιμείνας Clericus ‖ **23** Ἀντερῶντι A : Ἀντέρωτι Kaibel, cf. *IGUR* 218.14

Φρύνιχος Τραγῳδοῖς (fr. 53)·

περιστέριον δ᾽ αὐτῷ τι λαβὲ τριωβόλου.

Φασιανικός. Πτολεμαῖος ὁ βασιλεὺς ἐν τῷ δωδεκάτῳ τῶν Ὑπομνημάτων (*FGrH* 234 F 2a) περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βασι-
654c λείων | λέγων καὶ περὶ τῶν ἐν αὐτοῖς ζῴων τρεφομένων φησί· τά 5
τε τῶν φασιανῶν, οὓς τετάρους ὀνομάζουσιν, οὐ μόνον ἐκ Μηδίας μετεπέμπετο, ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλὼν ἐποίησε πλῆθος ὥστε καὶ σιτεῖσθαι· τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν. αὕτη ⟨ἡ⟩ τοῦ λαμπροτάτου βασιλέως φωνή, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθός ποτε γεύσασθαι ὡμολόγησεν, ἀλλ᾽ ὥσπερ τι 10
κειμήλιον ἀνακείμενον εἶχε τούσδε τοὺς ὄρνιθας. εἰ δ᾽ ἑωράκει ὡς
654d ἡμῶν ἑκάστῳ εἷς ἐστι παρακείμενος χωρὶς | τῶν ἤδη καταναλωμένων, προσαναπεπληρώκει ἂν (*FGrH* 234 T 2) ταῖς πολυθρυλήτοις ἱστορίαις τῶν Ὑπομνημάτων τούτων ταῖς εἰκοσιτέσσαρσι καὶ ἄλλην μίαν. Ἀριστοτέλης (fr. 632 Rose = fr. 991 Gigon) 15
δὲ ἢ Θεόφραστος ἐν τοῖς Ὑπομνήμασι, τῶν φασιανῶν, φησίν, οὐ κατὰ λόγον ἡ ὑπεροχὴ τῶν ἀρρένων ἀλλὰ πολλῷ μείζων. [70] εἰ δ᾽ ὁ προειρημένος βασιλεὺς καὶ τὸ τῶν ταώνων πλῆθος ἑωράκει τῶν κατὰ τὴν Ῥώμην, κατεπεφεύγει ἂν ἐπὶ τὴν ἱερὰν σύγκλητον ὡς ὑπὸ τοῦ ἀδελφοῦ πάλιν τῆς βασιλείας ἐξεληλαμένος· τοσοῦτο | 20
654e ἐστι τούτων τῶν ὀρνίθων τὸ πλῆθος ἐν τῇ Ῥώμῃ ὡς δοκεῖν προμεμαντευμένον τὸν κωμῳδιοποιὸν Ἀντιφάνην ἐν Στρατιώτῃ ἢ Τύχωνι (fr. 203) εἰρηκέναι τάδε·

τῶν ταῶν μὲν ὡς ἅπαξ τις ζεῦγος ἤγαγεν μόνον,
σπάνιον ὂν τὸ χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων. 25
χρηστὸν ἄνθρωπον δ᾽ ἐάν τις ἕνα μόνον ζητῶν ἴδῃ,
ὄψετ᾽ ἐκ τούτου πονηροὺς πέντε παῖδας γεγονότας. |

654e, 655b Eust. p. 1035.43–6 = III.778.19–25

1 περιστέριον δὲ Φρύνιχος A : περιστέριον δὲ (dittographiam de infra) del. Schweighäuser ‖ **2** δ᾽ B : δὲ A ‖ **3** δωδεκάτῳ, i.e. ιβʹ A : δευτέρῳ, i.e. βʹ 9.387e ‖ **6** οὓς οὐ A : οὓς del. Kaibel ‖ **7** μετεπέμπετο Casaubon : μετεπόμποντο A : μετεπέμποντο B M P Mus ‖ **9** ⟨ἡ⟩ add. Kaibel **14–15** ταῖς εἰκοσιτέσσαρσι Kaibel : τῶν εἰκοσιτεσσάρων A ‖ **15–17** Ἀριστοτέλης … μείζων del. Kaibel ‖ **19** κατεπεφεύγει scripsi : καταπεφεύγει A **26** ἄνθρωπον δ᾽ ἐάν Schweighäuser : ἄνθρωπον δὲ ἄν A : δὲ ἄνθρωπον ἐάν C E Eust. | ἴδῃ C E Eust. Mus : † εἰδη † A : εἴδῃ M P

Ἄλεξις δ᾽ ἐν Λαμπάδι (fr. 128)· 654f

καταφαγεῖν
αὐτὸς τοσοῦτ᾽ ἀργύριον; οὐδ᾽ εἰ γάλα εἶχον
λαγοῦ, μὰ τὴν Γῆν, καὶ ταῶς κατήσθιον.

5 ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς ἐν ταῖς οἰκίαις Στράττις παρίστησιν ἐν Παυσανίᾳ (fr. 28) διὰ τούτων·

πολλῶν φλυάρων καὶ ταῶν ἀντάξια,
οὓς βόσκεθ᾽ ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

Ἀναξανδρίδης ἐν Μελιλώτῳ (fr. 29)· ‖

10 οὐχὶ μανικόν ἐστιν ἐν οἰκίᾳ τρέφειν ταῶς, 655a
ἐξὸν τοιούτους † ἴδυο † ἀγάλματ᾽ ἀγοράσαι;

Ἀναξίλας Ὀρνιθοκόμοις (fr. 24)·

καὶ πρὸς ἐπὶ τούτοις τιθασὸς οἰμώζων ταῶς.

Μηνόδοτος δ᾽ ὁ Σάμιος ἐν τῷ Περὶ τῶν κατὰ τὸ Ἱερὸν τῆς Σαμίας
15 Ἥρας (*FGrH* 541 F 2) φησίν· οἱ ταοὶ ἱεροί εἰσι τῆς Ἥρας, καὶ μήποτε πρώτιστα καὶ ἐγίνοντο καὶ ἐτράφησαν ἐν Σάμῳ καὶ ἐντεῦθεν εἰς τοὺς ἔξω τόπους διεδόθησαν, ὡς καὶ οἱ ἀλεκτρυόνες ἐν τῇ Περσίδι καὶ αἱ καλούμεναι μελεαγρίδες ἐν τῇ Αἰτωλίᾳ· διὸ καὶ | Ἀντιφάνης ἐν τοῖς Ὁμοπατρίοις (fr. 173) φησίν· 655b

20 ἐν Ἡλίου μέν φασι γίνεσθαι πόλει
φοίνικας, ἐν Ἀθήναις δὲ γλαῦκας. ἡ Κύπρος
ἔχει πελείας διφόρους, ἡ δ᾽ ἐν Σάμῳ
Ἥρα τὸ χρυσοῦν, φασίν, ὀρνίθων γένος,

654e, 655b Eust. p. 1035.43–6 = III.778.19–25

3 τοσοῦτ᾽ C E B M P Mus : † τουσουτ᾽ † A ‖ **3–4** εἶχον λαγοῦ A C E : λαγοῦ / εἶχον Dindorf, ducente Schweighäuser ‖ **10** οὐχὶ A C E : οὐ Dindorf | ἐστιν A C E : ἐστ᾽ Meineke | οἰκίᾳ, i.e. ΟΙΚΙΑΙ C E Mus : † οικιδαι †, i.e. ΟΙΚΙΔΑΙ A ‖ **11** τοιούτους † ἴδυο † A : τοιούτους ἢ δύο B : τοιούτους δύ᾽ Musurus : τουτοισὶ δύ᾽ C E : τοσουτουὶ δύ᾽ Dobree ‖ **12** Ἀναξίλας B : Ἀναξίλαος A **16** πρώτιστα vel ⟨οἱ⟩ πρώτιστοι Kaibel : πρώτιστοι A C E | ἐγίνοντο scripsi : ἐγένοντο A ‖ **20** Ἡλίου A : Ἀλίαις C E | γίνεσθαι A C E : γενέσθαι M P Mus : γίγνεσθαι Dindorf ‖ **22** διφόρους A C E : διάφοροι (structura mutata) Eust. : διαφόρους B M P Mus ‖ **23** Ἥρα τὸ C E B M P Eust. Mus : ἤρατο A

τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταῶς· 5

διόπερ καὶ ἐπὶ τοῦ νομίσματος τῶν Σαμίων ταώς ἐστιν. [71] ἐπεὶ δὲ καὶ τῶν μελεαγρίδων Μηνόδοτος ἐμνήσθη, λέξομέν τι καὶ ἡμεῖς περὶ αὐτῶν. Κλύτος ὁ Μιλήσιος, Ἀριστοτέλους δὲ μαθητής,
655c ἐν | τῷ πρώτῳ Περὶ Μιλήτου (*FGrH* 490 F 1) γράφει περὶ αὐτῶν 5
οὕτω· περὶ δὲ τὸ ἱερὸν τῆς Παρθένου ἐν Λέρῳ εἰσὶν οἱ καλούμενοι μελεαγρίδες ὄρνιθες. ὁ δὲ τόπος ἐστὶν ἑλώδης ἐν ᾧ τρέφονται. ἐστὶ δὲ ἄστοργον πρὸς τὰ ἔκγονα τὸ ὄρνεον καὶ ὀλιγωρεῖ τῶν νεωτέρων, ὥστε ἀνάγκη τοῖς ἱερεῦσιν ἐπιμελεῖσθαι αὐτῶν. ἔχει δὲ τὸ μὲν μέγεθος ὄρνιθος γενναίου, τὴν δὲ κεφαλὴν μικρὰν πρὸς τὸ 10
σῶμα καὶ ταύτην ψιλήν, ἐπ' αὐτῆς δὲ λόφον σάρκινον, σκληρόν, στρογγύλον, ἐξέχοντα τῆς κεφαλῆς ὥσπερ πάτταλον, καὶ τὸ
655d χρῶμα | ξυλοειδῆ, πρὸς δὲ ταῖς γνάθοις ἀπὸ τοῦ στόματος ἀρξαμένην ἀντὶ πώγωνος μακρὰν σάρκα καὶ ἐρυθροτέραν τῶν ὀρνίθων. τὴν δὲ τοῖς ὄρνισιν ἐπὶ τῷ ῥύγχει γινομένην, ἣν ἔνιοι πώγωνα 15
καλοῦσιν, οὐκ ἔχει· διὸ καὶ ταύτῃ κολοβόν ἐστι. ῥύγχος δὲ ὀξύτερον καὶ μεῖζον ἢ ὄρνις ἔχει. τράχηλος μέλας, παχύτερος καὶ βραχύτερος τῶν ὀρνίθων. τὸ δὲ σῶμα ἅπαν ποικίλον μέλανος ὄντος τοῦ χρώματος ὅλου σπίλοις λευκοῖς καὶ πυκνοῖς διειλημμέ-
655e νου ⟨οὐ⟩ μείζοσι φακῶν. οὗτοι δ' εἰσὶν ἐν ῥόμβοις | οἱ κυκλίσκοι 20
⟨οὐ⟩ μελαντέροις τοῦ ὅλου χρώματος· διὸ καὶ ποικιλίαν τινὰ οἱ ῥόμβοι παρέχονται, τοῦ μὲν μέλανος ἔχοντες λευκότερον τὸ χρῶμα, τοῦ δὲ λευκοῦ πολὺ μελάντερον. τὸ δὲ κατὰ τὰς πτέρυγας αὐταῖς πεποίκιλται λευκῷ πριονώδεσι σχήμασι παρ' ἄλληλα κειμένοις. σκέλη δὲ ἄκεντρα ὅμοια τοῖς ὀρνιθείοις. παραπλήσιαι δ' 25

6 Λέρῳ, i.e. Λ- Dalechamps, cf. Ael. *NA* 5.27 : † αερω †, i.e. Α- A ‖ **6–7** οἱ καλούμενοι μελεαγρίδες ὄρνιθες scripsi : οἱ καλούμενοι ὄρνιθες μελεαγρίδες A : ὄρνιθες οἱ καλούμενοι μελεαγρίδες vel οἱ μελεαγρίδες καλούμενοι ὄρνιθες vel αἱ καλούμεναι μελεαγρίδες (del. ὄρνιθες) Kaibel ‖ **8** ὄρνεον A : ζῷον C E **13** ξυλοειδῆ Schweighäuser : ξυλοειδές A : ξυλοει$^{\delta}$ C E | στόματος C E Mus : σώματος A ‖ **14** ἐρυθροτέραν C E M P Mus : ἐρυθρωτέραν A ‖ **15** γινομένην A : κειμένην C E : fort. γενομένην ‖ **19** σπίλοις Gesner : πτίλοις A C E **19–20** διειλημμένου C E : διειλημμένων A : διειλημμένον B M P Mus **20** ⟨οὐ⟩ add. Schweighäuser ‖ **21** ⟨οὐ⟩ addidi | μελαντέροις C E : μέλασι A : ⟨ἧσσον⟩ μέλασι Wilamowitz ‖ **22** ἔχοντες Wilamowitz : ἔχοντος A C E **23** τὸ A : τὰ C E ‖ **24** σχήμασι πυρώδεσιν καὶ A : καὶ om. C E : πυρώδεσιν del. Schweighäuser | παρ' ἄλληλα] παράλληλα A : πρὸς ἄλληλα C E **25** ὀρνιθείοις C E : ὀρνιθίοις A C^{s} E^{s}

εἰσὶν αἱ θήλειαι τοῖς ἄρρεσι· διὸ καὶ δυσδιάκριτόν ἐστι τὸ τῶν μελεαγρίδων γένος. τοσαῦτα καὶ ὁ Περιπατητικὸς φιλόσοφος περὶ τῶν μελεαγρίδων ἱστόρησεν. | [72] ὀπτῶν δελφάκων δὲ μνημο- 655f
νεύει Ἐπικράτης ἐν Ἐμπόρῳ (fr. 6)·

5 ἐπὶ τοῖσδ᾽ ἐγὼ
μάγειρος. οὔτε Σικελία καυχήσεται
τρέφειν τοιοῦτον ἄρταμον κατ᾽ ἰχθύων,
οὐχ ˀΗλις, ἔνθα δελφάκων ἐγὼ κρέα
κάλλιστ᾽ ὄπωπα πυρὸς ἀκμαῖς ἠνθισμένα. 5

10 Ἄλεξις δ᾽ ἐν Πονήρᾳ (fr. 194)·

τριωβόλου κρεΐσκον ἀστεῖον πάνυ
ὕειον ὀπτὸν
καὶ θερμόν, ἐγχυλότερον ‖ ὅταν ᾖ, προσφέρων. 656a

Ἀθηναῖοι δ᾽, ὥς φησι Φιλόχορος (*FGrH* 328 F 173), ταῖς Ὥραις
15 θύοντες οὐκ ὀπτῶσιν ἀλλ᾽ ἕψουσι τὰ κρέα παραιτούμενοι τὰς θεὰς ἀπείργειν τὰ περισκελῆ καύματα καὶ τοὺς αὐχμούς, μετὰ δὲ τῆς συμμέτρου θερμασίας καὶ ὑδάτων ὡραίων ἐκτελεῖν τὰ φυόμενα· τὴν μὲν γὰρ ὄπτησιν ἐλάττους παρέχεσθαι ὠφελείας, τὴν δὲ ἕψησιν οὐ μόνον τὴν ὠμότητα περιαιρεῖν ἀλλὰ καὶ τὰ σκληρὰ μαλάτ-
20 τειν δύνασθαι καὶ τὰ λοιπὰ πεπαίνειν. ἔτι δ᾽ εὐμενέστερον καὶ ἀκινδυνότερον πεπαίνει τὴν τροφήν, διόπερ | ἑφθὸν ἐποπτᾶν οὔ 656b
φασι δεῖν οὐδ᾽ ἐφέψειν· τὸ μὲν γὰρ ἀνάλυσιν ἔχειν δοκεῖ τοῦ βελτίονος, ὥς φησιν Ἀριστοτέλης (cf. *Meteor.* 380b21–3), τὰ δὲ ὀπτὰ τῶν ἑφθῶν ὠμότερα καὶ ξηρότερα. τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες·
25 Στράττις γοῦν ἐν Καλλιππίδῃ (fr. 12) ἐπὶ τοῦ Ἡρακλέους φησίν·

αὐτίκα δ᾽ ἥρπασε τεμάχη
θερμάς τε κάπρου φλογίδας ἔβρυχέ τε πάνθ᾽ ἅμα.

καὶ Ἄρχιππος ἐν Ἡρακλεῖ Γαμοῦντι (fr. 10)·

ταδὶ δ᾽ ἅμα χοί-

8 οὐχ ˀΗλις, ἔνθα Schweighäuser, ducente Casaubon (οὔτ᾽ ˀΗλις, ἔνθα : οὐ κήλισ᾽ ἔνθα iam B M P Mus) : οὐ † κηλισενθα † A ‖ **13** ἐγχυλότερον A : εὐχυλότερον M P Mus ‖ **20** ἔτι C E : ὅτι A ‖ **23** ὀπτὰ B M P : ὄντα A **25** Καλλιππίδῃ M P, cf. 7.304b–c : Καλλιπίδῃ A ‖ **29** ταδὶ δ᾽ ἅμα, i.e. -ΔΑΜΑ Meineke : † ταδιδαλλα †, i.e. -ΔΑΛΛΑ A : τὰ δαίδαλα Musurus

ρων ἀκροκώλια μικρῶν
ταύρου τ' αὐξίκερω φλογίδες
656c αἱ δολιχαί τε κάπρου | φλογίδες.

[73] περὶ περδίκων τί δεῖ καὶ λέγειν ἐμὲ πλεόνων εἰρημένων ὑφ' ὑμῶν (9.388e–90c); ἀλλ' οὐ παραλείψω τὸ ἱστορηθὲν ὑπὸ Ἡγησάν- 5 δρου ἐν τοῖς Ὑπομνήμασι (fr. 44, *FHG* iv.421)· φησὶ γὰρ ὅτι Σάμιοι πλεύσαντες εἰς Σύβαριν καὶ κατασχόντες τὴν Σιρῖτιν χώραν περδίκων ἀναπτάντων καὶ ποιησάντων ψόφον ἐκπλαγέντες ἔφυγον καὶ ἐμβάντες εἰς τὰς ναῦς ἀπέπλευσαν. περὶ δὲ λαγῶν Χαμαιλέων φησὶν ἐν τῷ Περὶ Σιμωνίδου (fr. 33 Wehrli = fr. 36 Martano) ὡς 10 δειπνῶν παρὰ Ἱέρωνι Σιμωνίδης οὐ παρατεθέντος αὐτῷ ἐπὶ τὴν 656d τράπεζαν | καθάπερ καὶ τοῖς ἄλλοις λαγωοῦ, ἀλλ' ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος, ἀπεσχεδίασεν·

οὐδὲ γὰρ εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο. (cf. *Il.* 14.33)

ὄντως δ' ἦν ὡς ἀληθῶς κίμβιξ ὁ Σιμωνίδης καὶ αἰσχροκερδής, ὡς 15 Χαμαιλέων φησίν· ἐν Συρακούσαις γοῦν τοῦ Ἱέρωνος ἀποστέλλοντος αὐτῷ τὰ καθ' ἡμέραν λαμπρῶς πωλῶν τὰ πλείω ὁ Σιμωνίδης τῶν παρ' ἐκείνου πεμπομένων ἑαυτῷ μικρὸν μέρος ἀπετίθετο. ἐρομένου δέ τινος τὴν αἰτίαν, "ὅπως", εἶπεν, "ἥ τε Ἱέρωνος μεγα-656e λοπρέπεια | καταφανὴς ᾖ καὶ ἡ ἐμὴ κοσμιότης." οὔθατος δὲ Τηλε- 20 κλείδης ἐν Στερροῖς (fr. 33) οὕτω μνημονεύει·

ὡς οὖσα θῆλυς εἰκότως οὖθαρ φέρω.

ὑπογάστριον δ' αὐτὸ ὠνόμασεν Ἀντίδοτος ἐν Μεμψιμοίρῳ (fr. 1). [74] σιτευτῶν δὲ ὀρνίθων μὲν μνημονεύει Μάτρων ἐν ταῖς Παρῳδίαις (fr. 5 Olson–Sens = *SH* 538) οὕτως· 25

ὣς ἔφαθ', οἱ δ' ἐγέλασαν, ἐπήνεικάν τ' ἐπὶ τούτῳ

656c Eust. p. 789.64 = III.17.5–7 | **656c–d** Eust. p. 1821.37–8 = ii.147.13–15

2 τ' αὐξίκερω Dindorf, ducente Casaubon : † ταξικερω † A ‖ **11** τῷ Ἱέρωνι ὁ Σιμωνίδης A : τῷ et ὁ om. C E ‖ **14** ⟨οὐδ'⟩ εὐρύς Eust. Mus ex Hom. **21** Στερροῖς, i.e. ΣΤΕΡ- 9.399c : ἑτέροις, i.e. ΕΤΕΡ- A : ἑταίροις M P Mus **22** φέρω A : φορῶ 9.399c ‖ **24** σιτευτῶν Schweighäuser, cf. σιτευτὰς ὄρνιθας infra : σιτιστῶν A C E ‖ **26** ἐγέλασαν A : ἐγέλασσαν M P Mus | ἐπήνεικάν τ' Musurus (ἐπήνηγκάν τ' iam M : ἐπήνεγκάν τ' P[pc]) : † επηνεινκαντ † A

σιτευτὰς ὄρνιθας ἐπ᾽ ἀργυρέοισιν πίναξιν, |
ἄτριχας, οἰέτεας, λαγάνοις κατὰ νῶτον ἐίσας. 656f

δελφάκων δὲ σιτευτῶν ὁ φλυακογράφος Σώπατρος ἐν Βακχίδος Γάμῳ (fr. 5) οὕτως·

5 εἴ που κλίβανος ἦν, πολὺ δέλφαξ σιτευτὸς ἔτρυξε.

δελφάκια δὲ Αἰσχίνης εἴρηκεν ἐν Ἀλκιβιάδῃ (*SSR* VI A 45) οὕτως· ὥσπερ αἱ καπηλίδες τὰ δελφάκια τρέφουσιν. Ἀντιφάνης δὲ ἐν Φυσιογνωμονικῷ (Antisth. *SSR* V A 62)· καὶ γὰρ ἐκεῖναι τὰ δελφάκια πρὸς βίαν χορτάζουσι. καὶ ἐν Προτρεπτικῷ (*SSR* V A 63) δέ·
10 ἀντὶ δελφακίων τρέφεσθαι. ‖ δέλφακα δὲ ἀρσενικῶς εἴρηκε Πλάτων 657a
ἐν Ποιητῇ (fr. 119)·

δέλφακα δὲ ῥαιότατον.

Σοφοκλῆς Ὕβρει (fr. 671)·

ἐσθίειν ἐθέλων τὸν δέλφακα.

15 Κρατῖνος Ὀδυσσεῦσι (fr. 155)·

δέλφακας μεγάλους.

θηλυκῶς δὲ Νικοχάρης (fr. 22) ἔφη·

κύουσαν δέλφακα.

καὶ Εὔπολις Χρυσῷ Γένει (fr. 301)·

20 οὐκ ἀλλ᾽ ἔθυον δέλφακ᾽ ᾠδὸν θῄστίᾳ
καὶ μάλα καλήν.

καὶ Πλάτων Ἰοῖ (fr. 56)·

πρόσφερε δεῦρο δὴ τὴν κεφαλὴν τῆς δέλφακος.

Θεόπομπος Πηνελόπῃ (fr. 49)·

1 ἀργυρέοισιν A : ἀργυρέοισι B M P Mus ‖ **3** δὲ Schweighäuser : τε A
5 ἔτρυξε(ν) (vox nihili), i.e. ET- A C E : ἔγρυξε, i.e. ΕΓ- Schweighäuser
7 Ἀντιφάνης A : Ἀντισθένης Dindorf, cf. D.L. 6.15 ‖ **20** οὐκ … θῄστίᾳ Meineke : † ουκαλλευθιονδελφακαωδονθηστια † A

καὶ τὴν ἱερὰν ἡμῶν σφάττουσιν δέλφακα.

657b χηνῶν δὲ σιτευτῶν | καὶ μόσχων Θεόπομπος ἐν τρισκαιδεκάτῃ Φιλιππικῶν (*FGrH* 115 F 106) καὶ ἑνδεκάτῃ Ἑλληνικῶν (*FGrH* 115 F 22), ἐν αἷς ἐμφανίζει τὸ περὶ τὴν γαστέρα τῶν Λακώνων ἐγκρατὲς γράφων οὕτω· καὶ οἱ Θάσιοι ἔπεμψαν Ἀγησιλάῳ προσιόντι 5 πρόβατα παντοδαπὰ καὶ βοῦς εὖ τεθραμμένας, πρὸς τούτοις δὲ καὶ πέμματα καὶ τραγημάτων εἶδος παντοδαπόν. ὁ δ' Ἀγησίλαος τὰ μὲν πρόβατα καὶ τὰς βοῦς ἔλαβε, τὰ δὲ πέμματα καὶ τὰ 657c τραγήματα πρῶτον μὲν οὐδ' ἔγνω· κατεκεκάλυπτο γάρ. ὡς | δὲ κατεῖδεν, ἀποφέρειν αὐτοὺς ἐκέλευσεν εἰπὼν οὐ νόμιμον εἶναι 10 Λακεδαιμονίοις χρῆσθαι τοιούτοις τοῖς ἐδέσμασι. λιπαρούντων δὲ τῶν Θασίων, "δότε", φησί, "φέροντες ἐκείνοις," δείξας αὐτοῖς τοὺς εἵλωτας, εἰπὼν ὅτι τούτους δέοι διαφθείρεσθαι τρώγοντας αὐτὰ πολὺ μᾶλλον ἢ αὐτὸν καὶ τοὺς παρόντας Λακεδαιμονίων. ὅτι δὲ τοῖς εἵλωσιν ὑβριστικῶς πάνυ ἐχρῶντο Λακεδαιμόνιοι καὶ Μύρων 15 ὁ Πριηνεὺς ἱστορεῖ ἐν δευτέρῳ Μεσσηνιακῶν (*FGrH* 106 F 2) 657d γράφων οὕτω· τοῖς δ' εἵλωσι | πᾶν ὑβριστικὸν ἔργον ἐπιτάττουσι πρὸς πᾶσαν ἄγον ἀτιμίαν· κυνῆν τε γὰρ ἕκαστον φορεῖν ἐπάναγκες ὥρισαν καὶ διφθέραν περιβεβλῆσθαι πληγάς τε τεταγμένας λαμβάνειν κατ' ἐνιαυτὸν ἀδικήματος χωρίς, ἵνα μήποτε δουλεύειν 20 ἀπομάθωσι. πρὸς δὲ τούτοις, εἴ τινες ὑπερακμάζοιεν τὴν οἰκετικὴν ἐπιφάνειαν, ἐπέθηκαν ζημίαν θάνατον καὶ τοῖς κεκτημένοις ἐπιτίμιον, εἰ μὴ ἐπικόπτοιεν τοὺς ἁδρουμένους. καὶ παραδόντες 657e αὐτοῖς τὴν χώραν ἔταξαν μοῖραν | ἣν αὐτοῖς ἀνοίσουσιν ἀεί. χηνίζειν δὲ εἴρηται ἐπὶ τῶν αὐλούντων. Δίφιλος Συνωρίδι (fr. 78)· 25

ἐχηνίασας· ποιοῦσι τοῦτο πάντες οἱ

657b–c cf. Ael. *VH* 3.20 | **657d** Eust. p. 1754.58 = ii.66.28–9

1 ἡμῶν σφάττουσιν A : ἡμῖν σφάττουσι M P Mus : σφάττουσιν ἡμῶν Jacobs **2** τρισκαιδεκάτῃ scripsi : τρίτῃ καὶ δεκάτῃ A ‖ **4** αἷς scripsi : οἷς A **6** τεθραμμένας scripsi : τεθραμμένους A C E ‖ **7** τραγημάτων εἶδος παντοδαπόν scripsi : τραγημάτων εἶδος παντοδαπῶν A : τραγήματα παντοδαπά C E ‖ **8** τὰς A C E : τοὺς B, cf. A C E τεθραμμένους supra **10** ἐκέλευσεν A : ἐκέλευεν C E ‖ **11** χρῆσθαι A : χρᾶσθαι C E | τοιούτοις C E : τοσούτοις A* : τούτοις B M P Mus ‖ **12** αὐτοῖς A : om. C E ‖ **13** δέοι διαφθείρεσθαι Casaubon : δὲ οἶδα φθείρεσθαι A C E ‖ **23** ἁδρουμένους Casaubon : ἀνδρουμένους A C E ‖ **24** ἀεί C E B M P Mus : αἰεί A

παρὰ Τιμοθέῳ.

[75] ἐπεὶ δὲ καὶ πετασῶνος μέρος ἑκάστῳ κεῖται, ἣν πέρναν καλοῦσι, φέρε τι εἴπωμεν καὶ περὶ αὐτῆς, εἴ τις τοῦ ὀνόματος μνημονεύει. κάλλισται μὲν γὰρ αἱ Γαλλικαί, οὐκ ἀπολείπονται δὲ
5 αὐτῶν οὔτε ⟨αἱ⟩ ἀπὸ Κιβύρας τῆς Ἀσιατικῆς οὔτε αἱ Λύκιαι. μνημονεύει δ᾽ αὐτῶν Στράβων ἐν τρίτῳ Γεωγραφουμένων, ἀνὴρ οὐ πάνυ νεώτερος· | λέγει γὰρ αὐτὸς ἐν τῷ ἑβδόμῳ τῆς αὐτῆς 657f πραγματείας (fr. 60 Jones) ἐγνωκέναι Ποσειδώνιον τὸν ἀπὸ τῆς Στοᾶς φιλόσοφον (*FGrH* 87 T 10b = test. 8 Edelstein–Kidd = test. 27
10 Theiler), οὗ πολλάκις ἐμεμνήμεθα συγγενομένου Σκιπίωνι τῷ τὴν Καρχηδόνα ἑλόντι· γράφει γοῦν ὁ Στράβων οὕτως (3.161–2)· ἐν Σπανίᾳ πρὸς τῇ Ἀκυτανίᾳ πόλις Πομπάδων, ὡς ἂν εἴποι τις Πομπηϊόπολις, ‖ ἐν ᾗ πέρναι διάφοροι συντίθενται ταῖς Κουρικαῖς 658a ἐνάμιλλοι. ἀλιπάστων δὲ κρεῶν μνημονεύει ὁ τῆς κωμῳδίας
15 ποιητὴς Ἀριστομένης ἐν Διονύσῳ (fr. 12)·

ἀλίπαστα ταῦτα παρατίθημί σοι.

καὶ ἐν Γόησιν (fr. 6)·

ἀλίπαστον αἰεὶ τὸν θεράποντ᾽ ἐπεσθίειν.

[76] ἐπεὶ δὲ καὶ Σικελίας αὔχημα (adesp. com. fr. *124) τροφαλὶς
20 ἤδ᾽ ἐστί σοι, φίλε, λέξωμέν τι καὶ περὶ τυρῶν· Φιλήμων μὲν γὰρ ἐν τῷ ἐπιγραφομένῳ Σικελικῷ (fr. 79)·

ἐγὼ πρότερον μὲν ᾤμην τὴν Σικελίαν |
ἓν τοῦτ᾽ ἀπόταχτον † αὐτὸν τοὺς τυροὺς ποιεῖν 658b

658a Eust. p. 1178.13 = IV.306.17

3 αὐτῆς A : ταύτης Kaibel ‖ **4** Γαλλικαί, i.e. ΓΑΛΛΙ- Kaibel : γαλᾷ καί, i.e. ΓΑΛΑΙ- A : γαλατικαὶ καὶ B : γαλλαὶ καὶ M P Mus ‖ **5** ⟨αἱ⟩ add. Musurus **6** τρίτῳ scripsi : τρίτῃ A ‖ **7** πάνυ A : πολὺ Kaibel ("sed oratio mutila") αὐτὸς Schweighäuser : αὐτὸν A | τῷ ἑβδόμῳ scripsi : τῇ ζ´ A **10** ἐμεμνήμεθα Kaibel : μεμνήμεθα A ‖ **11** γοῦν scripsi : δ᾽ οὖν A ‖ **12** πόλις M P Mus et Str. : πόλεις A* | Πομπάδων, i.e. -ΔΩΝ A : Πομπέλων, i.e. -ΛΩΝ Str. ‖ **13** Κουρικαῖς A : Κουβιρικαῖς B : Κανταβρικαῖς Str. ‖ **17** ἐν Γόησιν ὁ Στράβων A : ἐν Γόησιν· ὄστρακον Musurus : ὁ Στράβων del. Wilamowitz ‖ **18** θεράποντ᾽ M P Mus : θεράποντα A ‖ **20** φίλε scripsi : φίλοι A ‖ **22** ᾤμην A : ᾠόμην Bentley ‖ **23** αὐτὸν A : αὐτό, Musurus

καλούς· ἔτι τε ταῦτα προσετίθην ἀκηκοώς,
ἱμάτια ποικίλ' εἰ λέγοι τις Σικελικά.
σκεύη μὲν οὖν καὶ κτήματ' ᾤμην φέρειν. 5

καὶ ὁ Τρομιλικὸς δὲ τυρὸς ἔνδοξός ἐστι· περὶ οὗ φησι Δημήτριος ὁ Σκήψιος ἐν δευτέρῳ Τρωικοῦ Διακόσμου (fr. 3 Gaede) οὕτω· τῆς 5 Ἀχαίας πόλις Τρομίλεια, περὶ ἣν γίνεται τυρὸς αἴγειος ἥδιστος 658c οὐκ ἔχων σύγκρισιν πρὸς | ἕτερον, ὁ προσαγορευόμενος Τρομιλικός· οὗ καὶ Σιμωνίδης μνημονεύει ἐν ἰάμβῳ (Semon. fr. 22 West[2]) οὗ ἡ ἀρχή·

πολλὰ μὲν δὴ † προεκπονη †, Τηλέμβρωτε, 10

γράφων (Semon. fr. 23 West[2])·

ἐνταῦθα μέν τοι τυρὸς ἐξ Ἀχαΐης
Τρομιλικὸς θαυμαστός, ὃν κατήγαγον.

Εὐριπίδης δ' ἐν Κύκλωπι (136) ὀπίαν καλεῖ τυρὸν τὸν δριμὺν τὸν πηγνύμενον τῷ τῆς συκῆς ὀπῷ· 15

καὶ τυρὸς ὀπίας ἐστὶ καὶ Διὸς γάλα.

ἐπεὶ δὲ περὶ πάντων εἶπον τῶν παρακειμένων ἀποτράγημά τε 658d πεποίημαι τὸν Τρομιλικόν, καταπαύσω | τὸν λόγον· τὸ γὰρ λείψανον τῶν τραγημάτων καὶ τρωξίμων ἀποτράγημα εἴρηκεν Εὔπολις (fr. 306.1)· σκώπτων γὰρ Διδυμίαν τινὰ ἀποτράγημα 20 αὐτὸν εἴρηκεν ἀλώπεκος ἤτοι ὡς μικρὸν τὸ σῶμα ἢ ὡς κακοήθη καὶ πανοῦργον, ὥς φησιν ὁ Ἀσκαλωνίτης Δωρόθεος. τοὺς δὲ

658c Eust. p. 1485.30–2 = i.151.4–5 | **658d** Eust. p. 1626.32–3 = i.338.26–7

1 ἔτι τε A : τε del. Bentley | τυρὸς Σικελικὸς ὅτι κράτιστος ἦν αἵ τε περιστεραὶ σικελικαί post ἀκηκοώς praeb. A : ut glossam del. Bentley **2** ποικίλ' Musurus : ποικίλα A ‖ **3** ᾤμην A : ᾠόμην Casaubon ‖ **8** Σιμωνίδης A, ut codices ubique : Σημωνίδης scribendum hic et infra **10** † προεκπονη † A : προυκπονέαι Fick, Diehl | Τηλέμβρωτε A : Τελέμβροτε M : Τηλέμβροτε P Mus ‖ **13** Τρομιλικὸς Meineke, cf. supra : Στρομίλιος A : Τρομίλιος M P Mus ‖ **16** Διὸς A C E Eust. : βοὸς Eur. **17–18** ἀποτράγημά τε πεποίημαι Kaibel (ἀποτράγημα πεποίημαι iam M[pc] P Mus) : † ἀποτραγημαιεπεποιημαι † A : ἀποτράγημαι πεποίημαι B M[ac] **20** ἀποτράγημα, i.e. -ΤΡΑΓΗΜΑ A C E : ἀποπάτημα, i.e. -ΠΑΤΗΜΑ *EM* p. 132.13

λεπτοὺς τῶν τυρῶν καὶ πλατεῖς Κρῆτες θηλείας καλοῦσιν, ὥς φησι Σέλευκος (fr. 56 Müller)· οὓς καὶ ἐν θυσίαις τισὶν ἐναγίζουσι. πυριέφθων δὲ μνημονεύει (οὕτω δὲ καλεῖται τὸ πρῶτον γάλα) Φιλιππίδης ἐν Αὐλοῖς (fr. 10)· |

5 τοὺς δὲ † πυριεφθας † καὶ τὰ λάγανα ταῦτ' ἔχων. 658e

καὶ ἴσως πάντα τὰ τοιαῦτα ἐπιδειπνίδας ἔλεγον Μακεδόνες· κώθωνος γὰρ ἡδύσματα ταῦτα.

[77] τοιαῦτά τινα ἔτι τοῦ Οὐλπιανοῦ διαλεγομένου ἐπελθὼν εἷς ἐκείνων τῶν σοφιστῶν μαγείρων ἐκήρυσσε μῦμα. καὶ πολλῶν 10 ξενιζομένων ἐπὶ τῷ κηρύγματι — οὐ γὰρ ἐδείκνυεν ὁ στιγματίας ὅ τι ἦν — ἔφη· ἀγνοεῖν μοι δοκεῖτε, ὦ ἄνδρες δαιταλῆς, ὅτι καὶ Κάδμος ὁ τοῦ Διονύσου πάππος μάγειρος ἦν. σιωπησάντων δὲ καὶ ἐπὶ τούτῳ πάντων, Εὐήμερος, ἔφη, ὁ | Κῷος ἐν τῷ τρίτῳ τῆς 658f Ἱερᾶς Ἀναγραφῆς (*FGrH* 63 F 1) τοῦθ' ἱστορεῖ, ὡς Σιδωνίων 15 λεγόντων τοῦτο, ὅτι Κάδμος μάγειρος ὢν τοῦ βασιλέως καὶ παραλαβὼν τὴν Ἁρμονίαν αὐλητρίδα καὶ αὐτὴν οὖσαν τοῦ βασιλέως ἔφυγε σὺν αὐτῇ.

ἐγὼ δὲ φεύξομαι ἐλεύθερος γεγώς· (E. fr. **898a = adesp. tr. fr. 98 Nauck²)

20 οὐδὲ γὰρ ἂν εὕροι τις ὑμῶν δοῦλον μάγειρόν τινα ἐν κωμῳδίᾳ πλὴν παρὰ Ποσειδίππῳ μόνῳ· ‖ δοῦλοι δ' ὀψοποιοὶ παρῆλθον 659a πρώτων Μακεδόνων τοῦτ' ἐπιτηδευσάντων ἢ δι' ὕβριν ἢ δι' ἀτυχίαν τῶν αἰχμαλωτισθεισῶν πόλεων. ἐκάλουν δ' οἱ παλαιοὶ τὸν μὲν πολιτικὸν μάγειρον Μαίσωνα, τὸν δ' ἐκτόπιον τέττιγα. 25 Χρύσιππος δ' ὁ φιλόσοφος (xxviii fr. 13, *SVF* iii.200) τὸν Μαίσωνα ἀπὸ τοῦ μασᾶσθαι οἴεται κεκλῆσθαι, οἷον τὸν ἀμαθῆ καὶ πρὸς γαστέρα νενευκότα, ἀγνοῶν ὅτι Μαίσων γέγονε κωμῳδίας

659a–b Eust. p. 1751.56–60 = ii.62.14–18

2 καὶ C E Eust. : om. A ‖ **5** τοὺς δὲ † πυριεφθας † A : τὰ δὲ πυρίεφθα Schweighäuser ‖ **6** ἐπιδειπνίδας, i.e. -ΙΔΑΣ A : ἐπιδειπνιάδας, i.e. -ΙΑΔΑΣ C E ‖ **14** Σιδωνίων B M P Mus : Σιδονίων A ‖ **20** ἂν εὕροι M P Mus : † ἀνελευθεροι † A ‖ **21** Ποσειδίππῳ Dindorf : Ποσιδίππῳ A ‖ **22** ὑπὸ πρώτων Μακεδόνων A C E : ὑπὸ del. Kaibel : fort. πρῶτοι ‖ **23** δ' C E M P Mus : om. A

ὑποκριτής, Μεγαρεὺς τὸ γένος, ὃς καὶ τὸ πρόσωπον εὗρε τὸ ἀπ'
659b αὐτοῦ καλούμενον Μαίσωνα, | ὡς Ἀριστοφάνης φησὶν ὁ Βυζάντιος
ἐν τῷ Περὶ Προσώπων (fr. 363 Slater) εὑρεῖν αὐτὸν φάσκων καὶ τὸ
τοῦ θεράποντος πρόσωπον καὶ τὸ τοῦ μαγείρου. καὶ εἰκότως καὶ
τὰ τούτοις πρέποντα σκώμματα καλεῖται Μαισωνικά· μάλιστα 5
γὰρ εἰσάγονται οἱ μάγειροι σκωπτικοί τινες, ὡς παρὰ Μενάνδρῳ
ἐν Ἐπιτρέπουσι. καὶ Φιλήμων δέ πού φησι (Strato Com. fr. 1.1–4)·

σφίγγ' ἄρρεν', οὐ μάγειρον, εἰς τὴν οἰκίαν
εἴληφ'· ἁπλῶς γὰρ οὐδὲ ἕν, μὰ τοὺς θεούς,
ὧν λέγει συνίημι· καινὰ ῥήματα | 10
659c πεπορισμένος γάρ ἐστι.

τὸν δὲ Μαίσωνα Πολέμων ἐν τοῖς Πρὸς Τίμαιον (fr. 46 Preller) ἐκ
τῶν ἐν Σικελίᾳ φησὶν εἶναι Μεγάρων καὶ οὐκ ἐκ τῶν Νισαίων.
ἀλλ' ὅ γε Ποσείδιππος περὶ δούλων μαγείρων ἐν Ἀποκλειομένῃ
(fr. 2) φησί· 15

ταυτὶ μὲν οὖν τοιαῦτα· συμβαίνει δέ τι
νῦν μοι διακονοῦντι παρὰ τῷ δεσπότῃ
ἀστεῖον· οὐχ ἁλώσομ' ἐκφέρων κρέας.

καὶ ἐν Συντρόφοις (fr. 25)·

(A.) ἐβάδιζες ἔξω τῶν πυλῶν μάγειρος ὤν; | 20
659d (B.) ἐντὸς πυλῶν, Παρμένων, ἄδειπνος ἦν.
(A.) πότερον οὖν ἀφεῖσαι; (B.) κατ' ἀγορὰν ἐργάζομαι·
ἐπρίατο γάρ τις ὁμότεχνός με γνώριμος.

1 πρόσωπον scripsi, cf. Poll. 4.148 τὰ δὲ δούλων πρόσωπα κωμικὰ ... θεράπων Μαίσων : προσωπεῖον A C E Eust. | εὗρε τὸ C E M P Mus : † ερευτο † A ‖ **6** οἱ A C E : del. Kaibel ‖ **8** σφίγγ' ἄρρεν' Musurus : σφίγγα ἄρρενα A : φίγγα ἄρρενα C E ‖ **9** εἴληφ' Musurus : εἴληφα A C E ‖ **10** ὧν λέγει A C E : ὅσ' ἂν λέγῃ 9.382b : ὧν ἂν λέγῃ Dindorf ‖ **11** γάρ ἐστι(ν), i.e. ΓΑΡ- A C E : πάρεστιν, i.e. ΠΑΡ- *P.Cair.* 65445 et 9.382b ‖ **12** Μαίσωνα M^pc P Mus : Μάσωνα A M^ac ‖ **13** Μεγάρων Schweighäuser : Μεγαρέων A Νισαίων Musurus : νησαίων A ‖ **14** Ποσείδιππος Dindorf : Ποσίδιππος A **18** ἁλώσομ' Musurus : ἁλώσομαι A ‖ **21** Παρμένων, i.e. ΠΑΡ- A : γὰρ ⟨ἂν⟩ μένων, i.e. ΓΑΡ- Dindorf ‖ **22** πότερον A : πότερ' Dobree | ἀφεῖσαι Dobree : † ἀφεισεα † A

[78] οὐδὲν οὖν ἦν παράδοξον εἰ καὶ θυτικῆς ἦσαν ἔμπειροι οἱ παλαίτεροι μάγειροι· προΐσταντο γοῦν καὶ γάμων καὶ θυσιῶν, διόπερ Μένανδρος ἐν Κόλακι (*Kol.* fr. 1 Sandbach) τὸν τοῖς τετραδισταῖς διακονούμενον μάγειρον ἐν τῇ τῆς Πανδήμου Ἀφροδίτης
5 ἑορτῇ ποιεῖ ταυτὶ λέγοντα· |

σπονδή. δίδου σὺ σπλάγχν᾽ ἀκολουθῶν. ποῖ βλέπεις; 659e
σπονδή. φέρ᾽ ὦ παῖ Σωσία. σπονδή. † καλω
ἐυχου †. θεοῖς ᾽Ολυμπίοις εὐχώμεθα
᾽Ολυμπίασι, πᾶσι πάσαις — λάμβανε
10 τὴν γλῶτταν ἐν τούτῳ — διδόναι σωτηρίαν, 5
ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων τε νῦν
ἀγαθῶν ὄνησιν πᾶσιν. ταῦτ᾽ εὐχώμεθα.

καὶ παρὰ Σιμωνίδῃ (Semon. fr. 24 West²) δέ φησιν ἕτερος·

χῶς | † αφευσσα χωσ † ἐμίστυλα κρέα 659f
15 εἰδώς τι· καὶ γὰρ οὐ κακῶς ἐπίσταμαι.

ἐμφαίνει δ᾽ αὐτῶν τὴν ἐμπειρίαν καὶ ἡ Πρὸς Ἀλέξανδρον ᾽Ολυμπιάδος ἐπιστολή. προτρεπομένη μάγειρον αὐτῇ πρίασθαι θυσιῶν ἔμπειρον ἡ μήτηρ φησί· Πελίγναν τὸν μάγειρον λαβὲ παρὰ τῆς μητρός· οὗτος γὰρ οἶδε τὰ ἱερά σου τὰ πατρῷα πάντα ὃν τρόπον
20 θύεται καὶ τὰ Ἀργαδιστικὰ καὶ τὰ Βακχικά, ὅσα τε ᾽Ολυμπιὰς προθύεται, οὗτος οἶδε. ‖ μὴ οὖν ἀμελήσῃς, ἀλλὰ λαβὲ καὶ ἀπόστειλον πρὸς ἐμὲ τὴν ταχίστην. [79] ὅτι δὲ σεμνὸν ἦν ἡ μαγειρικὴ μαθεῖν ἔστιν ἐκ τῶν Ἀθήνησι Κηρύκων· οἵδε γὰρ μαγείρων καὶ βουτύπων ἐπεῖχον τάξιν, ὥς φησι Κλείδημος ἐν Πρωτογονίας 660a
25 πρώτῳ (*FGrH* 323 F 5a)· Ὅμηρός τε τὸ ῥέζειν ἐπὶ τοῦ θύειν τάσσει, τὸ δὲ θύειν ἐπὶ τοῦ ψαιστὰ μεταδόρπια θυμιᾶν. καὶ οἱ παλαιοὶ τὸ

660a Eust. p. 1661.48–9 = i.385.13–14

7 φέρ(ε) ὦ παῖ Σωσία, i.e. ΦΕΡΩΠΑ- Pierson : † φερεωπλειωωσια †, i.e. ΦΕΡΩΠΛ- A ‖ **7–8** † καλω ἐυχου † A : καλῶς. / εὔχου Musurus : καλῶς / ἔχει Musgrave, Wilamowitz ‖ **12** ὄνησιν Casaubon : † ὀνησιαν † A | πᾶσιν A : πᾶσι M P Mus ‖ **13** Σιμωνίδῃ A : Σημωνίδῃ scribendum **14** † αφευσσα † A : ἀπεῦσα Fick (ἄπευσα scripsit) | † χωσ † A : κῶς Schneidewin ‖ **15** εἰδώς τι A : ἱρωστί Hecker ‖ **17** fort. ἐπιστολή, ⟨ἐν ᾗ⟩ **19** πάντα M P Mus : πάντας A ‖ **24** βουτύπων M P Mus : βουτύρων A **25** τε A : fort. γε vel δὲ

θύειν δρᾶν ὠνόμαζον. ἔδρων δ' οἱ Κήρυκες ἄχρι πολλοῦ βουθυτοῦντες, φησί, καὶ σκευάζοντες καὶ μιστύλλοντες, ἔτι δ' οἰνοχοοῦντες. | 660b Κήρυκας δ' αὐτοὺς ἀπὸ τοῦ κρείττονος ὠνόμαζον· ἀναγέγραπταί τε οὐδαμοῦ μαγείρῳ μισθὸς ἀλλὰ κήρυκι. καὶ Ἀγαμέμνων δὲ παρ' Ὁμήρῳ θύει βασιλεὺς ὤν· φησὶ γὰρ ὁ ποιητής (*Il.* 3.292–4)· 5

ἦ, καὶ ἀπὸ στομάχους ἀρνῶν τάμε νηλέι χαλκῷ.
καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας,
θυμοῦ δευομένους· ἀπὸ γὰρ μένος εἵλετο χαλκός.

660c καὶ Θρασυμήδης ὁ τοῦ Νέστορος υἱὸς ἀναλαβὼν | πέλεκυν κόπτει τὸν βοῦν (*Od.* 3.442–3), ἐπεὶ διὰ τὸ γῆρας ὁ Νέστωρ οὐκ ἠδύνατο· 10 συνεπόνουν δ' αὐτῷ καὶ οἱ ἄλλοι ἀδελφοί (*Od.* 3.439–2, 444). οὕτως ἔνδοξον ἦν καὶ μέγιστον τὸ τῆς μαγειρικῆς τέχνης ἀξίωμα. καὶ παρὰ Ῥωμαίοις δ' οἱ τιμηταί — μεγίστη δ' αὕτη ἀρχή — τὴν περιπόρφυρον ἐνδεδυκότες καὶ ἐστεφανωμένοι πελέκει τὰ ἱερεῖα κατέβαλλον. οὐ παρέργως δὲ παρὰ τῷ Ὁμήρῳ καὶ τὰ ὅρκια καὶ 15 τὰ ἱερόθυτα κήρυκες κομίζουσιν, ὡς παλαιᾶς οὔσης καὶ προσηκούσης αὐτοῖς τῆς λειτουργίας (*Il.* 3.116–17)· |

660d Ἕκτωρ δὲ προτὶ ἄστυ δύο κήρυκας ἔπεμπεν
καρπαλίμως ἄρνάς τε φέρειν Πρίαμόν τε καλέσαι.

καὶ πάλιν (*Il.* 3.118–20)· 20

αὐτὰρ ὃ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆας ἔπι γλαφυρὰς ἰέναι, ἠδ' ἄρν' ἐκέλευσεν
οἰσέμεναι.

καί (*Il.* 19.250–1)·

Ταλθύβιος δὲ θεῷ ἐναλίγκιος αὐδὴν 25
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.

[**80**] ἐν δὲ τῷ πρώτῳ τῆς Ἀτθίδος (*FGrH* 323 F 5b) Κλείδημος 660e φῦλον | ἀποφαίνει μαγείρων ἐχόντων δημιουργικὰς τιμάς, οἷς καὶ

3 ἀπὸ τοῦ κρείττονος A : ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ Harp. κ 52 Hsch. κ 2560 *Suda* κ 1542 ‖ **5** βασιλεὺς ὤν Kaibel : βασιλεύων A ‖ **15** τὰ παρὰ A : τὰ om. B M P Mus ‖ **18** δύο A : δύω Hom. ‖ **19** καλέσαι A : καλέσσαι Hom. et Musurus ‖ **25** θεῷ Hom. et M P Mus : † εω † A ‖ **27** Κλείδημος, i.e. ΚΛ- Casaubon : καὶ † δημος †, i.e. ΚΑ- A

τὸ πλῆθος ἀγείρειν ἔργον ἦν. οὐκ ἀπεικότως δὲ καὶ Ἀθηνίων ἐν Σαμόθρᾳξιν (fr. 1), ὥς φησιν Ἰόβας (*FGrH* 275 F 86), μάγειρον εἰσάγει φυσιολογοῦντα διὰ τούτων·

(A.) οὐκ οἶσθ᾽ ὅτι πάντων ἡ μαγειρικὴ τέχνη
5 πρὸς εὐσέβειαν πλεῖστα προσενήνεχθ᾽ ὅλως;
(B.) τοιοῦτόν ἐστι τοῦτο; (A.) πάνυ γε, βάρβαρε·
τοῦ θηριώδους καὶ παρασπόνδου βίου
ἡμᾶς γὰρ ἀπολύσασα καὶ τῆς δυσχεροῦς | 5
ἀλληλοφαγίας ἤγαγ᾽ εἰς τάξιν τινὰ 660f
10 καὶ τουτονὶ περιῆψεν ὃν νυνὶ βίον
ζῶμεν. (B.) τίνα τρόπον; (A.) πρόσεχε, κἀγώ σοι φράσω.
ἀλληλοφαγίας καὶ κακῶν ὄντων συχνῶν
γενόμενος ἄνθρωπός τις οὐκ ἀβέλτερος 10
ἔθυσ᾽ ἱερεῖον πρῶτος, ὤπτησεν κρέας,
15 ἴσως δ᾽ ἦν τὸ κρέας ἥδιον ἀνθρώπου κρεῶν.
αὑτοὺς μὲν οὐκ ἐμασῶντο, τὰ δὲ βοσκήματα
θύοντες ὤπτων. ὡς δ᾽ ἅπαξ τῆς ἡδονῆς ‖
ἐμπειρίαν τιν᾽ ἔλαβον, ἀρχῆς γενομένης 15 661a
ἐπὶ πλεῖον † τινηυξον † τὴν μαγειρικὴν τέχνην·
20 ὅθεν ἔτι καὶ νῦν τῶν πρότερον μεμνημένοι
τὰ σπλάγχνα τοῖς θεοῖσιν ὀπτῶσι φλογὶ
ἅλας οὐ προσάγοντες· οὐ γὰρ ἦσαν οὐδέπω
εἰς τὴν τοιαύτην χρῆσιν ἐξευρημένοι. 20
ὡς δ᾽ ἤρεσ᾽ αὐτοῖς ὕστερον, καὶ τοὺς ἅλας
25 προσάγουσιν ἤδη τῶν ἱερῶν † γεγραμμένων
τὰ πάτρια διατηροῦντες. ἅπερ ἡμῖν μόνα
ἅπασιν ἀρχὴ γέγονεν τῆς σωτηρίας, |
τὸ προσφιλοτεχνεῖν διά τε τῶν ἡδυσμάτων 25 661b
ἐπὶ πλεῖον αὔξειν τὴν μαγειρικὴν τέχνην.
30 (B.) καινὸς γάρ ἐστιν οὑτοσὶ Παλαίφατος.

661b Eust. p. 1859.44–6 = ii.195.46–196.1

1 ἀγείρειν Wilamowitz : ἐνεργεῖν A ‖ **14** κρέας Porson : κρέα A C E **15** ἴσως A C E : ὡς Casaubon ‖ **17** θύοντες ὤπτων A : ὤπτων θύοντες C E **19** † τινηυξον † A : τινες ηὖξον C E : ηὖξον Schweighäuser ‖ **21** ὀπτῶσι A C E : ὀπτῶσιν Dindorf ‖ **23** ἐξευρημένοι A : ἐξηυρημένοι C E ‖ **24** ἤρεσ᾽ A : ἤρεσεν C E ‖ **27** γέγονεν A : γέγονε B

(A.) μετὰ ταῦτα γαστρίον τις ὠνθυλευμένον
προϊόντος εἰσηνέγκατ' ἤδη τοῦ χρόνου·
ἀκριβῶς ἐρίφιον ἐτακέρωσε, πνικτῷ διέλαβε 30
περικομματίῳ, διεγίγγρασ' ὑποκρούσας γλυκεῖ,
ἰχθὺν παρεισεκύκλησεν οὐδ' ὁρώμενον, | 5
661c λάχανον, τάριχος πολυτελές, χόνδρον, μέλι.
ὡς πολὺ διὰ τὰς ἡδονὰς ἃς νῦν λέγω
ἀπεῖχ' ἕκαστος τοῦ φαγεῖν ἂν ἔτι νεκροῦ· 35
αὑτοῖς ἅπαντες ἠξίουν συζῆν, ὄχλος
ἠθροίζετ', ἐγένονθ' αἱ πόλεις οἰκούμεναι 10
διὰ τὴν τέχνην, ὅπερ εἶπα, τὴν μαγειρικήν.
(B.) ἄνθρωπε χαῖρε, περὶ πόδ' εἶ τῷ δεσπότῃ.
(A.) καταρχόμεθ' ἡμεῖς οἱ μάγειροι, θύομεν, 40
σπονδὰς ποιοῦμεν, τῷ μάλιστα τοὺς θεοὺς
ἡμῖν ὑπακούειν διὰ τὸ ταῦθ' εὑρηκέναι | 15
661d τὰ μάλιστα συντείνοντα πρὸς τὸ ζῆν καλῶς.
(B.) ὑπὲρ εὐσεβείας οὖν ἄφες, παῦσαι λέγων.
ἥμαρτον. ἀλλὰ δεῦρο συνέσθιέ 45
μοι, τά τ' ἔνδον εὐπρεπῆ πόει λαβών.

[**81**] καὶ Ἄλεξις δ' ἐν Λεβητίῳ (fr. 134) δηλοῖ ὅτι ἡ μαγειρικὴ 20 τέχνη ἐπιτήδευμα ἦν ἐλευθέρων· πολίτης γάρ τις οὐκ † ἀπίνης † ἐν αὐτῷ δείκνυται ὁ μάγειρος. καὶ οἱ τὰ Ὀψαρτυτικὰ δὲ συγγρά-
661e ψαντες | Ἡρακλείδης τε καὶ Γλαῦκος ὁ Λοκρὸς οὐχ ἁρμόττειν φασὶ ⟨δούλοισι⟩ τὴν μαγειρικὴν ἀλλ' οὐδὲ τοῖς τυχοῦσι τῶν ἐλευθέρων. ἐκσεμνύνει δὲ τὴν τέχνην καὶ ὁ νεώτερος Κρατῖνος ἐν τοῖς 25 Γίγασι (fr. 1) λέγων·

(A.) ἐνθυμεῖ δὲ τῆς γῆς ὡς γλυκὺ
ὄζει καπνός τ' ἐξέρχετ' εὐωδέστερος;

3 ἀκριβῶς A : del. Dobree ‖ **4** διεγίγγρασ' Dobree (δι' ἐγίγγρασ', i.e. ΔΙΕΓΙ- iam Musurus) : † διεπιγγρασ †, i.e. ΔΙΕΠΙ- A ‖ **10** ἠθροίζετ' M P Mus : ἠθροίζετο A ‖ **13** καταρχόμεθ' M P Mus : καταρχόμεθα A ‖ **15** ταῦθ' εὑρηκέναι Musurus (ταῦτ' εὑρηκέναι iam M P) : ταῦτ' εἰρηκέναι A ‖ **17** ἄφες A : ἀφεὶς Jacobs ‖ **18–19** συνέσθιέ μοι A : συνείσιθι / ἐμοί Cobet **19** εὐπρεπῆ, i.e. ΕΥΠΡ- A : εὐτρεπῆ, i.e. ΕΥΤΡ- Grotius ‖ **21** ἀπίνης A : ἀπηνὴς Valckenaer : ἀγεννὴς Cobet : ἀγενὴς Kaibel ‖ **24** ⟨δούλοισι⟩ add. Kaibel ‖ **28** ἐξέρχετ' Musurus : ἐξέρχεται A C E | εὐωδέστερος, i.e. -δέσ^τρ A C E : εὐωδέστατος, i.e. -δέσ^ττ Bergk

οἰκεῖ τις, ὡς ἔοικεν, τῷ χάσματι
λιβανωτοπώλης ἢ μάγειρος Σικελικός. |
(Β.) παραπλησίαν ὀσμὴν λέγεις ἀμφοῖν γλυκύς. 5 661f

καὶ Ἀντιφάνης δ' ἐν Δυσπράτῳ (fr. 90) ἐπαινῶν τοὺς Σικελικοὺς
5 μαγείρους λέγει·

Σικελῶν δὲ τέχναις ἡδυνθεῖσαι
δαιτὸς διαθρυμματίδες.

καὶ Μένανδρος ἐν Φάσματι (73–4)·

ἐπισημαίνεσθαι ἂν
10 ἡ σκευασία καθάριος ᾖ καὶ ποικίλη.

Ποσείδιππος ἐν Ἀναβλέποντι (fr. 1)·

ἐγὼ μάγειρον ἀναλαβὼν ἀκήκοα ‖
τὰ τῶν μαγείρων πάντα καθ' ἑκάστου κακὰ 662a
ἀντεργολαβοῦντος. ἐλέγομεν ὡς οὐκ ἔχει
15 ῥῖνα Κρητικὴν πρὸς τοὖψον, ὁ δ' ὅτι στόμα
πονηρόν, ὁ δὲ τὴν γλῶτταν εἰς ἀσχήμονας 5
ἐπιθυμίας ἔνιά τε τῶν ἡδυσμάτων,
κάθαλος, κάτοξος, χναυστικός, προσκαυστικός,
καπνὸν οὐ φέρων, οὐ πῦρ. οὐ φέρων δ' ἐκ τοῦ πυρὸς
20 εἰς τὰς μαχαίρας ἦλθον· ὧν εἷς οὑτοσὶ |
διὰ τῶν μαχαιρῶν τοῦ πυρός τ' ἐλήλυθεν. 10 662b

Ἀντιφάνης δ' ἐν Φιλώτιδι (fr. 221) τὴν σοφίαν τῶν μαγείρων ἐμφανίζων φησίν·

(Α.) οὐκοῦν τὸ μὲν † γλυκιδον †, ὥσπερ ἄλλοτε,
25 ἑλεῖν ἐν ἅλμῃ φημί. (Β.) τὸ δὲ λαβράκιον;

7 διαθρυμματίδες Casaubon : διὰ † θριμματιδεσ † A : διαθριμματίδες M P Mus ‖ **9** ἐπισημαίνεσθαι ἂν A : ἐπισημαίνεσθ' ἐὰν Bentley ‖ **10** καθάριος A : καθάρειος Cobet ‖ **11** Ποσείδιππος Dindorf : Ποσίδιππος A ‖ **13** πάντα A : πάνθ' ἃ Hirschig ‖ **14** † ἐλεγομεν † A : ἔλεγον· ὁ μὲν Scaliger ‖ **15** Κρητικὴν A : κριτικὴν B ‖ **18** κάτοξος Grotius : † κατοξους † (v.ll. κάτοξος et κάτοξυς in unam confusas) A ‖ **19** οὐ πῦρ. οὐ φέρων δ' A : δ' om. B : πῦρ οὐ φέρων Grotius ‖ **24** † γλυκιδον † A : γλαυκίδιον 7.295d ‖ **25** ἑλεῖν A : ἕψειν 7.295d

(A.) ὀπτᾶν ὅλον. (B.) τὸν γαλεόν; (A.) ἐνυποτριμματί-
ζεσθαι. (B.) τὸ δ' ἐγχέλιον; (A.) ἅλας, ὀρίγανον,
ὕδωρ. (B.) ὁ γόγγρος; (A.) ταὐτόν. (B.) ἡ βατίς; (A.) χλόη. 5
(B.) πρόσεστι θύννου τέμαχος ὀπτῆς. (B.) εἰς κρέας
ἐρίφιον; (A.) ὀπτόν. (B.) θάτερον; (A.) τἀναντία. | 5
662c (B.) ὁ σπλήν; (A.) σεσάχθω. (B.) νῆστις; (B.) ἀπολεῖ μ'
[οὑτοσί.

ἀοιδίμων δ' ὀψαρτυτῶν ὀνόματα καταλέγει Βάτων ἐν Εὐεργέταις (fr. 4) οὕτως·

(A.) εὖ γ', ὦ Σιβύνη, τὰς νύκτας οὐ καθεύδομεν 10
οὐδ' ἀνατετράμμεθ', ἀλλὰ καίεται λύχνος,
καὶ βιβλίον ταῖς χερσί, καὶ φροντίζομεν
τί Σόφων καταλέλοιπεν ἢ τί Σημωνακτίδης |
662d ὁ Χῖος ἢ Τυνδαρικὸς ὁ Σικυώνιος 5
ἢ Ζωπυρῖνος. (B.) αὐτὸς εὕρηκας δὲ τί; 15
(A.) τὰ μέγιστα. (B.) πόσα ταῦτα; (A.) τοὺς τεθνηκότας.

[**82**] ἐγὼ δὲ τοιουτονὶ βρῶμα ὑμῖν, ἄνδρες φίλοι, τὸ μῦμα φέρω· περὶ οὗ Ἀρτεμίδωρος μὲν ὁ Ἀριστοφάνειος ἐν Ὀψαρτυτικαῖς Γλώσσαις φησὶν ὅτι σκευάζεται ἐκ κρεῶν καὶ αἵματος πολλῶν ἀρτυμάτων συνεμβαλλομένων. Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ λέγει ταῦτα· 20
662e μῦμα δὲ παντὸς ἱερείου, καὶ ὄρνιθος δὲ χρὴ ποιεῖν τὰ | ἁπαλὰ τῶν κρεῶν μικρὰ συντεμόντα καὶ τὰ σπλάγχνα καὶ τὸ ἔντερον καὶ τὸ αἷμα διαθρύψαντα καὶ ἀρτύσαντα ὄξει, τυρῷ ὀπτῷ, σιλφίῳ, κυμίνῳ, θύμῳ χλωρῷ καὶ ξηρῷ, θύμβρᾳ, κοριάννῳ χλωρῷ τε καὶ ξηρῷ καὶ γητίῳ καὶ κρομμύῳ καθαριῷ πεφωσμένῳ ἢ μήκωνι καὶ 25
σταφίδι ἢ μέλιτι καὶ ῥόας ὀξείας κόκκοις. εἶναι δέ σοι τὸ αὐτὸ μῦμα καὶ ὄψου.

1–2 ἐνυποτριμματίζεσθαι A : ἐν ὑποτρίμματι / ζέσθαι M P Mus : ἐν ὑποτρίμματι / ζέσαι Casaubon ‖ **2** ἐγχέλιον A : ἐγχέλειον Schweighäuser ἅλας A : ἅλες 7.295d ‖ **4** ὀπτῆς εἰς A : ὀπτήσεις. 7.295d ‖ **5** ἐρίφιον A : ἐρίφειον 7.295d ‖ **11** ἀνατετράμμεθ', i.e. -ΤΕΤ- Boisonnade : † ἀναγεγραμμεθα †, i.e. -ΓΕΓ- A : ἀναγεγράμμεθ' M P Mus ‖ **12** βιβλίον A : βιβλί' ἐν Porson ‖ **13** σοφῶν καταλέλοιπεν· † ητις ἡμωνακτειδησ † A : Σόφων καταλέλοιπ' ἢ τί Σημωνακτίδης Porson ‖ **14** Τυνδαρικὸς A : Τυνδάριχος Porson ‖ **16** πόσα A : ποῖα Schweighäuser ‖ **25** καθαριῷ scripsi : καθαρῷ A ‖ **27** ὄψου Schweighäuser : ὄψον A

[83] τοσαῦτα καὶ τούτου κατακόψαντος οὐ μόνον τὰ προειρημένα ἀλλὰ καὶ ἡμᾶς ἄλλος ἐπεισῆλθε τὴν ματτύην | κομίζων· ὑπὲρ ἧς καὶ ζητήσεως γενομένης καὶ τοῦ Οὐλπιανοῦ 662f
εἰπόντος τὰ ἐκ τῶν Ὀψαρτυτικῶν Γλωσσῶν τοῦ προειρημένου
5 (14.662d) Ἀρτεμιδώρου Αἰμιλιανὸς Δωροθέῳ ἔφη τῷ Ἀσκαλωνίτῃ σύγγραμμα ἐκδεδόσθαι ἐπιγραφόμενον Περὶ Ἀντιφάνους καὶ περὶ τῆς παρὰ τοῖς Νεωτέροις Κωμικοῖς Ματτύης (= Antiph. test. 7)· ἣν Θετταλῶν φησιν εἶναι εὕρημα, ἐπιχωριάσαι δὲ κἀν ταῖς Ἀθήναις κατὰ τὴν τῶν Μακεδόνων ‖ ἐπικράτειαν. ὁμολογοῦνται 663a
10 δ᾽ οἱ Θετταλοὶ πολυτελέστατοι τῶν Ἑλλήνων γεγενῆσθαι περὶ τὰς ἐσθῆτάς τε καὶ τὴν δίαιταν· ὅπερ αὐτοῖς αἴτιον ἐγένετο καὶ τοῦ κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας ἐζηλωκόσι τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν. ἱστορεῖ δὲ περὶ τῆς πολυτελείας αὐτῶν καὶ Κρατῖνος ἐν τῇ Πολιτείᾳ αὐτῶν (Critias 88 B 31 D.–K.).
15 ὠνομάσθη δὲ ἡ ματτύη, ὡς μὲν ὁ Ἀθηναῖος Ἀπολλόδωρός φησιν ἐν τῷ πρώτῳ τῶν Ἐτυμολογουμένων (*FGrH* 244 F 222), ἀπὸ τοῦ μασᾶσθαι, ὥσπερ καὶ ἡ μαστίχη καὶ † τὰ μάλιστα †· | καὶ ἡμεῖς 663b
δέ φαμεν ἀπὸ τοῦ μάττειν, ἀφ᾽ οὗ καὶ ἡ μᾶζα αὐτὴ ὠνομάσθη καὶ ἡ παρὰ Κυπρίοις καλουμένη μαγὶς καὶ τὸ τρυφᾶν καθ᾽ ὑπερβολὴν
20 ὑπερμαζᾶν. κατ᾽ ἀρχὰς μὲν οὖν τὴν δημοτικὴν καὶ κοινὴν ταύτην τροφὴν τὴν ἐκ τῶν ἀλφίτων μᾶζαν ὠνόμαζον καὶ μάττειν τὸ παρασκευάζειν αὐτήν. ὕστερον δὲ ποικίλλοντες τὴν ἀναγκαίαν τροφὴν ἀκολάστως καὶ περιέργως μικρὸν παραγαγόντες τοὔνομα τῆς μάζης ματτύην ὠνόμαζον τὸ πάνυ πολυτελὲς ἔδεσμα,
25 ματτυάζειν δὲ | τὸ παρασκευάζειν αὐτό, εἴτε ἰχθὺς εἴη εἴτε ὄρνις 663c
εἴτε λάχανον εἴτε ἱερεῖον εἴτε πεμμάτιον. τοῦτο δὲ δῆλόν ἐστιν ἐξ οὗ καὶ ὁ Ἀρτεμίδωρος παρέθετο μαρτυρίου Ἀλέξιδος· συνεμφῆναι γὰρ βουλόμενος ὁ Ἄλεξις τὴν ἀκολασίαν τῆς παρασκευῆς

663a–d Eust. pp. 1751.60–1752.4 = ii.62.18–27

7 Κωμικοῖς M P Mus : κωμικῆς A ‖ **8** δὲ C E : τε A ‖ **9** τῶν C E : om. A **10–11** περὶ τὰς ἐσθῆτάς τε scripsi : περί τε τὰς ἐσθῆτας A C E **14** Κρατῖνος A : Κριτίας Casaubon ‖ **15** ὠνομάσθη A : ὠνόμασται C E **17** τὰ μάλιστα A : ἡ μάσταξ Heyne, Kaibel : ἡ μᾶζα Schweighäuser : τὰ μάγματα Meineke ‖ **22** ποικίλλοντες A : ποικίλαντες C E Eust. ‖ **24** τὸ πάνυ πολυτελὲς scripsi : πᾶν τὸ πολυτελὲς A C E : πᾶν πολυτελὲς Eust. **25** ματτυάζειν δὲ scripsi : τὸ δὲ ματτυάζειν A : καὶ ματτυάζειν E : καὶ μάττειν C | αὐτό C E Eust. : αὐτά A ‖ **26** πεμμάτιον A : σπερμάτιον C E Eust.

προσέθηκε τὸ λέπεσθαι. ἔχει δ' ἡ σύμπασα ἐκλογὴ ⟨οὕτως⟩ οὖσα ἐκ τοῦ διεσκευασμένου δράματος ὃ ἐπιγράφεται Δημήτριος (fr. 50)·

τοὖψον λαβοῦσαι τοῦτο τἀπεσταλμένον
σκευάζετ', εὐωχεῖσθε, προπόσεις πίνετε, |
663d λέπεσθε, ματτυάζετε. 5

τῷ δὲ λέπεσθαι χρῶνται οἱ Ἀθηναῖοι ἐπ' ἀσελγοῦς καὶ φορτικῆς δι' ἀφροδισίων ἡδονῆς. [**84**] καὶ ὁ Ἀρτεμίδωρος ἐν ταῖς Ὀψαρτυτικαῖς Γλώσσαις τὴν ματτύην ἀποφαίνει κοινὸν εἶναι πάντων ὄνομα τῶν πολυτελῶν ἐδεσμάτων γράφων οὕτως· ἔστι τις ὄρνιθος ματτύης. ἐσφάχθω μὲν διὰ τοῦ στόματος εἰς τὴν κεφαλήν, ἔστω δὲ ἕωλος 10 καθάπερ ὁ πέρδιξ· ἐὰν δὲ θέλῃς, ὡς ἔχει αὐτοῖς πτεροῖς ἐὰν ⟨μὴ⟩ 663e τετιλμένην. εἶτα τὸν τρόπον ἐκθεὶς τῆς ἀρτύσεως καὶ | τῆς ἑψήσεως ἐπιφέρει εὐθύς· καὶ νομάδα παχεῖαν ἕψε καὶ νεοσσοὺς τῶν ἤδη κοκκυζόντων, ἐὰν θέλῃς παρὰ πότον χρῆσθαι. εἶτ' ἐξελὼν τὰ λάχανα εἰς τρυβλίον καὶ τῆς ὄρνιθος τῶν κρεῶν ἐπιθεὶς παρατίθει, 15 τοῦ θέρους ἀντὶ τοῦ ὄξους τῆς ὄμφακος ἐμβαλὼν εἰς τὸν ζωμὸν ὡς ἔχει τοὺς βότρυς. ἐπειδὰν δὲ ἑφθὴ γένηται, ἔξελε μετὰ τοῦ βοτρυδίου πρὸ τοῦ τὸ γίγαρτον ἐξαφεῖναι, εἶθ' οὕτω τὸ λάγανον κατάθρυπτε. οὗτος ⟨ὁ⟩ ματτύης ἐν τοῖς ἡδίστοις. ὅτι μὲν οὖν κοινὸν ἦν τοὔνομα ⟨πάντων⟩ τῶν πολυτελεστάτων ἐδεσμάτων φανερόν· 20 663f ὅτι δὲ καὶ ὁ τρόπος τῆς | τοιαύτης εὐωχίας ὁμοίως ἐλέγετο Φιλήμων φησὶν ἐν Ἁρπαζομένῳ (fr. 11)·

γυμνῷ φυλακὴν ἐπίταττε καὶ διὰ τριῶν
ποτηρίων με ματτύης εὐφραινέτω.

καὶ ἐν Ἀνδροφόνῳ (Philem. fr. 8)· 25

πιεῖν τις ἡμῖν ἐγχεάτω, καὶ ματτύην
ποιεῖτε θᾶττον.

1 ⟨οὕτως⟩ add. Schweighäuser ‖ **3** τἀπεσταλμένον B M P Mus : † ταπεταλμενον † A ‖ **6** τῷ C E M P Mus : τὸ A ‖ **8** Γλώσσαις B, cf. 14.662f : Γλώτταις A ‖ **9** ἐδεσμάτων Kaibel, cf. infra : ἡδυσμάτων A C E | ἔστι τις Kaibel : εἴ τις τῆς (v.ll.?) A : ἔστι καί τις Schweighäuser ‖ **11** αὐτοῖς Kaibel : τοῖς A | ⟨μὴ⟩ add. Dalechamps (*plumis minime vulsis*) ‖ **13** καί[2] A : fort. ἢ **19** ⟨ὁ⟩ add. Kaibel : οὕτως pro οὗτος M P Mus ‖ **20** ⟨πάντων⟩ addidi, cf. 14.663d

Ἄλεξις δ᾿ ἐν Πυραύνῳ (fr. 208) ἀμφιβόλως εἴρηκεν· ‖

ἐγὼ δ᾿ ἐπειδὰν ἀσχολουμένους λάβω, 664a
ἀνέκραγον· "οὐ δώσει τις ἡμῖν ματτύην;",

ὥσπερ ἂν εἰ τὸ δεῖπνον ἔλεγε· πιθανὸν δὲ καὶ ἰδίως ἐπί ⟨τι⟩ τῶν
5 ἐδεσμάτων ἀναφέρειν. Μάχων δ᾿ ὁ Σικυώνιος (test. 1) τῶν μὲν
κατὰ Ἀπολλόδωρον τὸν Καρύστιον (test. 1) κωμῳδιοποιῶν εἷς ἐστι
καὶ αὐτός· οὐκ ἐδίδαξε δ᾿ Ἀθήνησι τὰς κωμῳδίας τὰς ἑαυτοῦ ἀλλ᾿
ἐν Ἀλεξανδρείᾳ. ἦν δ᾿ ἀγαθὸς ποιητὴς εἴ τις ἄλλος τῶν μετὰ τοὺς
ἑπτά· διόπερ ὁ γραμματικὸς Ἀριστοφάνης (test. 13B Slater)
10 ἐσπούδασε συσχολάσαι αὐτῷ νέος ὤν. | ἐποίησε δὲ καὶ οὗτος ἐν 664b
δράματι Ἀγνοίᾳ (fr. 1 = 463–6 Gow) ταυτί·

ἥδιον οὐδέν ἐστί μοι τῆς ματτύης.
τοῦτ᾿ εἴτε πρῶτοι Μακεδόνες τοῖς Ἀττικοῖς
κατεδίδαξαν ἡμῖν, εἴτε πάντες οἱ θεοί, 465
15 οὐκ οἶδα πλήν ἐστίν γε μουσικωτάτου τινός.

[**85**] ὅτι δὲ ὕστατον καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο Νικόστρατός φησιν
ἐν Ἀπελαυνομένῳ (fr. 7). μάγειρος δ᾿ ἐστὶν διηγούμενος ὡς
λαμπρὰν καὶ εὔτακτον παρεσκεύασεν εὐωχίαν· προδιηγησάμενός
τε οἷον ἦν τὸ ἄριστον καὶ τὸ δεῖπνον καὶ τρίτης μνησθεὶς παραθέ-
20 σεως | ἐπιφέρει· 664c

εὖ γ᾿, ἄνδρες, εὖ σφόδρ᾿· ἀλλὰ μὴν τῇ ματτύῃ
οὕτω διαθήσω τὰ μετὰ ταῦθ᾿ ὥστ᾿, οἴομαι,
οὐδ᾿ αὐτὸν ἡμῖν τοῦτον ἀντερεῖν ἔτι.

καὶ ἐν Μαγείρῳ (fr. 16.2–3)·

25 θρῖον δὲ καὶ κάνδυλον ἢ τούτων τι τῶν
εἰς ματτύην οὐδέτερον εἶδε πώποτε.

ἄλλος δέ τίς φησι (adesp. com. fr. 125)·

4 ⟨τι⟩ add. Kaibel ‖ **6** κωμῳδιοποιῶν Schweighäuser (κωμῳδοποιῶν iam M P Mus) : κωμῳδιοποιὸν A : κωμικός (structura mutata) C E ‖ **7–8** ἀλλ᾿ ἐν (ἐν om. B) Ἀλεξανδρείᾳ. ἦν δ᾿ ἀγαθὸς C E B M P Mus : ἀλλ᾿ Ἀλεξανδρείην δ᾿ ἀγαθὸς A ‖ **14** κατεδίδαξαν A C E : κατέδειξαν Casaubon ‖ **17** ὁ διηγούμενος A : ὁ delevi ‖ **19** fort. ⟨τῆς⟩ τρίτης ‖ **21** γ᾿ Casaubon : γε τ᾿ (v.ll.) A
25 κάνδυλον A : κάνδαυλον 12.517a

περιφέρειν ματτύην, ποδάριον, |
664d καὶ γαστρίον τακερόν τι καὶ μήτρας ἴσως.

Διονύσιος δ' ἐν Ἀκοντιζομένῳ (fr. 1)· μάγειρος δ' ἐστὶν ὁ λέγων·

ὥστ' ἐνίοτ' ἂν τούτοισι ποιῶν ματτύην
σπεύδων ἅμ' εἰσήνεγκα διαμαρτὼν μίαν 5
ἄκων περιφορὰν τῶν νεκρῶν ὡς τὸν νεκρόν.

Φιλήμων ἐν Πτωχῇ (fr. 71)·

ἐξὸν ἀποσάττεσθαι δ' ὅλην τὴν ἡμέραν
ποιοῦντα καὶ διδόντα ματτύας ἐκεῖ.

Μόλπις δ' ὁ Λάκων (*FGrH* 590 F *2a) τὰ παρὰ τοῖς Σπαρτιάταις | 10
664e ἐπαΐκλια, ὃ σημαίνει τὰς ἐπιδειπνίδας, ματτύας φησὶ λέγεσθαι παρὰ τοῖς ἄλλοις. ὁ δὲ κυνικὸς Μένιππος ἐν τῷ ἐπιγραφομένῳ Ἀρκεσιλάῳ (fr. II, p. 245 Riese) γράφει οὕτω· πότος ἦν ἐπικωμασάντων τινῶν καὶ ματτύην ἐκέλευσεν εἰσφέρειν Λάκαινάν τις· καὶ εὐθέως περιεφέρετο περδίκεια ὀλίγα καὶ χήνεια ὀπτὰ καὶ τρύφη 15 πλακούντων. τὸ δὲ τοιοῦτο δεῖπνον οἱ μὲν Ἀττικοὶ προσηγόρευον ἐπιδόρπισμα, οἱ δὲ Δωριεῖς ἐπαΐκλιον, τῶν δ' ἄλλων Ἑλλήνων οἱ πλεῖστοι ἐπίδειπνα.

664f τοσούτων καὶ περὶ | τῆς ματτύης λεχθέντων ἔδοξεν ἀπιέναι· καὶ γὰρ ἑσπέρα ἦν ἤδη. διελύθημεν οὖν οὕτως. 20

4 τούτοισι Musurus : τούτου τοῖσι (v.ll. τούτου et τούτοισι) A ‖ **11** ἐπαΐκλια C^s E : † ἐπαικλεια † A : ἐπαίκλεια C E^s Mus | ὃ C E Mus : ἃ Kaibel : om. A **13** πότος ⟨τις⟩ Riese ‖ **14** Λάκαινάν Kaibel : Λάκαινά A C E ‖ **15** περδίκεια C^s E^s : περδίκια A C E | χήνεια C E : χηνία A ‖ **17** ἐπαΐκλιον C E : † ἐπαικλον † A : ἔπαικλον B M P Mus ‖ **18** ἐπίδειπνα A C E : ἐπιδειπνίδα Kaibel **20** διελύθημεν οὖν οὕτως A : καὶ διελύθημεν οὕτως P Mus : καὶ διελύημεν οὕτως M

ΙΕ

[1] εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός, 665a

κατὰ τὸν πάνσοφον Εὐριπίδην (fr. 899), ἑταῖρε Τιμόκρατες,

οὐκ ἂν δυναίμην

5 ἀπομνημονεύειν ἔτι σοι τῶν πολλάκις λεχθέντων ἐν τοῖς περισπουδάστοις τούτοις συμποσίοις διὰ τήν τε ποικιλίαν καὶ τὴν ὁμοιότητα τῶν ἀεὶ καινῶς προσευρισκομένων· καὶ γὰρ καὶ περὶ τάξεως τῶν περιφορῶν | πολλάκις ἐλέχθη καὶ περὶ τῶν μετὰ τὸ 665b δεῖπνον ἐπιτελουμένων, ἅπερ καὶ μόλις ἀναπεμπάζομαι εἰπόντος
10 τινὸς τῶν ἑταίρων τὰ ἐκ τῶν Λακώνων Πλάτωνος (fr. 71) ἰαμβεῖα·

(Α.) ἄνδρες δεδειπνήκασιν ἤδη; (Β.) σχεδὸν ἅπαντες. (Α.) εὖ γε·
τί οὐ τρέχων τὰς τραπέζας ἐκφέρεις; ἐγὼ δὲ
λίτρον παραχέων εἰσέρχομαι. (Β.) κἀγὼ δὲ παρακορήσων.
(Α.) σπονδὰς δ᾽ ἔπειτα παραχέας τὸν κότταβον παροίσω. |
15 τῇ παιδὶ τοὺς αὐλοὺς ἐχρῆν ἤδη προχείρους εἶναι 5 665c
καὶ προσαναφυσᾶν. τὸ μύρον ἤδη παραχέων † βαδίζων
Αἰγύπτιον κᾆτ᾽ ἴρινον. στέφανον δ᾽ ἔπειθ᾽ ἑκάστῳ
δώσω φέρων τῶν ξυμποτῶν. νεοκρᾶτά τις ποιείτω.
(Β.) καὶ δὴ κέκραται. (Α.) τὸν λιβανωτὸν ἐπιτιθεὶς | † εἶπε. 665d
20 σπονδὴ μὲν ἤδη γέγονε, καὶ πίνοντες ἤδη πόρρω, 10
καὶ σκόλιον ᾖσται, κότταβος δ᾽ ἐξοίχεται θύραζε.
αὐλοὺς δ᾽ ἔχουσά τις κορίσκη Καρικὸν μέλος
μελίζεται τοῖς συμπόταις, καλὴν τρίγωνον εἶδον
ἔχουσαν, εἶτ᾽ ᾖδε πρὸς αὐτὸ μέλος Ἰωνικόν τι.

665a Eust. p. 1301.36–8 = IV.731.18–19

6 τήν τε scripsi : τε τὴν, i.e. ΤΕ- M P Mus : γε τὴν, i.e. ΓΕ- A ‖ **10** ἰαμβεῖα B M P Mus : ἰαμβια A ‖ **11** ἄνδρες Dindorf : ἄνδρες A ‖ **13** λίτρον A : νίπτρον Casaubon | εἰσέρχομαι A : ἔρχομαι Hermann ‖ **15** προχείρους A : πρὸ χειρὸς Hermann ‖ **16** προσαναφυσᾶν A : προαναφυσᾶν Cobet | παραχέων βαδίζων A : παραχέων βαδίζω Bergk : παραχέω βαδίζων Kaibel ‖ **20** μὲν Schweighäuser : με A | ἤδη² A : εἰσι Porson ‖ **21** δ᾽ B M P Mus : δὲ A **23** καλὴν A : κἄλλην Schweighäuser, ducente Casaubon ‖ **24** † ειτηδε † A : ἦτε ᾖδε M : ἦτ᾽ ᾖδε Musurus : εἶτ᾽ ᾖδεν Schweighäuser

[2] μετὰ ταῦτ᾽, οἶμαι, καὶ περὶ κοττάβων ζήτησις ἦν καὶ τῶν ἀποκοτταβιζόντων· οὓς οἰηθείς τις τῶν παρόντων ἰατρῶν εἶναι τούτους οἳ ἀπὸ βαλανείου καθάρσεως ἕνεκα τοῦ στομάχου πίνοντες ἄμυστιν ἀποβλύζουσιν, ἔφη οὐκ εἶναι παλαιὰν ταύτην παράδοσιν οὐδ᾽ εἰδέναι τινὰ τῶν ἀρχαίων ταύτῃ τῇ καθάρσει χρησάμενον· 5
666a διὸ καὶ Ἐρασίστρατον τὸν Ἰουλιήτην ‖ ἐν τῇ Περὶ τῶν Καθόλου πραγματείᾳ (fr. 152 Garofalo) ἐπιτιμᾶν τοῖς τοῦτο ποιοῦσι βλαπτικὸν ὀφθαλμῶν τὸ ἐπιχείρημα δεικνύντα καὶ τῆς κάτω κοιλίας ἐπισχετικόν. πρὸς ὃν Οὐλπιανὸς ἔφη·

ὄρσ᾽, Ἀσκληπιάδη, καλέει κρείων σε Χαρωνεύς· (cf. *Il.* 4.204) 10

οὐ γὰρ κακῶς τινι τῶν ἑταίρων ἡμῶν ἐλέχθη τό· εἰ μὴ ἰατροὶ ἦσαν, οὐδὲν ἂν ἦν τῶν γραμματικῶν μωρότερον. τίς γὰρ ἡμῶν οὐκ οἶδεν ὅτι οὐκ ἦν οὗτος ὁ ἀποκοτταβισμὸς ἀρχαῖος; εἰ μή τι σὺ καὶ τοὺς Ἀμειψίου ⟨Ἀποκοτταβίζοντας⟩ ἀποβλύζειν ὑπολαμβά-
666b νεις. ἐπεὶ οὖν | ἄπειρος εἶ τῆς τοιαύτης θεωρίας, μάθε παρ᾽ ἐμοῦ 15 ὅτι πρῶτον μὲν ἡ τῶν κοττάβων εὕρεσις Σικελική ἐστι ⟨τὴν⟩ παιδιὰν ταύτην πρώτων εὑρόντων Σικελῶν, ὡς Κριτίας φησὶν ὁ Καλλαίσχρου ἐν τοῖς Ἐλεγείοις (fr. B 2.1–2 West[2]) διὰ τούτων·

κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐκ λατάγων τόξα καθιστάμεθα. 20

Δικαίαρχος ὁ Μεσσήνιος, Ἀριστοτέλους μαθητής, ἐν τῷ Περὶ Ἀλκαίου (fr. 95 Wehrli = fr. 106 Mirhady) καὶ τὴν λατάγην φησὶν
666c εἶναι Σικελικὸν ὄνομα. λατάγη δ᾽ ἐστὶ τὸ ὑπολειπόμενον | ἀπὸ τοῦ ἐκποθέντος ποτηρίου ὑγρόν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐρρίπτουν οἱ παίζοντες εἰς τὸ κοττάβιον. Κλείταρχος δ᾽ ἐν τῇ Περὶ 25 Γλωττῶν πραγματείᾳ λατάγην Θεσσαλοὺς καὶ Ῥοδίους τὸν ἀπὸ τῶν ποτηρίων κότταβον λέγειν. [3] κότταβος δ᾽ ἐκαλεῖτο καὶ τὸ

666a Eust. p. 859.38 = III.243.24–5 | **666b–c, 667e, 668b** Eust. p. 1170.55–8 = IV.283.9–13

3 τούτους scripsi : τούτων A ‖ **8** δεικνύντα scripsi : δεικνύων A **14** ⟨Ἀποκοτταβίζοντας⟩ add. Meineke ‖ **16–17** ⟨τὴν⟩ παιδιὰν Kaibel : παιδιὰ A C E ‖ **20** ἐκ A : ἐς 1.28b ‖ **22** λατάγην A : λατάγη (structura mutata) C E : λάταγα Σ[VT] Ar. *Pax* 1244 ‖ **24** ἄνωθεν A C E Σ[VT] Ar. *Pax* 1244 : fort. ἄπωθεν **25** κοττάβιον C E Σ[VT] Ar. *Pax* 1244 : † κοτταβειον † A ‖ **27** καὶ C E Σ[VT] Ar. *Pax* 1244 : om. A

τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ (fr. 562) λέγων οὕτω·

πυκνοῖς δ᾽ ἔβαλλον Βακχείου τοξεύμασι
κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν
5 ἐγὼ ᾽τετάγμην ἆθλα κοττάβων διδούς. |

ἐκαλεῖτο δὲ κότταβος καὶ τὸ ἄγγος εἰς ὃ ἔβαλλον τὰς λατάγας, ὡς Κρατῖνος ἐν Νεμέσει (fr. 124) δείκνυσι. Πλάτων δὲ ἐν Διὶ Κακουμένῳ (fr. 46) παιδιᾶς εἶδος παροίνιον τὸν κότταβον εἶναι ἀποδίδωσιν ἐν ᾗ ἐξίσταντο καὶ τῶν σκευαρίων οἱ δυσκυβοῦντες. λέγει δ᾽
10 οὕτω· 666d

(A.) πρὸς κότταβον παίζειν, ἕως ἂν σφῷν ἐγὼ
τὸ δεῖπνον ὃν ἐν † σκευάσω. (B.) πάνυ βούλομαι.
† αλλανεμος † ἐστ᾽. (A.) ἀλλ᾽ εἰς θυΐαν παιστέον.
(B.) φέρε τὴν θυΐαν, αἶρ᾽ ὕδωρ, ποτήρια |
15 παράθετε. παίζωμεν δὲ περὶ φιλημάτων. 5 666e
(A.) ἀγεννῶς οὐκ ἐῶ
παίζειν. τίθεμαι κοττάβεια σφῷν ἐγὼ
τασδί γε τὰς κρηπῖδας, ἃς αὕτη φορεῖ,
καὶ τὸν κότυλον τὸν σόν. (B.) βαβαιάξ· οὑτοσὶ
20 † μιζωνι † ἀγωνιστὴς Ἰσθμιάδος ἐπέρχεται. 10

[4] ἐκάλουν δὲ καὶ καταλκτούς τινας κοττάβους· ἐστὶ δὲ λυχνία ἀναγόμενα πάλιν τε συμπίπτοντα. Εὔβουλος Βελλεροφόντῃ (fr. 15)·

668d–e Eust. p. 1843.23–6 = ii.175.15–18

3 Βακχείου A C E : Βακχίου Musurus ‖ **5** κοττάβων A C E : κοσσάβων Nauck ‖ **7** ⟨ὅτι δὲ καὶ χαλκοῦν ἦν, Εὔπολις ἐν Βάπταις (fr. 95) λέγει· χαλκῷ περὶ κοττάβῳ.⟩ post δείκνυσι add. Kaibel ex Σ^{VΓ} Ar. *Pax* 1244 ‖ **8** εἶδος Σ^{VΓ} Ar. *Pax* 1244 : οἶνος A ‖ **9** δυσκυβοῦντες A : διακυβεύοντες Σ^{VΓ} Ar. *Pax* 1244 **12** ὃν ἐν A : ἔνδον Dindorf, ducente Jacobs ‖ **13** θυΐαν A : θυείαν Musurus παιστέον Naeke : παῖς † τεον † A ‖ **14** θυΐαν A : θυείαν Musurus ‖ **17** τίθεμαι A : τίθημι Cobet | κοττάβεια A : κοττάβια B M P Mus ‖ **18** γε, i.e. ΓΕ A : τε, i.e. ΤΕ Elmsley | αὕτη Elmsley : αὐτη A ‖ **19** οὑτοσὶ Casaubon : † ουτοισι † A ‖ **20** † μιζωνι † ἀγωνιστὴς A : μείζων ἀγωνιστὴς Musurus : μείζων ἀγὼν τῆς Casaubon

τίς ἂν λάβοιτο τοῦ σκέλους † κάτω θέμενοι; |
666f ἄνω γὰρ ὥσπερ κοττάβειον αἴρομαι.

Ἀντιφάνης δ᾽ ἐν Ἀφροδίτης Γοναῖς (fr. 57)·

(Α.) τονδὶ λέγω, σὺ δ᾽ οὐ συνιεῖς; κότταβος
τὸ λυχνίον ἐστί. πρόσεχε τὸν νοῦν· ᾠὰ μὲν 5
πέντε νικητήριον.
(Β.) περὶ τοῦ; γελοῖον. κοτταβιεῖτε τίνα τρόπον;
(Α.) ἐγὼ διδάξω· καθ᾽ ὅσον ἂν τὸν κότταβον 5
ἀφεὶς ἐπὶ τὴν πλάστιγγα —
(Β.) ποίαν; (Α.) τοῦτο τοὐπικείμενον 10
ἄνω τὸ μικρόν (Β.) τὸ πινακίσκιον λέγεις; ‖
667a (Α.) τοῦτ᾽ ἐστὶ πλάστιγξ — οὗτος ὁ κρατῶν γίνεται.
(Β.) πῶς δ᾽ εἴσεταί τις τοῦτ᾽; (Α.) ἂν τύχῃ μόνον 10
αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται καὶ ψόφος
ἔσται πάνυ πολύς. (Β.) πρὸς θεῶν, τῷ κοττάβῳ 15
πρόσεστι καὶ Μάνης τις ὥσπερ οἰκέτης;

καὶ μετ᾽ ὀλίγα·

(Β.) ᾧ δεῖ λαβὼν τὸ ποτήριον δεῖξον νόμῳ.
(Α.) αὐλητικῶς δεῖ καρκινοῦν τοὺς δακτύλους 15
οἶνόν τε μικρὸν ἐγχέαι καὶ μὴ πολύν· | 20
667b ἔπειτ᾽ ἀφήσεις. (Β.) τίνα τρόπον; (Α.) δεῦρο βλέπε·
τοιοῦτον. (Β.) Πόσειδον, ὡς ὑψοῦ σφόδρα.
(Α.) οὕτω ποιήσεις. (Β.) ἀλλ᾽ ἐγὼ μὲν σφενδόνῃ
οὐκ ἂν ἐφικοίμην αὐτόσ᾽. (Α.) ἀλλὰ μάνθανε· 20

[5] ἀγκυλοῦντα γὰρ δεῖ σφόδρα τὴν χεῖρ᾽ εὐρύθμως πέμπειν τὸν 25
κότταβον, ὡς Δικαίαρχός (fr. 96 Wehrli = fr. 107 Mirhady) φησι

1 κάτω θέμενοι A : κάτω θέμενος C E B : κάτωθέ μοι Musurus ‖ **4** τονδὶ Schweighäuser : † τονδει † A : τὸν δὴ Musurus ‖ **5** λυχνίον vel λύχνιον A C E : λυχνεῖόν Blaydes ‖ **8** διδάξω A C E : ἐπιδείξω, i.e. ᾽πιδείξω 11.487d **12** ἐστὶ vel ἔστι C E B M[pc] P Mus et 11.487e : ἔστιν A M[ac] | γίνεται 11.487e : γίννεται A : γίγνεται Dindorf ‖ **13** τοῦτ᾽ Musurus : τοῦτο A et 11.487e | ἂν A C E : ἐὰν 11.487e | τύχῃ A C E : θίγῃ Jacobs ‖ **16** πρόσεστι C E B M P Mus et 11.487e : πρόσεστιν A ‖ **19** δεῖ καρκινοῦν C E : δικαρκινοῦν A ‖ **22** ὑψοῦ C E : ὑψοῦς A ‖ **24** αὐτόσ᾽ Casaubon : αὐτόσε A : αὐτό γε C E : αὐτὸς M P Mus

καὶ Πλάτων δ' ἐν τῷ Διὶ τῷ Κακουμένῳ (fr. 47)· παρακελεύεται δέ τις τῷ Ἡρακλεῖ μὴ σκληρὰν ἔχειν τὴν χεῖρα μέλλοντα κοτταβί-ζειν. ἐκάλουν | δ' "ἀπ' ἀγκύλης" τὴν τοῦ κοττάβου πρόεσιν διὰ τὸ 667c ἐπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς· οἱ δὲ 5 ποτηρίου εἶδος τὴν ἀγκύλην φασί. Βακχυλίδης ἐν Ἐρωτικοῖς (fr. 17 Snell–Maehler)·

εὖτε
τὴν ἀπ' ἀγκύλης ἵησι τοῖσδε τοῖς νεανίαις
λευκὸν ἀντείνασα πῆχυν.

10 καὶ Αἰσχύλος δ' ἐν Ὀστολόγοις (fr. 179) ἀγκυλητοὺς λέγει κοττά-βους διὰ τούτων·

Εὐρύμαχος, οὐκ ἄλλος, οὐδὲν ἧσσον
ὕβριζ' ὑβρισμοὺς οὐκ ἐναισίους ἐμοί· |
ἦν μὲν γὰρ αὐτῷ κότταβος ἀεὶ τοῦ μὲν † κάρα, 667d
15 τοῦ δ' ἀγκυλητοῦ κοσσάβιός ἐστιν σκοπὸς
† ἐκτεμὼν ἡβῶσα χεὶρ ἐφίετο. 5

ὅτι δὲ ἆθλον προὔκειτο τῷ εὖ προεμένῳ τὸν κότταβον προείρηκε μὲν καὶ ὁ Ἀντιφάνης (fr. 57.2–3 ap. 15.666f)· ᾠὰ γάρ ἐστι καὶ πεμμάτια καὶ τραγήματα. ὁμοίως δὲ διεξέρχονται Κηφισόδωρος 20 ἐν Τροφωνίῳ (fr. 5) καὶ Καλλίας (fr. 12) ἢ Διοκλῆς ἐν Κύκλωψι καὶ Εὔπολις (fr. 399) Ἕρμιππός τε ἐν τοῖς Ἰάμβοις (fr. 7 West²). τὸ δὲ καλούμενον κατακτὸν κοττάβιον τοιοῦτόν ἐστι· λυχνίον ἐστὶν ὑψηλὸν | ἔχον τὸν μάνην καλούμενον, ἐφ' ὃν τὴν καταβαλλομένην 667e ἔδει πεσεῖν πλάστιγγα, ἐντεῦθεν δὲ πίπτειν εἰς λεκάνην ὑποκειμέ-25 νην πληγεῖσαν τῷ κοττάβῳ. καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς. μνημονεύει δὲ τοῦ μάνου Νικοχάρης ἐν Λάκωσιν (fr. 13). [6] ἕτερον δ' ἐστὶν εἶδος παιδιᾶς τὸ ἐν λεκάνῃ. αὕτη δ' ὕδατος πληροῦται ἐπινεῖ τε ἐπ' αὐτῆς ὀξύβαφα κενά, ἐφ' ἃ βάλλοντες τὰς

666b–c, 667e, 668b Eust. p. 1170.55–8 = IV.283.9–13

1 τῷ² A : del. Kaibel ‖ **4** ἐπαγκυλοῦν Σ^VT Ar. *Pax* 1244 : ἀπαγκυλοῦν A C E **5** φασί C E M P Mus : φησί A | Βακχυλίδης M P Mus : Βακχυλλίδης A **13** ἐναισίους Blaydes : † αἰνεσιους † A ‖ **14** τοῦ μὲν A : τοὐμὸν Petit **15** ἐστιν A : ἐστι B M P ‖ **24** δὲ πίπτειν Kaibel : δ' ἔπιπτεν A ‖ **25** εὐχέρεια Σ^VT Ar. *Pax* 1244 : εὐχειρία A ‖ **25–6** καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς] "poetae verba sunt" Kaibel ‖ **27** τὸ scripsi : τῆς A C E

λατάγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν· ἀνῃρεῖτο δὲ τὰ κοττάβια ὁ πλείω καταδύσας. Ἀμειψίας Ἀποκοτταβίζουσιν (fr. 2)· |

667f ἡ Μανία, φέρ᾽ ὀξύβαφα καὶ κανθάρους
καὶ τὸν ποδανιπτῆρ᾽ ἐγχέασα θὔδατος.

Κρατῖνος ἐν Νεμέσει (fr. 124)· † τὸ δὲ κοττάβῳ προθέντας ἐν 5 πατρικοῖσι νόμοις τὸ κεινεου ὀξυβάφοις βάλλειν μὲν τῷ πόντῳ δὲ βάλλοντι νέμω πλεῖστα τύχης τὸ δ᾽ ἆθλον †. Ἀριστοφάνης Δαιταλεῦσιν (fr. 231)· ἔγνωκ᾽ † ἐγὼ δὲ χάλκειον, τοῦτ᾽ ἐστὶν κοττάβειον, 668a ἱστάναι καὶ μυρρίνας. ‖ Ἕρμιππος Μοίραις (fr. 48)·

χλανίδες δ᾽ οὖλαι καταβέβληνται, 10
θώρακα δ᾽ ἅπας ἐμπερονᾶται,
κνημίδες περὶ σφυρὸν ἀρθροῦνται,
βλαύτης δ᾽ οὐδεὶς ἔτ᾽ ἔρως λευκῆς.
ῥάβδον δ᾽ ὄψει τὴν κοτταβικὴν 5
ἐν τοῖς ἀχύροισι κυλινδομένην, 15
μάνης δ᾽ οὐδὲ λατάγων † αει †·
τὴν δὲ τάλαιναν πλάστιγγα ἴδοις
παρὰ τὸν στροφέα τῆς κηπαίας
ἐν τοῖσι κορήμασιν οὖσαν. 10

Ἀχαιὸς δ᾽ ἐν Λίνῳ (*TrGF* 20 F 26) περὶ τῶν σατύρων λέγων φησί· 20

ῥιπτοῦντες, ἐκβάλλοντες, ἀγνύντες, τί μ᾽ οὐ |
668b λέγοντες· ὦ κάλλιστον Ἡρακλεῖ
λάταξ.

τοῦτο δὲ "λέγοντες" παρ᾽ ὅσον τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ᾽ αὐτοῖς τοὺς λεγομένους κοσσάβους· διὸ καὶ Σοφοκλῆς ἐν 25 Ἰνάχῳ (fr. 277) Ἀφροδισίαν εἴρηκε τὴν λάταγα·

666b–c, 667e, 668b Eust. p. 1170.55–8 = IV.283.9–13

2 κοττάβια A[pc] C E B M P Mus : κοττάβεια A[ac] ‖ **4** ποδανιπτῆρ᾽ Dindorf : ποδανιπτῆρα A ‖ **8** χάλκειον A : χαλκίον Musurus ‖ **12** κνημίδες … ἀρθροῦνται A : κνημίδες δὲ … ἀρθροῦνται B M P Mus : κνημὶς δὲ … ἀρθροῦται Porson ‖ **13** ἔτ᾽ ἔρως Valckenaer : ἑτέρως A ‖ **16** οὐδὲ A : οὐδὲν 11.487e | αει A : αἰεί B et 11.487e : ἀίει Jacobs ‖ **17** πλάστιγγα A : πλάστιγγ᾽ ἂν 11.487e **21** μ᾽ οὐ Dindorf : μου A

ξανθὰ δ᾽ Ἀφροδισία λάταξ
πᾶσιν ἐπεκύπτει δόμοις.

καὶ Εὐριπίδης ἐν Πλεισθένει (fr. 631)·

πολὺς δὲ κοσσάβων ἀραγ-
5 μὸς Κύπριδος προσῳδὸν ἀ-
χεῖ μέλος ἐν δόμοισι.

καὶ Καλλίμαχος (fr. 69 Pfeiffer) δέ φησι·

πολλοὶ καὶ φιλέοντες Ἀκόντιον ἧκαν ἔραζε |
οἰνοπόται Σικελὰς ἐκ κυλίκων λάταγας. 668c

10 [7] ἦν δέ τι καὶ ἄλλο κοτταβίων εἶδος προτιθέμενον ἐν ταῖς παννυχίσιν, οὗ μνημονεύει Κάλλιππος ἐν Παννυχίδι (Callim. fr. 227.5–7 Pfeiffer) διὰ τούτων·

ὁ δ᾽ ἀγρυπνήσας
τὸν πυραμοῦντα λήψεται τὰ κοττάβεια
15 καὶ τῶν παρουσῶν ἣν θέλει φιλήσει.

ἐγίνετο δὲ καὶ πεμμάτιά τινα ἐν ταῖς παννυχίσιν, ἐν αἷς πλεῖστον ὅσον χρόνον διηγρύπνουν χορεύοντες· καὶ διωνομάζετο τὰ πεμμάτια τότε χαρίσιοι ἀπὸ τῆς τῶν ἀναιρουμένων χαρᾶς. μνημονεύει | Εὔβουλος ἐν Ἀγκυλίωνι (fr. 1) λέγων οὑτωσί· 668d

20 καὶ γὰρ πάλαι πέττει τὰ νικητήρια.

εἶθ᾽ ἑξῆς φησιν·

ἐξεπήδησ᾽ ἀρτίως
πέττουσα τὸν χαρίσιον.

1 λάταξ, i.e. ΛΑ- M P Mus, cf. λάταγα supra : † αλάταξ †, i.e. ΑΛΑ- A **2** πᾶσιν Meineke : † παισιν † A : παισὶν B M P Mus | ἐπεκύπτει A : ἐπεκτύπει Nauck ‖ **8** ἔραζε P Mus et Σ^{VΓ} Ar. *Pax* 1244 : ἔργαζε A **11** Κάλλιππος A : Καλλίμαχος Wilamowitz ‖ **17–18** τὰ πεμμάτια τότε A : ταῦτα C E : fort. τὰ πεμμάτια ταῦτα ‖ **18** χαρίσιοι Schweighäuser, cf. τὸν χαρίσιον infra et Hsch. χ 199 *Suda* χ 121 : † χαρισιαι † A : χαρίσια C E M P Mus | αὐτὰ post ἀναιρουμένων praeb. C E ‖ **20** πέττει M P Mus : † πεττι † A ‖ **22** ἐξεπήδησ᾽ ἀρτίως Schweighäuser : ἐξεπήδησα ἀρτίως A : εἶτ᾽ εὐθὺς ἐξεπήδησα C E Eust.

ὅτι δὲ καὶ φίλημα ἦν ἆθλον ἑξῆς λέγει ὁ Εὔβουλος (fr. 2)·

εἶέν γυναῖκες· νῦν ὅπως τὴν νύχθ᾽ ὅλην
ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε.
θήσω δὲ νικητήριον τρεῖς ταινίας
καὶ μῆλα πέντε καὶ φιλήματ᾽ ἐννέα. 5

668e ὅτι δὲ ἐσπούδαστο παρὰ τοῖς Σικελιώταις ὁ | κότταβος δῆλον ἐκ τοῦ καὶ οἰκήματα ἐπιτήδεια τῇ παιδιᾷ κατασκευάζεσθαι, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τῷ Περὶ Ἀλκαίου (fr. 94 Wehrli = fr. 108 Mirhady = Alc. fr. 462). οὐκ ἀπεικότως οὖν ὁ Καλλίμαχος (fr. 69.2 Pfeiffer ap. 15.668c) Σικελὴν τὴν λάταγα προσηγόρευσε. μνημο- 10 νεύει τῶν λατάγων καὶ τῶν κοττάβων καὶ ὁ Χαλκοῦς καλούμενος Διονύσιος ἐν τοῖς Ἐλεγείοις (fr. 3 West[2]) διὰ τούτων·

κότταβον ἐνθάδε σοι τρίτον ἑστάναι οἱ δυσέρωτες |
668f ἡμεῖς προστίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον. οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες 15
ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσαισθε τὸν αἰθέρα τὸν κατὰ κλίνην, 5
εἰς ὅσον αἱ λάταγες χωρίον † ἐκτέταται †.

[8] ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ᾔτει πιεῖν μεγάλῃ κύλικι ἐπιλέγων ἐκ τῶν αὐτῶν Ἐλεγείων (Dionys. Eleg. fr. 4 West[2]) καὶ 20 τόδε· ‖

669a ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν·
τόν τε σὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦδ᾽ ἐπὶ συμποσίου· δεξιότης τε λόγου 25
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει· 5

κατὰ γὰρ τὸν νεώτερον Κρατῖνον, ὃς ἐν Ὀμφάλῃ (fr. 4) φησί·

πίνειν μένοντα τὸν καλῶς εὐδαίμονα |

9 οὖν οὐδ᾽ (v.ll.) A : οὐδ᾽ delevi ‖ **11** Χαλκοῦς Musurus, cf. 15.669d : χαλκὸς A ‖ **15** ἐνείρετε B M Mus : ἐνείρεται A ‖ **16** ἐς σφαίρας M P : ἐσφαίρας (vox nihili) A ‖ **17** βηματίσαισθε A : βηματίσασθε M[pc] P Mus | κατὰ κλίνην M P : κατὰ † κλεινην † A : κατακλινῆ Musurus ‖ **18** ἐκτέταται A : ἐκτατέαι Buecheler ‖ **23** τηλεδαπόν Casaubon : † τηλεπαδον † A ‖ **25** τε A : δὲ Bergk

κρεῖττον· μάχαι δ' ἄλλοισι καὶ πόνοι μέλοι. 669b

πρὸς ὃν ὁ Κύνουλκος ἀεὶ τῷ Σύρῳ ἀντικορυσσόμενος καὶ οὐδέποτε τῆς φιλονικίας παυόμενος ἧς εἶχε πρὸς αὐτόν, ἐπεὶ θόρυβος κατεῖχεν τὸ συμπόσιον, ἔφη· τίς οὗτος ὁ τῶν συρβηνέων
5 χορός; καὶ αὐτὸς δὲ τούτων τῶν ἐπῶν μεμνημένος τινῶν ἐρῶ, ἵνα μὴ ὁ Οὐλπιανὸς βρενθύηται ὡς ἐκ τῶν ἀποθέτων τοῖς Ὁμηρίδαις μόνος ἀνασπάσων τὰ κοττάβια (Dionys. Eleg. fr. 2 West[2])·

ἀγγελίας ἀγαθῆς δεῦρ' ἴτε πεσσόμενοι, |
καὶ κυλίκων ἔριδας διαλύσατε, καὶ κατάθεσθε 669c
10 τὴν ξύνεσιν παρ' ἐμοί, καὶ τάδε μανθάνετε

εἰς τὴν παροῦσαν ζήτησιν ἐπιτήδεια ὄντα· ὁρῶ γὰρ καὶ τοὺς παῖδας ἤδη φέροντας ἡμῖν στεφάνους καὶ μύρα. διὰ τί δὲ λέγεται, τῶν ἐστεφανωμένων ἐὰν λύωνται οἱ στέφανοι, ὅτι ἐρῶσιν; τοῦτο γὰρ ἐν παισὶ τὰ Καλλιμάχου ἀναγινώσκων Ἐπιγράμματα, ὧν
15 ἐστι καὶ τοῦτο, ἐπεζήτουν μαθεῖν | εἰπόντος τοῦ Κυρηναίου (Call. *A.P.* 12.134.3–4 = *HE* 1105–6)· 669d

τὰ δὲ ῥόδα φυλλοβολεῦντα
τὠνδρὸς ἀπὸ στεφάνων πάντ' ἐγένοντο χαμαί.

σὸν οὖν ἐστιν, ὦ μουσικώτατε, τὴν χιλιέτη μου ταύτην ζήτησιν
20 ἀπολύσασθαι, Δημόκριτε, καὶ διὰ τί οἱ ἐρῶντες στεφανοῦσι τὰς τῶν ἐρωμένων θύρας.

[9] καὶ ὁ Δημόκριτος, ἀλλ' ἵνα κἀγώ, φησί, μνημονεύσω τῶν τοῦ Χαλκοῦ ποιητοῦ καὶ ῥήτορος Διονυσίου — Χαλκοῦς δὲ προσηγορεύθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι
25 χρήσασθαι, καὶ τὸν λόγον τοῦτον ἀνέγραψε | Καλλίμαχος ἐν τῇ τῶν Ῥητορικῶν Ἀναγραφῇ (fr. 430 Pfeiffer) — λέξω τι καὶ αὐτὸς 669e

669d Eust. p. 1243.16–17 = IV.526.12–14

1 πόνοι A : πόνος Bergk ‖ **3** φιλονικίας Kaibel : φιλονεικίας A ‖ **4** συρβηνέων Meineke, cf. Hsch. σ 2766 : συρβηναίων A ‖ **5** δὲ Kaibel : δ' ἐκ A **7** ἀνασπάσων scripsi : ἀνασπάσας A : ἀνασπάσας ⟨λήψεται⟩ Wilamowitz κοττάβια C E B M P Mus : κοττάβεια A ‖ **8** πεσσόμενοι A : πευσόμενοι Casaubon ‖ **12** λέγεται scripsi : λέγονται A ‖ **26** Ἀναγραφῇ M P Mus : Ἀπογραφῇ A M[s] P[mg]

ἐκ τῶν Ἐλεγείων (Dionys. Eleg. fr. 1 West[2]). σὺ δέ, ὦ Θεόδωρε (τοῦτο γάρ σου τὸ κύριον ὄνομα),

> δέχου τήνδε προπινομένην
> τὴν ἀπ᾽ ἐμοῦ ποίησιν· ἐγὼ δ᾽ ἐπιδέξια πέμπω
> σοὶ πρώτῳ, Χαρίτων ἐγκεράσας χάριτας. 5
> καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι
> συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος. | 5

669f φῂς οὖν, διὰ τί, τῶν ἐστεφανωμένων ἐὰν λύηται ὁ στέφανος, ἐρᾶν λέγονται; πότερον ὅτι ὁ ἔρως τοῦ τῶν ἐρώντων ἤθους περιαιρεῖται τὸν κόσμον, διὰ τοῦτο τὴν τοῦ ἐπιφανοῦς κόσμου περιαίρεσιν 10 φρυκτόν τινα, φησὶ Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν (fr. 24 Wehrli), καὶ σημεῖον νομίζουσι τοῦ καὶ τὸν τοῦ ἤθους κόσμον περιῃρῆσθαι τοὺς τοιούτους; ἢ καθάπερ ἐπὶ τῆς μαντικῆς ἄλλα πολλά, καὶ 670a τοῦτο σημειοῦνταί τινες; ‖ ὁ γὰρ ἐκ τοῦ στεφάνου κόσμος οὐδὲν ἔχων μόνιμον σημεῖόν ἐστι πάθους ἀβεβαίου μέν, κεκαλλωπισμέ- 15 νου δέ. τοιοῦτος δ᾽ ἐστὶν ὁ ἔρως· οὐδένες γὰρ μᾶλλον τῶν ἐν τῷ ἐρᾶν ὄντων καλλωπίζονται. εἰ μὴ ἄρα ἡ φύσις οἱονεί τι δαιμόνιον δικαίως βραβεύουσα τῶν πραγμάτων ἕκαστον οἴεται δεῖν τοὺς ἐρῶντας μὴ στεφανοῦσθαι πρὶν κρατήσωσι τοῦ ἔρωτος· τοῦτο δ᾽ ἐστὶν ὅταν κατεργασάμενοι τὸν ἐρώμενον ἀπαλλαγῶσι τῆς ἐπιθυ- 20 μίας. τὴν ἀφαίρεσιν οὖν τοῦ στεφάνου σημεῖον τοῦ ἔτι ἐν τῷ 670b διαγωνίζεσθαι εἶναι ποιούμεθα. | ἢ ὁ Ἔρως αὐτὸς οὐκ ἐῶν καθ᾽ αὑτοῦ στεφανοῦσθαι καὶ ἀνακηρύττεσθαι τῶν μὲν τὸν στέφανον περιαιρεῖ, τοῖς δὲ λοιποῖς ἐνδίδωσιν αἴσθησιν μηνύων ὅτι ἡττῶνται ὑπὸ αὑτοῦ; διὸ ἐρᾶν οἱ λοιποὶ τοὺς τοιούτους φασίν. ἢ ὅτι λύεται 25 μὲν πᾶν τὸ δεδεμένον, ὁ δὲ ἔρως στεφανουμένων τινῶν δεσμός ἐστιν (οὐθένες γὰρ ἄλλοι τῶν δεδεμένων περὶ τὸ στεφανοῦσθαι σπουδάζουσι πλὴν οἱ ἐρῶντες), τὴν τοῦ στεφάνου δὴ λύσιν σημεῖον τοῦ περὶ τὸν ἔρωτα δεσμοῦ νομίζοντες ἐρᾶν φασι τοὺς τοιούτους; | 670c ἢ διὰ τὸ πολλάκις τοὺς ἐρῶντας διὰ τὴν πτοίησιν, ὡς ἔοικε, 30 στεφανουμένους περιαιρεῖν αὐτῶν τὸν στέφανον ἀντιστρέφομεν τῇ

6 δῶρον P Mus : † δωρος † A ‖ **10** τοῦτο Schweighäuser : τὸ πρὸς A ‖ **20** τὸν A : τὸ C E ‖ **24** περιαιρεῖ C E : περιαιρεῖσθαι A ‖ **28** δὴ λύσιν B Mus : δήλυσιν P : δήλωσιν A C E ‖ **28–30** στεφάνου δὴ … ὡς ἔοικε bis A : corr. C E B P Mus ‖ **31** περιαιρεῖν M[pc] P Mus : περιερεῖν M[ac] : περιρεῖν A : περιρρεῖν C E B

ὑπονοίᾳ τὸ πάθος, ὡς οὐκ ἄν ποτε τοῦ στεφάνου περιρρέοντος, εἰ
μὴ ἤρων; ἢ ὅτι ἀναλύσεις περὶ μόνους μάλιστα τοὺς ἐρῶντας καὶ
καταδεδεμένους γίνονται, τὴν δὲ τοῦ στεφάνου ἀνάλυσιν καταδεδε-
μένων τινῶν εἶναι νομίζοντες ἐρᾶν φασι τοὺς τοιούτους; καταδέ-
5 δενται γὰρ οἱ ἐρῶντες. εἰ μὴ ἄρα διὰ τὸ κατεστέφθαι τῷ Ἔρωτι
τοὺς ἐρῶντας οὐκ ἐπίμονος αὐτῶν ὁ στέφανος γίνεται· | χαλεπὸν 670d
γὰρ ἐπὶ μεγάλῳ καὶ θείῳ στεφάνῳ μικρὸν καὶ τὸν τυχόντα μεῖναι.
στεφανοῦσι δὲ τὰς τῶν ἐρωμένων θύρας ἤτοι τιμῆς χάριν καθαπε-
ρεί τινος θεοῦ τὰ πρόθυρα, ἢ οὐ τοῖς ἐρωμένοις ἀλλὰ τῷ Ἔρωτι
10 ποιούμενοι τὴν τῶν στεφάνων ἀνάθεσιν τοῦ μὲν Ἔρωτος τὸν
ἐρώμενον ἄγαλμα, τούτου δὲ ναὸν ὄντα τὴν οἴκησιν στεφανοῦσι·
διὰ ταῦτα δὲ καὶ θύουσιν ἔνιοι ἐπὶ ταῖς τῶν ἐρωμένων θύραις. ἢ
μᾶλλον ὑφ᾽ ὧν οἴονταί | τε καὶ πρὸς ἀλήθειαν τὸν τῆς ψυχῆς 670e
κόσμον ἐσκύλευνται, καὶ τούτοις καὶ τὸν τοῦ σώματος κόσμον ὑπὸ
15 τοῦ πάθους ἐξαγόμενοι καὶ σκυλεύοντες ἑαυτοὺς ἀνατιθέασι. πᾶς δ᾽
ὁ ἐρῶν τοῦτο δρᾷ μὲν ⟨παρόντος⟩, μὴ παρόντος δὲ τοῦ ἐρωμένου
τοῦ ἐμποδὼν ποιεῖται τὴν ἀνάθεσιν· ὅθεν Λυκοφρονίδης (*PMG* 844)
τὸν ἐρῶντα ἐκεῖνον αἰπόλον ἐποίησε λέγοντα·

τόδ᾽ ἀνατίθημί σοι ῥόδον,
20 καλὸν νόημα, καὶ πέδιλα καὶ κυνέαν
καὶ τὴν θηροφόνον λογχίδ᾽, ἐπεί μοι νόος ἄλλᾳ κέχυται
ἐπὶ τὰν Χάρισι | φίλαν παῖδα καὶ καλάν. 670f

[**10**] ἀλλὰ μὴν καὶ ὁ ἱερώτατος Πλάτων ἐν ἑβδόμῳ Νόμων (819b)
πρόβλημά τι προβάλλει στεφανωτικόν, ὅπερ ἄξιόν ἐστιν ἐπιλύσα-
25 σθαι οὕτω λέγοντος τοῦ φιλοσόφου· μήλων τέ τινων διανομαὶ καὶ

1 περιρρέοντος C : περιρέοντος A : def. E : fort. τὸν στέφανον περιαιροῖντο
2 ἐρῶντας καὶ A C : def. E : fort. delenda ‖ **7** μεῖναι Meineke : θεῖναι A C E
9 τὰ πρόθυρα στεφανοῦσιν αὐτῶν A : del. Wilamowitz : στεφανοῦσιν αὐτῶν del. Meineke ‖ **11** στεφανοῦσι] στεφάνου τὰ τῶν ἐρωμένων πρόθυρα A : στεφανοῦσι τὰς τῶν ἐρωμένων θύρας M P Mus : τὰ ... πρόθυρα del. Wilamowitz ‖ **14** ἐσκύλευνται, καὶ A : ἐσκυλεῦθαι Musurus | τούτοις Musurus : τοῦτον A ‖ **15** καὶ del. Kaibel ‖ **16** ⟨παρόντος⟩ add. Schweighäuser, ducente Dalechamps (*illo praesente* quem amant) ‖ **19** τόδ᾽ Schweighäuser : τόδε A ‖ **20** νόημα, i.e. ΝΟΗΜΑ A : ἄνθημα, i.e. ΑΝΘΗΜΑ Casaubon
21 τὴν A : τὰν Dindorf | λογχίδ᾽ Schweighäuser : λογχίδα A ‖ **22** Χάρισι A : Χάρισιν Fiorillo ‖ **24** προβάλλει M P Mus : προβά^λλ C E : προβάλλω A
25 καὶ C E M P Mus et Pl. : om. A

στεφάνων πλείοσιν ἅμα καὶ ἐλάττοσιν ἁρμοττόντων τῶν ἀριθμῶν τῶν αὐτῶν. ὁ μὲν Πλάτων οὕτως εἶπεν, ἐστὶ δ᾽ ὃ λέγει τοιοῦτον· ἕνα βούλεσθαι ἀριθμὸν εὑρεῖν ᾧ ἕως τοῦ τελευταίου εἰσελθόντος ἐξ
671a ἴσου πάντες ἕξουσιν ἤτοι μῆλα ἢ στεφάνους. ‖ φημὶ οὖν τὸν τῶν ἑξήκοντα ἀριθμὸν εἰς ἓξ συμπότας δύνασθαι τὴν ἰσότητα πληροῦν· 5 οἶδα γὰρ ὅτι κατ᾽ ἀρχὰς ἐλέγομεν (1.4e) μὴ συνδειπνεῖν τῶν πέντε γε πλείους· ὅτι δ᾽ ἡμεῖς ψαμμακόσιοι ἐσμὲν δῆλον. ὁ οὖν ⟨τῶν⟩ ἑξήκοντα ἀριθμὸς εἰς ἓξ συμπληρωθέντος τοῦ συμποσίου ἀρκέσει οὕτως· εἰσῆλθεν εἰς τὸ συμπόσιον ὁ πρῶτος καὶ ἔλαβε στεφάνους ἑξήκοντα· ἐπεισελθόντι τῷ δευτέρῳ δίδωσι τοὺς ἡμίσεις καὶ 10
671b ἑκατέρῳ γίνονται τριάκοντα· καὶ τρίτῳ ἐπεισελθόντι | συνδιαιρούμενοι τοὺς πάντας ἓξ εἴκοσιν ἔχουσι, τετάρτῳ πάλιν ὁμοίως κοινωνήσαντες ἐκ δεκαπέντε, πέμπτῳ δὲ ἐκ δώδεκα καὶ ἕκτῳ ἐκ δέκα. καὶ οὕτως ἰσότης ἀναπληροῦται τῶν στεφάνων.

[11] ταῦτ᾽ εἰπόντος τοῦ Δημοκρίτου ὁ Οὐλπιανὸς ἀποβλέψας 15 πρὸς τὸν Κύνουλκον,

οἵῳ μ᾽ ὁ δαίμων (ἔφη) φιλοσόφῳ συνῴκισε,

κατὰ τὸ Θεογνήτου τοῦ κωμῳδιοποιοῦ Φάσμα (fr. 1.6–10)·

ἐπαρίστερ᾽ ἔμαθες, ὦ πόνηρε, γράμματα· |
671c ἀντέστροφέν σου τὸν βίον τὰ βιβλία. 20
πεφιλοσόφηκας γῇ τε κοὐρανῷ λαλῶν,
οἷς οὐθέν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων· 10

πόθεν γάρ σοι καὶ ὁ τῶν συρβηνέων ἐπῆλθε χορός; τίς τῶν ἀξίων λόγου μέμνηται τοῦ μουσικοῦ τούτου χοροῦ; καὶ ὅς, οὐ πρότερον, ἔφη, ὦ οὗτος, διδάξω σε, πρὶν ἂν τὸν ἄξιον παρὰ σοῦ λάβω μισθόν· 25

1 τῶν A C E : om. Pl. ‖ **3** ᾧ C E Mus : ὃς A ‖ **7** ⟨τῶν⟩ add. Kaibel, cf. τὸν τῶν ἑξήκοντα ἀριθμόν supra ‖ **8** συμπληρωθέντος C E : τοὺς συμπληρωθέντας A : τοὺς συμπότας πληρωθέντος M P Mus | ἀρκέσει Rohde : ἄρξεται A C E **11** ἑκατέρῳ C E : ἑκάστω A ‖ **12** ἓξ εἴκοσιν Casaubon : ξʹ = ἑκήκοντα A : ἀνὰ εἴκοσιν C E ‖ **13** κοινωνήσαντες ἐκ δεκαπέντε A : κοινωνήσασιν ἐκ δεκαπέντε γίνεται C : κοινωνήσασιν ἐκ δεκαπέντε γί()τ(αι) E : γίνονται/γίνεται del. Kaibel ("debebat ἔχουσιν") | τῷ ἕκτῳ A C E : τῷ delevi ‖ **17** συνῴκισε Musurus (συνώκισε scripsit) : συνῴκισεν 3.104b : συνώκησεν A* ‖ **19** ἐπαρίστερ᾽ Casaubon (ἐπ᾽ ἀρίστερ᾽ scripsit) : ἐπαρίστερα A ‖ **20** ἀντέστροφέν A : ἀνέστροφέν Porson ‖ **21** κοὐρανῷ M P Mus : καὶ οὐρανῷ A ‖ **23** συρβηνέων Meineke, cf. Hsch. σ 2766 : συρβηναίων A

οὐ γὰρ ἐγὼ τὰς ἐκ τῶν βιβλίων ἀκάνθας ὥσπερ σὺ ἀναγινώσκων ἐκλέγω ἀλλὰ τὰ χρησιμώτατα καὶ ἀκοῆς ἄξια. ἐπὶ τούτοις ὁ Οὐλπιανὸς | δυσχεράνας ἀνεβόησε τὰ ἐξ Ὑπονοίας Ἀλέξιδος (fr. 243)· 671d

5 οὐδ᾽ ἐν Τριβαλλοῖς ταῦτά γ᾽ ἐστὶν ἔννομα·
οὗ φασιν τὸν θύοντα τοῖς κεκλημένοις
δείξαντ᾽ ἰδεῖν τὸ δεῖπνον εἰς τὴν αὔριον
πωλεῖν ἀδείπνοις ἃ παρέθηκ᾽ αὐτοῖς ἰδεῖν.

τὰ αὐτὰ ἰαμβεῖα φέρεται καὶ παρὰ Ἀντιφάνει ἐν Ὕπνῳ. καὶ ὁ
10 Κύνουλκος· ἐπεὶ περὶ στεφάνων | ζητήσεις ἤδη γεγόνασιν, εἰπὲ ἡμῖν τίς ἐστιν ὁ παρὰ τῷ χαρίεντι Ἀνακρέοντι Ναυκρατίτης στέφανος, ὦ Οὐλπιανέ· φησὶ γὰρ οὕτως ὁ μελιχρὸς ποιητής (*PMG* 434)· 671e

στεφάνου † ὁ δ᾽ ἀνὴρ τρεῖς ἕκαστος εἶχε,
15 τοὺς μὲν ῥοδίνους, τὸν δὲ Ναυκρατίτην.

καὶ διὰ τί παρὰ τῷ αὐτῷ ποιητῇ λύγῳ τινὲς στεφανοῦνται· φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῶν Μελῶν (*PMG* 352)·

Μεγιστῆς δ᾽ ὁ φιλόφρων, δέκα δὴ | μῆνες ἐπεί τε 671f
στεφανοῦνταί τε λύγῳ καὶ τρύγα † πίνουσιν μελιηδέα·

20 ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος· πρὸς δεσμοὺς γὰρ καὶ πλέγματα ἡ λύγος ἐπιτήδειος. εἰπὲ οὖν ἡμῖν τι περὶ τούτων ζητήσεως ἀξίων ὄντων καὶ μὴ ὀνόματα θήρα, φιλότης.

[12] σιωπῶντος δ᾽ αὐτοῦ καὶ ἀναζητεῖν προσποιουμένου ὁ Δημόκριτος ἔφη· Ἀρίσταρχος ὁ γραμματικώτατος, ἑταῖρε,
25 ἐξηγούμενος ‖ τὸ χωρίον ἔφη ὅτι καὶ λύγοις ἐστεφανοῦντο οἱ ἀρχαῖοι. † Τεναρος † δὲ ἀγροίκων εἶναι λέγει στεφάνωμα τὴν λύγον· καὶ οἱ ἄλλοι δὲ ἐξηγηταὶ ἀπροσδιόνυσά τινα εἰρήκασι περὶ τοῦ προκειμένου. ἐγὼ δ᾽ ἐντυχὼν τῷ Μηνοδότου τοῦ Σαμίου 672a

3 Ὑπονοίας A : Ὕπνου Schweighäuser, cf. 10.449d, 13.572b ‖ **6** φασιν A : φασι B M P Mus ‖ **7** δείξαντ᾽ Casaubon : δείξαντα A ‖ **9** ἰαμβεῖα B M P Mus : ἰαμβια A ‖ **14** στεφάνου ὁ A : στεφάνους ὁ B M P : ὁ del. Musurus **19** στεφανοῦνταί A : στεφανοῦταί 15.673d et Musurus | πίνουσιν A : πίνει 15.673d et Musurus ‖ **22** ὀνόματα Schweighäuser : ὀνομάτων A **26** † Τεναρος † A : Ταίναρος Meineke ‖ **27** δὲ Kaibel : γε A

συγγράμματι ὅπερ ἐπιγράφεται Τῶν κατὰ τὴν Σάμον Ἐνδόξων Ἀναγραφή (*FGrH* 541 F 1) εὗρον τὸ ζητούμενον· Ἀδμήτην γάρ φησι τὴν Εὐρυσθέως ἐξ Ἄργους φυγοῦσαν ἐλθεῖν εἰς Σάμον, θεασαμένην δὲ τὴν τῆς Ἥρας ἐπιφάνειαν καὶ τῆς οἴκοθεν
672b σωτηρίας χαριστήριον βουλομένην ἀποδοῦναι | ἐπιμεληθῆναι τοῦ 5 ἱεροῦ τοῦ καὶ νῦν ὑπάρχοντος, πρότερον δὲ ὑπὸ Λελέγων καὶ νυμφῶν καθιδρυμένου· τοὺς δ᾽ Ἀργείους πυθομένους καὶ χαλεπαίνοντας πεῖσαι χρημάτων ὑποσχέσει Τυρρηνοὺς ληστρικῷ βίῳ χρωμένους ἁρπάσαι τὸ βρέτας, πεπεισμένους τοὺς Ἀργείους ὡς, εἰ τοῦτο γένοιτο, πάντως τι κακὸν πρὸς τῶν τὴν Σάμον 10 κατοικούντων ἡ Ἀδμήτη πείσεται. τοὺς δὲ Τυρρηνοὺς ἐλθόντας εἰς τὸν Ἡραΐτην ὅρμον καὶ † διαβάντας εὐθέως ἔχεσθαι τῆς πράξεως.
672c ἀθύρου δὲ ὄντος τότε τοῦ νεὼ | ταχέως ἀνελέσθαι τὸ βρέτας καὶ διακομίσαντας ἐπὶ θάλασσαν εἰς τὸ σκάφος ἐμβαλέσθαι· λυσαμένους δ᾽ αὐτοὺς τὰ πρυμνήσια καὶ τὰς ἀγκύρας ἀνελομένους 15 εἰρεσίᾳ τε πάσῃ χρωμένους ἀπαίρειν οὐ δύνασθαι. ἡγησαμένους οὖν θεῖόν τι τοῦτ᾽ εἶναι πάλιν ἐξενεγκαμένους τῆς νεὼς τὸ βρέτας ἀποθέσθαι παρὰ τὸν αἰγιαλόν, καὶ ψαιστὰ αὐτῷ παραθέντας περιδεεῖς ἀπαλλάττεσθαι. τῆς δὲ Ἀδμήτης ἕωθεν δηλωσάσης ὅτι τὸ βρέτας ἠφανίσθη καὶ ζητήσεως γενομένης εὑρεῖν μὲν αὐτὸ τοὺς 20
672d ζητοῦντας ἐπὶ | τῆς ἠόνος, ὡς δ᾽ ἂν βαρβάρους ὑπονοήσαντας αὐτόματον ἀποδεδρακέναι πρός τι λύγου θωράκιον ἀπερείσασθαι καὶ τοὺς εὐμηκεστάτους τῶν κλάδων ἑκατέρωθεν ἐπισπασαμένους περιειλῆσαι πάντοθεν. τὴν δὲ Ἀδμήτην λύσασαν αὐτὸ ἁγνίσαι καὶ στῆσαι πάλιν ἐπὶ τοῦ βάθρου, καθάπερ πρότερον ἵδρυτο· διόπερ ἐξ 25 ἐκείνου καθ᾽ ἕκαστον ἔτος ἀποκομίζεσθαι τὸ βρέτας εἰς τὴν ἠόνα καὶ ἀφαγνίζεσθαι ψαιστά τε αὐτῷ παρατίθεσθαι. καὶ καλεῖσθαι
672e Τόνεια τὴν ἑορτήν, ὅτι | συντόνως συνέβη περιειληθῆναι τὸ βρέτας ὑπὸ τῶν τὴν πρώτην αὐτοῦ ζήτησιν ποιησαμένων. [13] ἱστορεῖται δ᾽ ὑπ᾽ αὐτὸν ἐκεῖνον τὸν χρόνον τῶν Καρῶν δεισιδαιμονίᾳ 30

7 νυμφῶν A, cf. Hsch. α 7926 ἄστυ νυμφέων· τὴν Σάμον Ἀνακρέων : Μιλυῶν Meineke ‖ **8** ληστρικῷ τε A : τε del. Schweighäuser ‖ **12** διαβάντας A : ἀποβάντας Kaibel : lac. intra διαβάντας et εὐθέως indic. Jacoby ‖ **15** ἀγκύρας B M P Mus : ἀγκύλας A ‖ **18** παραθέντας scripsi, cf. 15.672d : ποιήσαντας A : παρανήσαντας Wilamowitz ‖ **21** δ᾽ ἂν A : δὲ δὴ Kaibel | βαρβάρους Κᾶρας A : βάρβαροι (structura mutata) C E : Κᾶρας del. Kaibel ‖ **22** αὐτόματον A : αὐτομάτως E : αὐτομάτ(ως) C ‖ **28** Τόνεια Meineke : Τόνεα A : Τόναια Kaibel

περισχεθέντων ἐπὶ τὸ μαντεῖον τοῦ θεοῦ παραγενομένων εἰς Ὕβλαν καὶ πυνθανομένων περὶ τῶν ἀπηντημένων θεσπίσαι τὸν Ἀπόλλωνα ποινὴν αὐτοὺς ἀποδοῦναι τῇ θεῷ δι᾽ ἑαυτῶν ἑκούσιον καὶ χωρὶς δυσχεροῦς συμφορᾶς, ἣν ἐν τοῖς ἔμπροσθεν χρόνοις
5 ἀφώρισεν ὁ Ζεὺς τῷ Προμηθεῖ χάριν τῆς κλοπῆς | τοῦ πυρὸς 672f λύσας αὐτὸν ἐκ τῶν χαλεπωτάτων δεσμῶν· καὶ τίσιν ἑκούσιον ἐν ἀλυπίᾳ κειμένην δοῦναι θελήσαντος ταύτην ἐκείνῳ ἐπιτάξαι τὸν καθηγούμενον τῶν θεῶν· ὅθεν οὔτ᾽ ἐκείνου ⟨…⟩ τὸν δεδηλωμένον στέφανον τῷ Προμηθεῖ περιγενέσθαι καὶ μετ᾽ οὐ πολὺ τοῖς
10 εὐεργετηθεῖσιν ἀνθρώποις ὑπ᾽ αὐτοῦ κατὰ τὴν τοῦ πυρὸς δωρεάν· διόπερ καὶ τοῖς Καρσὶ κατὰ τὸ παραπλήσιον ἔθος παρεκελεύσατο στεφανώματι χρωμένοις τῇ λύγῳ καταδεῖν τὴν ἑαυτῶν κεφαλὴν τοῖς κλάδοις οἷς αὐτοὶ κατέλαβον τὴν θεόν. ‖ καταλῦσαι δὲ καὶ 673a τἆλλα γένη τῶν στεφάνων ἐπέταξε χωρὶς τῆς δάφνης· ταύτην δ᾽
15 αὐτὸς ἔφη τοῖς τὴν θεὸν θεραπεύουσι μόνοις ἀπονέμειν δῶρον τοῖς τε χρησθεῖσιν ἐκ τῆς μαντείας κατακολουθήσαντας αὐτοὺς ἀβλαβεῖς ἔσεσθαι δίκην ἐν εὐωχίαις ἀποδιδόντας τῇ θεῷ τὴν προσήκουσαν· ὅθεν τοὺς Κᾶρας ὑπακοῦσαι βουλομένους τοῖς ἐκ τοῦ χρηστηρίου καταλῦσαι τὰς ἔμπροσθεν εἰθισμένας στεφανώσεις
20 αὐτούς τε κατὰ πλῆθος χρῆσθαι μὲν τῇ λύγῳ, τοῖς δὲ θεραπεύουσι τὴν θεὸν ἐπιτρέψαι | φορεῖν τὸν καὶ νῦν ἔτι διαμένοντα τῆς δάφνης 673b στέφανον. [14] μνημονεύειν δ᾽ ἔοικεν ἐπὶ ποσόν τι τῆς κατὰ τὴν λύγον στεφανώσεως καὶ Νικαίνετος ὁ ἐποποιὸς ἐν τοῖς Ἐπιγράμμασι (fr. 6, p. 3 Powell = *HE* 2703–10) ποιητὴς ὑπάρχων
25 ἐπιχώριος καὶ τὴν ἐπιχώριον ἱστορίαν ἠγαπηκὼς ἐν πλείοσι. λέγει δ᾽ οὕτως·

οὐκ ἐθέλω, Φιλόθηρε, κατὰ πτόλιν ἀλλὰ παρ᾽ Ἥρῃ
δαίνυσθαι Ζεφύρου πνεύμασιν τερπόμενος. |
ἀρκεῖ μοι λιτὴ μὲν ὑπὸ πλευροῖσι χάμευνα· 2305 673c
30 ἐγγύθι γὰρ προμάλου δέμνιον ἐνδαπίης

7 ἐκείνῳ Kaibel : ἔχειν A ‖ **8** lac. indicavi : αὐτίκα pro οὔτ᾽ ἐκείνου Kaibel **11** ἔθος A C E : Ἀπόλλων ante κατὰ τὸ παραπλήσιον praeb. C E : ὁ θεὸς Kaibel ‖ **14** ταύτην E : ταύτῃ C : τὴν A ‖ **17** καὶ δίκην A : καὶ del. Wilamowitz ‖ **22** τὴν Casaubon : τὸν A ‖ **28** πνεύμασιν A : πνεύμασι B M P Mus ‖ **29** λιτὴ, i.e. ΛΙΤΗ Dindorf : † αιτη †, i.e. ΑΙΤΗ A : κοίτη Musurus χάμευνα B M P Mus : † χαμμευνα † A ‖ **30** ἐγγύθι, i.e. -ΘΙ Dindorf : ἔγγυοι, i.e. -ΟΙ A : ἐγγὺς Musurus

καὶ λύγος, ἀρχαίων Καρῶν στέφος. ἀλλὰ φερέσθω 5
οἶνος καὶ Μουσῶν ἡ χαρίεσσα λύρη,
θυμῆρες πίνοντες ὅπως Διὸς εὐκλέα νύμφην
μέλπωμεν, νήσου δεσπότιν ἡμετέρης· 2310

ἐν τούτοις γὰρ ἀμφιβόλως εἰρηκὼς ὁ Νικαίνετος πότερον 5
673d στρωμνῆς ἕνεκεν ἢ στεφανώσεως ἀρκεῖται | τῇ λύγῳ, τῷ λέγειν αὐτὴν τῶν Καρῶν ἀρχαῖον στέφος πρόδηλον καθίστησι τὸ ζητούμενον. συνέβη δὲ τὴν τῆς λύγου στεφάνωσιν καὶ μέχρι τῶν κατὰ Πολυκράτην χρόνων, ὡς ἄν τις εἰκάσειε, τῇ νήσῳ συνηθεστέραν ὑπάρχειν· ὁ γοῦν Ἀνακρέων φησί (*PMG* 352)· 10

Μεγιστῆς ὁ φιλόφρων δέκα δὴ μῆνες † ἐπειδὴ
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιηδέα.

[**15**] ταῦτα ἴσασιν οἱ θεοί, ὡς πρῶτος αὐτὸς ἐν τῇ καλῇ Ἀλεξανδρείᾳ εὗρον κτησάμενος τὸ τοῦ Μηνοδότου συγγραμμάτιον καὶ
673e ἐπιδείξας πολλοῖς ἐξ αὐτοῦ τὸ | παρὰ τῷ Ἀνακρέοντι ζητούμενον. 15
λαβὼν δὲ παρ᾽ ἐμοῦ ὁ πᾶσι κλοπὴν ὀνειδίζων Ἡφαιστίων ἐξιδιοποιήσατο τὴν λύσιν καὶ σύγγραμμα ἐξέδωκεν ἐπιγράψας Περὶ τοῦ παρ᾽ Ἀνακρέοντι Λυγίνου Στεφάνου, ὅπερ νῦν ἐν τῇ Ῥώμῃ εὕρομεν παρὰ τῇ † ἀντικοττυραι † Δημητρίῳ. τοιοῦτος δέ τις καὶ περὶ τὸν καλὸν ἡμῶν Ἄδραστον ἐγένετο· ἐκδόντος γὰρ τούτου 20
πέντε μὲν βιβλία Περὶ τῶν παρὰ Θεοφράστῳ ἐν τοῖς Περὶ Ἠθῶν καθ᾽ Ἱστορίαν καὶ Λέξιν Ζητουμένων (= Thphr. fr. 437
673f Fortenbaugh), ἕκτον δὲ Περὶ τῶν ἐν τοῖς | Ἠθικοῖς Νικομαχείοις Ἀριστοτέλους, ἐννοίας ἀμφιλαφεῖς παραθεμένου περὶ τοῦ παρὰ Ἀντιφῶντι τῷ τραγῳδιοποιῷ (*TrGF* 55 F 1b) Πληξίππου καὶ 25
πλεῖστα ὅσα καὶ περὶ αὐτοῦ τοῦ Ἀντιφῶντος εἰπόντος σφετερισάμενος καὶ ταῦτα ἐπέγραψέ τι βιβλίον Περὶ τοῦ παρὰ Ξενοφῶντι ἐν τοῖς Ἀπομνημονεύμασιν Ἀντιφῶντος οὐδὲν ἴδιον προσεξευρών, ὥσπερ κἀν τῷ Περὶ τοῦ Λυγίνου Στεφάνου· μόνον γὰρ τοῦτ᾽ ἴδιον εἴρηκεν, ὅτι Φύλαρχος ἐν τῇ ἑβδόμῃ τῶν Ἱστοριῶν (*FGrH* 81 F 14) 30

1 ἀρχαίων A : ἀρχαῖον B M P Mus ‖ **2** Μουσῶν A : Μουσέων Page ‖ **6** τῷ δὲ λέγειν A : δὲ del. Musurus ‖ **11** ἐπειδὴ A : ἐπεί τε 15.671f ‖ **17** Περὶ, i.e. π^{ε} B M P Mus : παρὰ, i.e. π^{ε} A ‖ **19** τοιοῦτος δέ τις καὶ ὁ Ἡφαιστίων συγγραφεὺς καὶ A : ὁ Ἡφαιστίων συγγραφεὺς καὶ (glossam) del. Casaubon **20** Ἄδραστον Casaubon : Ἄδραντον A ‖ **23** Νικομαχείοις M P Mus : Νικομαχίοις A ‖ **24** ἀμφιλαφεῖς Kaibel : ἀμφιλαφῶς A

οἶδεν τὴν κατὰ ⟨τὴν⟩ λύγον ἱστορίαν καὶ ὅτι οὔτε τὰ Νικαινέτου ‖ οἶδεν οὔτε τὰ Ἀνακρέοντος ὁ συγγραφεύς· ἀπέδειξέ τε καὶ διαφωνοῦντα αὐτὸν κατ᾽ ἔνια τῶν ἱστορηθέντων παρὰ τῷ Μηνοδότῳ. δύναται δέ τις λέγειν περὶ τῆς λύγου ἁπλούστερον, ὅτι ὁ Μεγίστης τῇ λύγῳ ἐστεφανοῦτο, ὡς παρακειμένης ἐκ τοῦ δαψιλοῦς ἐν ᾧ εὐωχεῖτο τόπῳ, συνδέσεως ἕνεκα τῶν κροτάφων· καὶ γὰρ καὶ Λακεδαιμόνιοι καλάμῳ στεφανοῦνται ἐν τῇ τῶν Προμαχείων ἑορτῇ, ὥς φησι Σωσίβιος ἐν τοῖς Περὶ τῶν ἐν Λακεδαίμονι Θυσιῶν (*FGrH* 595 F 4) γράφων οὕτως· ἐν ταύτῃ συμβαίνει τοὺς | μὲν ἀπὸ τῆς χώρας καλάμοις στεφανοῦσθαι ἢ στλεγγίδι, τοὺς δ᾽ ἐκ τῆς ἀγωγῆς παῖδας ἀστεφανώτους ἀκολουθεῖν. [**16**] Ἀριστοτέλης δ᾽ ἐν δευτέρῳ Ἐρωτικῶν (fr. 41 Gigon) καὶ Ἀρίστων ὁ Περιπατητικός, Κεῖος τὸ γένος, ἐν δευτέρῳ Ἐρωτικῶν Ὁμοίων (fr. 22 Wehrli = fr. 10 Fortenbaugh–White) φασὶν ὅτι οἱ ἀρχαῖοι διὰ τοὺς περὶ τὸν οἶνον πόνους τῶν κεφαλαλγιῶν δεσμοὺς εὕρισκον τοὺς τυχόντας τῆς τῶν κροτάφων συνδέσεως ὠφελεῖν δοκούσης· οἱ δ᾽ ὕστερον ἅμα τῷ κροτάφῳ προσέβαλόν τινα καὶ κόσμον οἰκεῖον τῇ παρὰ τὸν οἶνον διαγωγῇ μηχανησάμενοι | τὸν στέφανον· βέλτιον δὲ διὰ τὸ πάσας τὰς αἰσθήσεις ἐν τῇ κεφαλῇ εἶναι ταύτην στεφανοῦσθαι διὰ τὸ συμφέρειν ἐσκεπάσθαι καὶ συνδεδέσθαι τοὺς κροτάφους πρὸς τὸν οἶνον. ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων (*PMG* 410) ἔφη·

ἐπὶ δ᾽ ὀφρύσι σελίνων στεφανίσκους
θέμενοι θάλειαν ἑορτὴν ἀγάγωμεν
Διονύσῳ.

(674a, 674b, 674c; lines 5, 10, 15, 20, 25)

674c Eust. p. 1908.58 = ii.258.45–6

1 ⟨τὴν⟩ add. Wilamowitz ‖ **2** τε A : del. Musurus : δὲ Wilamowitz ‖ **5** λύγῳ ἐστεφανοῦτο, i.e. ΛΥΓΩΕΣ- Schweighäuser (λύγῳ στεφανοῦτο iam P Mus) : † λυγωσστεφανουτο †, i.e. ΛΥΓΩΣΣ- A | post παρακειμένης lac. indic. Musurus : ἐν ᾧ εὐωχεῖτο τόπῳ κτλ–15.696a om. M P Mus ‖ **7** Προμαχείων Kaibel : Προμαχίων A C E ‖ **13** Κεῖος Casaubon : Κῖος A C E | δὲ post Κῖος praeb. A : delevi | Ὁμοίων Casaubon : ὁμοίως A ‖ **16** ὠφελεῖν C E : ὀφελεῖν A ‖ **19** ἢ διὰ A C E : ἢ delevi ‖ **23** ἐπὶ C E Eust. : ἐπεὶ A | ὀφρύσι A C E Eust. : ὀφρύσιν Dindorf ‖ **24** θάλειαν C E Eust. : † θαλιαν † A | ἀγάγωμεν C E B Eust. : † αγαγωμε † A

ἐστεφανοῦντο δὲ καὶ τὰ στήθη καὶ ἐμύρουν ταῦτα, ἐπεὶ αὐτόθι ἡ καρδία. ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους 674d ὑποθυμιάδας, ὡς Ἀλκαῖος (fr. 362.1–2) | ἐν τούτοις·

ἀλλ' ἀννήτω μὲν περὶ ταῖς δέραις
περθέτω † πλεκτας ὑποθυμιαδας † τις. 5

καὶ Σαπφώ (fr. 94.15–16)·

καὶ πόλλαις ὐποθυμιάδαις
πλέκταις ἀμπ' ἀπάλᾳ δέρᾳ.

καὶ Ἀνακρέων (*PMG* 397)·

πλεκτὰς 10
δ' ὑποθυμιάδας περὶ στήθεσι λωτίνας ἔθεντο.

Αἰσχύλος δ' ἐν τῷ Λυομένῳ Προμηθεῖ (fr. 202) σαφῶς φησιν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ, ἀντίποινα τοῦ ἐκείνου δεσμοῦ, καίτοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ (fr. 235) εἰπών· 15

τῷ δὲ ξένῳ γε στέφανον, ἀρχαῖον στέφος, |
674e δεσμῶν ἄριστος ἐκ Προμηθέος λόγου.

Σαπφὼ (fr. 81.4–7) δ' ἁπλούστερον τὴν αἰτίαν ἀποδίδωσιν τοῦ στεφανοῦσθαι ἡμᾶς λέγουσα τάδε·

σὺ δὲ στεφάνοις, ὦ Δίκα, πέρθεσθ' ἐράταις φόβαισι 20

674e–5a Eust. p. 1138.46–9, 49–51 = IV.159.20–160.2, 160.3–5

3 ὑποθυμιάδας A C E, cf. infra et 11.688b, 15.687b : ὑποθυμίδας Kaibel, cf. 15.678d et Plut. *Mor.* 647e ‖ **4** ἀλλ' Schweighäuser : ἀλλὰ A | ἀννήτω A : ἀνήτω Ursinus | δέραις A : δέραισι Jacobs ‖ **5** † πλεκτας † A : πλέκταις Blomfield | † ὑποθυμιαδας †, i.e. -ΙΑΔΑΣ A : ὑποθυμίδας, i.e. -ΙΔΑΣ Blomfield : ὐποθυμίδας Fick ‖ **7** ὐποθυμιάδαις A : [υπα]θυμιδας *P.Berol.* 9722 ‖ **8** ἀμπ' ἀπάλᾳ, i.e. ΑΜΠΑ- cens. Ien., Ursinus : † αντιαπαλαι †, i.e. ΑΝΤΙΑ- A ‖ **11** ὑποθυμιάδας A C E : ὑποθυμίδας Dindorf | στήθεσι C E : στήθεσσιν A ‖ **13** ἐπί τε τιμῇ A : τε om. C E ‖ **17** ἄριστος A : ἄριστον Villebrune | Προμηθέος A : Προμηθέως Canter ‖ **20** πέρθεσθ' Seidler : † παρθεσθ † A | ἐράταις A : ἐράτοις Fick

ὄρπακας ἀνήτω συναέρραισ' † απαλλαγιση † χερσίν· 5
εὐάνθεα γὰρ † πέλεται καὶ Χάριτες μάκαιραι
μᾶλλον † προτερην †, ἀστεφανώτοισιν δ' ἀπυστρέφονται·

ὡς εὐανθέστερον γὰρ καὶ κεχαρισμένον μᾶλλον τοῖς θεοῖς παραγ-
5 γέλλει στεφανοῦσθαι τοὺς θύοντας. Ἀριστοτέλης δ' ἐν τῷ Συμπο-
σίῳ (fr. 48 Gigon) φησὶν ὅτι | οὐδὲν κολοβὸν προσφέρομεν πρὸς 674f
τοὺς θεοὺς ἀλλὰ τέλεια καὶ ὅλα. τὸ δὲ πλῆρες τέλειόν ἐστιν, τὸ δὲ
στέφειν πλήρωσίν τινα σημαίνει. Ὅμηρος (*Il.* 1.470)·

κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.

10 καί (*Od.* 8.170)·

ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει·

τοὺς γὰρ αὖ τὴν ὄψιν ἀμόρφους, φησίν, ἀναπληροῖ ἡ τοῦ λέγειν
πιθανότης. ‖ ἔοικεν οὖν ὁ στέφανος τοῦτο ποιεῖν βούλεσθαι· διὸ καὶ 675a
περὶ τὰ πένθη τοὐναντίον παρασκευάζομεν· ὁμοπαθείᾳ γὰρ τοῦ
15 κεκμηκότος κολοβοῦμεν ἡμᾶς αὐτοὺς τῇ τε κουρᾷ τῶν τριχῶν καὶ
τῇ τῶν στεφάνων ἀφαιρέσει. [17] Φιλωνίδης δ' ὁ ἰατρὸς ἐν τῷ
Περὶ Μύρων καὶ Στεφάνων, ἐκ τῆς Ἐρυθρᾶς, φησίν, θαλάσσης
ὑπὸ Διονύσου μετενεχθείσης εἰς τὴν Ἑλλάδα | τῆς ἀμπέλου καὶ 675b
πρὸς ἄμετρον ἀπόλαυσιν τῶν πολλῶν ἐκτρεπομένων ἄκρατόν τε
20 προσφερομένων αὐτῶν, οἱ μὲν μανιωδῶς ἐκτρεπόμενοι παρέπαιον,
οἱ δὲ νεκροῖς ἐῴκεσαν ἀπὸ τῆς καρώσεως. ἐπ' ἀκτῆς δέ τινων
πινόντων ἐπιπεσὼν ὄμβρος τὸ μὲν συμπόσιον διέλυσε, τὸν δὲ
κρατῆρα, ὃς εἶχεν ὀλίγον οἶνον ὑπολελειμμένον, ἐπλήρωσεν
ὕδατος. γενομένης δ' αἰθρίας εἰς τὸν αὐτὸν ὑποστρέψαντες | τόπον, 675c
25 γευσάμενοι τοῦ μίγματος προσηνῆ καὶ ἄλυπον ἔσχον ἀπόλαυσιν.
καὶ διὰ τοῦθ' οἱ Ἕλληνες τῷ μὲν παρὰ δεῖπνον ἀκράτῳ προσδιδο-

675b–c Eust. p. 1816.10–18 = ii.139.20–4

1 ἀνήτω Casaubon : † αννητωι † A | συναέρραισ' Ahrens : † συνερραις † A † απαλλαγιση † A : ἀπαλαῖσι Casaubon ‖ **3** ἀστεφανώτοισιν A : ἀστεφανώτοισι Schweighäuser ‖ **9** δὲ A C E : μὲν Hom. ‖ **20** αὐτῶν A : αὐτόν C E : del. Kaibel | ἐκτρεπόμενοι A : om. C E, fort. recte | παρέπαιον C E : παρέπεον A ‖ **23** ὑπολελειμμένον C : ὑπολελιμμένον A : ὑπολελεγμένον E **24** ὑποστρέψαντες C E : ἐπιστρέψαντες A

μένῳ τὸν Ἀγαθὸν ἐπιφωνοῦσι Δαίμονα τιμῶντες τὸν εὑρόντα δαίμονα· ἦν δ᾽ οὗτος ὁ Διόνυσος· τῷ δὲ μετὰ δεῖπνον κεκραμένῳ πρώτῳ προσδιδομένῳ ποτηρίῳ Δία Σωτῆρα ἐπιλέγουσι τῆς ἐκ τοῦ μίγματος ἀλύπου κράσεως τὸν καὶ τῶν ὄμβρων ἀρχηγὸν αἴτιον ὑπολαβόντες. ἐδέησεν οὖν βοηθημάτων τοῖς ἐν τῷ πότῳ 5 κεφαλὴν ἐπιθλιβεῖσιν, ἦν δὲ δεσμὸς ἐξ αὐτῶν προχειρότατος καὶ τῆς φύσεως ἐπὶ τοῦτο ὁδηγούσης· ἀλγήσας γάρ τις κεφαλήν, ὥς 675d φησιν Ἀνδρέας, εἶτα πιέσας καὶ κουφισθεὶς εὗρε | κεφαλαλγίας δεσμὸν φάρμακον. τούτῳ οὖν ⟨τῷ⟩ βοηθήματι πρὸς τοὺς πότους χρώμενοι τοῖς παραπίπτουσι τὴν κεφαλὴν ἐδέσμευον· καὶ ἐπὶ τὸν 10 κίσσινον στέφανον ἦλθον αὐτόματόν τε καὶ πολὺν ὄντα καὶ κατὰ πάντα τόπον γεννώμενον, ἔχοντα καὶ πρόσοψιν οὐκ ἀτερπῆ, χλωροῖς πετάλοις καὶ κορύμβοις σκιάζοντα τὸ μέτωπον καὶ τοὺς ἐν τῷ σφίγγειν τόνους ὑπομένοντα, προσέτι δὲ ψύχοντα χωρὶς ὀδμῆς καρούσης. καὶ ταύτῃ μοι δοκεῖ Διονύσῳ ὁ βίος ἀνεῖναι τὸ 15 στέφος, τὸν εὑρετὴν τοῦ πώματος καὶ τῶν δι᾽ αὐτὸ ἐλασσωμάτων 675e ἀλεξητῆρα βουλόμενος εἶναι. ἐντεῦθεν δὲ εἰς ἡδονὴν τραπέντες | τὸ μὲν εἰς συμφέρον καὶ τοῖς ἐκ μέθης παραβοηθοῦν ἐλαττώμασιν ⟨…⟩, τοῦ δὲ πρὸς ὄψιν ἢ πρὸς ὀσμὴν ἐπιτερποῦς ἐφρόντισαν· διὸ μυρσίνης μὲν στέφανον στύφοντα καὶ τὴν οἴνων ἀναθυμίασιν 20 ἀποκρουόμενον, ἔτι δὲ ῥόδινον ἔχοντά τι καὶ κεφαλαλγίας παρηγορικὸν σὺν τῷ καὶ κατὰ ποσὸν ψύχειν, πρὸς δὲ τούτοις δάφνινον οὐκ ἀλλότριον πότου ἡγητέον. λευκόϊνον δὲ κινητικὸν ὄντα κεφαλῆς καὶ ἀμαράκινον καὶ ἅπαντας τοὺς καροῦν δυναμένους ἢ βαρύνειν ἄλλως κεφαλὴν περιστατέον. τὰ αὐτὰ εἴρηκε καὶ Ἀπολ- 25 λόδωρος ἐν τῷ Περὶ Μύρων καὶ Στεφάνων ⟨ταῖς⟩ αὐταῖς λέξεσι. 675f καὶ | περὶ μὲν τούτων, ὦ ἑταῖροι, ταῦτα. [**18**] περὶ δὲ τοῦ Ναυκρατίτου στεφάνου τίς ἐστι τὴν ἄνθην, πολλὰ ἀναζητήσας καὶ πολλῶν πυθόμενος ὡς οὐδὲν ἐμάνθανον, ἐνέτυχον ὀψέ ποτε Πολυχάρμου

1–2 εὑρόντα δαίμονα A : εὑρόντα Διόνυσον (et ἦν δ᾽ οὗτος ὁ Διόνυσος om.) C E : δαίμονα/Διόνυσον del. Meineke ‖ **3** προσδιδομένῳ A C E : διδομένῳ Kaibel | ἐπιλέγουσι C E B : ἐπιλέγουσα A ‖ **4** κράσεως A C E : ἀπολαύσεως Kaibel ‖ **5** ἐδέησεν A : ἐδέησαν C E : ἔδει μὲν Nauck ‖ **9** ⟨τῷ⟩ addidi | πότους C E : om. A ‖ **14** τόνους C E B : τόνος A ‖ **18–19** ἐλαττώμασιν ὁ στέφανος ἀφῆκαν, τοῦ δὲ C E : ἐλαττώματος ὁ στέφανος τοῦ A : ὁ στέφανος ut glossam delevi et lac. indicavi, ducente Kaibel ‖ **22** τούτοις scripsi : τοῖς A C E **23** πότου C E : πότοις A | λευκόϊνον Schweighäuser : λευκόϊον A C E **25** περιστατέον A : παραιτητέον C E ‖ **26** ⟨ταῖς⟩ add. Kaibel

Ναυκρατίτου ⟨τῷ⟩ ἐπιγραφομένῳ βιβλίῳ Περὶ Ἀφροδίτης (*FGrH* 640 F 1), ἐν ᾧ ταυτὶ γέγραπται· κατὰ δὲ τὴν τρίτην πρὸς ταῖς εἴκοσιν Ὀλυμπιάδα Ἡρόστρατος, πολίτης ἡμέτερος ἐμπορίᾳ χρώμενος καὶ χώραν πολλὴν ‖ περιπλέων, προσσχών ποτε καὶ 676a
5 Πάφῳ τῆς Κύπρου ἀγαλμάτιον Ἀφροδίτης σπιθαμιαῖον, ἀρχαῖον τῇ τέχνῃ, ὠνησάμενος ᾔει φέρων εἰς τὴν Ναύκρατιν. καὶ αὐτῷ πλησίον φερομένῳ τῆς Αἰγύπτου ἐπεὶ χειμὼν αἰφνίδιον ἐπέπεσε καὶ συνιδεῖν οὐκ ἦν ὅπου γῆς ἦσαν, κατέφυγον ἅπαντες ἐπὶ τὸ τῆς Ἀφροδίτης ἄγαλμα σῴζειν αὐτοὺς αὐτὴν δεόμενοι. ἡ δὲ θεὸς
10 (προσφιλὴς γὰρ τοῖς Ναυκρατίταις ἦν) αἰφνίδιον ἐποίησε πάντα τὰ παρακείμενα αὐτῇ μυρρίνης χλωρᾶς πλήρη ὀδμῆς τε ἡδίστης | ἐπλήρωσε τὴν ναῦν ἤδη ἀπειρηκόσι τοῖς ἐμπλέουσι τὴν σωτηρίαν 676b
διὰ τὴν πολλὴν ναυτίαν· καὶ ἡλίου ἐκλάμψαντος κατιδόντες τοὺς ὅρμους ἧκον εἰς τὴν Ναύκρατιν. καὶ ὁ Ἡρόστρατος ἐξορμήσας τῆς
15 νεὼς μετὰ τοῦ ἀγάλματος ἔχων καὶ τὰς αἰφνίδιον αὐτῷ ἀναφανείσας χλωρὰς μυρρίνας ἀνέθηκεν ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ· θύσας τε τῇ θεῷ καὶ ἀναθεὶς τὸ ἄγαλμα, καλέσας δὲ καὶ ἐφ' ἑστίασιν ἐν αὐτῷ τῷ ἱερῷ τοὺς προσήκοντας καὶ τοὺς οἰκειοτάτους | ἔδωκεν 676c
ἑκάστῳ καὶ στέφανον ἐκ τῆς μυρρίνης, ὃν καὶ τότε ἐκάλεσε
20 Ναυκρατίτην. ὁ μὲν οὖν Πολύχαρμος ταῦτα· οἷς κἀγὼ πείθομαι ἡγούμενος οὐκ ἄλλον τινὰ εἶναι Ναυκρατίτην στέφανον ἢ τὸν ἐκ τῆς μυρρίνης τῷ καὶ μετὰ τῶν ῥόδων ὑπὸ τοῦ Ἀνακρέοντος (*PMG* 434.1) φορεῖσθαι. καὶ ὁ Φιλωνίδης δὲ εἴρηκεν ὡς ὁ τῆς μυρρίνης στέφανος τὴν ἐκ τῶν οἴνων ἀναθυμίασιν ἀποκρούεται καὶ ὁ τῶν
25 ῥόδων ἔχει τι κεφαλαλγίας παρηγορικὸν πρὸς τῷ καὶ ἐμψύχειν. γελοῖοι οὖν εἰσι καὶ οἱ λέγοντες Ναυκρατίτην εἶναι στέφανον | τὸν 676d
ἐκ τῆς βίβλου τῆς στεφανωτρίδος καλουμένης παρ' Αἰγυπτίοις,

1 ⟨τῷ⟩ addidi ‖ **3** ὁ Ἡρόστρατος A : ὁ delevi | ἐμπορίᾳ A[rec.] B : ἐμπορείᾳ A **4** προσσχών Dindorf : προσχών A ‖ **8** οὐ συνιδεῖν A : οὐ del. Casaubon | ὅπου B : ὅποι A : fort. ὅποι … ἦσαν ‖ **11** μυρρίνης χλωρᾶς Musurus : μυρρίνας χλωρὰς A ‖ **13** διὰ τὴν πολλὴν ναυτίαν γενομένου τε ἐμουτοῦ (ἐμέτου B) πολλοῦ A : γενομένου τε ἐμουτοῦ/ἐμέτου πολλοῦ ut glossam delevi : συνιδεῖν οὐκ ἦν ὅπου γῆς ἦσαν, γενομένου τε ἐμέτου πολλοῦ διὰ τὴν πολλὴν ναυτίαν, κατέφυγον Kaibel ‖ **14** ὅρμους Meineke : ὅρους A ‖ **16** θύσας Canter : θυσίας A ‖ **17** τε A : δὲ Kaibel | ἀναθεὶς τῇ Ἀφροδίτῃ A : τῇ Ἀφροδίτῃ ut glossam delevi | τὸ ἄγαλμα Kaibel (τἄγαλμα scripsit) : ἄγαλμα A | δὲ καὶ Kaibel : τε καὶ A : καὶ del. Dindorf ‖ **27** βίβλου A C : βύβλου E | παρ' Αἰγυπτίοις στεφόμενον A : στεφόμενον om. C E

παρατιθέμενοι Θεοπόμπου ἐκ τῆς τρι⟨σκαιδεκάτης τῶν Φιλιππικῶν καὶ τῆς ἑνδεκά⟩της τῶν Ἑλληνικῶν (*FGrH* 115 F 106b), ὅς φησιν Ἀγησιλάῳ τῷ Λάκωνι παραγενομένῳ εἰς Αἴγυπτον δῶρα πέμψαι τοὺς Αἰγυπτίους ἄλλα τέ τινα καὶ δὴ καὶ τὴν στεφανωτρίδα βίβλον. ἐγὼ δὲ οὐκ οἶδα τίνα ὠφέλειαν ἢ ἡδονὴν ἔχει τὸ 5 βίβλῳ στεφανοῦσθαι μετὰ ῥόδων, πλὴν εἰ μή τι οἱ τούτοις χαίροντες στέφονται ὁμοῦ σκορόδοις καὶ ῥόδοις. παμπόλλους δὲ οἶδα 676e λέγοντας τὸν ἐκ τῆς σαμψύχου | στέφανον εἶναι τὸν Ναυκρατίτην· πολὺ δὲ τὸ ἄνθος τοῦτο κατὰ τὴν Αἴγυπτον. διάφορος δὲ γίνεται κατὰ τὴν ὀδμὴν ἡ ἐν Αἰγύπτῳ μυρρίνη παρὰ τὰς ἐν ἄλλαις 10 χώραις, ὡς καὶ Θεόφραστος (*HP* 6.8.5) ἱστορεῖ.

[**19**] ἔτι τούτων λεγομένων ἐπεισῆλθον παῖδες στεφάνους φέροντες τῶν ἀκμαζόντων κατὰ τοὺς καιρούς. καὶ ὁ Μυρτίλος, λέγε, καλέ, εἶπεν, Οὐλπιανέ, στεφάνων ὀνόματα· οἱ γὰρ παῖδες κατὰ τὸν Χαιρήμονος Κένταυρον (*TrGF* 71 F 11) 15

στεφάνους ἑτοιμάζουσιν, οὓς εὐφημίας
κήρυκας εὐχαὶ προὐβάλλοντο δαιμόνων.

καὶ ἐν τῷ Διονύσῳ δὲ ὁ αὐτὸς ἔφη ποιητής (*TrGF* 71 F 6)·

στεφάνους τεμόντες ἀγγέλους εὐφημίας. |

676f σὺ δὲ μὴ τὰ ἐκ τῶν ἐπιγραφομένων Αἰλίου Ἀσκληπιάδου Στεφά- 20 νων φέρε ἡμῖν ὡς ἀνηκόοις αὐτῶν, ἀλλ' ἄλλο τι παρ' ἐκεῖνα λέγε· δεῖξαι γὰρ οὐκ ἔχεις ὅτι † διαλελυμένως † τις εἴρηκε ῥόδων στέφανον καὶ ἴων στέφανον· τὸ γὰρ παρὰ Κρατίνῳ (fr. 394) κατὰ παιδιὰν εἴρηται·

ναρκισσίνους † ὀλίσκους †. 25

καὶ ὃς γελάσας, πρῶτον ἐν τοῖς Ἕλλησι στέφανος ὠνομάσθη, ὥς φησι Σῆμος ὁ Δήλιος ἐν τετάρτῳ Δηλιάδος (*FGrH* 396 F 8), τὸ 677a παρὰ ‖ μὲν ἡμῖν στέφος, παρὰ δέ τισι στέμμα προσαγορευόμενον·

1–2 suppl. Grenfell–Hunt ex 9.384a ‖ **5** βίβλον A : βύβλον Kaibel, cf. βύβλῳ infra ‖ **6** βίβλῳ scripsi, cf. βίβλου et βίβλον supra : βύβλῳ A ‖ **7** σκορόδοις καὶ ῥόδοις scripsi : σκορόδοις καὶ ῥόδα A C E : ῥόδοις καὶ σκόροδα Kaibel **17** εὐχαὶ A : εὐχαῖς Dalechamps (*precibus*) | προὐβάλλοντο A : προὐβάλοντο Canter ‖ **26** πρῶτον Kaibel : πρῶτος A C E ‖ **28** στέφος Canter : στέφανος A C E

διὸ καὶ τούτῳ πρώτῳ στεφανωσάμενοι δεύτερον περιτιθέμεθα τὸν δάφνινον. κέκληται δὲ στέφανος ἀπὸ τοῦ στέφειν. σὺ δὲ οἴει με, ἔφη,

Θετταλὲ ποικιλόμυθε,

5 τῶν κοινῶν τούτων καὶ κατημαξευμένων ἐρεῖν τι; διὰ δὲ τὴν σὴν γλῶσσαν τῆς ὑπογλωττίδος μνησθήσομαι ἧς Πλάτων ἐμνήσθη ἐν Διὶ Κακουμένῳ (fr. 51)·

καίτοι φορεῖτε γλῶσσαν ἐν ὑποδήμασι,
στεφάνους δ' † ὑπογλωττίσιν, ὅτε πίνητέ που· |
10 καὶ καλλιερῆτε, γλῶτταν ἀγαθὴν πέμπεται. 677b

Θεόδωρος δ' ἐν ταῖς Ἀττικαῖς Φωναῖς (*FGrH* 346 F 3a), ὥς φησι Πάμφιλος ἐν τοῖς Περὶ Ὀνομάτων (fr. XXXVII Schmidt), πλοκῆς στεφάνων γένος τι τὴν ὑπογλωττίδα ἀποδίδωσι. λαβὲ οὖν καὶ παρ' ἐμοῦ· κατὰ τὸν Εὐριπίδην (fr. 189)

15 ἐκ παντὸς ⟨γὰρ⟩ ἄν τις πράγματος δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός.

[**20**] Ἰσθμιακόν. τὸν οὕτω καλούμενον στέφανον Ἀριστοφάνης μνήμης ἠξίωσεν ἐν Ταγηνισταῖς (fr. 505) λέγων οὕτω· |

τί οὖν ποιῶμεν; χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν· 677c
20 εἶτ' Ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροὶ
ᾄδωμεν ἐς τὸν δεσπότην ἐγκώμιον.

Σιληνὸς δ' ἐν ταῖς Γλώσσαις φησίν· Ἴσθμιον· στέφανον. Φιλητᾶς (fr. 13 Dettori = fr. 41 Spanoudakis) δέ φησι· στέφανος ἤγουν ὁμωνυμία ἀμφοτέρωθι οἷον τῆς κεφαλῆς καὶ τοῦ † πρώτου † 25 κόσμου. λέγω δὲ τὸ ἐπὶ τοῦ φρέατος καὶ τοῦ ἐγχειριδίου ἴσθμιον. Τιμαχίδας (fr. 28 Blinkenberg) δὲ καὶ Σιμμίας (fr. 27, p. 120

677b Eust. p. 1192.48–9 = IV.355.14–15

2 στέφειν Schweighäuser : στεφάνου A ‖ **8** γλῶσσαν A : γλῶτταν Casaubon **9** στεφάνους δ' A : στεφανοῦσθ' Porson | ὅτε A : ὅταν Schweighäuser | πίνητέ B : † πεινητε † A ‖ **10** καὶ A : κἂν Casaubon | γλῶτταν B : γλῶττταν A πέμπεται A : πέμπετε B ‖ **17** τὸν οὕτω scripsi : οὕτω τοῦτον A | ⟨τὸν⟩ στέφανον Kaibel ‖ **22** Φιλητᾶς Dindorf (Φιλήτας iam B) : Φιλιτας A **24** πρώτου A : προσώπου Pursanus : περὶ αὐτῆς Spanoudakis

Powell) οἱ Ῥόδιοι ἀποδιδόασιν ἓν ἀνθ᾿ ἑνός· Ἴσθμιον· στέφανον· οὗ
677d μνημονεύει καὶ Καλλίξεινος, Ῥόδιος καὶ αὐτὸς | γένος, ἐν τοῖς
Περὶ Ἀλεξανδρείας (*FGrH* 627 F 4) γράφων οὕτως· 〈...〉 [**21**] ἐπεὶ δὲ
Ἀλεξανδρείας ἐμνημόνευσα, οἶδά τινα ἐν τῇ καλῇ ταύτῃ πόλει
καλούμενον στέφανον Ἀντινόειον γινόμενον ἐκ τοῦ αὐτόθι καλου- 5
μένου λωτοῦ. φύεται δ᾿ οὗτος ἐν λίμναις θέρους ὥρᾳ, καί εἰσιν
αὐτοῦ χροιαὶ δύο, ἡ μὲν τῷ ῥόδῳ ἐοικυῖα· ἐκ τούτου δὲ ὁ πλεκόμε-
νος στέφανος κυρίως Ἀντινόειος καλεῖται· ὁ δὲ ἕτερος λώτινος
ὀνομάζεται κυανέαν ἔχων τὴν χροιάν. καὶ Παγκράτης (*FGrH* 625
T 1) τις τῶν ἐπιχωρίων ποιητής, ὃν καὶ ἡμεῖς ἔγνωμεν, Ἀδριανῷ 10
677e τῷ αὐτοκράτορι | ἐπιδημήσαντι τῇ Ἀλεξανδρείᾳ μετὰ πολλῆς
τερατείας ἐπέδειξε τὸν ῥοδίζοντα λωτὸν φάσκων αὐτὸν δεῖν καλεῖν
Ἀντινόειον ἀναπεμφθέντα ὑπὸ τῆς γῆς ὅτε τὸ αἷμα ἐδέξατο τοῦ
Μαυρουσίου λέοντος, ὃν κατὰ τὴν πλησίον τῇ Ἀλεξανδρείᾳ
Λιβύην ἐν κυνηγίῳ καταβεβλήκει ὁ Ἀδριανὸς μέγα χρῆμα ὄντα 15
καὶ πολλῷ χρόνῳ κατανεμηθέντα πᾶσαν τὴν Λιβύην, ἧς καὶ
πολλὰ ἀοίκητα ἐπεποιήκει οὗτος ὁ λέων. ἡσθεὶς οὖν ἐπὶ τῇ τῆς
ἐννοίας εὑρέσει καὶ καινότητι ἐν Μουσῶν αὐτῷ σίτησιν ἔχειν |
677f ἐχαρίσατο. καὶ Κρατῖνος δ᾿ ὁ κωμῳδιοποιὸς ἐν Ὀδυσσεῦσι (fr. 157)
κέκληκε τὸν λωτὸν στεφάνωμα διὰ τὸ πάντα τὰ φυλλώδη ὑπὸ τῶν 20
Ἀθηναίων στεφανώματα λέγεσθαι. ὁ δὲ Παγκράτης ἐν τῷ
ποιήματι οὐκ ἀγλαφύρως εἴρηκεν (fr. 3, p. 54 Heitsch)·

οὔλην ἕρπυλλον, λευκὸν κρίνον ἠδ᾿ ὑάκινθον
πορφυρέην λευκοῦ τε χελιδονίοιο πέτηλα
καὶ ῥόδον εἰαρινοῖσιν ἀνοιγόμενον Ζεφύροισιν· 25
οὔπω γὰρ φύεν ἄνθος ἐπώνυμον Ἀντινόοιο. ‖

677d–f Eust. p. 1616.57–62 = i.324.43–325.2 | **682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b** Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3

2 ὁ Ῥόδιος A : ὁ delevi ‖ **3** lac. indic. A ‖ **5** Ἀντινόειον B, cf. Ἀντινόειος infra : Ἀντινόειος (structura mutata) C E : Ἀντινόιον A ‖ **13** Ἀντινόειον C E B : Ἀντινόιον A | ἀναπεμφθέντα C E B : ἀναπεμφθῆναι (structura mutata) Eust. : ἀναπεφθέντα A ‖ **18** τὴν ἐν Μουσῶν αὐτῷ σίτησιν A C E : τὴν delevi : Μουσείῳ pro Μουσῶν Casaubon ‖ **20** τὸν B et Hsch. σ 1795 : τὸ A **24** λευκοῦ A C E : γλαυκοῦ Schweighäuser | τε C E : δὲ A | πέτηλα A C E : πέτηλον C[s]

[22] πυλεών. οὕτω καλεῖται ὁ στέφανος ὃν τῇ Ἥρᾳ περιτιθέασι Λάκωνες, ὥς φησι Πάμφιλος (fr. XXXII Schmidt). ἀλλὰ μὴν καὶ Ἰάκχαν τινὰ καλούμενον οἶδα στέφανον ὑπὸ Σικυωνίων, ὥς φησι Τιμαχίδας ἐν ταῖς Γλώσσαις (fr. 19 Blinkenberg). Φιλητᾶς (Philit. fr. 12 Dettori = fr. 40 Spanoudakis) δ᾽ οὕτω γράφει· Ἰάκχα· ἐν τῇ Σικυωνίᾳ στεφάνωμα εὐῶδες· 678a

ἕστηκ᾽ ἀμφικόμα εὐώδεας ἀγχόθι πατρὸς
καλὸν Ἰακχαῖον θηκαμένη στέφανον.

Σέλευκος δ᾽ ἐν ταῖς Γλώσσαις (fr. 52 Müller) Ἑλλωτίδα καλεῖσθαί φησι τὸν ἐκ μυρρίνης πλεκόμενον στέφανον | ὄντα τὴν περίμετρον πηχῶν εἴκοσι πομπεύειν τε ἐν τῇ τῶν Ἑλλωτίων ἑορτῇ. φασὶ δ᾽ ἐν αὐτῷ τὰ τῆς Εὐρώπης ὀστᾶ κομίζεσθαι, ἣν ἐκάλουν Ἑλλωτίδα· ἄγεσθαι δὲ καὶ ἐν Κορίνθῳ τὰ Ἑλλώτια. 678b

Θυρεατικοί. οὕτω καλοῦνταί τινες στέφανοι παρὰ Λακεδαιμονίοις, ὥς φησι Σωσίβιος ἐν τοῖς Περὶ Θυσιῶν (*FGrH* 595 F 5) ψιλίνους αὐτοὺς φάσκων νῦν ὀνομάζεσθαι ὄντας ἐκ φοινίκων· φέρειν δ᾽ αὐτοὺς ὑπόμνημα τῆς ἐν Θυρέᾳ γενομένης νίκης τοὺς προστάτας τῶν ἀγομένων χορῶν ἐν τῇ ἑορτῇ ταύτῃ, ὅτε καὶ τὰς γυμνοπαιδιὰς | ἐπιτελοῦσι. χοροὶ δ᾽ εἰσὶ τὸ μὲν πρόσω παίδων, ⟨τὸ δ᾽ ἐκ δεξίου ...⟩, τὸ δ᾽ ἐξ ἀρίστου ἀνδρῶν, γυμνῶν ὀρχουμένων καὶ ᾀδόντων Θαλητᾶ καὶ Ἀλκμᾶνος ᾄσματα καὶ τοὺς Διονυσοδότου τοῦ Λάκωνος παιᾶνας. 678c

μελιλωτίνων δὲ στεφάνων μνημονεύει Ἄλεξις ἐν Κρατείᾳ ἢ Φαρμακοπώλῃ (fr. 119) οὕτω·

στεφάνους τε πολλοὺς κρεμαμένους μελιλωτίνους.

ἐπιθυμεῖς. Σέλευκός (fr. 54 Müller) φησι· τὰ πάντα στεφανώματα. Τιμαχίδας (fr. 25 Blinkenberg) δέ φησι τὰ παντοδαπὰ στεφανώματα ἃ | τὰς γυναῖκας φορεῖν οὕτω καλεῖσθαι. ὑποθυμὶς δὲ 678d

3 Ἰάκχαν Casaubon, cf. Philit. infra et Hsch. ι 21 : Ἰαχχα A ‖ **4** Φιλητᾶς Dindorf : Φιλιτας A ‖ **7** ἀμφικόμα A : ἀμφὶ κόμας Schweighäuser, ducente Casaubon ‖ **11** πομπεύειν τε A C E : πομπεύοντα Kaibel ‖ **18–19** ὅτε καὶ τὰς γυμνοπαιδιὰς ἐπιτελοῦσι ut glossam del. Jacoby ‖ **19–20** ⟨τὸ δ᾽ ἐκ δεξίου ...⟩ add. Wyttenbach ‖ **23** Κρατείᾳ Kaibel, cf. 3.107a, 6.254a : Κρατίᾳ A **26** ἐπιθυμεῖς A : ἐπιθυμίς Dindorf

καὶ ὑποθυμιάδες στέφανοι παρ' Αἰολεῦσιν καὶ Ἴωσιν, οὓς περὶ τοὺς τραχήλους περιετίθεντο, ὡς σαφῶς ἐστὶν μαθεῖν ἐκ τῆς Ἀλκαίου καὶ Ἀνακρέοντος ποιήσεως. Φιλητᾶς δ' ἐν τοῖς Ἀτάκτοις (fr. 14 Dettori = fr. 42 Spanoudakis) ὑποθυμίδα Λεσβίους φησὶ καλεῖν μυρσίνης κλῶνα, περὶ ὃν πλέκειν ἴα καὶ ἄλλα ἄνθη. καὶ 5 ὑπογλωττὶς δὲ στεφάνου ἐστὶν εἶδος. Θεόδωρος δ' ἐν Ἀττικαῖς Γλώσσαις (*FGrH* 346 F 3b) στεφάνων πλοκῆς γένος παρὰ Πλάτωνι ἐν Διὶ Κακουμένῳ (fr. 51.2).

678e [**23**] εὑρίσκω δὲ καὶ παρὰ τοῖς κωμικοῖς | ἐκκυλιστόν τινα καλούμενον στέφανον καὶ μνημονεύοντα αὐτοῦ Ἄρχιππον ἐν 10 Ῥίνωνι (fr. 42) διὰ τούτων·

ἀθῷος ἀποδοὺς θοἰμάτιον ἀπέρχεται
στέφανον ἔχων τῶν ἐκκυλίστων οἴκαδε.

Ἄλεξις δ' ἐν μὲν Ἀγωνίδι ἢ Ἱππίσκῳ (fr. 4)·

(A.) ὁ τρίτος δ' οὗτος ἔχει 15
σύκων κυλιστὸν στέφανον. (B.) ἀλλ' ἔχαιρε καὶ
ζῶν τοῖς τοιούτοις.

ἐν δὲ τῷ Σκείρωνί (fr. 210) φησιν·

ὥσπερ κυλιστὸς στέφανος αἰωρούμενος.

μνημονεύει δ' αὐτοῦ καὶ Ἀντιφάνης ἐν Ἑαυτοῦ Ἐρῶντι (fr. 53), | 20
678f Εὔβουλος δ' ἐν Οἰνομάῳ ἢ Πέλοπι (fr. 73)·

περιφοραῖς κυκλούμενος
ὥσπερ κυλιστὸς στέφανος.

678f Eust. p. 1538.41–3 = i.220.35–7

1 ὑποθυμιάδες A, cf. 15.674c–d, 687b : ὑποθυμίδες Kaibel, cf. ὑποθυμίδα(ς) infra ‖ **3** Φιλητᾶς Dindorf (Φιλήτας iam C E) : Φιλίτας A ‖ **4** ὑποθυμίδα Kaibel : ὑποθυμίδας A C E ‖ **9** ἐκκυλιστόν scripsi, cf. ἐκκυλίστων infra et Poll. 7.200 στεφάνων δὲ εἴδη ἐκκύλιστος, ὥσπερ Ἀρχίππῳ εἴρηται ἐν Ῥίνωνι : κυλιστόν A : κυλιστός (structura mutata) C E ‖ **15** δ' οὗτος A : οὗτος δ' Meineke ‖ **18** Σκείρωνί A : Σκίρωνί Kaibel

τίς οὖν οὗτος ὁ κυλιστός; οἶδα γὰρ τὸν Θυατειρηνὸν Νίκανδρον ἐν τοῖς Ἀττικοῖς Ὀνόμασι (*FGrH* 343 F 7) λέγοντα τάδε· ἐκκύλιστοι στέφανοι· καὶ μάλιστα οἱ ἐκ ῥόδων. καὶ τὸ εἶδος ὁποῖον ζητῶ, ὦ Κύνουλκε. καὶ μή μοι εἴπῃς ὅτι δεῖ τοὺς ἁδροὺς ἀκούειν· σὺ γὰρ εἶ
5 ὁ τὰ ἐν τοῖς βιβλίοις ἀπόρρητα οὐ μόνον ἐκλέγων ἀλλὰ καὶ ἀνορύττων, καθάπερ οἱ παρὰ Βάτωνι τῷ κωμῳδιοποιῷ ἐν Συνεξαπατῶντι (fr. 6) φιλόσοφοι, περὶ ὧν καὶ Σοφοκλῆς Συνδείπνοις (fr. 564) φησὶν οὖσί σοι παραπλησίοις· ‖

οὔτοι γένειον ὧδε χρὴ διηλιφὲς 679a
10 φοροῦντα κἀντίπαιδα καὶ γένει μέγαν
γαστρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.

ἐπειδὴ οὖν ἤδη καὶ σὺ πεπλήρωσαι οὐ μόνον τῶν τοῦ γλαύκου κρανίων ἀλλὰ καὶ τῆς ἀειζώου βοτάνης ἧς ὁ Ἀνθηδόνιος ἐκεῖνος δαίμων ἐμφορηθεὶς ἀθάνατος πάλιν † ητις † γέγονε, λέγε ἡμῖν
15 περὶ τοῦ προκειμένου, ἵνα μὴ κατὰ τὸν θεῖον Πλάτωνα (*Phd.* 81e–2a) ὑπολάβωμέν σε ἀποθανόντα μεταμορφωθῆναι· τοὺς μὲν γὰρ γαστριμαργίας | τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας 679b καὶ μὴ διευλαβουμένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι.

20 [**24**] ἀποροῦντος δ' αὐτοῦ, ἐπὶ ἕτερον, φησί, στέφανον μεταβήσομαι, ὁ Οὐλπιανός, τὸν στρουθίον καλούμενον, οὗ μέμνηται μὲν ὁ Ἀσκληπιάδης παρατιθέμενος τὰ ἐκ τῶν Εὐβούλου Στεφανοπωλίδων (fr. 102) ταῦτα·

ὦ μάκαρ ἥτις ἔχουσ' ἐν δωματίῳ
25 στρουθίον ἀεροφόρητον

1 Θυατειρηνὸν B : Θυατειρηνὸς (structura mutata) C E : Θυατειρητὸν A **2** ἐκκύλιστοι Schweighäuser, cf. 15.678e στέφανον ... τῶν ἐκκυλίστων : ἐκκυλίσιοι A E Eust. : ἐκκἐλίσιοι C ‖ **5** ἀπόρρητα οὐ μόνον Meineke : οὐ μόνον ἀπόρρητα A C E ‖ **6** ἀνορύττων Kassel : διορύττων A C E : ἐξορύττων Meineke ‖ **7** Συνδείπνοις Musurus : Συνδείπνοι A : Συνδείπνῳ Casaubon **9** διηλιφὲς Casaubon : διηλειφὲς A ‖ **10** κἀντίπαιδα Casaubon : καὶ ἀντίπαιδα A ‖ **12** σὺ πεπλήρωσαι B : συμπεπλήρωσαι A : σὺ ἐμπεπλήρωσαι Schweighäuser ‖ **13** ἀειζώου B : ἀϊζώου A ‖ **16** μεταμορφωθῆναι ἐν τῷ Περὶ Ψυχῆς A : ἐν τῷ Περὶ Ψυχῆς ut glossam del. Schweighäuser ‖ **17** τὰς γαστριμαργίας A : τὰς om. C E ‖ **21** στρουθίον] στρουθιον A : στρούθινον Kaibel, sed cf. Eub. fr. 102.2 στρουθίον infra ‖ **25** στρουθίον] στρούθιον C E : † στρουθιον † A : fort. στρούθινον

λεπτότατον περὶ σῶμα συνίλλεταί τε
† ἡδυπότατον † περὶ νυμφίον εὔτριχα,
κισσὸς ὅπως καλάμῳ περιφύεται 5
αὐξόμενος ἔαρος, ὀλολυγόνος |
679c ἔρωτι κατατετηκώς. 5

πλέκεται δ' οὗτος ἐκ τοῦ στρουθίου καλουμένου ἄνθους, οὗ μνημονεύει Θεόφραστος ἐν ἕκτῳ Φυτικῆς Ἱστορίας (6.8.3) ἐν τούτοις· ἀνθεῖ δὲ καὶ ἡ ἶρις τοῦ θέρους καὶ τὸ στρουθίον καλούμενον, ὃ τῇ μὲν ὄψει καλὸν ἄνθος, ἄοσμον δέ. Γαλήνη δ' ἡ Σμυρναία † στρουθιον † αὐτὸν ὀνομάζει. 10

πόθος. οὕτω τις στέφανος ὀνομάζεται, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν Γλώσσαις (fr. 144 Schneider)· καὶ ἴσως ὁ ἀπὸ τοῦ οὕτω καλουμένου ἄνθους πλεκόμενος, οὗ μνημονεύει ὁ αὐτὸς 679d Θεόφραστος | ἐν τῷ ἕκτῳ τῶν Φυτικῶν (*HP* 6.8.3) γράφων ὧδε· τὰ δὲ θερινὰ μᾶλλον, ἥ τε λυχνὶς καὶ τὸ Διὸς ⟨ἄνθος⟩ καὶ τὸ κρίνον 15 καὶ ⟨τὸ⟩ ἴφυον καὶ ἀμάρακος ὁ Φρύγιος, ἔτι δὲ ὁ πόθος καλούμενος. οὗτος δέ ἐστι διττός, ὁ μὲν ἔχων τὸ ἄνθος ὅμοιον ὑακίνθῳ, ὁ δὲ ἕτερος ἄχρως, ἔκλευκος, ᾧ χρῶνται πρὸς τοὺς τάφους.

καταλέγει δὲ Εὔβουλος (fr. 103) καὶ ἄλλους στεφάνους· 20

Αἰγίδιον, σὺ δὲ τόνδε φορήσεις
στέφανον πολυποίκιλον ἀνθέων
γρυπότατον, χαριέστατον, ὦ Ζεῦ.
679e τίς γὰρ αὐτὸν | ἔχουσα φιλήσει;

κἀν τοῖς ἑξῆς τάδε φησί (fr. 104)· 25

(Α.) στεφάνους ἴσως βούλεσθε· πότερον ἑρπυλλίνους
ἢ μυρτίνους ἢ τῶν διηνθημένων;

679d Eust. p. 1679.12–14 = i.407.26–9 | **679e** *Suda* ξ 22

1 τε A : del. Schweighäuser ‖ **9** ἄνθος A : om. C E, fort. recte **13** καλουμένου πόθου ἄνθους A : πόθου ἄνθους C E : πόθου ut glossam del. Kaibel ‖ **15** ἄνθος praeb. 15.680f et Thphr. : om. A ‖ **16** τὸ praeb. 15.680f et Thphr. : om. A | ἀμάρακος ὁ Φρύγιος A C E Eust. : ἀμάρακος Φρύγιος 15.680f : ὁ ἀμάρακος ὁ Φρύγιος Thphr. ‖ **18** ἔκλευκος A C Eust. : εὔλευκος E : λευκός Thphr. ‖ **26** πότερον A : πότερ' Canter

(Β.) τῶν μυρτίνων βουλόμεθα τούτω· σὺ
τἄλλα πώλει πάντα πλὴν τῶν μυρτίνων.

[25] φιλύρινος. Ξέναρχος Στρατιώτῃ (fr. 13)·

φιλύρας εἶχε γὰρ
5 ὁ παῖς ἀφύλλου στέφανον ἀμφικείμενον.

καλοῦνται δέ τινες καὶ ἑλικτοὶ στέφανοι, ὥσπερ παρὰ | Ἀλεξανδρεῦσι μέχρι καὶ νῦν. μνημονεύει δ' αὐτῶν Χαιρήμων ὁ 679f τραγῳδιοποιὸς ἐν Διονύσῳ (*TrGF* 71 F 7) διὰ τούτων·

κισσῷ τε ναρκίσσῳ τε τριέλικας κύκλῳ
10 στεφάνων ἑλικτῶν.

περὶ δὲ τῶν ἐν Αἰγύπτῳ ἀεὶ ἀνθούντων στεφάνων Ἑλλάνικος ἐν τοῖς Αἰγυπτιακοῖς (*FGrH* 4 F 54) οὕτω γράφει· πόλις ἐπιποταμίη, Τίνδιον ὄνομα αὐτῇ, θεῶν ὁμήγυρις· καὶ ἱερὸν μέγα καὶ ἁγνὸν ἐν μέσῃ τῇ πόλει λίθινον καὶ θύρετρα λίθινα. ἔσω τοῦ ἱεροῦ ἄκανθαι 15 πεφύκασι ‖ λευκαὶ καὶ μέλαιναι. ἐπ' αὐτῇσι στέφανοι ἐπιβέβληνται 680a ἄνω ἀκάνθου τοῦ ἄνθους καὶ ῥοιῆς καὶ ἀμπέλου πεπλεγμένοι, καὶ οὗτοι ἀεὶ ἀνθέουσι· τοὺς στεφάνους ἀπέθεντο οἱ θεοὶ ἐν Αἰγύπτῳ πυθόμενοι βασιλεύειν τὸν Βάβυν, ὅς ἐστι Τυφῶν. Δημήτριος δ' ἐν τῷ Περὶ τῶν κατ' Αἴγυπτον (*FHG* iv.383) περὶ Ἄβυδον πόλιν τὰς 20 ἀκάνθας ταύτας εἶναί φησι γράφων οὕτως· ἔχει δὲ ὁ κάτω τόπος καὶ ἄκανθάν τινα δένδρον ὃ τὸν καρπὸν φέρει στρογγύλον ἐπί τινων κλωνίων περιφερῶν. ἀνθεῖ δ' | οὗτος ὅταν ὥρα ᾖ, καὶ ἐστὶ τῷ 680b χρώματι τὸ ἄνθος ⟨...⟩ καὶ εὐφεγγές. λέγεται δέ τις μῦθος ὑπὸ τῶν Αἰγυπτίων ὅτι οἱ Αἰθίοπες στελλόμενοι εἰς Τροίαν ὑπὸ τοῦ 25 Τιθωνοῦ, ἐπεὶ ἤκουσαν τὸν Μέμνονα τετελευτηκέναι, ἐν τούτῳ ⟨τῷ⟩ τόπῳ τοὺς στεφάνους ἀνέβαλον ἐπὶ τὰς ἀκάνθας. ἐστὶ δὲ παραπλήσια στεφάνοις τὰ κλωνία ἐφ' ὧν τὸ ἄνθος φύεται. ὁ δὲ

1 τούτω A : τούτων B : τουτωνί Hermann ‖ **11** ἀεὶ B : αἰεὶ A ‖ **15** ἐπ' αὐτῇσι Meineke, ducente Salmasius : ἐπ' αὐτοῖς οἱ A : ἐπὶ τῇσι Wilamowitz ‖ **16** τῆς ἀκάνθου A : τῆς delevi | ἄνθους A : ἄνθεος Canter | ῥοιῆς ἄνθος A : ἄνθος ut glossam del. Meineke ‖ **17** ἀεὶ B : αἰεὶ A | στεφάνους A : del. Kaibel **18** Τυφῶν A : fort. Τυφών ‖ **19** Ἄβυδον, i.e. -ΔΟΝ Berkel : Ἄβυλον, i.e. -ΛΟΝ A ‖ **23** ⟨λευκὸν⟩ καὶ εὐφεγγές Schoell : καλλιφεγγές Salmasius **26** ⟨τῷ⟩ add. B ‖ **27** στεφάνοις τὰ κλωνία scripsi : τὰ κλωνία στεφάνοις A ἐφ' Kaibel : ἀφ' A

προειρημένος Ἑλλάνικος (*FGrH* 4 F 55) καὶ Ἄμασιν Αἰγύπτου βασιλεῦσαι ἰδιώτην ὄντα καὶ τῶν τυχόντων κατὰ τὸν πρῶτον βίον
680c διὰ στεφάνου δωρεὰν ὃν ἔπεμψεν ἀνθέων πλεξάμενος | τῇ ὥρᾳ περικαλλεστάτων γενέθλια ἐπιτελοῦντι Πατάρμιδι τῷ τῆς Αἰγύπτου τότε βασιλεύοντι· τοῦτον γὰρ ἡσθέντα τῷ κάλλει τοῦ στεφά- 5 νου καὶ ἐπὶ δεῖπνον καλέσαι τὸν Ἄμασιν καὶ μετὰ ταῦτα τῶν φίλων ἕνα αὐτὸν ἔχοντα ἐκπέμψαι ποτὲ καὶ στρατηγὸν Αἰγυπτίων αὐτῷ πολεμούντων· ὑφ᾽ ὧν διὰ τὸ τοῦ Πατάρμιδος μῖσος ἀποφανθῆναι βασιλέα.

[**26**] συνθηματιαῖοι στέφανοι· ἠργολαβημένοι καὶ ἐκδόσιμοι. 10 Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις (458)·

> στεφάνους πλέξαι συνθηματιαίους εἴκοσιν. |

680d χορωνόν. Ἀπίων ἐν τῷ Περὶ τῆς Ῥωμαϊκῆς Διαλέκτου (*FGrH* 616 F 25) φησὶ τὸν στέφανον πάλαι χορωνὸν καλεῖσθαι ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι αὐτούς τε περικειμένους 15 καὶ ἐπὶ τὸν στέφανον ἀγωνιζομένους, καθὼς ἐν τοῖς Σιμωνίδου Ἐπιγράμμασιν (fr. 176 Bergk) ἰδεῖν ἐστὶν οὕτω καλούμενον·

> Φοῖβος † εσαγειται † Τυνδαρίδῃσιν ἀοιδῆς
> † αναμετροι † τέττιγες ἐπεστέψαντο χορωνῷ.

ἀκίνινοι. στέφανοί τινες καλοῦνται οὕτως οἱ ἐκ τῆς ἀκίνου τοῦ 20 φυτοῦ πλεκόμενοι, ὥς φησιν Ἄνδρων ὁ ἰατρός. παρέθετο δ᾽ αὐτοῦ
680e τὴν λέξιν Παρθένιος ὁ τοῦ Διονυσίου ἐν τῷ | πρώτῳ τῶν Παρὰ τοῖς Ἱστορικοῖς Λέξεων.

682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3 | **680e, 681e** Eust.(1) p. 1049.38 = III.819.4–7

1 Ἑλλάνικος B : Ἑλάνικος A ‖ **10** συνθηματιαῖοι] συνθηματιαίων (structura mutata) C E, cf. συνθηματιαίους infra et Poll. 7.200 συνθηματιαίους δὲ στεφάνους εἴρηκεν Ἀριστοφάνης τοὺς ἠργολαβημένους : συνθηματαῖοι A **12** στεφάνους πλέξαι A : πλέξαι στεφάνους Ar. ‖ **14** καλεῖσθαι C E : καλούμενον A ‖ **17** καλούμενον Pursanus : καλουμένου A ‖ **18** Φοῖβος † εσαγειται † A : Φοῖβον, ὃς ἁγεῖται Wilamowitz ‖ **18–19** ἀοιδῆς / † αναμετροι †] † αοιδησαναμετροι † A : ἀοιδᾶς / ἁμέτεροι Hartung **20** ἀκίνινοι Kaibel : ἀκίννιοι A : ἀκίνιοι Schweighäuser | ἀκίνου Canter, cf. Diosc. 3.43.1 ἄκινος ἢ ἄκονος· πόα ... στεφανωματική : † ακιδος † A **21** Ἄνδρων] "fort. i. q. Ἀνδρέας" Kaibel

[27] στεφανωματικὰ δὲ ἄνθη καταλέγει Θεόφραστος (*HP* 6.6.11–6.8.3) τάδε· ἴον, Διὸς ἄνθος, ἴφυον, φλόγα, ἡμεροκαλλές· πρῶτον τε τῶν ἀνθέων ἐκφαίνεσθαί φησι τὸ λευκόιον, ἅμα δὲ αὐτῷ καὶ τὸν † φλονον † καλούμενον τὸν ἄγριον, ἔπειτα νάρκισσον καὶ
5 λείριον καὶ τῶν ὀρείων ἀνεμώνης γένος τὸ καλούμενον ὄρειον καὶ τὸ τοῦ βολβοῦ κώδυον· συμπλέκουσι γὰρ καὶ τοῦτ᾽ ἔνιοι εἰς τοὺς στεφάνους. ἐπὶ τούτοις ἥ τε οἰνάνθη καὶ τὸ μέλαν ἴον καὶ τῶν ἀγρίων ὅ τε ἑλίχρυσος καὶ τῆς ἀνεμώνης ἡ λειμωνία καλουμένη καὶ ξίφιον καὶ ὑάκινθος. τὸ δὲ ῥόδον ὑστερεῖ τούτων καὶ τελευταῖον
10 μὲν φαίνεται, | πρῶτον δὲ παύεται. τὰ δὲ θερινὰ μᾶλλον, ἥ τε λυχνὶς καὶ τὸ Διὸς ἄνθος καὶ τὸ κρίνον καὶ τὸ ἴφυον καὶ ἀμάρακος ⟨ὁ⟩ Φρύγιος, ἔτι δὲ ὁ πόθος καλούμενος. ἐν δὲ τῷ ἐνάτῃ (*HP* 9.19.3) ὁ αὐτὸς Θεόφραστός φησιν· ἐάν τις τοῦ ἑλιχρύσου τῷ ἄνθει στεφανῶται, εὔκλειαν ἴσχει μύρῳ ῥαίνων. μνημονεύει αὐτοῦ
15 Ἀλκμὰν (*PMG* 60) ἐν τούτοις· ‖ 680f

καὶ τὶν εὔχομαι φέροισα 681a
τόνδ᾽ ἑλιχρύσῳ † πυλεω
ακηράτων κυπερω †.

καὶ Ἴβυκος (*PMG* 315)·

20 μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος,
μᾶλά τε καὶ ῥόδα καὶ τέρεινα δάφνα.

Κρατῖνος δὲ ἐν Μαλθακοῖς (fr. 105.4) φησιν·

ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλιχρύσου κλάδοις.

2 ἴον A C E Eust.(1) : ἰωνιά Thphr. ‖ **3** τε A C E : δὲ Casaubon ‖ **4** τὸν † φλονον † ... τὸν A : τὸ φλόγα ... τὸν B, cf. φλόγα supra : τὸ φλόγινον ... τὸ Thphr. ‖ **5** λείριον (i.e. ΛΕΙΡΙΟΝ) καὶ τῶν ὀρείων ἀνεμώνης Casaubon, Schweighäuser : † αιριον † (i.e. ΑΙΡΙΟΝ) καὶ τῶν † οριων μανεμώνηνης † (v.ll. -ης et -ην in unam confusas) A : om. Thphr. | ὄρειον Thphr. : ὄριον A **6** συμπλέκουσι A : ἐμπλέκουσι Thphr. ‖ **8** λειμωνία Thphr. : λιμωνία A **11–12** ἀμάρακος ὁ Φρύγιος 15.679d : ὁ om. A : ὁ ἀμάρακος ὁ Φρύγιος Thphr. ‖ **14** στεφανῶται Casaubon : στεφανῶτε A | ῥαίνων B : ῥαίων A **17** τόνδ᾽ Schweighäuser : τόνδε A | ἑλιχρύσῳ A : ἑλιχρύσω B **17–18** † πυλεω ακηράτων κυπερω † A : πυλεῶνα / κήρατῶ κυπαίρω Casaubon, Boissonade, Welcker ‖ **21** μᾶλά A : μῆλά A[s] | τέρεινα δάφνα, i.e. -ΔΑΦΝΑ Canter et Ursinus : † τερινα δαφηα †, i.e. -ΔΑΦΗΑ A

ἐστὶ δὲ τὸ ἄνθος ὅμοιον λωτῷ. Θεμισταγόρας δ᾽ ὁ Ἐφέσιος ἐν τῇ
681b ἐπιγραφομένῃ Χρυσέῃ Βίβλῳ (fr. 2, *FHG* iv.512) ἀπὸ | τῆς πρώτης
δρεψαμένης νύμφης Ἑλιχρύσης ὄνομα τὸ ἄνθος ὀνομασθῆναι. τὰ
δὲ κρίνα φησὶν ὁ Θεόφραστος (*HP* 6.6.3) εἶναι καὶ πορφυρανθῆ.
Φιλῖνος δὲ τὸ κρίνον ὑφ᾽ ὧν μὲν λείριον, ὑφ᾽ ὧν δὲ ἴον καλεῖσθαι. 5
Κορίνθιοι δ᾽ αὐτὸ ἀμβροσίαν καλοῦσιν, ὥς φησι Νίκανδρος ἐν
Γλώσσαις (fr. 126 Schneider). Διοκλῆς δὲ ἐν τῷ Περὶ Θανασίμων
Φαρμάκων (fr. 206a van der Eijk), ἀμάρακον, φησίν, ὃν σάμψυχόν
τινες καλοῦσι. [**28**] κοσμοσανδάλων δὲ μνημονεύει Κρατῖνος ἐν
Μαλθακοῖς (fr. 105.1–2) διὰ τούτων· 10

κεφαλὴν ἀνθέμοις ἐρέπτομαι·
λειρίοις, ῥόδοις, κρίνοισι † κοσμοσάνδαλλος. |

681c Κλέαρχος δ᾽ ἐν δευτέρῳ Βίων (fr. 39 Wehrli), ὅρα, φησί, τοὺς τὸ
κοσμοσάνδαλον ἀνείροντας Λακεδαιμονίους, οἳ τὸν παλαιότατον
τῆς πολιτικῆς κόσμον συμπατήσαντες ἐξετραχηλίσθησαν· διόπερ 15
καλῶς περὶ αὐτῶν εἴρηκεν ὁ κωμῳδιοποιὸς Ἀντιφάνης ἐν Κιθαρι-
στῇ (fr. 115)·

οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε;
νῦν δ᾽ ὁμηρεύουσ᾽ ἔχοντες πορφυροῦς κεκρυφάλους.

Ἱκέσιος δ᾽ ἐν δευτέρῳ Περὶ Ὕλης τὸ λευκόιόν φησι μεσότητά τινα 20
681d ἔχειν ἐν τῷ στύφειν, πολὺ δ᾽ ἀρίστην | εὐωδίαν καὶ δυναμένην
τέρπειν, ἀλλὰ πρὸς ὀλίγιστον. τὸ δὲ μέλαν, φησί, τὴν μὲν αὐτὴν
θεωρίαν ἔχει, εὐῶδες δ᾽ ἐστὶ πολὺ μᾶλλον. Ἀπολλόδωρος δὲ ἐν τῷ
Περὶ Θηρίων φησί· χαμαίπιτυν, οἱ δὲ ὁλόκυρον, οἱ δὲ Ἀθήνησιν
ἰωνιάν, οἱ δὲ κατ᾽ Εὔβοιαν σιδηρῖτιν. Νίκανδρος δ᾽ ἐν δευτέρῳ 25
Γεωργικῶν (τὰ δὲ ἔπη ὀλίγον ὕστερον παραθήσομαι (15.683a),
ὅταν περὶ πάντων τῶν στεφανωματικῶν ἀνθῶν διεξέρχωμαι), τὸ

682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3

2 Βίβλῳ B : Βύβλῳ A ‖ **4** πορφυρανθῆ C E B : πορφυροανθῆ A ‖ **8** σάμψυχόν C E : σάμψουχον A ‖ **12** κρίνοισι A : κρίνοις 15.685b–c : κρίνεσιν Porson κοσμοσάνδαλλος A : κοσμοσανδάλοις 15.685b ‖ **14** ἀνείροντας Schweighäuser : ἀνευρόντας A ‖ **19** ὁμηρεύουσ᾽ Elmsley : † ὁμηρέους † A **24** οἱ δ᾽ ἐ⟨ν Πόντῳ⟩ ὁλόκυρον Kaibel, cf. Diosc. 3.155

ἴον, φησίν, Ἰωνιάδες τινὲς νύμφαι Ἴωνι ἐχαρίσαντο πρώτῳ. τὸν δὲ νάρκισσον ἐν τῷ ἕκτῳ Περὶ | Φυτῶν Ἱστορίας (6.6.9) ὁ Θεόφραστος καλεῖσθαί φησι καὶ λείριον. εἶθ᾽ ὑποβὰς (*HP* 6.8.1) ὡς διαλλάσσοντα τίθησι νάρκισσον καὶ λείριον. Εὔμαχος δ᾽ ὁ Κορκυ- 681e
5 ραῖος ἐν Ῥιζοτομικῷ καὶ ἀκακαλλίδα φησὶ καλεῖσθαι τὸν νάρκισσον καὶ κρόταλον. τοῦ δὲ ἡμεροκαλλοῦς καλουμένου ἄνθους, ὃ τὴν μὲν νύκτα μαραίνεται, ἅμα δὲ τῷ ἡλίῳ ἀνατέλλοντι θάλλει, μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς (fr. 105.5) λέγων οὕτως·

ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ.

10 τῆς δ᾽ ἑρπύλλου, φησὶ Θεόφραστος (*HP* 6.7.2), τὴν ἄγριον κομίζοντες | ἐκ τῶν ἀγρῶν φυτεύουσιν ἐν Σικυῶνι, καὶ Ἀθήνησιν ἐκ τοῦ 681f
Ὑμηττοῦ· παρ᾽ ἄλλοις δὲ ὄρη πλήρη ἐστὶ τοῦ ἄνθους, καθάπερ ἐν Θρᾴκῃ. Φιλῖνος δέ φησιν αὐτὴν ζυγίδα καλεῖσθαι. περὶ δὲ τῆς λυχνίδος λέγων Ἀμερίας ὁ Μακεδὼν ἐν τῷ Ῥιζοτομικῷ (p. 5
15 Hoffmann) φησιν ἀναφῦναι αὐτὴν ἐκ τῶν Ἀφροδίτης λουτρῶν, ὅτε Ἡφαίστῳ συγκοιμηθεῖσα λούεται· εἶναι δ᾽ ἀρίστην ἐν Κύπρῳ καὶ Λήμνῳ, ἔτι δὲ Στρογγύλῃ καὶ Ἔρυκι καὶ Κυθήροις. ἡ δὲ ἶρις, φησὶ Θεόφραστος (*HP* 6.8.3; 9.7.3), ἀνθεῖ τοῦ θέρους μόνη τε τῶν Εὐρωπαίων ἀνθέων εὔοσμός ἐστιν. ἀρίστη δέ ἐστιν ἐν Ἰλλυριοῖς ‖
20 τοῖς ἀνῳκισμένοις τῆς θαλάσσης. Φιλῖνος δέ φησι τὰ ἄνθη τῆς 682a
ἴριδος λέγεσθαι λύκους διὰ τὸ ἐμφερῆ εἶναι λύκου χείλεσι. Νικόλαος δ᾽ ὁ Δαμασκηνὸς ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν πρὸς ταῖς ἑκατὸν (*FGrH* 90 F 76) περὶ τὰς Ἄλπεις λίμνην τινά φησιν εἶναι πολλῶν σταδίων οὖσαν, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι᾽ ἔτους ἄνθη
25 ἥδιστα καὶ εὐχρούστατα, ὅμοια ταῖς καλουμέναις κάλχαις. τῶν δὲ καλχῶν μέμνηται καὶ Ἀλκμὰν (*PMG* 91) ἐν τούτοις·

χρύσειον ὅρμον ἔχων ῥαδινᾶν πετάλοισι καλχᾶν. |

680e, 681e Eust.(1) p. 1049.38 = III.819.4–7

1 ὅθεν καὶ ἐκλήθη post πρώτῳ praeb. C E ‖ **4** λείριον, i.e. ΛΕΙΡ- Thphr. : † αιριον †, i.e. ΑΙΡ- A ‖ **6** ἄνθους A : ἄνθος (structura mutata) C E : καλουμένου ἄνθους om. B : ἄνθους fort. ut glossa delendum ‖ **11** ἀγρῶν A : ὀρῶν Thphr. ‖ **16** συγκοιμηθεῖσα ἡ Ἀφροδίτη A : ἡ Ἀφροδίτη (glossam) om. C E | λούεται C E : λούοιτο A : ἐλούσατο Kaibel ‖ **17** ἶρις C E B : † ιερις † A **20–1** τῆς ἴριδος Casaubon : τῆς † ϊεριδος † A : ταύτης C E ‖ **27** χρύσειον A : χρύσιον B

682b μνημονεύει αὐτῶν καὶ Ἐπίχαρμος ἐν Ἀγρωστίνῳ (fr. 2). [**29**] τῶν δὲ ῥόδων, φησὶ Θεόφραστος ἐν τῷ ἑκκαιδεκάτῳ (cf. *HP* 6.6.4–5), πολλαί εἰσι διαφοραί· τὰ μὲν γὰρ πλεῖστα αὐτῶν εἰσὶ πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα, ἔνια δ᾽ ἐστὶ καὶ ἑκατοντάφυλλα περὶ Φιλίππους· λαμβάνοντες γὰρ ἐκ τοῦ Παγγαίου φυτεύουσιν· ἐκεῖ γὰρ 5 γίνεται πολλά. μικρὰ δὲ σφόδρα τὰ ἐντὸς φύλλα· ἡ γὰρ ἔκφυσις αὐτῶν οὕτως ἐστὶν ὥστ᾽ εἶναι τὰ μὲν ἐντός, τὰ δὲ ἐκτός· οὐκ εὔοσμα δὲ οὐδὲ μεγάλα τοῖς μεγέθεσι. τὰ δὲ πεντάφυλλα εὐώδη
682c μᾶλλον ὧν τραχὺ τὸ | κάτω. εὐοσμότατα δὲ τὰ ἐν Κυρήνῃ· διὸ καὶ τὸ μύρον ἥδιστον. καὶ τῶν ἴων δὲ καὶ τῶν ἄλλων ἀνθέων ἄκρατοι 10 μάλιστα καὶ θεῖαι αἱ ὀσμαί· διαφερόντως δὲ ἡ τοῦ κρόκου. Τιμαχίδας δὲ ἐν τοῖς Δείπνοις (fr. 4 Blinkenberg = *SH* 773) τὸ ῥόδον φησὶ τοὺς Ἀρκάδας καλεῖν εὔομφον ἀντὶ τοῦ εὔοσμον. Ἀπολλόδωρος δ᾽ ἐν τετάρτῳ Παρθικῶν (*FGrH* 779 F 1) ἄνθος τι ἀναγράφει καλούμενον φιλάδελφον κατὰ τὴν Παρθικὴν χώραν, περὶ οὗ τάδε 15 φησί· καὶ μυρσίνης γένη ποικίλα μῖλάξ τε καὶ τὸ καλούμενον
682d φιλάδελφον, ὃ τὴν ἐπωνυμίαν ἔλαβε τῇ φύσει | πρόσφορον· ἐπειδὰν γὰρ ἐκ διαστήματος αὐτομάτως κράδαι συμπέσωσιν, ἐμψύχων περιπλοκῇ ἐν ταὐτῷ μένουσιν ἡνωμέναι καὶ καθάπερ ἀπὸ ῥίζης μιᾶς τὸ λοιπὸν ἀνατρέχουσι καὶ ζωοφυτοῦσι· διὸ καὶ τοῖς ἡμέροις 20 φυλακὴν ἀπ᾽ αὐτῶν κατασκευάζουσιν· ἀφαιροῦντες γὰρ τῶν ῥάβδων τὰς λεπτοτάτας καὶ διαπλέξαντες δικτύου τρόπῳ φυτεύουσι κύκλῳ τῶν κηπευμάτων, καὶ ταῦτα συμπλεκόμενα περιβόλου παρέχεται δυσπάροδον ἀσφάλειαν. [**30**] ἀνθῶν δὲ στεφανωτικῶν
682e μέμνηται | ὁ μὲν τὰ Κύπρια Ἔπη (test. 8, p. 37 Bernabé) πεποιη- 25 κὼς Ἡγησίας ἢ Στασῖνος· Δημοδάμας δ᾽ ὁ Ἁλικαρνασσεὺς ἢ

682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3

1 Ἀγρωστίνῳ B, cf. 3.120c : Ἀγρωστείνῳ A ‖ **2** ις´, i.e. ἑκκαιδεκάτῳ A : ἕκτῳ, i.e. ϛ´ Casaubon ‖ **3** αὐτῶν εἰσὶν A : om. Thphr. : εἰσί(ν) del. Kaibel ‖ **6** γίνεται B et Thphr. : γίγνεται A : γίνονται C E ‖ **7** ἐστὶν A C E : om. Thphr. ‖ **8** τὰ δὲ πεντάφυλλα A : τὰ πεντάφυλλα C E : ἐν δὲ τοῖς μεγάλοις Thphr. ‖ **11** καὶ θεῖαι A C E : ἐκεῖθι Thphr. ‖ **13** εὔομφον Nauck : εὐόμφαλον A C E Eust.(2) **19** περιπλοκῇ C E : περιπλοκὴν A | ταὐτῷ Canter : τῷ A : lac. post τῷ indic. Schweighäuser ‖ **20** μιᾶς καὶ A C E : καὶ intra ἡνωμέναι et καθάπερ supra transp. Kaibel ‖ **22** διαπλέξαντες τε A : τε del. Schweighäuser ‖ **26** δ᾽ Kaibel : γὰρ A

Μιλήσιος ἐν τῷ Περὶ Ἁλικαρνασσοῦ (*FGrH* 428 F 1) Κυπρία Ἁλικαρνασσέως αὐτὰ εἶναί φησι. λέγει δ' οὖν ὅστις ἐστὶν ὁ ποιήσας αὐτὰ ἐν τῷ πρώτῳ οὑτωσί (*Cypr.* fr. 4, pp. 46–7 Bernabé)·

ἱμάτια μὲν χροιᾶς τότε οἱ Χάριτές τε καὶ Ὧραι
5 ποίησαν καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσιν,
οἷα φόρουσ' ὧραι, ἔν τε κρόκῳ, ἔν θ' ὑακίνθῳ,
ἔν τε ἴῳ θαλέθοντι ῥόδου τ' ἐνὶ ἄνθεϊ καλῷ,
ἡδέι νεκταρέῳ, ἔν τ' ἀμβροσίαις καλύκεσσιν 5
ἄνθεσι ναρκίσσου καλλιρρόου δ' † οια † Ἀφροδίτη
10 ὥραις παντοίαις τεθυωμένα εἵματα ἕστο.

οὗτος ὁ ποιητὴς καὶ τὴν τῶν στεφάνων χρῆσιν εἰδὼς φαίνεται δι' ὧν λέγει (*Cypr.* fr. 5, pp. 47–8 Bernabé)·

ἣ δὲ σὺν ἀμφιπόλοισι φιλομειδὴς Ἀφροδίτη |
πλεξάμεναι στεφάνους εὐώδεας ἄνθεα γαίης 682f
15 ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι,
νύμφαι καὶ Χάριτες, ἅμα δὲ χρυσῆ Ἀφροδίτη,
καλὸν ἀείδουσαι κατ' ὄρος πολυπιδάκου Ἴδης. ‖ 5

[31] Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν (fr. 74 Schneider) 683a καταλέγων καὶ αὐτὸς στεφανωτικὰ ἄνθη καὶ περὶ Ἰωνιάδων
20 νυμφῶν καὶ περὶ ῥόδων τάδε λέγει·

ἀλλὰ τὰ μὲν σπείροις τε καὶ ὡς ὡραῖα φυτεύοις,
ἄνθη Ἰαονίηθε. γένη γε μὲν ἰάσι δισσά,
ὠχρόν τε χρυσῷ τε φυὴν εἰς ὦπα προσεικές,
ἅσσα τ' Ἰωνιάδες νύμφαι στέφος ἁγνὸν Ἴωνι
25 Πισαίοις ποθέσασαι ἐνὶ κλήροισιν ὄρεξαν. 5

2 δ' αὐτα εἶναί φησι ποιήματα A : δ' del. Hecker, ποιήματα delevi ‖ **4** ἱμάτια A : εἵματα Canter | χροιᾶς τότε A : χροῒ ἕστο, τά Meineke ‖ **6** φόρουσ' A : φέρουσ' Köchly ‖ **9** ἄνθεσι A : αἰθέσι Ludwich | καλλιρρόου A : καλλιπνόου Ludwich | δ' † οια † A : ὧδ' Ludwich ‖ **11** τῶν B : τον A ‖ **13** φιλομειδὴς A : φιλομηδὴς B : φιλομμειδὴς Casaubon ‖ **14** γαίης A : ποίης Hecker **15** κεφαλαῖσιν A[s] B : κεφαλεσιν A ‖ **16** χρυσῆ A : χρυσέη Meineke **19** Ἰωνιάδων Kaibel, cf. infra vv. 4, 8, 15.681d Ἰωνιάδες τινὲς νύμφαι et Str. 8.356 : τῶν Ἰάδων A ‖ **21** ὡς A : ὅσσ' OSchneider ‖ **22** ἄνθη A : ἄνθε' OSchneider ‖ **23** ὦπα προσεικές Schweighäuser, Kaibel : ὦ † πατροσειδες † A

ἤνυσε γὰρ χλούνηνδε μετεσσύμενος σκυλάκεσσιν, |
683b Ἀλφειῷ καὶ λύθρον ἑῶν ἐπλύνατο γυίων
ἑσπέριος, νύμφαισιν Ἰαονίδεσσι νυχεύσων.
αὐτὰρ ἀκανθοβόλοιο ῥόδου κατατέμνεο βλάστας
τάφροις τ' ἐμπήξειας, ὅσον διπάλαιστα τελέσκων — 10 5
πρῶτα μὲν Ὠδονίηθε Μίδης ἅπερ Ἀσίδος ἀρχὴν
λείπων ἐν κλήροισιν ἀνέτρεφεν Ἡμαθίοισιν
αἰὲν ἐς ἑξήκοντα πέριξ κομόωντα πετήλοις·
δεύτερα Νισαίης Μεγαρηίδος· οὐδὲ Φάσηλις |
683c οὐδ' αὐτὴ Λεύκοφρυν ἀγασσαμένης ἐπιμεμφὴς 15 10
Ληθαίου Μάγνητος ἐφ' ὕδασιν εὐθαλέουσα,
κισσοῦ δ' ἄλλοτε κλῶνες ἐυρρίζου καπέτοισι.
πολλάκι δὲ στέφος αὐτὸ κορυμβήλοιο φυτεύσαις
Θράσκιον ἢ ἀργωπὸν ἠὲ κλαδέεσσι πλανήτην·
βλαστοδρεπῆ δ' ἐχυροῖο καὶ εἰς μίαν ὅρσεο κόρσην 20 15
σπεῖραν ὑπὸ σπυρίδεσσι νεοπλέκτοισι καθάπτων
ὄφρα δύο κροκόωντες ἐπιζυγέοντε κορύμβοις |
683d μέσσα συνωρίζωσιν ὑπερφιάλοιο μετώπου
χλωροῖς ἀμφοτέρωθεν ἐπηρεφέες πετάλοισιν.
σπέρματι μὴν κάλυκες κεφαληγόνοι ἀντελέουσιν, 25 20
ἀργήεις πετάλοισι κρόκῳ μέσα χροισθεῖσαι,
ἃ κρίνα, λείρια δ' ἄλλοι ἐπιφθέγγονται ἀοιδῶν,
οἱ δὲ καὶ ἀμβροσίην, πολέες δέ γε χάρμ' Ἀφροδίτης·

682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3

1 χλούνηνδε OSchneider : χλοῦν ἦν δὲ A ‖ **2** Ἀλφειῷ Casaubon : † αλφιω † A ‖ **3** νύμφαισιν A : νύμφῃσιν OSchneider ‖ **5** ὅσον Meineke : † οδον † A διπάλαιστα τελέσκων Scaliger : † διπαλεστα τελεσχων † A ‖ **6** Ὠδονίηθε Μίδης Schweighäuser : † ωδονιησθεμιδης † A ‖ **7** Ἡμαθίοισιν Weston : † ηματίοισιν † A ‖ **9** Νισαίης Canter : Νισέης A ‖ **10** ἀγασσαμένης A : ἀγασσαμένη Schweighäuser ‖ **12** κλῶνες A : κλῶνας Casaubon | ἐυρρίζου A : ἐυρίζου B ‖ **14** ἢ ἀργωπὸν ἠὲ OSchneider : † ηαργωπονηε † A **15** βλαστοδρεπῆ δ' ἐχυροῖο Gow–Scholfield, ducente Wilamowitz : † βλαστοδρεπιδεχυτοιο † A | ὅρσεο κόρσην JGSchneider : † ορεοκορσην † A **17** κορύμβοις A : κόρυμβοι Canter ‖ **18** μέσσα A : μέσφα Meineke **20** σπέρματι μὴν OSchneider : † σπερματινην † A | ἀντελέουσιν A : ἀντέλλουσιν Brodaeus ‖ **21** χροισθεῖσαι Casaubon : χροϊσθεῖσαι A ‖ **23** γε, i.e. ΓΕ A : τε, i.e. ΤΕ OSchneider

ἤρισε γὰρ χροιῇ· τὸ δέ που ἐπὶ μέσσον ὄνειδος |
ὅπλον βρωμήταο διεκτέλλον πεφάτισται. 30 683e
ἶρις δ᾽ ἐν ῥίζησιν ἀγαλλιὰς ἥ θ᾽ ὑακίνθῳ
αἰαστῇ προσέοικε, χελιδονίοισι δὲ τίλλει
5 ἄνθεσιν ἰσοδρομεῦσα χελιδόσιν, αἵ τ᾽ ἀνὰ κόλπῳ
φυλλάδα νηλείην ἐγχεύετον, ἀρτίγονοι δὲ
εἴδοντ᾽ ἠμύουσαι αἰεὶ κάλυκες στομίοισιν· 35
σὺν καίπερ τ᾽ ὀξεῖα χροῇ, λυχνὶς οὐδὲ θρυαλλίς,
οὐδὲ μὲν ἀνθεμίδων κενεὴ γηρύσεται ἀκμὴ
10 οὐδὲ βοάνθεμα κεῖνα τά τ᾽ αἰπύτατον κάρη ὑψοῦ,
φλὸξ δὲ θεοῦ αὐγῇσιν ἀνερχομένης ἰσάουσα. |
ἕρπυλλον δὲ † φριαλευσοτενβωλοισι † φυτεύσεις, 40 683f
ὄφρα κλάδοις μακροῖσιν ἐφερπύζων διάηται
ἠὲ κατακρεμάησιν ἐφιμείρων ποτὰ νυμφέων.
15 καὶ δ᾽ αὐτῆς μήκωνος † ἄπο πλαταγώνια βάλλοις,
ἄβρωτον κώδειαν ὄφρα κνώπεσσι φυλάξῃ·
φυλλάσιν ἦ γὰρ πάντα διοιγομέναισιν ἐφίζει 45
ἑρπετά, τὴν δὲ δρόσοισιν ἐισκομένην βοτέονται ‖
κώδειαν καρποῖο μελιχροτέρου πλήθουσαν. 684a
20 θρίων διοιχομένων ῥέα μὲν φλόγες, ἄλλοτε ῥιπαὶ
πῆξαν σάρκα τυπῇσι· τὰ δ᾽ οὐ βάσιν ἐστήριξαν
† ουτετιπαι † βρώμην ποτιδεγμένα· πολλάκι δ᾽ ἴχνη 50
στιφροῖς ὠλίσθηναν ἐνιχρίμψαντα καρείοις.

3 ἀγαλλιὰς ἥ θ᾽ OSchneider : † αγαλλιασηδ † A ‖ **4** τίλλει A : τέλλει Canter ‖ **6** ἐγχεύετον] ἐγχευε τὸν A : ἐκχεύετον Casaubon | ἀρτίγονοι Casaubon : † ἀρτιγονον † A ‖ **7** εἴδοντ᾽ Casaubon : † ειδοντετ᾽ † (v.ll. εἴδοντ᾽ et εἴδετ᾽ in unam confusas) A | αἰεὶ A : ἀεὶ B ‖ **8** καίπερ A : καὶ ἅπερ OSchneider | τ᾽ ὀξεῖα χροῇ Meineke : † τοξιαχροιη † A | οὐδὲ B : οὐδ᾽ A : ἠδὲ Gow ‖ **10** αἰπύτατον κάρη Schweighäuser : † επυτατονκορη † A | ὑψοῦ A : ὑψοῖ Casaubon ‖ **11** δὲ A : τε Schweighäuser | ἀνερχομένης A : ἀνερχομέναις Gow | ἰσάουσα Kaibel : † αουσα † A ‖ **14** ἐφιμείρων Scaliger : ἐφ᾽ † μιρων † A ‖ **16** κώδειαν Casaubon : † κωδιαν † A ‖ **17** φυλλάσιν ἦ γὰρ B : † φυλλασινηγαρ † A | † διοιγομεναισιν † A : διοιγομένῃσιν Gow **18** δρόσοισιν Casaubon : † δροσισιν † A ‖ **19** κώδειαν Casaubon : † κωδιαν † A ‖ **20** διοιχομένων A : δ᾽ οἰχομένων Schweighäuser | ῥιπαὶ JGSchneider : † ρειπη † A ‖ **21** πῆξαν OSchneider : † πληξαν † A | σάρκα τυπῇσι JGSchneider : † σαρκοτυπησι † A | θρῖα δ᾽ οὐ λέγει τὰ τῆς συκῆς, ἀλλὰ τὰ τῆς μήκωνος post ἐστήριξαν praeb. A : ut glossam del. Kaibel ‖ **23** ὠλίσθηναν OSchneider : † ωλισθησαν † A | ἐνιχρίμψαντα Casaubon : ἐνιχρίμψαντε A

ἁδρύνει δὲ βλαστὰ βαθεῖ ἐν τεύχεϊ καρπόν, |
684b σαμψύχου λιβάνου τε νέας κλάδας ἠδ᾽ ὅσα κῆποι
ἀνδράσιν ἐργοπόνοις στεφάνους ἔπι πορσαίνουσιν.
ἦ γὰρ καὶ λεπταὶ πτερίδες καὶ παιδὸς ἔρωτες 55
λεύκη ἰσαιόμενοι, ἐν καὶ κρόκος εἴαρι μύων, 5
κύπρος τ᾽ ὀσμηρόν τε σισύμβριον ὅσσα τε κοίλοις
ἄσπορα ναιομένοισι τόποις ἀνεθρέψατο λειμὼν
κάλλεα, βούφθαλμόν τε καὶ εὐῶδες Διὸς ἄνθος, |
684c χάλκας, σὺν δ᾽ ὑάκινθον ἰωνιάδας τε χαμηλὰς 60
ὀρφνοτέρας, ἅς στύξε μετ᾽ ἄνθεσι Φερσεφόνεια. 10
σὺν δὲ καὶ ὑψῆέν τε πανόσμεον, ὅσσα τε τύμβοι
φάσγανα παρθενικαῖς νεοδουπέσιν ἀμφιχέονται,
αὐταί τ᾽ ἠίθειαι ἀνεμωνίδες ἀστράπτουσαι
τηλόθεν ὀξυτέρῃσιν ἐφελκόμεναι χροιῇσιν. | 65
684d πᾶς δέ τις ἢ ἑλένειον ἢ ἀστέρα φωτίζοντα 15
δρέψας εἰνοδίοισιν θεῶν παρακάββαλε σηκοῖς
ἢ αὐτοῖς βρετάεσσιν, ἅτε πρώτιστον ἴδωνται·
πολλάκι θερμία καλά, τοτὲ χρυσανθὲς ἀμέργων
λείριά τε στήλεσιν ἐπιφθίνοντα καμόντων 70
καὶ γεραὸν πώγωνα καὶ ἐντραπέας κυκλαμίνους 20
σαύρην θ᾽ ἣ χθονίου πέφαται στέφος Ἡγεσιλάου.

684b Eust. p. 1504.42 = i.176.13

1 βαθει ἐντευχέϊ καρπὸν A : βαθεῖ᾽ ἐν τεύχεϊ κόπρος OSchneider ‖ **2** κῆποι B : † κηποπ † A ‖ **5** εἴαρι μύων Schweighäuser, ducente Casaubon : † ϊαριμυϊων † A ‖ **6** τ᾽ Schweighäuser : τε A | κοίλοις, i.e. ΚΟΙΛΟΙΣ Porson : κ᾽ † οιαοισ †, i.e. ΚΟΙΑΟΙΣ A ‖ **7** ναιομένοισι τόποις Casaubon : † νεομενοισιποτοισ † A ‖ **9** ἰωνιάδας, i.e. -ΙΑΔΑΣ Scaliger : † ϊωνιδασ †, i.e. -ΙΔΑΣ A ‖ **10** Φερσεφόνεια] Φερσεφονείᾳ A : Περσεφόνεια Casaubon **11** ὑψῆέν τε πανόσμεον Casaubon, Meineke : ὑψήεντα † ταπανοσμεον † A **12** νεοδουπέσιν Meineke : † νεοχουπαισιν † A ‖ **13** αὐταί τ᾽ ἠίθειαι A : αὐτάς τ᾽ ἠιθέας Gow, OSchneider ‖ **14** ἐν ἐνίοις δὲ γράφεται ἐφελκόμεναι φιλοχροιαῖς (glossam) post χροιῇσιν praeb. A : del. Gow ‖ **16** † εινοδιοισιν † A : εἰνοδίοισι Casaubon ‖ **17** βρετάεσσιν B : βρεττάεσσιν A | ἅτε A : ὅτε Meineke ‖ **18** θερμία Wilamowitz : † θελμια † A ‖ **19** λείριά τε Canter : † λιριάστε † A* | στήλεσιν A : στήλῃσιν OSchneider ‖ **20** κυκλαμίνους Casaubon : † κυκλαμινου † A ‖ **21** θ᾽ Dindorf : τε A | Ἡγεσιλάου Salmasius : † ηγσειλιου † A

[32] ἐκ τούτων τῶν ἐπῶν δῆλον γίνεται ὅτι ἕτερόν ἐστιν | τὸ 684e
χελιδόνιον τῆς ἀνεμώνης· τινὲς γὰρ ταὐτὸ εἶναί φασι. Θεόφραστος
(cf. *HP* 7.15.1) δέ φησι· τὰς δ᾽ ἀνθήσεις λαμβάνειν δεῖ συνακολου-
θοῦντα τοῖς ἄστροις τὸ ἡλιοτρόπιον καλούμενον καὶ τὸ χελιδόνιον·
5 καὶ γὰρ τοῦτο ἅμα τῇ χελιδόνι ἀνθεῖ. καὶ ἀμβροσίαν δὲ ἄνθος τι
ἀναγράφει ὁ Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασι (fr. 6, *FHG*
iv.357) λέγων οὕτω· Νίκανδρός (fr. 127 Schneider) φησιν ἐξ ἀνδρι-
άντος τῆς κεφαλῆς Ἀλεξάνδρου τὴν καλουμένην ἀμβροσίαν
φύεσθαι ἐν Κῷ. προείρηται δ᾽ ἄνω (15.681b) περὶ αὐτῆς ὅτι τὸ
10 κρίνον οὕτω λέγουσι. Τιμαχίδας δ᾽ ἐν τετάρτῳ Δείπνου (fr. 1
Blinkenberg = *SH* 770) καὶ Θήσειόν τι ἀναγράφει καλούμενον
ἄνθος· |

Θήσειόν θ᾽ ἁπαλὸν μήλῳ ἐναλίγκιον ἄνθος, 684f
Λευκερέης ἱερόν περικαλλές, ὅν ῥα μάλιστα
15 φίλατο.

ἀπὸ τούτου δέ φησι τοῦ ἄνθους καὶ τὸν τῆς Ἀριάδνης καλούμενον
στέφανον πεπλέχθαι. καὶ ὁ Φερεκράτης (fr. 138) ‖ δὲ ἢ ὁ πεποιη- 685a
κὼς τὸ δρᾶμα τοὺς Πέρσας μνημονεύων καὶ αὐτὸς ἀνθῶν τινων
στεφανωτικῶν φησιν·

20 ὦ μαλάχας μὲν ἐξερῶν, ἀναπνέων δ᾽ ὑάκινθον,
καὶ μελιλώτινον λαλῶν καὶ ῥόδα προσσεσηρώς·
ὦ φιλῶν μὲν ἀμάρακον, προσκινῶν δὲ σέλινα,
γελῶν δ᾽ ἱπποσέλινα καὶ κοσμοσάνδαλα βαίνων,
ἔγχει κἀπιβόα τρίτον παιῶν᾽, ὡς νόμος ἐστίν. 5

25 ὁ δὲ πεποιηκὼς τοὺς εἰς αὐτὸν ἀναφερομένους Μεταλλεῖς (test. iii)
φησιν (Pherecr. fr. 114)·

ὑπ᾽ ἀναδενδράδων ἁπαλὰς ἀσπαλάθους πατοῦντες
ἐν λειμῶνι λωτοφόρῳ κύπειρόν | τε δροσώδη 685b
κἀνθρύσκου μαλακῶν τ᾽ ἴων λείμακα καὶ τριφύλλου.

5 χελιδόνι A C E : χελιδονίᾳ Thphr. ‖ **14** περικαλλές, ὅν A : περικαλλέος, ὅ Casaubon ‖ **22** προσκινῶν A C^s E^s : προσκυνῶν C E ‖ **23** κοσμοσάνδαλα, i.e. -ΔΑΛΑ C E B : κοσμοσάνδαλλα, i.e. -ΔΑΛΛΑ A ‖ **29** λείμακα Canter : λίμακα (vox nihili) A

ἐν τούτοις ζητῶ τί τὸ τρίφυλλον· καὶ γὰρ εἰς Δημαρέτην ἀναφέρεταί τι ποιημάτιον ὃ ἐπιγράφεται Τρίφυλλον (*SH* 372). κἀν τοῖς ἐπιγραφομένοις δὲ Ἀγαθοῖς ὁ Φερεκράτης (fr. 2) ἢ Στράττις φησί·

> λουσάμενοι δὲ πρὸ λαμπρᾶς ἡμέρας
> ἐν τοῖς στεφανώμασιν, οἱ δ᾽ ἐν τῷ μύρῳ 5
> λαλεῖτε περὶ σισυμβρίων κοσμοσανδάλων τε.

καὶ Κρατῖνος ἐν Μαλθακοῖς (fr. 105)·

> παντοίοις γε μὴν κεφαλὴν ἀνθέμοις ἐρέπτομαι·
> 685c λειρίοις, ῥόδοις, κρίνοις, κοσμοσανδάλοις, | ἴοις,
> καὶ σισυμβρίοις ἀνεμωνῶν κάλυξί τ᾽ ἠριναῖς, 10
> ἑρπύλλῳ, κρόκοις, ὑακίνθῳ, ἑλιχρύσου κλάδοις,
> οἰνάνθῃσιν, ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ, 5
> † ανθρυσκισσουφοβη †
> τῷ τ᾽ ἀειφρούρῳ μελιλώτῳ κάρα πυκάζομαι,
> καὶ κύτισος αὐτόματος παρὰ Μέδοντος ἔρχεται. 15

[33] ἡ δὲ τῶν στεφάνων καὶ μύρων πρότερον εἴσοδος εἰς τὰ συμπόσια ἡγεῖτο τῆς δευτέρας τραπέζης, ὡς παρίστησι Νικόστρατος ἐν Ψευδοστιγματίᾳ (fr. 27) διὰ τούτων· |

> 685d καὶ σὺ μὲν
> τὴν δευτέραν τράπεζαν εὐτρεπῆ ποίει, 20
> κόσμησον αὐτὴν παντοδαποῖς τραγήμασιν,
> μύρον, στεφάνους, λιβανωτόν, αὐλητρίδα λαβέ.

Φιλόξενος δ᾽ ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ (*PMG* 836(a)) ἀρχὴν ποιεῖται τὸν στέφανον τῆς εὐωχίας οὑτωσὶ λέγων·

> κατὰ χειρὸς δ᾽ 25
> ἤλυθ᾽ ὕδωρ· ἁπαλὸς
> παιδίσκος ἐν ἀργυρέᾳ
> προχόῳ φέρων ἐπέχευεν,
> εἶτ᾽ ἔφερεν στέφανον

6 λαλεῖτε Dobree : λαλεῖται A ‖ **9** κρίνοις A : κρίνοισι 15.681b : κρίνεσιν Porson ‖ **11** ὑακίνθῳ A : ὑακίνθοις Dindorf ‖ **26** ἤλυθ᾽ A : ἤλιθ᾽ Page **28** προχοωφέρων A : πρόχῳ φορέων Page ‖ **29** ἔφερεν A : ἔφερε Casaubon **29–337,1** στέφανον λεπτᾶς Grotefend et Fiorello : † στεφανολεπτασ † A

λεπτᾶς † ἀπὸ μυρτίδων εὐ-
γνήτων κλάδων δισύναπτον. |

Εὔβουλος Τιτθαῖς (fr. 111)· 685e

ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότ' εἰς δόμους,
5 εὐθὺς ἀνεκλίνετο· παρῆν ὁ στέφανος ἐν τάχει,
ἤρετο τράπεζα, παρέκειθ' ἅμα τετριμμένη
μᾶζα χαριτοβλέφαρος.

τοῦτο δ' ἦν ἔθος καὶ παρ' Αἰγυπτίοις, ὡς Νικόστρατός φησιν ἐν Τοκιστῇ (fr. 26)· Αἰγύπτιον γὰρ ὑποστησάμενος τὸν τοκιστήν
10 φησι·

καταλαμβάνομεν τὸν πορνοβοσκὸν καὶ δύ'
ἑτέρους κατὰ χειρὸς ἀρτίως εἰληφότας
καὶ στέφανον. εἶέν· καλὸς ὁ καιρός, | Χαιρεφῶν. 685f

σὺ δὲ γαστρίζου, Κύνουλκε· καὶ μετὰ ταῦτα ἡμῖν εἰπὲ διὰ τί
15 Κρατῖνος (fr. 105.7) εἴρηκε τὸν μελίλωτον·

τῷ τ' ἀειφρούρῳ μελιλώτῳ.

ἐπεὶ δέ σε ὁρῶ ἔξοινον ἤδη γεγενημένον — οὕτω δ' εἴρηκε τὸν μεθύσην Ἄλεξις ἐν Εἰσοικιζομένῳ (fr. 64.1) — παύσομαί σε ἐρεσχηλῶν καὶ τοῖς παισὶ παρακελεύσομαι κατὰ τὸν Σοφοκλέα, ὃς
20 ἐν Συνδείπνοις (fr. 563) φησί· ‖

φορεῖτε, μασσέτω τις, ἐγχείτω βαθὺν 686a
κρατῆρ'· ὅδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς,
ὅμοια καὶ βοῦς ἐργάτης, ἐργάζεται.

καὶ κατὰ τὸν Φλιάσιον δὲ Ἀριστίαν· καὶ γὰρ οὗτος ἐν ταῖς ἐπιγρα-
25 φομέναις Κηρσὶν (*TrGF* 9 F 3) ἔφη·

σύνδειπνος ἢ 'πίκωπος ἢ μαζαγρέτας,

685e Eust. p. 1843.27 = ii.175.19–20

1 μυρτίδων A : μυρτίδος Grotefend et Fiorillo ‖ **2** κλάδων A : κλαδέων Bergk ‖ **5** ὁ A : del. Erfurdt ‖ **11** δύ' A : δύο Schweighäuser **19** παρακελεύσομαι scripsi : παρακελεύομαι A ‖ **22** κρατῆρ' Dindorf : κρατῆρα A : κρητῆρα C E ‖ **26** 'πίκωπος A C E : 'πίκωμος LDindorf

Ἅιδου τραπεζεὺς ἀκρατέα νηδὺν ἔχων.

ἐπεὶ δὲ τοσούτων λεχθέντων μηδὲν ἀποκρίνεται, κελεύω αὐτὸν κατὰ τοὺς Ἀλέξιδος Διδύμους (fr. 54) χυδαίοις στεφανωθέντα στεφάνοις ἐξάγεσθαι τοῦ | συμποσίου. τῶν δὲ χυδαίων στεφάνων μνημονεύων ὁ κωμῳδιοποιός φησι·

686b

5

στεφάνων τε τούτων χύδην πεπλεγμένων.

κἀγὼ δ᾽ ἐπὶ τούτοις τοῦ λέγειν ἤδη παύσομαι τὸ τήμερον παραχωρῶν τε τὸν περὶ τῶν μύρων λόγον τοῖς βουλομένοις διεξέρχεσθαι τῷ τε παιδὶ προστάττων ἐπὶ τῇ στεφανηφόρῳ ταύτῃ μου διαλέξει κατὰ τὸν Ἀντιφάνους ⟨...⟩ (fr. 269)

10

στεφάνους⟩ ἐνεγκεῖν δεῦρο τῶν χρηστῶν δύο |
καὶ δᾷδα χρηστὴν ἡμμένην χρηστῷ πυρί·

686c

οὕτω γὰρ τὴν τῶν λόγων ἔξοδον ὥσπερ δράματος ποιήσομαι. καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας, ὥσπερ αὐτοῦ σιωπὴν καταμαντευσάμενος, ἀπέθανεν εὐτυχῶς οὐδένα καιρὸν νόσῳ παραδούς, πολλὰ δὲ λυπήσας ἡμᾶς τοὺς ἑταίρους.

15

[34] περιενεγκόντων δὲ τῶν παίδων ἐν ἀλαβάστοις καὶ ἄλλοις χρυσοῖς σκεύεσι μύρα, ⟨...⟩ τὸν Κύνουλκον θεασάμενός τις πολλῷ μύρῳ τὸ πρόσωπον ἐπέχρισεν. ὁ δὲ διεγερθεὶς καὶ μόλις ἑαυτὸν ἀναλαβών, τί τοῦτ᾽, | εἶπεν, Ἡράκλεις; οὐ σπογγιᾷ τίς μου παρελθὼν τὸ πρόσωπον ἐκκαθαρίσει μεμολυσμένον μαγγανείαις πολλαῖς; ἢ οὐκ οἴδατε καὶ τὸν καλὸν Ξενοφῶντα ἐν τῷ Συμποσίῳ (2.2–4) ποιοῦντα τὸν Σωκράτην τοιαυτὶ λέγοντα· "νὴ Δί᾽, ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς· οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ ἀκροάματα καὶ θεάματα ἥδιστα παρέχεις." "τί οὖν εἰ καὶ μύρον ἐνέγκαι τις ἡμῖν, ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα;" "μηδαμῶς," ἔφη ὁ Σωκράτης· "ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικεία, | ἄλλη δὲ ἀνδρεία καλλή, οὕτω καὶ ὀσμὴ ἄλλη μὲν

686d 20

25

686e

1 ἀκρατέα C E : † ακραταιαν † A ‖ **7–8** παραχωρῶν Kaibel : παραχωρῶ A **10–11** Ἀντιφάνους ⟨... (titulus dramatis) στεφάνους⟩ Casaubon ‖ **13** ἔξοδον Meineke : διέξοδον A ‖ **14** ὥσπερ ⟨αὐτὸς⟩ Kaibel ‖ **15–16** λυπήσας A : "voluit Athenaeus λυπῶν" Kaibel ‖ **18** ⟨νυστάζοντα⟩, ⟨ὑπνωμένον⟩ vel ⟨καθεύδοτα⟩ add. Schweighäuser, ducente Dalechamps (*dormitantem*) ‖ **18–19** πολλῷ τῷ μύρῳ A : τῷ delevi ‖ **26** ἑστιώμεθα Xen. : ἱστιώμεθα A ‖ **28** γυναικεία A C E : γυναικί Xen. | ἀνδρεία καλλή A : καλλή om. C E : ἀνδρὶ καλή Xen.

γυναικί, ἄλλη δὲ ἀνδρὶ πρέπει· καὶ γὰρ ἀνδρὸς μὲν δήπου ἕνεκεν οὐδεὶς μύρῳ χρίεται. αἵ γε μὴν γυναῖκες ἄλλως τε ἂν καὶ νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου τε τούτου καὶ ἡ Κριτοβούλου, μύρου μὲν τί καὶ προσδέονται; αὐταὶ γὰρ τούτου ὄζουσιν. ἐλαίου
5 δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ καὶ παρουσία ἀνδρῶν ἢ μύρου γυναιξὶν ἡδίων, καὶ ἀπουσία ποθεινοτέρα· καὶ γὰρ δὴ μύρῳ μὲν ἀλειψάμενος δοῦλος καὶ ἐλεύθερος εὐθὺς ἅπας ὅμοιον ὄζει· αἱ δὲ | ἀπὸ τῶν ἐλευθέρων μόχθων ὀσμαὶ ἐπιτηδευμάτων τε πρῶτον 686f χρηστῶν καὶ χρόνου πολλοῦ δέονται, εἰ μέλλουσιν ἡδεῖαί τε καὶ
10 ἐλευθέριαι ἔσεσθαι." καὶ ὁ θαυμασιώτατος δὲ Χρύσιππος (xxviii fr. 12, *SVF* iii.200) τὴν ὀνομασίαν φησὶ λαβεῖν τὰ μύρα ἀπὸ τοῦ μετὰ πολλοῦ μόρου καὶ πόνου ματαίου γίνεσθαι· Λακεδαιμόνιοί τε ἐξελαύνουσι τῆς Σπάρτης τοὺς τὰ μύρα κατασκευάζοντας ὡς διαφθείροντας τοὔλαιον, καὶ τοὺς τὰ ἔρια δὲ βάπτοντας ὡς
15 ἀφανίζοντας τὴν λευκότητα τῶν ἐρίων. ‖ Σόλων (fr. 73a 687a Ruschenbusch) τε ὁ σοφὸς διὰ τῶν νόμων κεκώλυκε τοὺς ἄνδρας μυροπωλεῖν. [35] νῦν δὲ τῶν ἀνθρώπων οὐχ αἱ ὀσμαὶ μόνον, ὥς φησι Κλέαρχος ἐν τρίτῳ Περὶ Βίων (fr. 41 Wehrli), ἀλλὰ καὶ αἱ χροιαὶ τρυφερὸν ἔχουσαί τι συνεκθηλύνουσι τοὺς μεταχειριζο-
20 μένους. ὑμεῖς δὲ οἴεσθε τὴν ἁβρότητα χωρὶς ἀρετῆς ἔχειν τι τρυφερόν; καίτοι Σαπφώ (fr. 58.25–6), γυνὴ μὲν πρὸς ἀλήθειαν οὖσα καὶ ποιήτρια, ὅμως ἠδέσθη τὸ καλὸν τῆς ἁβρότητος ἀφελεῖν λέγουσα ὧδε·

ἔγω δὲ φίλημμ' ἀβροσύναν, καί μοι
25 τὸ λάμπρον ἔρως ἀελίω | καὶ τὸ καλὸν λέλογχε, 687b

682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3 | **686f, 692b** Eust. p. 1679.23–5 = i.407.39–42

2 οὐδεὶς A : ἀνδρῶν οὐδεὶς C E : ἀνὴρ οὐδεὶς Xen. | τε ἂν καὶ A C : τε ἂν E : τε καὶ ἂν Xen. ‖ **3** Κριτοβούλου B et Xen. : Κριτοβόλου A ‖ **4** μὲν Xen. : με A | αὐταὶ Xen. : † ναυται † A ‖ **5** παρουσία ἀνδρῶν A : παροῦσα ἡδίων Xen. **5–6** γυναιξὶν ἡδίων A : ἡδίων om. Xen., del. Schweighäuser ("correctio vocabuli ἀνδρῶν" Kock) ‖ **6** ἀπουσία A : ἀποῦσα Xen. ‖ **8** ἐλευθέρων A : ἐλευθερίων Xen. ‖ **12** πόνου C E : πόνῳ (structura mutata) Eust. : † ποτου † A ‖ **21** "† τρυφερόν † sensus καλόν vel aliquid simile postulare videtur" Wehrli ‖ **24** φίλημμ' Lobel–Page : † φιλημμι † A ‖ **25** ἔρως ἀελίω cens. Ien. : † εροσαελιω † A

φανερὸν ποιοῦσα πᾶσιν ὡς ἡ τοῦ ζῆν ἐπιθυμία τὸ λαμπρὸν καὶ τὸ καλὸν εἶχεν αὐτῇ· ταῦτα δ᾽ ἐστὶν οἰκεῖα τῆς ἀρετῆς. Παρράσιος δὲ ὁ ζωγράφος, καίπερ παρὰ μέλος ὑπὲρ τὴν ἑαυτοῦ τέχνην τρυφήσας καὶ τὸ λεγόμενον ἐλευθέριον ἐκ ῥαβδίων ἑλκύσας, λόγῳ γ᾽ ἀντελάβετο τῆς ἀρετῆς ἐπιγραψάμενος τοῖς ἐν Λίνδῳ πᾶσιν αὑτοῦ ἔργοις (*FGE* 279–80)· 5

ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδ᾽ ἔγραψε
Παρράσιος·

687c ᾧ κομψός τις, ὡς ἐμοὶ δοκεῖ, ὑπεραλγήσας | ῥυπαίνοντι τὸ τῆς ἀρετῆς ἁβρὸν καὶ καλόν, ἅτε φορτικῶς μετακαλεσαμένῳ εἰς 10 τρυφὴν τὴν δοθεῖσαν ὑπὸ τῆς τύχης χορηγίαν, παρέγραψε τό· ῥαβδοδίαιτος ἀνήρ. ἀλλ᾽ ὅμως διὰ τὸ τὴν ἀρετὴν φῆσαι τιμᾶν ἀνεκτέον. ταῦτα μὲν ὁ Κλέαρχος, Σοφοκλῆς δ᾽ ὁ ποιητὴς ἐν Κρησὶ τῷ δράματι (fr. *361.1) τὴν μὲν Ἀφροδίτην Ἡδονὴν οὖσαν μύρῳ τε ἀλειφομένην παράγει καὶ κατοπτριζομένην, τὴν δὲ Ἀθηνᾶν 15 Φρόνησιν οὖσαν καὶ Νοῦν, ἔτι δ᾽ Ἀρετήν, ἐλαίῳ χριομένην καὶ | 687d γυμναζομένην.

[**36**] τούτοις ἀπαντήσας ὁ Μασούριος ἔφη· ὦ δαιμόνιε ἀνδρῶν, οὐκ οἶδας ὅτι αἱ ἐν τῷ ἐγκεφάλῳ ἡμῶν αἰσθήσεις ὀδμαῖς ἡδείαις παρηγοροῦνται προσέτι τε θεραπεύονται, καθὰ καὶ Ἄλεξίς φησιν 20 ἐν Πονήρᾳ (fr. 195.2–3) οὕτως·

ὑγιείας μέρος
μέγιστον ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιεῖν.

καὶ ὁ ἀνδρειότατος δέ, προσέτι δὲ καὶ πολεμικὸς ποιητὴς Ἀλκαῖος (fr. 362.3–4) ἔφη· | 25

687e κὰδ δὲ χευάτω μύρον ἆδυ κὰτ τὼ
στήθεος ἄμμι.

687c, d Eust. p. 974.59 = III.603.16

4 ἐκ ῥαβδίων ἔκ τινων ποτηρίων A : ἔκ τινων ποτηρίων ut glossam del. Kaibel | γ᾽ scripsi : γοῦν A ‖ **10–11** εἰς τρυφὴν τὴν δοθεῖσαν Perizon : τὴν εἰς τρυφὴν δοθεῖσαν A ‖ **13** Κρησὶ A : Κρίσει Tyrwhitt ‖ **14** Ἡδονήν τινα οὖσαν δαίμονα A C E : τινα delevi, δαίμονα del. Kaibel ‖ **16** χριομένην Nauck : χρωμένην A C E ‖ **21** οὕτως Casaubon : οὗτος A ‖ **26** κὰδ δὲ χευάτω Bergk : καδδεχευάτω C E : † καδδ᾽ † ἐχεύσατω A

καὶ ὁ σοφὸς δὲ Ἀνακρέων (*PMG* 363) λέγει που·

> τί † μην † πέτεαι
> συρίγγων κοιλότερα
> στήθεα χρισάμενος μύρῳ;,

5 τὰ στήθη παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ ταύτης δηλονότι παρηγορουμένης τοῖς εὐώδεσι. τοῦτο δ' ἔπρασσον οὐ μόνον τῆς εὐωδίας ἀπὸ τοῦ στήθους κατὰ φύσιν ἀναφερομένης ἐπὶ τὴν ὄσφρηριν ἀλλὰ καὶ διὰ τὸ νομίζειν ἐν τῇ καρδίᾳ τὴν ψυχὴν καθιδρῦσθαι, ὡς Πραξαγόρας (fr. 30 Steckerl) καὶ Φυλότιμος οἱ
10 ἰατροὶ παραδεδώκασι. | καὶ Ὅμηρος δέ φησι (*Od.* 20.17)· 687f

> στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.

⟨καί⟩ (*Od.* 20.13)·

> κραδίη δέ οἱ ἔνδον ὑλάκτει.

καί (*Il.* 7.216)·

15 > Ἕκτορι δ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσε·

ὃ δὴ καὶ σημεῖον φέρουσι τοῦ τὸ κυριώτερον τῆς ψυχῆς ἐνταῦθα κεῖσθαι· κατὰ γὰρ τὰς ἐν τοῖς φόβοις γινομένας ἀγωνίας πάλλεσθαι τὴν καρδίαν ἐπιδηλότατα συμβαίνει. ‖ καὶ ὁ Ἀγαμέμνων δέ 688a φησιν ὁ Ὁμηρικός (*Il.* 10.93–5)·

20 > αἰνῶς γὰρ Δαναῶν περιδείδια, οὐδέ μοι ἦτορ
> ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω
> στηθέων ἐκθρῴσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.

καὶ Σοφοκλῆς (fr. 766) δὲ τὰς ἀπολελυμένας τοῦ φόβου πεποίηκε λεγούσας·

25 > θυμῷ δ' οὔτις φαιδρὰ χορεύει
> τάρβους θυγάτηρ.

Ἀναξανδρίδης (fr. 60) δέ τὸν ἀγωνιῶντα παράγει λέγοντα· |

2 † μην † A : μὲν Page ‖ **3** κοιλότερα A C E : κοϊλώτερα Bergk ‖ **12** ⟨καί⟩ add. Casaubon ‖ **17** φόβοις Muret : ψόφοις A ‖ **23** ὁ Σοφοκλῆς A : ὁ om. C E **25** δ' C E : δὲ A ‖ **27** τὸν A : fort. τινα

688b ὦ πονηρὰ καρδία,
ἐπιχαιρέκακον ὡς εἶ μόνον τοῦ σώματος·
ἀρχῇ γὰρ εὐθύς, ἂν ἴδῃς δεδοικότα.

Πλάτων (*Ti.* 70c) δέ φησι τὸν τῶν ὅλων δημιουργὸν καὶ τὴν τοῦ πλευμόνος φύσιν αὐτῇ περιθεῖναι, πρῶτον μὲν μαλακὴν καὶ 5 ἄναιμον, εἶτα σήραγγας ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵν᾽ ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ πολλάκις ἁλλομένη τὸν παλμὸν εἰς ὑπεῖκον καὶ μαλακὸν ποιῆται. ἀλλὰ μὴν καὶ τοὺς στεφάνους 688c τοὺς περικειμένους τῷ στήθει ὑποθυμιάδας | οἱ ποιηταὶ κεκλήκασιν ἀπὸ τῆς τῶν ἀνθῶν ἀναθυμιάσεως, οὐκ ἀπὸ τοῦ τὴν ψυχὴν 10 θυμὸν καλεῖσθαι, ὥς τινες ἀξιοῦσι. [37] τῷ δὲ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος (fr. 205 West²) κέχρηται λέγων·

οὐκ ἂν μύροισι γραῦς ἐοῦσ᾽ ἠλείφετο.

καὶ ἀλλαχοῦ δ᾽ ἔφη (fr. 48.5–6 West²)·

ἐσμυριχμένας κόμην 15
καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο·

μύρρα γὰρ ἡ σμύρνα παρ᾽ Αἰολεῦσιν, ἐπειδὴ τὰ πολλὰ τῶν μύρων διὰ σμύρνης ἐσκευάζετο καὶ ἥ γε στακτὴ καλουμένη διὰ μόνης ταύτης. ὁ δὲ Ὅμηρος τὴν μὲν χρῆσιν οἶδε τῶν μύρων, ἔλαιον δ᾽ 688d αὐτὰ | καλεῖ μετ᾽ ἐπιθέτου (*Il.* 23.186)· 20

δροσόεντι δ᾽ ἔχριεν ἐλαίῳ.

καὶ ἀλλαχοῦ (*Il.* 14.172) δὲ λέγει τι τεθυωμένον. καὶ (cf. *Il.* 23.186–7) ἡ Ἀφροδίτη δὲ παρ᾽ αὐτῷ τὸν Ἕκτορος νεκρὸν

688c–d Eust.(3) p. 1300.39–40 = IV.728.10–11 | **682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b** Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3

3 ἀρχῇ] ἀρχῇ A[ac] : ἀρχὴ A[rec.] B : ὀρχεῖ Kassel–Austin, ducente Canter (ὀρχῇ) ‖ **5** φύσιν αὐτῇ scripsi : αὐτῇ φύσιν A : φύσιν τῇ καρδίᾳ C E περιθεῖναι, i.e. π[ε]θεῖναι C : παραθεῖναι, i.e. π[ε]θεῖναι A E ‖ **6** κατατετρημένας E B et Pl. : κατατετμημένας A : κατατετριμμένας C ‖ **9** ὑποθυμιάδας A : fort. ὑποθυμίδας, cf. 15.678d et Plut. *Mor.* 647e ‖ **13** γραῦς A : γρηῦς Schneidewin ἠλείφετο A : ἠλείφεο Plut. *Per.* 28.7 ‖ **19** χρῆσιν C E Eust.(2–3) : χρίσιν A ἔλαιον Kaibel : ἔλαια A C E Eust.(2–3) ‖ **21** δροσόεντι A C E : ῥοδόεντι Hom. et C[s] E[s] | δ᾽ ἔχριεν A C E : δὲ χρῖεν Hom. ‖ **23** δὲ C E : τε A

ῥοδόεντι δ' ἔχριεν ἐλαίῳ
ἀμβροσίῳ.

καὶ τοῦτο μὲν ἐξ ἀνθέων, περὶ δὲ τοῦ ἐκ τῶν ἀρωμάτων σκευαζομένου, ἃ δὴ θυώματα ἐκάλουν, ἐπὶ τῆς Ἥρας λέγει (*Il.* 14.170–4)·

5 ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος 170
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ χρόα λευκὸν
ἀμβροσίῳ ἑανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν· |
τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ 688e
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀυτμή.

10 [38] γίνεται δὲ μύρα κάλλιστα κατὰ τόπους, ὡς Ἀπολλώνιός φησιν ὁ Ἡροφίλειος ἐν τῷ Περὶ Μύρων (fr. 8 von Staden) γράφων οὕτως· ἶρις μὲν ἐν Ἤλιδι χρηστοτάτη καὶ ἐν Κυζίκῳ· ῥόδινον δὲ κράτιστον ἐν Φασήλιδι, καὶ τὸ ἐκ Νέας πόλεως καὶ Καπύης· κρόκινον δὲ ἐν Σόλοις τῆς Κιλικίας καὶ ἐν Ῥόδῳ· νάρδινον δὲ τὸ ἐν
15 Τάρσῳ· οἰνάνθη δὲ ἀρίστη ἡ Κυπρία καὶ ⟨ἡ⟩ Ἀδραμυτηνή· ἀμαράκινον δὲ ⟨τὸ⟩ Κῷον καὶ μήλινον. κύπρινον δὲ προκέκριται τὸ ἐν Αἰγύπτῳ, δευτερεῦον δ' ἐστὶ τὸ Κυπριακὸν | καὶ τὸ ἐν Φοινίκῃ καὶ 688f ταύτης τὸ ἀπὸ Σιδῶνος. τὸ δὲ Παναθηναϊκὸν λεγόμενον ἐν Ἀθήναις, τὸ δὲ μετώπιον καὶ ⟨τὸ⟩ Μενδήσιον κάλλιστα ἐν Αἰγύ-
20 πτῳ σκευάζεται· σκευάζεται δὲ τὸ μετώπιον ἐξ ἐλαίου τοῦ ἀπὸ τῶν πικρῶν καρύων. οἱ δὲ χορηγοῦντες, φησί, καὶ ἡ ὕλη καὶ οἱ τεχνῖται τὸ χρηστότατον ποιοῦσι μύρον, ἀλλ' οὐχ οἱ τόποι. Ἔφεσός γέ τοι πρότερον, φασί, τοῖς μύροις ‖ διέφερε καὶ μάλιστα 689a τῷ Μεγαλλίῳ, νῦν δὲ οὔ. ἤκμαζε δὲ καὶ τὰ ἐν Ἀλεξανδρείᾳ διὰ
25 ⟨τὸν⟩ πλοῦτον καὶ διὰ τὴν Ἀρσινόης καὶ Βερενίκης σπουδήν.

688f Eust. p. 975.5–6 = III.604.9–11

6 χρόα λευκὸν A : λίπ' ἐλαίῳ Hom. ‖ **11** Ἡροφίλειος Dindorf : Ἡροφίλιος A : Ἡρόφιλος C E ‖ **12** sic A : ῥόδινον δὲ μύρον C E ‖ **13** ἐκ Νέας δὲ πόλεως A : δὲ delevi ‖ **14** τῆς Κιλικίας Kaibel : τοῖς Κιλικίοις A C E ‖ **15** ἀρίστη C E : om. A | Κυπρία A C E : fort. Κυπριακὰ, cf. Κυπριακὸν infra | ⟨ἡ⟩ addidi Ἀδραμυτηνή C E : Ἀδραμυττηνή A ‖ **16** δὲ[1] C E : om. A | ⟨τὸ⟩ addidi **19** ⟨τὸ⟩ addidi ‖ **20** σκευάζεται· σκευάζεται A : σκευάζεται[1] om. C E, fort. recte ‖ **23** φασί A : φησί Kaibel ‖ **24** ἐν τῷ A C E : ἐν del. Kaibel : μὲν τῷ Pursanus | Μεγαλλίῳ A E, cf. 15.690f–1a : Μεγαλίῳ C : Μεγαλείῳ B : Μεγαλλείῳ Meineke | ἤκμαζε Canter : ἤκμασε A C E ‖ **25** ⟨τὸν⟩ addidi

ἐγίνετο δὲ καὶ ἐν Κυρήνῃ ῥόδινον χρηστότατον καθ' ὃν χρόνον ἔζη Βερενίκη ἡ μεγάλη. οἰνάνθινον δὲ ἐν Ἀδραμυτίῳ πάλαι μὲν μέτριον, ὕστερον δὲ πρῶτον διὰ Στρατονίκην τὴν Εὐμένους. ἡ δὲ Συρία τὸ παλαιὸν χρηστὰ πάντα παρείχετο, μάλιστα δὲ τὸ
689b τήλινον, νῦν δὲ οὔ. ἐν δὲ Περγάμῳ πρότερον μὲν | ἐξόχως, νῦν δὲ 5
οὔ, μυρεψοῦ τινος ἐκπονήσαντος τὸ παρ' οὐδενί πω γεγονὸς ἐσκευάζετο λιβανώτινον μύρον. μύρον δὲ χρηστὸν μύρῳ εὐτελεῖ ἐπιχεόμενον ἐπιπολῆς μένει, μέλι δὲ χρηστὸν χείρονι ἐπιχεόμενον εἰς τὸ κάτω βιάζεται· λαμβάνει γὰρ αὐτοῦ καθύπερθεν τὸ ἧττον. **[39]** τοῦ δὲ Αἰγυπτίου μύρου μνημονεύων Ἀχαιὸς ἐν Ἄθλοις (*TrGF* 20 F 10
5) φησίν·

> εἰς ἀργυροῦν τις χεῖρα † Κυπρίου λίθου
> δώσουσι κόσμον χριμμάτων τ' Αἰγυπτίων.

μήποτε, φησὶν ὁ Δίδυμος (pp. 305–6 Schmidt), τὴν καλουμένην
689c στακτὴν | λέγει διὰ τὴν σμύρναν τὴν εἰς Αἴγυπτον καταγομένην 15
κομίζεσθαι πρὸς τοὺς Ἕλληνας. Ἱκέσιος δ' ἐν δευτέρῳ Περὶ Ὕλης, τῶν μύρων, φησίν, ἅ μέν ἐστι χρίματα, ἅ δ' ἀλείμματα. καὶ ῥόδινον μὲν πρὸς πότον ἐπιτήδειον, ἔτι δὲ μύρσινον, μήλινον· τοῦτο δ' ἐστὶ καὶ εὐστόμαχον καὶ ληθαργικοῖς χρήσιμον. τὸ δὲ οἰνάνθινον εὐστόμαχον ὂν καὶ τὴν διάνοιαν ἀπαραπόδιστον φυλάσ- 20
σει. καὶ τὸ σαμψύχινον δὲ καὶ ⟨τὸ⟩ ἑρπύλλινον ἐπιτήδεια πρὸς
689d πότον καὶ ⟨τὸ⟩ κρόκινον τὸ χωρὶς σμύρνης πολλῆς. καὶ ἡ | στακτὴ δὲ ἐπιτήδειος πρὸς πότον, ἔτι δὲ ⟨ἡ⟩ νάρδος. τὸ δὲ τήλινον καὶ γλυκύ ἐστι καὶ ἁπαλόν. τὸ δὲ λευκόινον καὶ εὐῶδες καὶ σφόδρα πεπτικόν. Θεόφραστος δὲ ἐν τῷ Περὶ Ὀδμῶν (27–8) συντίθεσθαί 25
φησι μύρα ἀπ' ἀνθέων μὲν ῥόδινον καὶ λευκόινον καὶ σούσινον (καὶ γὰρ τοῦτ' ἐκ τῶν κρίνων), ἔτι δὲ τὸ σισύμβρινον καὶ ⟨τὸ⟩ ἑρπύλλι-

1 Κυρήνῃ Canter : Κορύνῃ A ‖ **2** μεγάλη A : Μάγα Schweighäuser Ἀδραμυτίῳ scripsi : Ἀδραμυττίῳ A C E | ἐγίνετο post μὲν praeb. C E **4** παλαιὸν A : πρῶτον C E ‖ **5** πρότερον A : πάλαι C E | ἐξόχως Kaibel : ἐξόχῃ A ‖ **6–7** ἐσκευάζετο Kaibel : ἐσκευάσθη A C E ‖ **8** χρηστὸν χείρονι A : χείρονι μέλιτι C E ‖ **12** εἰς ἀργυροῦν τις A : ἰσάργυρόν τ' εἰς Heringa **13** χριμμάτων A : χριμάτων Schweighäuser ‖ **15** τὴν² scripsi : ἣν A : fort. ἣ εἰς Αἴγυπτον καταγομένη κομίζεται ‖ **18** πότον Canter : τὸν A **21** σαμψύχινον C E : σαμψούχινον A | ⟨τὸ⟩ addidi ‖ **22** ⟨τὸ⟩ addidi ‖ **23** ⟨ἡ⟩ addidi ‖ **27–345,1** σισύμβρινον καὶ ἑρπύλλινον A : σύμβρινον καὶ ἑρπύλινον Thphr. ‖ **27** ⟨τὸ⟩ addidi

νον, ἐν δὲ Κύπρῳ καὶ τὸ κρόκινον· βέλτιστον δ᾽ ἐν Αἰγίνῃ καὶ Κιλικίᾳ. ἀπὸ δὲ φύλλων τὸ μύρρινον καὶ τὸ οἰνάνθινον· αὕτη δ᾽ ἐν Κύπρῳ φύεται ὀρεινὴ καὶ πολύγονος· ἐν δὲ Ἑλλάδι οὐ γίνεται διὰ τὸ ἄοσμον. | διὰ δὲ ῥιζῶν τό τ᾽ ἴρινον καὶ τὸ νάρδινον καὶ τὸ 689e
5 ἀμαράκινον ἐκ τοῦ κόστου. [40] ὅτι δὲ διὰ σπουδῆς ἦν τοῖς παλαιοτέροις ἡ τῶν μύρων χρῆσις δῆλον ἐκ τοῦ καὶ ἐπίστασθαι ποῖόν τι ἑκάστῳ τῶν μελῶν ἡμῶν ἐστιν ἐπιτήδειον· Ἀντιφάνης γοῦν ἐν Θορικίοις ἢ Διορύττοντί (fr. 105) φησι·

(Α.) λουτ᾽ † αιδουοαληθῶς † (Β.) ἀλλὰ τί;
10 (Α.) ἐκ χρυσοκολλήτου δὲ κάλπιδος μύρῳ
Αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰ σκέλη,
φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία, |
σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα, 5 689f
ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην,
15 ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

καὶ Κηφισόδωρος ἐν Τροφωνίῳ (fr. 3)·

(Α.) ἔπειτ᾽ ἀλείφεσθαι πρίω τὸ σῶμά μοι
μύρον τ᾽ ἴρινον καὶ ῥόδινον, ἄγαμαι Ξανθίου·
καὶ τοῖς ποσὶν † πριω † χωρίς μοι βάκχαριν.
20 (Ξα.) ὦ λακκόπρωκτε, βάκχαριν τοῖς σοῖς ποσὶν
ἐγὼ πρίωμαι; λαικάσομ᾽ ἄρα. βάκκαριν; 5

Ἀναξανδρίδης Πρωτεσιλάῳ (fr. 41)·

μύρον τε παρὰ Πέρωνος, οὗπερ ἀπέδοτο ‖
χθὲς Μελανώπῳ, πολυτελοῦς Αἰγυπτίου, 690a
25 ᾧ νῦν ἀλείφει τοὺς πόδας Καλλιστράτου.

1 ἐν δὲ Κύπρῳ A : ἔτι δὲ κύπρινον Dindorf, Kaibel : καὶ ἡ κύπρος Thphr. κρόκινον Thphr. : κρίνον A : fort. κρίνινον ‖ **3** πολύγονος A C E : πολύοδμος Thphr. ‖ **4** διὰ A C E : ἀπὸ Thphr. ‖ **6** χρῆσις C E : χρίσις A ‖ **9** λουτ᾽ † αιδουοαληθῶς † (v.ll. λοῦται δ᾽ ἀληθῶς et (ἐ)λοῦτο δ᾽ ἀληθῶς in unam confusas) A : λοῦται δ᾽ ἀληθῶς 12.553d ‖ **10** δὲ A : τε, i.e. ΤΕ 12.553d : γε, i.e. ΓΕ Casaubon ‖ **13** σισυμβρίνῳ Casaubon : σισύμβρινον (structura mutata) C E : σισυμβρίῳ A : σισιμβρίνῳ 12.553d ‖ **17** πρίω τὸ σῶμά μοι A : τὸ σῶμά μοι πριῶ 12.553a ‖ **18** τ᾽ A : om. 12.553a | Ξανθίου A : Ξανθία 12.553a **19** πριω χωρὶς A : χωρὶς πρίω 12.553a | βάκχαριν A, cf. v. 4 : βάκκαριν 12.553a ‖ **21** βάκκαριν A et ubique infra : βάκχαριν Schweighäuser, cf. vv. 3–4 ‖ **23** τε A : δὲ 12.553d ‖ **24** χθὲς A : ἐχθὲς 12.553d

μνημονεύει τοῦ μυροπώλου τούτου τοῦ Πέρωνος καὶ Θεόπομπος ἐν Ἀδμήτῳ (fr. 1) καὶ Ἡδυχάρει (fr. 17). Ἀντιφάνης δ' ἐν Ἀντείᾳ (fr. 37)·

> πρὸς τῷ μυροπώλῃ γευόμενον κατελίμπανον
> αὐτὸν περὶ μύρων, μέλλει τε συνθείς σοι φέρειν 5
> τὰ κιννάμωμα ταῦτα καὶ τὰ νάρδινα.

[41] παρὰ πολλοῖς δὲ τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βακκαρίς· οὗ μνημονεύει καὶ Ἱππῶναξ (fr. 107.21–2 Degani) διὰ | 690b τούτων·

> βακκάρι δὲ τὰς ῥῖνας 10
> ἤλειφον· ἐστὶ δ' οἵηπερ κρόκος.

Ἀχαιὸς δ' ἐν Αἴθωνι σατυρικῷ (*TrGF* 20 F 10)·

> βακκάρει χρισθέντα καὶ ψυκτηρίοις
> πτεροῖς ἀναστήσαντα πρὸς θείαν τρίχα.

Ἴων Ὀμφάλῃ (*TrGF* 19 F 24)· 15

> βακκάρις δὲ καὶ μύρα
> καὶ Σαρδιανὸν κόσμον εἰδέναι χροὸς
> ἄμεινον ἢ τὸν Πέλοπος ἐν νήσῳ τρόπον.

ἐν τούτοις Σαρδιανὸν κόσμον εἴρηκε τὸ μύρον, ἐπεὶ διαβόητοι ἐπὶ 690c ἡδυπαθείᾳ οἱ Λυδοί· καὶ τὸ παρὰ | Ἀνακρέοντι (*PMG* 481) 20

> Λυδοπαθὴς

ἀκούουσιν ἀντὶ τοῦ ἡδυπαθής. μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς (fr. 1032). Μάγνης δ' ἐν Λυδοῖς (fr. 3)·

> λούσαντα χρὴ καὶ βακκάριδι κεχριμένον.

690b–c Eust. p. 1144.14–15 = IV.180.17–18

4 μυροπώλῃ A : Πέρωνι Schweighäuser ex περὶ infra ‖ **5** περὶ A : del. Edmonds ‖ **6** κιννάμωμα A : κινναμώμινα Schweighäuser ‖ **10** βακκάρι A[ac] C[s] E[s] : βακκάρει A C E ‖ **11** ἐστὶ δ' C E : ἔσθ' A | οἵηπερ κρόκος, i.e. -ΚΡΟΚΟΣ A C E : οἵηνπερ Κροῖσος, i.e. -ΚΡΟΙϹΟϹ *P.Oxy.* 2175 ‖ **14** πρὸς θείαν A : προσθίαν Canter

καὶ μήποτε οὐκ ἔστι μύρον ἡ βάκκαρις· Αἰσχύλος γὰρ ἐν Ἀμυμώνῃ (fr. 14) ἀντιδιαστέλλων φησί·

κἄγωγε τὰς σὰς βακκάρεις τε καὶ μύρα.

καὶ Σιμωνίδης (Semon. fr. 16.1–2 West²)·

5 κἠλειφόμην μύροισι καὶ θυώμασι
καὶ βακκάρι.

Ἀριστοφάνης δ᾽ ἐν Θεσμοφοριαζούσαις (fr. 336)· |

ὦ Ζεῦ πολυτίμηθ᾽, οἷον ἔπνευσ᾽ ὁ μιαρὸς 690d
φάσκωλος εὐθὺς λουόμενός μοι τοῦ μύρου
10 καὶ βακκάριδος.

[42] βρενθείου δὲ μύρου μνημονεύει Φερεκράτης ἐν Λήροις (fr. 105) οὕτως·

ἔστην δὲ κἀκέλευον ἐγχέασθαι νῷν μύρον
βρένθειον, ἵνα τοῖς εἰσιοῦσι ἐγχέῃ.

15 βασιλείου δὲ μύρου μνημονεύει Κράτης ἐν Γείτοσι (fr. 2) λέγων οὕτω·

γλυκύτατον δ᾽, ὦ Ζεῦ, βασιλείου μύρου. |

Σαπφὼ (fr. 94.19–20) δ᾽ ὁμοῦ μέμνηται τοῦ τε βασιλείου καὶ τοῦ βρενθείου λέγουσα οὕτω· 690e

20 βρενθείῳ
βασιληίῳ.

ψάγδης Ἀριστοφάνης ἐν Δαιταλεῦσι (fr. 213)·

2 Ἀμυμώνῃ Canter : Ἀμυμόνῃ A ‖ **4** Σιμωνίδης A : Σημωνίδης scribendum est ‖ **5** κἠλειφόμην A : ἠλειφόμην C E : κἀλειφόμην Clem.Al. *Paid.* 2.8.64.3–4 ‖ **6** βακκάρι C E : βακκάρει A : βάκκαριν Clem.Al. *Paid.* 2.8.64.3–4 ‖ **8** πολυτίμηθ᾽ Schweighäuser : πολυτίμητε A | ἔπνευσ᾽ A : ἐνέπνευσ᾽ Dobree ‖ **9** λουόμενός A C E : λυόμενός Dalechamps (*soluta*) **11** βρενθείου C E : βρενθίου A ‖ **13** ἐγχέασθαι νῷν μύρον] † ἐνχεασθαινων μὺρον † A : ἐγχέασθε νῷν (μύρον del.) Meineke ‖ **14** βρένθειον Dobree, cf. supra : βρένθιον A | εἰσιοῦσι A : ἰοῦσιν B : εἰσιοῦσιν Meineke ‖ **17** δ᾽, ὦ Ζεῦ] δέ, ὦ Ζεῦ A : δ᾽ ὦζε Porson ‖ **19** βρενθείου C E : βρενθίου B : βρεντείου A **20** βρενθείῳ C E B : † βρεντεΐω † A

φέρ' ἴδω, τί σοι δῶ τῶν μύρων; ψάγδαν φιλεῖς;

Εὔπολις δ' ἐν Μαρικᾷ (fr. 204.1)·

ψάγδαν ἐρυγγάνοντα.

Εὔβουλος ἐν Στεφανοπώλισιν (fr. 100)·

Αἰγυπτίῳ ψαγδᾶνι τρὶς λελουμένη. 5

Πολέμων δ' ἐν τοῖς Πρὸς Ἀδαῖον (fr. 74 Preller) παρὰ Ἠλείοις φησὶ μύρον τι Πλαγγόνιον καλεῖσθαι εὑρεθὲν ὑπό τινος Πλαγγόνος. ὁμοίως ἱστορεῖ καὶ Σωσίβιος ἐν Ὁμοιότησιν (*FGrH* 595 F 9). | 690f ὡς καὶ τὸ Μεγάλλιον· ὠνομάσθη γὰρ καὶ τοῦτο ἀπὸ Μεγάλλου τοῦ Σικελιώτου· οἱ δ' Ἀθηναῖόν φασιν εἶναι τὸν Μέγαλλον. 10 μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Τελμισσεῦσι (fr. 549.1) καὶ Φερεκράτης ἐν Πετάλῃ (fr. 149) Στράττις τ' ἐν Μηδείᾳ (fr. 34) οὕτω·

καὶ λέγ' ὅτι † μυρον † φέρεις † αὐτη †
τοιοῦτον οἷον οὐ Μέγαλλος πώποτε 15
ἥψησεν, οὐδὲ Δεινίας Αἰγύπτιος
οὔτ' εἶδεν οὔτ' ἐκτήσατο. ‖

691a τοῦ Μεγαλλίου δὲ μύρου μνημονεύει καὶ Ἄμφις ἐν Ὀδυσσεῖ (fr. 27) διὰ τούτων·

(A.) ἐρίοισι τοὺς τοίχους κύκλῳ Μιλησίοις, 20
ἔπειτ' ἀλείφειν τῷ Μεγαλλίῳ μύρῳ,
καὶ τὴν βασιλικὴν θυμιᾶτε μίνδακα.
(B.) ἀκήκοας σύ, δέσποτ', ἤδη πώποτε
τὸ θυμίαμα τοῦτο; 5

690f Eust. p. 1161.30 = IV.248.2–3

1 φέρ' Casaubon : φέρε A ‖ **5** Αἰγυπτίῳ B : Αἰγυπίῳ A ‖ **9** Μεγάλλιον C E*, προπαροξυτόν(ως) add. rubr.Cs : Μεγαλεῖον A : Μεγάλλειον Meineke **11** Τελμισσεῦσι A : Τελμησσεῦσι Kaibel ‖ **12** Μηδείᾳ Schweighäuser, cf. 11.467e : Μήδᾳ A ‖ **14** μυρον φέρεις αὐτη A : φέρεις αὐτῇ μύρον Erfurdt **16** Δεινίας Schweighäuser : Δινίας A | Αἰγύπτιος Kock : Αἰγύπτιος A **18** Μεγαλλίου A : Μεγαλλείου Meineke ‖ **21** Μεγαλλίῳ A : Μεγαλλείῳ Cobet

Ἀναξανδρίδης Τηρεῖ (fr. 47)·

> ἀλλ᾽ οἷα νύμφη βασιλὶς ὠνομασμένη
> μύροις Μεγαλλίοισι σῶμ᾽ ἀλείφεται.

ναρδίνου δὲ μύρου μέμνηται Μένανδρος ἐν Κεκρυφάλῳ (fr. 210)
5 οὕτως· |

> (A.) ἡδὺ τὸ μύρον, παιδίον. (B.) ἡδύ; πῶς γὰρ οὔ; 691b
> νάρδινον.

[43] τὸ δὲ χρίσασθαι τῷ τοιούτῳ ἀλείμματι μυρίσασθαι εἴρηκεν Ἀλκαῖος ἐν Παλαίστραις (fr. 23) διὰ τούτων·

10 > μυρίσας † συγκατέκλεισεν ἀνθ᾽ αὐτῆς λάθρᾳ.

μυρώμασι μέντοι οὐ μυρίσμασιν ἔλεγον. Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις (1117)·

> ἥτις μεμύρισμαι τὴν κεφαλὴν μυρώμασι.

τῆς δὲ λεγομένης σάγδας (μύρον δ᾽ ἐστὶ καὶ | τοῦτο) Ἐπίλυκος ἐν 691c
15 Κωραλίσκῳ (fr. 1.1)·

> βάκκαρίς τε καὶ σάγδας ὁμοῦ.

καὶ Ἀριστοφάνης ἐν Δαιταλεῦσι (fr. 213) καὶ ἐν Μαρικᾷ Εὔπολις (fr. 204.1)

> σάγδαν ἐρυγγάνοντα

20 λέγων· ὅπερ ὁ Θυατειρηνὸς Νίκανδρος (*FGrH* 343 F 18) ἐπὶ τοῦ ἄγαν χλιδῶντος εἰρῆσθαι ἀκούει, Θεόδωρος (*FGrH* 346 F 5) δὲ θυμίαμά τί φησιν αὐτὸ εἶναι. [44] παμπόλλου δ᾽ ἐπιπράσκετο Ἀθήνησιν ἡ τοῦ μύρου κοτύλη, καὶ ὡς μὲν Ἵππαρχός φησιν ἐν Παννυχίδι (fr. 4), πέντε μνῶν, ὡς δὲ Μένανδρος ἐν Μισογύνῃ (fr.

682c, 683b, 677f, 688c–d, 691b, 686f–7a, 680e–f, 681b Eust.(2) p. 1295.14–25 = IV.708.9–709.3

3 Μεγαλλίοισι A : Μεγαλλείοισι Cobet ‖ **6** παιδίον A : παιδάριον Dindorf **10** μυρίσας A : μυρίσασα Dalechamps ‖ **11** ἔλεγον A C E : ἔλεγεν Casaubon **16** σάγδας] cf. 14 supra : † σαγδας † A : ψάγδας Phot.[z] s.v. ψάγδας **19** σάγδαν A C E : ψάγδαν 15.690e

691d 243), δέκα. Ἀντιφάνης δ᾽ ἐν Φρεαρρίῳ (fr. 222) | στακτῆς μύρου μνημονεύων φησί·

στακτὴ δυοῖν μναῖν οὐκ ἀρέσκει μ᾽ οὐδαμῶς.

οὐ μόνον δὲ τὸ τῶν Σαρδιανῶν γένος φιλόμυρον ἦν, ὡς Ἄλεξίς φησιν ἐν Ἐκπωματοποιῷ (fr. 67)· 5

ἀεὶ φιλόμυρον πᾶν τὸ Σάρδεων γένος,

ἀλλὰ καὶ αὐτοὶ οἱ Ἀθηναῖοι οἱ πάντων τῶν καλλίστων εἰσηγηταὶ τῷ τῶν ἀνθρώπων βίῳ γενόμενοι, παρ᾽ οἷς ἀνυπερβλήτου τιμῆς, ὡς προείρηται, τῶν μύρων ὑπαρχόντων οὐκ ἀπείχοντο τῆς 691e χρήσεως, | ὥσπερ οὐδὲ ἡμεῖς νῦν οὕτω πολυτίμων καὶ καλλίστων 10 ὑπαρχόντων, ὡς λῆρον εἶναι τὰ ἐν τῷ Εἰσοικιζομένῳ Ἀλέξιδος (fr. 63) ταυτί·

οὐ γὰρ ἐμυρίζετ᾽ ἐξ ἀλαβάστου, πρᾶγμά τι
γινόμενον ἀεί, Κρονικόν, ἀλλὰ τέτταρας
περιστερὰς ἀφῆκεν ἀποβεβαμμένας 15
εἰς οὐχὶ ταὐτὸν μὰ Δία τὴν αὐτὴν μύρον,
ἰδίῳ δ᾽ ἑκάστην. πετόμεναι δ᾽ αὗται κύκλῳ 5
ἔρραινον ἡμῶν θαἰμάτια, τὰ στρώματα.
μή μοι φθονήσητ᾽, ἄνδρες Ἑλλήνων ἄκροι· |
691f ἠλειφόμην θυόμενος ἰρίνῳ μύρῳ. 20

[45] πρὸς θεῶν, φίλοι, ποία ἡδονή, μᾶλλον δ᾽ ὑοσαλακωνία, θαἰμάτια μολύνεσθαι, ἐξὸν ταῖς χερσίν, ὥσπερ ἡμεῖς νῦν ποιοῦμεν, ἀρυσαμένους ἀλείφεσθαι πᾶν τὸ σῶμα καὶ μάλιστα τὴν κεφαλήν· φησὶ γὰρ Μυρωνίδης ἐν τῷ Περὶ Μύρων καὶ Στεφάνων τὴν ἀφορμὴν τοῦ τὴν κεφαλὴν ἐν τοῖς πότοις λιπαίνειν ἐντεῦθεν ‖ 25 692a γενέσθαι· τοῖς αὐχμῶσι γὰρ τὰς κεφαλὰς εἰς τὸ μετέωρον ἕλκεσθαι τὸ λαμβανόμενον· καὶ διὰ τοῦτο τῶν πυρετῶν διακαιόντων τὰ

1 Φρεαρρίῳ Porson : † φρεαρρω † A | τοῦ μύρου A : τοῦ delevi ‖ **8** παρ᾽ οἷς del. Kaibel : καίτοι Wilamowitz ‖ **9** ὑπαρχόντων scripsi : ὑπαρχούσης A **10** χρήσεως C E : χρίσεως A E[s] | καὶ A : τῶν Wilamowitz ‖ **12** ταυτί] ταυτι A[corr.] : ταύτη A[ac] B ‖ **14** γινόμενον A C E : γιγνόμενον Casaubon ‖ **17** ἰδίῳ] ἰδίω A : ἰδίᾳ, i.e. ἰδίᾳ C E ‖ **18** τὰ A C E : καὶ Dindorf ‖ **20** θυόμενος A : ὑόμενος Meineke | ἰρίνῳ Canter : † ηρινω † A ‖ **21** ὑοσαλακωνία Meineke : † ουσαλακωνια † A ‖ **24** Μυρωνίδης C E : ὁ Μυρωνίδης A : ὁ Φιλωνίδης Reinesius, cf. 15.675a, 676c : ὁ ⟨Φιλωνίδης, μᾶλλον δὲ⟩ Μυρωνίδης Kaibel

σώματα τέγγουσι τὴν κεφαλὴν ἐπιβρέγμασιν, ἵνα μὴ πρὸς τὸ ξηρόν, ταύτῃ δὲ καὶ πολύκενον, ὁρμὴν τὰ παρακείμενα λαμβάνῃ. τοῦτο δὴ λογισάμενοι καὶ ἐπὶ τῶν πότων τὴν εἰς τὸ μετέωρον τῶν οἴνων φορὰν ὑποπτεύσαντες ἐπεσπάσθησαν κεφαλὴν λιπαίνειν ὡς
5 ἐλάσσονος βίας γενησομένης εἰ ταύτην προτέγξαιεν. προστιθεὶς δ' ὁ βίος ἀεὶ τοῖς χρειώδεσι | καὶ τῶν εἰς ἀπόλαυσιν καὶ τρυφὴν 692b ἀγόντων ἐπὶ τὴν τῶν μύρων χρῆσιν ὥρμησε. χρηστέον οὖν, ὦ Κύνουλκε Θεόδωρε, μύροις παρὰ πότον τοῖς ἐλάχιστα καροῦν δυναμένοις, τοῖς στύφουσι δὲ καὶ ψύχουσιν ἐπ' ὀλίγον. ζητεῖ δ' ὁ
10 πολυμαθέστατος Ἀριστοτέλης ἐν τοῖς Φυσικοῖς Προβλήμασι (fr. 763 Gigon)· διὰ τί οἱ μυριζόμενοι πολιώτεροι; ἢ ὅτι τὸ μύρον διὰ τὰ ἀρώματα ξηραντικόν ἐστι, διὸ καὶ αὐχμηροὶ οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ; εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτ' ἔνδεια θερμοῦ, ἡ ξηρότης μαραίνει· | διὸ καὶ τὰ πιλία θᾶττον ποιεῖ 692c
15 πολιούς· ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης. [46] ἥδιστον δέ, ἄνδρες φίλοι, ἀναγινώσκων τὴν ὀγδόην καὶ εἰκοστὴν τῶν Ποσειδωνίου Ἱστοριῶν (*FGrH* 87 F 20 = fr. 71 Edelstein–Kidd = fr. 179 Theiler) περὶ μύρων τι λεγόμενον ἐτήρησα οὐκ ἀλλότριον ἡμῶν τοῦ συμποσίου· φησὶ γὰρ ὁ φιλόσοφος· ἐν Συρίᾳ ἐν τοῖς
20 βασιλικοῖς συμποσίοις, ὅταν τοῖς εὐωχουμένοις δοθῶσιν οἱ στέφανοι, εἰσίασί τινες μύρων Βαβυλωνίων ἔχοντες ἀσκίδια καὶ πόρρωθεν ἐκ τούτων περιπορευόμενοι τοὺς μὲν στεφάνους τῶν κατακειμένων δροσίζουσι | τοῖς μύροις, ἄλλο μηδὲν ἔξωθεν παραραίνοντες. 692d ἐπεὶ δ' ἐνταῦθα τοῦ λόγου ἐσμέν,

25 συμβαλοῦμαί τι μέλος ὑμῖν εἰς ἔρωτα,

692b–c Eust. p. 1679.25–8 = i.407.42–5 | **686f, 692b** Eust. p. 1679.23–5 = i.407.39–42 | **692c** Eust. p. 1645.57–8 = i.365.2 | **692d–e** Eust. p. 1533.3–5 = i.212.10–13

2 τὰ παρακείμενα A C E : τὰ παρακαιόμενα Dalechamps (*quae aduruntur*) **5** ἐλάσσονος ⟨τῆς⟩ Wilamowitz ‖ **6** χρειώδεσι E B : χρεώδεσι C : χριώδεσιν A ‖ **12** αὐχμηροὶ οἱ C E Eust. : αὐχμηρότεροι οἱ Clem.Al. *Paed.* 2.8.69.4 : † αὐχμηρον † A ‖ **14** ἔνδεια C E B Eust. et Clem.Al. *Paed.* 2.8.69.4 : ἐνδείαι A **17** Ποσειδωνίου B : Ποσειδώνιος (structura mutata) C E : † ποσιδωνιου † A **18** ἀλλότριον Casaubon : † αλλότριος † A ‖ **20** δοθῶσιν C E B : δωθῶσιν A **21** μύρων C E Eust. : † μυρω † A

κατὰ τὸν Κυθήριον ποιητήν (Philox. Cyth. *PMG* 833), ὅτι Ἰανὸς ὁ παρ' ἡμῖν θεός, ὃν καὶ πατέρα προσαγορεύομεν, πρῶτος εὗρε στέφανον. ἱστορεῖ δὲ τοῦτο Δράκων ὁ Κερκυραῖος ἐν τῷ Περὶ Λίθων (*FHG* iv.402–3) γράφων οὕτως· Ἰανὸν δὲ λόγος ἔχει διπρόσωπον γεγονέναι, τὸ μὲν ὀπίσω, τὸ δ' ἔμπροσθεν ἔχοντα πρόσω- 5 πον. ἀπὸ τούτου καὶ τὸν Ἰανὸν ποταμὸν καὶ τὸ ὄρος Ἰανὸν ὀνομά-
692e ζεσθαι κατοικήσαντος | αὐτοῦ ἐπὶ τοῦ ὄρους. τοῦτον δὲ καὶ στέφανον πρῶτον εὑρεῖν καὶ σχεδίας καὶ πλοῖα, καὶ νόμισμα χαλκοῦν πρῶτον χαράξαι· διὸ καὶ τῶν κατὰ τὴν Ἑλλάδα πολλὰς πόλεις καὶ τῶν κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν ἐπὶ τοῦ νομίσματος ἐγχα- 10 ράττειν πρόσωπον δικέφαλον καὶ ἐκ θατέρου μέρους ἢ σχεδίαν ἢ στέφανον ἢ πλοῖον. τοῦτον δὲ τὴν ἀδελφὴν γήμαντα † καμισην † υἱὸν μὲν Αἴθηκα, θυγατέρα δὲ Ὀλιστήνην γεννῆσαι. καὶ αὐτὸν ὡς μειζόνων ὀρεγόμενον πραγμάτων εἰς τὴν Ἰταλίαν διαπλεῦσαι καὶ
692f οἰκίσαι τὸ πλησίον Ῥώμης ὄρος κείμενον | τὸ ἀπ' αὐτοῦ Ἰανοῦκλον 15 ὀνομαζόμενον.

[47] τοσαῦτα καὶ περὶ μύρων ἐλέχθη. καὶ μετὰ ταῦτα πλείστων τῶν μὲν Ἀγαθοῦ Δαίμονος αἰτούντων ποτήριον, τῶν δὲ Διὸς Σωτῆρος, ἄλλων δὲ Ὑγιείας, καὶ ἑτέρων ἑτέρου ἐπιλεγόντων, τοὺς τούτων τῶν κράσεων μεμνημένους τῶν ποιητῶν ἔδοξε 20 παρατίθεσθαι, ὧν καὶ αὐτὸς μνησθήσομαι· Ἀντιφάνης μὲν γὰρ ἐν Ἀγροικίσιν (fr. 3) ἔφη·

Ἁρμόδιος ἐκαλεῖτο, παιὰν ᾔδετο,
μεγάλην Διὸς Σωτῆρος ἄκατον ἦρέ τις.

Ἄλεξις δ' ἐν Τοκιστῇ ἢ Καταψευδομένῳ (fr. 234)· 25

(A.) ἀλλ' ἔγχεον ‖
693a αὐτῷ Διός γε τήνδε Σωτῆρος, θεῶν
θνητοῖς ἁπάντων χρησιμώτατον πολύ.
(B.) ὁ Ζεὺς ὁ Σωτήρ, ἐὰν ἐγὼ διαρραγῶ,

6–7 ὀνομάζεσθαι Casaubon : † ὀνομαζεται † A ‖ **7** τοῦτον Kaibel : οὗτος (structura mutata) C E Eust. : πρῶτον A ‖ **12** † καμισην † A : Καμήσην Kaibel ‖ **15** οἰκίσαι scripsi : οἰκῆσαι A : ᾤκησε C E ‖ **19** Ὑγιείας B : Ὑγείας A | ἑτέρου Kaibel : ἑτέρους A : fort. ἕτερα ‖ **21** αὐτὸς scripsi : αὐτῶν A **23** ἐκαλεῖτο] εκαλεῖτο A : ἐπεκαλεῖτο Koppiers ‖ **24** ἦρέ Kock : † ηρε † A **26** ἔγχεον B : † ενχεον † A ‖ **28** χρησιμώτατον A : χρησιμωτάτου Meineke **29** ἐὰν] † εαν † A : ἂν Dindorf

οὐδέν μ᾽ ὀνήσει. (Α.) πῖθι θαρρῶν. 5

Νικόστρατος Πανδρόσῳ (fr. 18)·

(Α.) κἀγώ, φιλτάτη·
† μετανιπριαδ᾽ † αὐτῷ τῆς Ὑγιείας ἔγχεον.
5 (Β.) λαβὲ τῆς Ὑγιείας δὴ σύ. (Α.) φέρε, τύχἀγαθῇ.
τύχη τὰ θνητῶν πράγματα, πρόνοια δὲ
τυφλόν τι κἀσύντακτόν ἐστιν, ὦ πάτερ. | 5

ἐν δὲ τῷ αὐτῷ δράματι καὶ τῆς τοῦ Ἀγαθοῦ Δαίμονος κράσεως 693b μνημονεύει, ἧς καὶ σχεδὸν πάντες οἱ τῆς ἀρχαίας κωμῳδίας
10 ποιηταί. ἀλλ᾽ ὅ γε Νικόστρατος (fr. 19) οὕτω φησίν·

ἀλλ᾽ ἐγχέασα θᾶττον Ἀγαθοῦ Δαίμονος
ἀπενεγκάτω μοι τὴν τράπεζαν ἐκποδών·
ἱκανῶς κεχόρτασμαι γάρ. Ἀγαθοῦ Δαίμονος
δέχομαι. λαβοῦσ᾽ ἀπένεγκε ταύτην ἐκποδών.

15 Ξέναρχος ἐν Διδύμοις (fr. 2)·

ὡς ὑπό τι νυστάζειν γε καὐτὸς ἄρχομαι· |
ἡ τἀγαθοῦ Δαίμονος συνέσεισέ με 693c
ἄκρατος ἐκποθεῖσα φιάλη παντελῶς.
ἡ τοῦ δὲ Σωτῆρος Διὸς τάχιστά γε
20 ἀπώλεσε ναύτην καὶ κατεπόντωσέ μ᾽, ὁρᾷς. 5

Ἔριφος Μελιβοίᾳ (fr. 4)·

ἐκπεπήδηκας πρὶν Ἀγαθοῦ πρῶτον Δαίμονος λαβεῖν,
πρὶν Διὸς Σωτῆρος.

[48] Θεόφραστος δ᾽ ἐν τῷ Περὶ Μέθης (fr. 572 Fortenbaugh), τὸν
25 ἄκρατον, φησίν, οἶνον τὸν ἐπὶ τῷ δείπνῳ διδόμενον, ὃν δὴ λέγου-

1 μ᾽ ὀνήσει Pierson : † μονησει † A | πῖθι Canter : † πειθει † A **4** † μετανιπριαδ᾽ †, i.e. -ΙΑΔ A : μετανιπτρίδ᾽, i.e. -ΙΔ 11.487b (= Nicostr. Com. fr. 3) ‖ **5** τύχἀγαθῇ B : † τυχααγαθη † A ‖ **6** πράγματα B : † πραγματα † A : πράγμαθ᾽, ⟨ἡ⟩ Jacobs ‖ **11** ἐγχέασα B : † ἐνχεασα † A **16** ὑπό τι Porson : † εὑποτι † A ‖ **17** συνέσεισέ Canter : † σύνεσισε † A **20** ἀπώλεσε ναύτην Canter : † απώλεσεν αὐτην † A | κατεπόντωσέ A : κατεπόντωσέν Schweighäuser ‖ **22** ἐκπεπήδηκας Cobet : † ἐκπεπιηδεκας † A | πρῶτον A : πρῶτα Dindorf

693d σιν | Ἀγαθοῦ Δαίμονος εἶναι πρόποσιν ὀλίγον τε προσφέρουσιν, ὥσπερ ἀναμιμνήσκοντες μόνον τῇ γεύσει τὴν ἰσχὺν αὐτοῦ καὶ τὴν τοῦ θεοῦ δωρεάν, καὶ μετὰ τὴν πλήρωσιν διδόασιν, ὅπως ἐλάχιστον ᾖ τὸ πινόμενον· καὶ τρίτον προσκυνήσαντες λαμβάνουσιν ἀπὸ τῆς τραπέζης, ὥσπερ ἱκετείαν τινὰ ποιούμενοι τοῦ θεοῦ μηθὲν 5 ἀσχημονεῖν μηδ᾽ ἔχειν ἰσχυρὰν ἐπιθυμίαν τοῦ ποτοῦ τούτου καὶ λαμβάνειν ἐξ αὐτοῦ τὰ καλὰ καὶ χρήσιμα. Φιλόχορος δ᾽ ἐν δευτέρᾳ Ἀτθίδος (*FGrH* 328 F 5a), καὶ θέσμιον, φησίν, ἐτέθη τότε προσφέρε-
693e σθαι | μετὰ τὰ σιτία πᾶσιν ἀκράτου μὲν ὅσον γεῦμα καὶ δεῖγμα τῆς δυνάμεως τοῦ Ἀγαθοῦ Θεοῦ, τὸν δὲ λοιπὸν ἤδη κεκραμένον· 10 διὸ καὶ τροφοὺς τοῦ Διονύσου τὰς νύμφας ὀνομασθῆναι. ὅτι δὲ δοθείσης τῆς τοῦ Ἀγαθοῦ Δαίμονος κράσεως ἔθος ἦν βαστάζεσθαι τὰς τραπέζας ἔδειξε διὰ τῆς αὑτοῦ ἀσεβείας ὁ Σικελιώτης Διονύσιος· τῷ γὰρ Ἀσκληπιῷ ἐν ταῖς Συρακούσαις ἀνακειμένης τραπέζης χρυσῆς προπιὼν αὐτῷ ἄκρατον Ἀγαθοῦ Δαίμονος ἐκέλευσε 15
693f βασταχθῆναι τὴν τράπεζαν. παρὰ δὲ τοῖς Ἐμεσηνοῖς | θύοντες τῷ Ἡλίῳ, ὥς φησι Φύλαρχος ἐν τῇ δωδεκάτῃ τῶν Ἱστοριῶν (*FGrH* 81 F 25), μέλι σπένδουσιν οἶνον οὐ φέροντες τοῖς βωμοῖς, δεῖν λέγοντες τὸν τὰ ὅλα συνέχοντα καὶ διακρατοῦντα θεὸν καὶ ἀεὶ περιπολεύοντα τὸν κόσμον ἀλλότριον εἶναι μέθης. 20

[49] ἐμέμνηντο δὲ πολλοὶ καὶ τῶν Ἀττικῶν ἐκείνων σκολίων· ἅπερ καὶ αὐτὰ ἄξιόν ἐστί σοι ἀπομνημονεῦσαι διά τε τὴν ἀρχαιότητα καὶ ⟨τὴν⟩ ἀφέλειαν τῶν ποιησάντων, ἐπαινουμένων ἐπὶ τῇ ἰδέᾳ ταύτῃ τῆς ποιητικῆς Ἀλκαίου τε καὶ Ἀνακρέοντος, ὡς
694a Ἀριστοφάνης παρίστησιν ἐν Δαιταλεῦσι (fr. 235) ‖ λέγων οὕτως· 25

ᾆσον δή μοι σκόλιόν τι λαβὼν Ἀλκαίου κἀνακρέοντος.

693e Eust. p. 1525.60–2 = i.203.3–5 | **693e** cf. Ael. *VH* 1.20 | **693e–f** Eust. p. 1668.24–6 = i.393.33–5

1 Ἀγαθοῦ] † αγαθοῦ † A : Ἀθηναῖοι C E : fort. Ἀθηναῖοι Ἀγαθοῦ ‖ **5** καὶ ὥσπερ A : καὶ om. C E ‖ **6** τούτου del. Herwerden ‖ **7** Φιλόχορος C E B : Φιλόχωρος A | δευτέρᾳ scripsi : δευτέρῳ A ‖ **16** Ἐμεσηνοῖς, i.e. EM- Wilamowitz : † ελλησιν † ὡς, i.e. ΕΛΛ- A : Ἕλληνες (structura mutata) C E Eust. ‖ **18** δεῖν C E Eust. : † δεινα † A ‖ **19–20** περιπολεύοντα A : περιπολοῦντα C E Eust. ‖ **21** δὲ πολλοὶ ("i.e. τῶν δειπνοσοφιστῶν") Kaibel : δ᾽ οἱ πολλοὶ A ‖ **23** ⟨τὴν⟩ addidi | ἐπαινουμένων] καὶ τῶν ἐπαιουμένων A : καὶ τῶν ἐπαινουμένων Casaubon : καὶ τῶν del. Kaibel ‖ **26** κἀνακρέοντος Brunck : καὶ Ἀνακρέοντος A

καὶ Πράξιλλα δ' ἡ Σικυωνία ἐθαυμάζετο ἐπὶ τῇ τῶν σκολίων ποιήσει. σκόλια δὲ καλοῦνται οὐ κατὰ τὸν τῆς μελοποιίας τρόπον, ὅτι σκολιὸς ἦν (λέγουσι γὰρ τὰ ἐν ταῖς ἀνειμέναις εἶναι σκολιά), ἀλλὰ τριῶν γενῶν ὄντων, ὥς φησιν Ἀρτέμων ὁ Κασσανδρεὺς ἐν
5 δευτέρῳ Βιβλίων Χρήσεως (fr. 10, *FHG* iv.342), ἐν οἷς τὰ παρὰ τὰς συνουσίας ἦν ᾀδόμενα, ὧν τὸ μὲν πρῶτον ἦν ὃ δὴ πάντας ᾄδειν νόμος ἦν, τὸ δὲ δεύτερον ὃ δὴ πάντες μὲν ᾖδον, οὐ μὴν ἀλλά γε | κατά τινα περίοδον ἐξ ὑποδοχῆς, τρίτον δὲ † καὶ τὴν ἐπὶ πᾶσι 694b τάξιν ἔχον, οὗ μετεῖχον οὐκέτι πάντες ἀλλ' οἱ συνετοὶ δοκοῦντες
10 εἶναι μόνοι καὶ κατὰ τόπον τινὰ εἰ τύχοιεν ὄντες· διόπερ ὡς ἀταξίαν τινὰ μόνον παρὰ τἄλλα ἔχον τὸ μήθ' ἅμα μήθ' ἑξῆς γινόμενον ἀλλ' ὅπου ἔτυχον εἶναι σκόλιον ἐκλήθη. τὸ δὲ τοιοῦτον ᾔδετο ὁπότε τὰ κοινὰ καὶ πᾶσιν ἀναγκαῖα τέλος λάβοι· ἐνταῦθα γὰρ ἤδη τῶν σοφῶν ἕκαστον ᾠδήν τινα καλὴν εἰς μέσον ἠξίουν
15 προφέρειν, καλὴν δὲ ταύτην ἐνόμιζον τὴν παραίνεσίν | τινα 694c γνώμην ἔχειν δοκοῦσαν χρησίμην εἰς τὸν βίον. [**50**] τῶν οὖν δειπνοσοφιστῶν ὁ μέν τις ἔλεγε τῶν σκολίων τόδε, ὁ δέ τις τόδε· πάντα δ' ἦν τὰ λεχθέντα ταῦτα·

Παλλὰς Τριτογένει' ἄνασσ' Ἀθηνᾶ,
20 ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων τε καὶ στάσεων
καὶ θανάτων ἀώρων, σύ τε καὶ πατήρ. (*PMG* 884)

Πλούτου μητέρ' Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις
25 σέ τε, παῖ Διὸς Φερσεφόνη·
χαίρετον, εὖ δὲ τάνδ' ἀμφέπετον πόλιν. (*PMG* 885)

3 ὅτι Schweighäuser : † οστισ † A : ὃς C E ‖ **5** **Βιβλίων** Ionsius : βιβλίῳ A παρὰ, i.e. πε Kaibel : περὶ, i.e. πε A C E ‖ **8** ⟨τὸ⟩ τρίτον δὲ Kaibel : sed ⟨τὸ⟩ δὲ τρίτον vel rectius ⟨τὸ⟩ δὲ τρίτον ⟨ὃ δὴ⟩ (cf. τὸ μὲν πρῶτον ἦν ὃ δὴ ... τὸ δὲ δεύτερον ὃ δὴ supra) scribendum ‖ **12** ἀλλ' ὅπου ἔτυχον εἶναι A : ἀλλ' ὅπη ἔτυχον εἶναι C E : del. Ruhnken ‖ **13** λάβοι· ἐνταῦθα Cobet : λάβοιεν· ταῦτα A : λάβοιεν· τηνικαῦτα C E ‖ **15** προφέρειν Coraes : προσφέρειν A : εἰσφέρειν C E | τέ τινα καὶ A : τέ et καὶ om. (structura mutata) C E ‖ **16** χρησίμην τε A : τε om. (structura mutata) C E ‖ **19** Τριτογένει' Schweighäuser : Τριτογένεια A C E ‖ **21** τε A C E : del. Jacobs et Hermann ‖ **23** ἀείδω Ilgen : † ειδω † A **24** Δήμητρα Casaubon : † δημητραστε † A ‖ **26** ἀμφέπετον Canter : † αμφετον † A

694d ἐν Δήλῳ ποτ' | ἔτικτε τέκνα Λατώ,
Φοῖβον χρυσοκόμαν ἄνακτ' Ἀπόλλων'
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος. (*PMG* 886)

ἰὼ Πὰν Ἀρκαδίας μεδέων κλεεννᾶς, 5
ὀρχηστὰ Βρομίαις ὀπαδὲ νύμφαις,
† γελασίαισϊω † Πάν, ἐπ' ἐμαῖς
εὐφροσύναις ταῖσδ' † ἀοιδαισαοιδε † κεχαρημένος. (*PMG* 887)

ἐνικήσαμεν ὡς ἐβουλόμεθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες 10
παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν. (*PMG* 888)

εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
694e εἰσιδόντα, κλείσαντα | πάλιν
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί. (*PMG* 889) 15

ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνητῷ,
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον συνηβᾶν μετὰ τῶν φίλων. (*PMG* 890)

ᾀσθέντος δὲ τούτου καὶ πάντων ἡσθέντων ἐπ' αὐτῷ καὶ 20 μνημονευσάντων ὅτι καὶ ὁ καλὸς Πλάτων (cf. *Grg.* 451e) αὐτοῦ μέμνηται ὡς ἄριστα εἰρημένου, ὁ Μυρτίλος ἔφη Ἀναξανδρίδην αὐτὸ διακεχλευακέναι τὸν κωμῳδιοποιὸν ἐν Θησαυρῷ (fr. 18) λέγοντα οὕτως·

ὁ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν, | 25
694f τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ἦν,

695a, 694d–e, 695d Eust. p. 1574.10–15 = i.269.11–12, 13–14, 18–19

1 τέκνα B : † τεκνα † A : παῖδα C E ‖ **2** Ἀπόλλων' A : Ἀπόλλωνα C E : Ἀπόλλω Ilgen ‖ **5** ἰὼ A C E : ὦ Hermann ‖ **7** † γελασίαισϊω † A : ἰὼ C E : γελάσειας, ὦ Valckenaer ‖ **8** † ἀοιδαισαοιδε † A : ἀοιδαῖς ἄειδε C E **9** ἐβουλόμεθα A C E : ἐβουλόμεσθα Hermann ‖ **11** ὡς φίλην Ἀθηνᾶν A : fort. ut glossa delenda ‖ **13** διελόντ' C E : διελόντα A Eust. ‖ **14** εἰσιδόντα A : ἰδόντα E Eust. : εἰδόντα C : ἐσιδόντα Hermann ‖ **19** συνηβᾶν A C E : ἡβᾶν Stob. 4.39.9 Σ Pl. *Grg.* 451e ‖ **26** ἦν A C E : ὂν Bergk

ὠνόμασεν ὀρθῶς. δεύτερον δ᾽ εἶναι καλόν,
τρίτον δὲ πλουτεῖν, τοῦθ᾽, ὁρᾷς, ἐμαίνετο·
μετὰ τὴν ὑγίειαν γὰρ τὸ πλουτεῖν διαφέρει, 5
καλὸς δὲ πίνων ἐστὶν αἰσχρὸν θηρίον. ‖

5 ἑξῆς δ᾽ ἐλέχθη καὶ τάδε· 695a

ἐκ γῆς χρὴ κατίδην πλόον,
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι.
ἐπεὶ δέ κ᾽ ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη. (*PMG* 891)

10 ὁ δὲ καρκίνος ὧδ᾽ ἔφη
χαλᾷ τὸν ὄφιν λαβών·
"εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμ-
μεν καὶ μὴ σκολιὰ φρονεῖν." (*PMG* 892)

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
15 ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων
ὅτε τὸν τύραννον κτανέτην |
ἰσονόμους τ᾽ Ἀθήνας ἐποιησάτην. (*PMG* 893) 695b

φίλταθ᾽ Ἁρμόδι᾽, οὔ πω τέθνηκας,
νήσοις δ᾽ ἐν μακάρων σέ φασιν εἶναι,
20 ἵνα περ ποδώκης Ἀχιλλεὺς
Τυδεΐδην τέ φασιν τὸν ἐσθλὸν Διομήδεα. (*PMG* 894)

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων
ὅτ᾽ Ἀθηναίης ἐν θυσίαις
25 ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην. (*PMG* 895)

695a, 694d–e, 695d Eust. p. 1574.10–15 = i.269.11–12, 13–14, 18–19
695a Eust. p. 1400.17 = i.33.7

4 πίνων A C E Eust. : πεινῶν Canter ‖ **8** κ᾽ ἐν Casaubon : καὶ ἐν A C E **10** ἔφη A C E : ἔφα Schweighäuser ‖ **11** χαλᾷ τὸν, i.e. ΧΑΛΑΙ- C E Eust. : χηλῇ τὸν C[s] E[s] : † χαλλιτον †, i.e. ΧΑΛΛΙ- A ‖ **12** εὐθὺν] † ἐυθυν † A : εὐθέα C E Eust. ‖ **12–13** ἔμμεν Casaubon : ἐνμὲν A : ἔμεν C E Eust. ‖ **18** Ἁρμόδι᾽, οὔ C E B : Ἁρμοδίου A : Ἁρμόδι᾽, οὔ τι Σ[REΓ] Ar. *Ach.* 980 ‖ **19** νήσοις C E : † νησσοις † A ‖ **20** Ἀχιλλεὺς A C E : Ἀχιλεὺς Lowth ‖ **21** τὸν ἐσθλὸν] † τονεσθλὸν † A

αἰεὶ σφῷν κλέος ἔσσεται κατ᾽ αἶαν,
φίλταθ᾽ Ἁρμόδιε καὶ Ἀριστόγειτον,
ὅτι τὸν τύραννον κτανέτην
ἰσονόμους τ᾽ Ἀθήνας ἐποιησάτην. (*PMG* 896)

695c Ἀδμήτου λόγον, ὦ ἑταῖρε, | μαθὼν τοὺς ἀγαθοὺς φίλει, σέβου, 5
τῶν δειλῶν δ᾽ ἀπέχου γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις. (*PMG* 897)

παῖ Τελαμῶνος, Αἶαν αἰχμητά, λέγουσί σ᾽
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν καὶ Ἀχιλλέα. (*PMG* 898)

τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν καὶ Ἀχιλλέα. (*PMG* 899) 10

εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν. (*PMG* 900)

εἴθ᾽ ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον |
695d καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον. (*PMG* 901)

σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει, 15
σύν μοι μαινομένῳ μαίνεο, συσσωφρόνει σώφρονι. (*PMG* 902)

ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ ᾽ταῖρ᾽, ὑποδύεται.
φράζευ μή σε βάλῃ· τῷ δ᾽ ἀφανεῖ πᾶς ἕπεται δόλος. (*PMG* 903) |

695e ἁ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ᾽ ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχων † τὴν δ᾽ ἔραμαι λαβεῖν. 20
(*PMG* 904)

πόρνη καὶ βαλανεὺς τωὐτὸν ἔχουσ᾽ ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ᾽ ἀγαθὸν τόν τε κακὸν λόει. (*PMG* 905)

695c Eust.(1) p. 285.3 = I.438.27–9 | **695c** Eust.(2) p. 1698.45–6 = i.434.4–5
695a, 694d–e, 695d Eust. p. 1574.10–15 = i.269.11–12, 13–14, 18–19

5 φίλει † σεβου † A : φίλους σέβου C E : σέβου om. Σ[REΓ] Ar. *Ach.* 980, ut v.l. delendum ‖ **7** λέγουσί σ᾽ C E B Eust.(1–2) : λεγούσης A : λέγουσί σε Fiorillo **8** καὶ A C E Eust.(2) : μετ᾽ Eust.(1) ‖ **10** καὶ A : μετ᾽ Casaubon **15** συστεφανηφόρει C E : συσστεφανηφόρει C[s] E[s] : συνστεφανηφόρει A : συγκανηφόρει Eust. ‖ **16** μαίνεο C E Eust. : μένεο A | συσσωφρόνει σώφρονι C E Eust. : συνσωφρονήσω σώφρονι A : σὺν σώφρονι σωφρόνει Canter ‖ **17** ᾽ταῖρ᾽ Casaubon : ἑταῖρε A C E ‖ **20** καλὴν τὴν … τὴν A : καλὰν τὰν … τὰν scribendum | ἔχων A : ἔχω Schweighäuser

ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ᾽ ἐπιλήθου,
εἰ δὴ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν. (*PMG* 906)

αἰαῖ Λιψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας μάχεσθαι
5 ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ᾽ ἔδειξαν οἵων πατέρων κύρησαν. (*PMG* 907) |

ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλην ἔχει 695f
τιμὴν ἔν τε βροτοῖς ἔν τε θεοῖς κατ᾽ ἐμὸν νόον. (*PMG* 908)

σκόλιον δέ φασί τινες καὶ τὸ ὑπὸ Ὑβρίου τοῦ Κρητὸς ποιηθέν
10 (*PMG* 909). ἔχει δ᾽ οὕτως·

ἐστί μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, ‖ πρόβλημα χρωτός· 699a
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ᾽ ἀμπέλων,
15 τούτῳ δεσπότας μνοΐας κέκλημαι. 5
τοὶ δὲ μὴ τολμῶντες ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον πρόβλημά τε χρωτὸς
πάντες γόνυ πεπτηότες † ἐμὸν
κυνέοντι δεσπόταν
20 καὶ μέγαν βασιλέα φωνέοντες. 10

[**51**] τούτων λεχθέντων ὁ Δημόκριτος ἔφη· ἀλλὰ μὴν καὶ τὸ ὑπὸ τοῦ πολυμαθεστάτου γραφὲν Ἀριστοτέλους (fr. 675 Rose = *PMG* 842) εἰς Ἑρμείαν τὸν Ἀταρνέα οὐ παιάν ἐστιν, ὡς ὁ τὴν τῆς ἀσεβείας κατὰ τοῦ φιλοσόφου γραφὴν ἀπενεγκάμενος | Δημόφιλος 696b
25 † εἰς αἰδωτε † παρασκευασθεὶς ὑπ᾽ Εὐρυμέδοντος, ὡς ἀσεβοῦντος

695f–6a Eust. p. 1574.5–10 = i.269.1–6

2 δὴ A : om. [Arist.] *Ath.* 20.5 ‖ **3** Λιψύδριον A : Λειψύδριον [Arist.] *Ath.* 19.3 (ex quo Eust.) et Schweighäuser | προδωσέταιρον [Arist.] *Ath.* 19.3 et Schweighäuser : † προδώσεταιροον † A : προδοσέταιρον Eust. ‖ **6** κύρησαν A : ἔσαν [Arist.] *Ath.* 19.3 ‖ **8** θεοῖς A : θεοῖσιν Casaubon ‖ **9** Κρητὸς C E B : Κρὴς (structura mutata) Eust. : κριτὸς A ‖ **16** τολμῶντες A C Eust. : τολμων(ες) E : τολμῶντ᾽ Hermann ‖ **17** τε A C E : del. Casaubon, cf. v. 2 **18** hic incip. de novo M P Mus | πεπτηότες A C E : πεπτηῶτες Eust. **20** βασιλέα A C E Eust. : βασιλῆα Hermann ‖ **23** Ἀταρνέα C E M P Mus : † αταρνεαν † A ‖ **24** εἶπε post ἀπενεγκάμενος praeb. C E

καὶ ᾄδοντος ἐν τοῖς συσσιτίοις ὁσημέραι εἰς τὸν Ἑρμείαν παιᾶνα. ὅτι δὲ παιᾶνος οὐδεμίαν ἔμφασιν παρέχει τὸ ᾆσμα, ἀλλὰ τῶν σκολίων ἕν τι καὶ αὐτὸ εἶδός ἐστιν, ἐξ αὐτῆς τῆς λέξεως φανερὸν ὑμῖν ποιήσω·

Ἀρετὰ πολύμοχθε γένει βροτείῳ, 5
θήραμα κάλλιστον βίῳ,
σᾶς τε πέρι, παρθένε, μορφᾶς |
696c καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος
καὶ πόνους τλῆναι μαλεροὺς ἀκαμάτους· 5
τοῖον ἐπὶ φρένα βάλλεις 10
καρπόν τ' ἀθάνατον χρυσοῦ τε κρείσσω
καὶ γονέων μαλακαυγήτοιό θ' ὕπνου.
σεῦ δ' ἕνεκεν ὁ δῖος
Ἡρακλῆς Λήδας τε κοῦροι 10
πόλλ' ἀνέτλασαν ἔργοις 15
σὰν ἀγρεύοντες δύναμιν·
696d σοῖς δὲ πόθοις Ἀχιλλεὺς | Αἴ-
ας τ' Ἀίδαο δόμους ἦλθον·
σᾶς δ' ἕνεκεν φιλίου μορφᾶς καὶ Ἀταρνέος 15
ἔντροφος ἠελίου χήρωσεν αὐγάς. 20
τοιγὰρ ἀοίδιμον ἔργοις
ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι,
Μνημοσύνης θυγατέρες, Δι-

3 αὐτῆς Casaubon : † αρχῆς † A ‖ **5** γένει C E B M P Mus et *P.Berol.* 9780 D.L. 5.7 : † ενει † A ‖ **6–7** βίῳ, / σᾶς *P.Berol.* 9780 D.L. 5.7 et Musurus : βιώσας A : σᾶς C E ‖ **7** τε A C E : om. *P.Berol.* 9780 D.L. 5.7 et Musurus ‖ **8** ἐν C E et *P.Berol.* 9780 D.L. 5.7 : om. A ‖ **9** ἀκαμάτους A C E : ἀκάμαντας *P.Berol.* 9780 D.L. 5.7 et Musurus ‖ **11** τ' ἀθάνατον A : ϊσαθανατον *P.Berol.* 9780 : εἰς ἀθάνατον D.L. 5.7 ‖ **12** ὕπνου M P Mus et *P.Berol.* 9780 D.L. 5.7 : † ὑπνουσ † A ‖ **15** πόλλ' C E B et D.L. 5.7 : † πολλα † A ‖ **16** σὰν ἀγρεύοντες C E B : † σαναγρεύοντες † A : ἀναγορεύοντες D.L. 5.7 ‖ **17** Ἀχιλλεὺς A C E et D.L. 5.7 : Ἀχιλεὺς *P.Berol.* 9780 ‖ **18** τ' *P.Berol.* 9780 : τε A C E ‖ **19** καὶ A C E : om. *P.Berol.* 9780 D.L. 5.8 | Ἀταρνέος M P Mus et *P.Berol.* 9780 D.L. 5.8, cf. 15.696e : † αταρτανεοσ † A : Ἀταρνέως C E B ‖ **20** ἠελίου A C E : [ἀλίο]υ *P.Berol.* 9780 : ἀελίου D.L. 5.8 ‖ **21** ἀοίδιμον A C E et *P.Berol.* 9780 : ἀοίδιμος D.L. 5.8 et Musurus ‖ **22** μιν C E B M P Mus et *P.Berol.* 9780 D.L. 5.8 : † μην † A αὐξήσουσι C B M P Mus et D.L. 5.8 : αὐξήσουσιν A E ‖ **23** Μνημοσύνης θυγατέρες A : μνημοσυ[*P.Berol.* 9780 : Μναμοσύνας θύγατρες D.L. 5.7

ὃς Ξενίου σέβας αὔξου- 20
σαι φιλίας τε γέρας βεβαίας.

[52] ἐγὼ μὲν οὐκ οἶδα εἴ τίς τι κατιδεῖν ἐν τούτοις | δύναται 696e
παιανικὸν ἰδίωμα σαφῶς ὁμολογοῦντος τοῦ γεγραφότος τετελευ-
5 τηκέναι τὸν Ἑρμείαν δι᾽ ὧν εἴρηκε (*PMG* 842.15–16)·

σᾶς † γαρ † φιλίου μορφᾶς Ἀταρνέος
ἔντροφος ἠελίου χήρωσεν αὐγάς.

οὐκ ἔχει δ᾽ οὐδὲ τὸ παιανικὸν ἐπίρρημα, καθάπερ ὁ εἰς Λύσανδρον
τὸν Σπαρτιάτην γραφεὶς ὄντως παιάν, ὅν φησι Δοῦρις ἐν τοῖς
10 Σαμίων ἐπιγραφομένοις Ὥροις (*FGrH* 76 F 26) ᾄδεσθαι ἐν Σάμῳ.
παιὰν δ᾽ ἐστὶ καὶ ὁ εἰς Κρατερὸν τὸν Μακεδόνα γραφείς, ὃν
ἐτεκτήνατο Ἀλεξῖνος ὁ διαλεκτικός (*SH* 40 = *SSR* II C 15), | φησὶν 696f
Ἕρμιππος ὁ Καλλιμάχειος ἐν τῷ πρώτῳ Περὶ Ἀριστοτέλους (fr.
48 Wehrli = *FGrH* 1026 F 30)· ᾄδεται δὲ καὶ οὗτος ἐν Δελφοῖς
15 λυρίζοντός τινος παιδός. καὶ ὁ εἰς Ἀγήμονα δὲ τὸν Κορίνθιον
Ἀλκυόνης πατέρα, ὃν ᾄδουσι Κορίνθιοι, ἔχει τὸ παιανικὸν ἐπίφθε-
γμα· παρέθετο δ᾽ αὐτὸν Πολέμων ὁ περιηγητὴς ἐν τῇ Πρὸς Ἀράν-
θιον ἐπιστολῇ (fr. 76 Preller). καὶ ὁ εἰς Πτολεμαῖον δὲ τὸν πρῶτον
Αἰγύπτου βασιλεύσαντα παιάν ἐστιν, ὃν ᾄδουσι Ῥόδιοι· ἔχει γὰρ
20 τὸ ἰὴ παιὰν ἐπίφθεγμα, ‖ ὥς φησι Γόργων ἐν τῷ Περὶ τῶν ἐν 697a
Ῥόδῳ Θυσιῶν (*FGrH* 515 F *19). ἐπ᾽ Ἀντιγόνῳ δὲ καὶ Δημητρίῳ
φησὶ Φιλόχορος (*FGrH* 328 F 165) Ἀθηναίους ᾄδειν παιᾶνας τοὺς
πεποιημένους ὑπὸ Ἑρμίππου τοῦ Κυζικηνοῦ (Hermodot. *SH* 492)
ἐφαμίλλων γενομένων τῶν παιᾶνας ποιησάντων καὶ τοῦ Ἑρμο-
25 κλέους προκριθέντος. ἀλλὰ μὴν καὶ αὐτὸς ⟨ὁ⟩ Ἀριστοτέλης ἐν τῇ
Ἀπολογίᾳ τῆς Ἀσεβείας (fr. 645 Rose), εἰ μὴ κατέψευσται ὁ λόγος,

2 τε γέρας *P.Berol.* 9780 D.L. 5.8 et Musurus : † τεγαρας † A | βεβαίας A : βεβαίου D.L. 5.8 ‖ **4** παιανικὸν C E B : παιωνικὸν A | γεγραφότος] † γεγραφοτοσ † A : πεποιηκότος C E ‖ **6** † γαρ † A : δ᾽ ἕνεκεν 15.696d **7** ἠελίου 15.696d : † ηελίου † A : [ἀλίο]υ *P.Berol.* 9780 : ἀελίου D.L. 5.8 **8** οὐδὲ C E : οὔτε A | τὸ ἰὴ παιάν post ἐπίρρημα praeb. C E **13** Καλλιμάχειος Dindorf : Καλλιμάχιος A ‖ **15** λυρίζοντός γέ A : γε om. C E ‖ **16–17** ἐπίφθεγμα B M P Mus : ἐπίφθεγγμα A ‖ **20** Γόργων Schweighäuser : † γεωργος † A ‖ **22–4** τοὺς πεποιημένους … παιᾶνας om. M P Mus ‖ **23** Ἑρμίππου A C E : Ἑρμοκλέους Casaubon, cf. infra **24** ποιησάντων ⟨πολλῶν⟩ M P Mus : ⟨πάντων⟩ vel e.g. ⟨γ´⟩, i.e. ⟨τρεῖς⟩ Kaibel ‖ **25** ⟨ὁ⟩ addidi

φησίν· οὐ γὰρ ἄν ποτε Ἑρμείᾳ θύειν ὡς ἀθανάτῳ προαιρούμενος
697b ὡς θνητῷ μνῆμα κατεσκεύαζον καὶ ἀθανατίζειν | τὴν φύσιν βουλό-
μενος ἐπιταφίοις ἂν τιμαῖς ἐκόσμησα.

[53] τοιαῦτα λέγοντος τοῦ Δημοκρίτου ὁ Κύνουλκος ἔφη·

τί μ' ἀνέμνασας κείνων κυλίκων;, 5

κατὰ τὸν σὸν Φίλωνα (*SH* 689A), δέον μηδένα τῶν σπουδῆς ἀξίων
λέγειν τι τοῦ γάστρωνος παρόντος Οὐλπιανοῦ· οὗτος γὰρ τὰς
καπυρωτέρας ᾠδὰς ἀσπάζεται μᾶλλον τῶν ἐσπουδασμένων· οἷαί
εἰσιν αἱ Λοκρικαὶ καλούμεναι, μοιχικαί τινες τὴν φύσιν ὑπάρχου-
σαι, ὡς καὶ ἥδε (carm. pop. *PMG* 853)· 10

ὦ τί πάσχεις; μὴ προδῷς ἄμμ', ἱκετεύω·
697c πρὶν καὶ μολεῖν κεῖνον, | ἀνίστω,
μὴ κακὸν μέγα ποιήσῃς
καί με τὴν δειλάκραν.
ἁμέρα καὶ ἤδη· τὸ φῶς 5 15
διὰ τᾶς θυρίδος οὐκ εἰσορῇς;

τοιούτων γὰρ ᾀσμάτων αὐτοῦ πᾶσα πλήρης ἡ Φοινίκη, ἐν ᾗ καὶ
αὐτὸς περιήει καλαμίζων μετὰ τῶν τοὺς κολάβρους καλουμένους
συντιθέντων· εἴρηται γάρ, ὦ καλὲ Οὐλπιανέ, τοὔνομα. καὶ ὅ γε
Σκήψιος Δημήτριος ἐν τῷ δεκάτῳ τοῦ Τρωικοῦ Διακόσμου (fr. 6 20
Gaede) φησὶν οὕτω· Κτησιφῶν ὁ Ἀθηναῖος ποιητὴς τῶν καλουμέ-
νων κολάβρων (*SSH* 369A), ὃν καὶ ὁ πρῶτος μετὰ Φιλέταιρον |
697d ἄρξας Περγάμου Ἄτταλος δικαστὴν καθεστάκει βασιλικῶν τῶν
περὶ τὴν Αἰολίδα. ὁ δ' αὐτὸς οὗτος συγγραφεὺς κἀν τῷ ἐννεακαι-
δεκάτῳ τῆς αὐτῆς πραγματείας (fr. 13 Gaede) Μνησιπτολέμου 25
(*FGrH* 164 T 1) φησί ποτε τοῦ ἱστοριογράφου τοῦ παρὰ Ἀντιόχῳ
τῷ προσαγορευθέντι Μεγάλῳ πλεῖστον ἰσχύσαντος υἱὸν γενέσθαι

2 καὶ A C E : fort. οὐδ' ‖ **3** ἐκόσμησα Schweighäuser : † εκοσμήσατο † A : ἐκόσμουν C E : ἐκόσμησα τὸ ⟨σῶμα⟩ Kaibel ‖ **6–7** μηδένα Kaibel : μηδὲν A : fort. τι post λέγειν delendum ‖ **8** οἷαί C E M P Mus : † όια † A **9** καλούμεναι B M P Mus : καλούμενοι A ‖ **12** μολεῖν Kaibel : † μολιν † A : μόλεν M P Mus ‖ **13–14** ποιήσῃς / καί με] ποιήσῃς † καιμε † A : ποιήσῃ σε κἀμὲ Bergk ‖ **16** εἰσορῇς, i.e. EIC- Meineke : † εχορησ †, i.e. EK- A : ἐσορῇς Musurus

Σέλευκον τὸν τῶν ἱλαρῶν ᾀσμάτων ποιητήν· οὗπερ συνεχῶς ᾄδειν εἰώθασι (p. 176 Powell)·

> κἀγὼ παιδοφιλήσω· πολύ μοι κάλλιον ἢ γαμεῖν· |
> παῖς μὲν γὰρ παρεὼν κὴν πολέμῳ μᾶλλον ἐπωφελεῖ. 697e

5 [54] καὶ μετὰ ταῦτα ἀποβλέψας εἰς αὐτὸν ἔφη· ἀλλ᾽ ἐπειδή μοι ὀργίζῃ, ἔρχομαί σοι λέξων τὸν συρβηνέων χορὸν ὅστις ἐστί. καὶ ὁ Οὐλπιανός, οἴει γάρ, ἔφη, κάθαρμα, θυμοῦσθαί με ἐφ᾽ οἷς εἴρηκας ἢ κἀπ᾽ ὀλίγον σου πεφροντικέναι,

> κύον ἀδδεές; (*Il.* 21.481)

10 ἀλλ᾽ ἐπεὶ διδάσκειν μέ τι ἐπαγγέλλῃ, σπονδάς σοι ποιοῦμαι οὐ τριακοντούτιδας ἀλλ᾽ ἑκατοντούτιδας. σὺ δὲ μόνον δίδασκε τίς ὁ συρβηνέων χορός. ⟨καὶ ὅς·⟩ Κλέαρχος, | ὦ λῷστε, ἐν δευτέρῳ Περὶ Παιδείας (fr. 15 Wehrli) οὑτωσί φησι· λείπεται τίς ὁ συρβηνέων χορός, ὧν ἕκαστος τὸ δοκοῦν ἑαυτῷ † κατασαι † δεῖ, προσέχων 15 οὐδὲν τῷ προκαθημένῳ καὶ διδάσκοντι τὸν χορόν, ἀλλ᾽ αὐτὸς πολὺ † τούτων ἀτακτότερός ἐστι θεατής. καὶ κατὰ τὸν παρῳδὸν Μάτρωνα (fr. 7 Olson–Sens = *SH* 540)· 697f

> οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
> Εὔβοιός τε καὶ Ἑρμογένης δῖοί τε Φίλιπποι,
> 20 οἱ μὲν δὴ τεθνᾶσι καὶ εἰν Ἀίδαο δόμοισιν· ‖
> ἔστι δέ τις Κλεόνικος, ὃν ἀθάνατον λάχε γῆρας, 698a
> οὔτε ποιητάων ἀδαήμων οὔτε θεάτρων, 5
> ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε Φερσεφόνεια.

697f–8a Eust. p. 1665.33–6 = i.389.35–9

6 συρβηνέων Meineke, cf. Hsch. σ 2766 : † συρβηναιων † A ‖ **8** κἀπ᾽ ὀλίγον σου Kaibel : κατολίγον σοι A : κἂν ὀλίγον σου Casaubon ‖ **10** ἐπαγγέλλῃ Schweighäuser : † επαγγέλλησ † A : ἐπαγγέλῃ Musurus ‖ **12** συρβηνέων Meineke : συρβηνάιων A : βυρσηναίων C E | ⟨καὶ ὅς·⟩ add. Schweighäuser **13** συρβηνέων Meineke : † συρβηναιων † A ‖ **14** † κατασαι † δεῖ A : κατᾷσαι δεῖ C E ‖ **15–16** fort. οὗτος (i.e. ὁ διδάσκαλος) πολὺ ⟨μᾶλλον⟩ τούτων ἀτακτοτέρων ἐστὶ θεατής vel sim. ‖ **20** τεθνᾶσι C E B M P Eust. Mus : † τεθνασιν † A ‖ **21** ἔστι C E B M P Eust. Mus : έστιν A | ὃν ἀθάνατον λάχε γῆρας A C E Eust. : ὃς ἀθάνατον λάχε γῆρυν Stadtmüller ‖ **23** Φερσεφόνεια A : Περσεφόνεια C E Eust. Mus

σὺ δὲ καὶ ζῶν, καλὲ Οὐλπιανέ, πάντα μὲν ζητεῖς, λέγεις δὲ οὐδὲ ἕν.

καὶ ὅς, τίς ἡδέως, ἔφη, τῶν ἐπῶν ⟨...⟩, ὦ καλέ μου ἑταῖρε, ἕως ἔτι ἐμμένομεν ταῖς σπονδαῖς; [55] καὶ ὁ Κύνουλκος· πολλοί τινες παρῳδιῶν ποιηταὶ γεγόνασιν, ὦ ἑταῖρε. ἐνδοξότατος δ᾽ ἦν Εὔ- 5
βοιος ὁ Πάριος (*SH* 410) γενόμενος τοῖς χρόνοις κατὰ Φίλιππον·
698b οὗτός ἐστιν ὁ καὶ Ἀθηναίοις λοιδορησάμενος, | καὶ σῴζεται αὐτοῦ τῶν Παρῳδιῶν βιβλία τέσσαρα. μνημονεύει δ᾽ αὐτοῦ Τίμων ἐν τῷ πρώτῳ τῶν Σίλλων (*SH* 776). Πολέμων δ᾽ ἐν τῷ δωδεκάτῳ τῶν Πρὸς Τίμαιον (fr. 45 Preller) περὶ τῶν τὰς παρῳδίας γεγραφότων 10
ἱστορῶν τάδε γράφει· καὶ τὸν Βοιωτὸν δὲ καὶ τὸν Εὔβοιον τοὺς τὰς παρῳδίας γράψαντας λογίους ἂν φήσαιμι διὰ τὸ παίζειν ἀμφιδεξίως καὶ τῶν προγενεστέρων ποιητῶν ὑπερέχειν ἐπιγεγονότας. εὑρετὴν μὲν οὖν τοῦ γένους Ἱππώνακτα φατέον τὸν ἰαμβοποιόν· λέγει γὰρ οὗτος ἐν τοῖς ἑξαμέτροις (fr. 126 Degani)· | 15

698c Μοῦσά μοι † ευρυμεδοντιαδεα † τὴν ποντοχάρυβδιν,
τὴν ἐν γαστρὶ μάχαιραν, ὃς ἐσθίει οὐ κατὰ κόσμον,
ἔννεφ᾽, ὅπως ψηφῖδι κακὸν οἶτον ὄληται
βουλῇ δημοσίῃ παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο.

κέχρηται δὲ καὶ Ἐπίχαρμος ὁ Συρακόσιος (test. 20) ἔν τισι τῶν 20
δραμάτων ἐπ᾽ ὀλίγον καὶ Κρατῖνος ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητὴς ἐν τοῖς Εὐνείδαις (test. i) καὶ τῶν κατ᾽ αὐτὸν Ἡγήμων ὁ Θάσιος, ὃν ἐκάλουν Φακῆν· λέγει γὰρ οὕτως· |

698d ἐς δὲ Θάσον μ᾽ ἐλθόντα μετεωρίζοντες ἔβαλλον
πολλοῖσι σπελέθοισι, καὶ ὧδέ τις εἶπε παραστάς· 25

698b, 699a–b Eust. p. 1224.55–6 = IV.462.1–4

3 lac. indic. Casaubon ‖ **10** Πρὸς Schweighäuser : † περι † A **14** Ἱππώνακτα B M P : Ἱππόνακτα Musurus : Ἱππώνακτε A : Ἱππῶναξ (structura mutata) E : Ἱππόναξ (structura mutata) C **16** † ευρυμεδοντιαδεα † A : Εὐρυμεδοντία δῖα C E B : Εὐρυμέδοντ᾽ ᾄδοις Musurus : Εὐρυμεδοντιάδεω Wilamowitz ‖ **17** ἐν γαστρὶ μάχαιραν C E : † ενγαστριμαχαιραν † A : ἐγγαστριμάχαιραν M P Mus ‖ **20** τισι C E : τινι A ‖ **21** κωμῳδίας, i.e. ΚΩΜ- B M P Mus : κωνιωδίας, i.e. ΚΩΝΙ- A **22** Εὐνείδαις Schweighäuser : Εὐνίδαις A : Εὐνοίδαις M P Mus **25** σπελέθοισι Casaubon : σπέλθοισι (vox nihili) A : λίθοισι C E B

"ὦ πάντων ἀνδρῶν βδελυρώτατε, τίς σ᾽ ἀνέπεισε
καλὴν κρηπῖδα ποσὶν τοιοῖσδ᾽ ἀναβῆναι;" |
τοῖσι δ᾽ ἐγὼ πᾶσιν μικρὸν μετὰ τοῦτ᾽ ἔπος εἶπον· 5 698e
"μνῆ μ᾽ ἀνέπεισε γέροντα καὶ οὐκ ἐθέλοντ᾽ ἀναβῆναι
5 καὶ σπάνις, ἣ πολλοὺς Θασίων εἰς ὁλκάδα βάλλει
εὐκούρων βδελυρῶν, ὀλλύντων τ᾽ ὀλλυμένων τε
ἀνδρῶν, οἳ καὶ νῦν κεῖθι κακῶς κακὰ ῥαψῳδοῦσιν·
οἷς καὶ ἐγὼ μετὰ τοῖσιν † τα † χρηΐζων ἐπίθησα. 10
αὖθις δ᾽ οὐκ ἐπὶ κέρδος ἀποίσομαι, εἰς Θασίους
10 μηθὲν πημαίνων κλυτὸν ἄργυρον ἐγγυαλίξων,
μή τίς μοι κατὰ οἶκον Ἀχαιϊάδων νεμεσήσῃ |
πεσσομένης ἀλόχου τὸν ἀχαϊνὸν ἄρτον ἐν οἴκοις, 698f
καί ποτέ τις εἴπησι μικρὸν τυροῦντ᾽ ἐσιδοῦσα, 15
† "ὠσφιλιωνωρμην † παρ᾽ Ἀθηναίοισιν ἀείσας
15 πεντήκοντ᾽ ἔλαβε δραχμάς, σὺ δὲ μικρὸν ἐπέψω.""
ταῦτά μοι ὁρμαίνοντι παρίστατο Παλλὰς Ἀθήνη
χρυσῆν ῥάβδον ἔχουσα καὶ ἤλασεν εἶπέ τε φωνῇ· ‖
"δεινὰ παθοῦσα, Φακῆ βδελυρά, χώρει ᾽ς τὸν ἀγῶνα." 20 699a
καὶ τότε δὴ θάρσησα καὶ ἤειδον πολὺ μᾶλλον.

20 [56] πεποίηκε δὲ παρῳδίας καὶ Ἕρμιππος ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής (test. 7). τούτων δὲ πρῶτος εἰσῆλθεν εἰς τοὺς ἀγῶνας τοὺς θυμελικοὺς Ἡγήμων καὶ παρ᾽ Ἀθηναίοις ἐνίκησεν ἄλλαις τε παρῳδίαις καὶ τῇ Γιγαντομαχίᾳ. γέγραφε (test. 2) δὲ καὶ κωμῳδίαν εἰς τὸν ἀρχαῖον τρόπον ἣν ἐπιγράφουσι Φιλίννην. ὁ δὲ
25 Εὔβοιος πολλὰ μὲν εἴρηκεν ἐν τοῖς ποιήμασι χαρίεντα, | περὶ μὲν 699b
τῆς τῶν βαλανέων μάχης (*SH* 411)·

698b, 699a–b Eust. p. 1224.55–6 = IV.462.1–4

1 τίς σ᾽ ἀνέπεισε C E B M P : τίς σ᾽ ἀνέπεισεν / ἐς Musurus : † τισσαν ἐπισε † A ‖ **7** κεῖθι Casaubon : † κιθι † A ‖ **8** μετὰ τοῖσιν † τα † A : σιτοῖο μέγα Brandt | ἐπίθησα M P Mus : ἐποίθησα (vox nihili) A ‖ **9** ἀποίσομαι A : ἀπείσομαι Bedrot ‖ **10** μηθὲν A : μηδὲν Brandt : μηδένα Kaibel **12** πεσσομένης A : fort. πεττομένης scribendum est | ἐν οἴκοις A : ἀεικῶς Brandt ‖ **13** εἴπησι μικρὸν A : εἴπῃ σμικρὸν Meineke **14** † ὠσφιλιωνωρμην † A : ὦ φίλη, ὡνὴρ μὲν Wilamowitz ‖ **22** ἄλλαις M P Mus : ἄλλως A ‖ **24** Φιλίννην A : Φιλίνην Meineke : Φίλινναν Kassel–Austin, cf. *Suda* η 53 ‖ **26** βαλανέων Conti (*balneatorum*) : βαλανείων A C E : βαλανείοις (structura mutata) Eust.

βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσι,

περὶ δὲ τοῦ λοιδορουμένου κουρέως τῷ κεραμεῖ τῆς γυναικὸς χάριν (*SH* 412)·

μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο, κουρεῦ,
μήτε σύ, Πηλεΐδη. 5

ὅτι δὲ ἦν τις περὶ αὐτοὺς δόξα παρὰ τοῖς Σικελιώταις Ἀλέξανδρος ὁ Αἰτωλὸς (fr. 5, p. 125 Powell) ὁ τραγῳδοδιδάσκαλος ποιήσας ἐλεγεῖον τρόπον τοῦτον δηλοῖ· |

699c ὡς Ἀγαθοκλεῖος λάσιαι φρένες ἤλασαν ἔξω
πατρίδος. ἀρχαίων ἦν ὅδ' ἀνὴρ προγόνων 10
εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
ξεῖνος, Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰὼν
παιδομανεῖ σὺν ἔρωτι † ποτὴν ἶσον· ἔγραφε δ' ὡνὴρ 5
εὖ παρομηρέην ἀγλαΐην ἐπέων
πισύγγους ἢ φῶρας ἀναιδέας ἤ τινα χλούνην 15
† φλοιων † ἀνθηρῇ σὺν κακοδαιμονίῃ,
τοῖα Συρηκόσιοις καὶ ἔχων χάριν· ὡς δὲ Βοιωτοῦ
ἔκλυεν, Εὐβοίῳ τέρψεται οὐδ' ὀλίγον. | 10

699d [57] πολλῶν οὖν ἑκάστοτε τοιούτων λεγομένων, ἐπεί ποτε ἑσπέρα κατελάμβανεν ἡμᾶς, ὁ μέν τις ἔλεγε· παῖ, λυχνίον, ὁ δέ· 20

700e, 699d–e, 701a, 700a–c, 699e–f, 700e–f, 701a–b Eust. p. 1571.4–23 = i.263.43–264.19

4 μήτε C E : † μηδε † A ‖ **5** μήτε C E : μηδὲ A ‖ **7** τραγῳδοδιδάσκαλος M P Mus : τραγωδιδάσκαλος A ‖ **11** ξείνοισιν B M P Mus : † ξενοισιν † A ‖ **12** εἰς ἔπος ἄκρον ἰὼν Casaubon : † δεισεποσακρονιων † A ‖ **13** ποτὴν ἶσον B : πότην ἶσον A : πότην ἴσον M P Mus ‖ **14** παρομηρέην A : παρ' Ὁμηρείην Musurus : παρ' Ὁμηρέην M P ‖ **15** πισύγγους ἢ φῶρας ἀναιδέας Weston : † πισυγασηφωρασαναϊδεϊας † A ‖ **16** † φλοιων † A : φλύων Schweighäuser : φλύοντ' Powell | ἀνθηρῇ Schweighäuser : † ανθηρη † A ‖ **17** τοῖα Συρηκόσιοις] † τοιασυρηκοσιοισ † A : οἷα Συρηκόσιος Powell | ὡς A : ὃς Jacobs | Βοιωτοῦ Casaubon : † βοιωτους † A ‖ **20** λυχνίον Kaibel, ducente Casaubon : † λυχνειον † A | ὁ[2] Dalechamps (*alius*) : οἱ A

λυχνέα, ὁ δέ· λοφνίδα, οὕτω καλεῖσθαι φάσκων τὴν ἐκ φλοιοῦ λαμπάδα, ὁ δέ· πανόν, ἄλλος δέ· φανόν, ὁ δέ· λυχνοῦχον, ὁ δέ· λύχνον, καὶ δίμυξον δὲ λύχνον ἕτερος, ἄλλος δέ· ἐλάνην, ὁ δέ τις· ἐλάνας, τὰς λαμπάδας οὕτω φάσκων καλεῖσθαι παρὰ τὴν ἕλην,
5 οὕτω δ' εἰπεῖν Νεάνθην ἐν πρώτῃ τῶν Περὶ Ἄτταλον Ἱστοριῶν (*FGrH* 171 F 1), καὶ ἄλλος ὅ τι δή ποτε, ὡς τάραχον γίνεσθαι οὐ τὸν τυχόντα τῶν | ἐπὶ τούτοις πίστεων παρὰ πάντων λεγομένων· 699e Σιληνὸν μὲν γάρ τις τὸν γλωσσογράφον ἔφασκεν Ἀθηναίους λέγειν τὰς λαμπάδας φανούς, Τιμαχίδας δὲ ὁ Ῥόδιος (fr. 23
10 Blinkenberg) δέλετρον τὸν φανὸν καλεῖσθαι, οἷον, φησίν, οἱ νυκτερευόμενοι τῶν νέων ἔχουσιν ⟨...⟩ οὓς οὗτοι ἐλάνας καλοῦσιν, Ἀμερίας (p. 10 Hoffmann) δὲ γράβιον τὸν φανόν. Σέλευκος (fr. 46 Müller) δὲ οὕτως ἐξηγεῖται ταύτην τὴν λέξιν· γράβιόν ἐστι τὸ πρίνινον ἢ δρύινον ξύλον ὃ περιεθλασμένον καὶ κατεσχισμένον
15 ἐξάπτεσθαι καὶ φαίνειν τοῖς ὁδοιποροῦσι· Θεοδωρίδας γοῦν ὁ | Συρακόσιος ἐν Κενταύροις διθυράμβῳ (*SH* 739) φησί· 699f

πίσσα δ' ἀπὸ γραβίων ἔσταζεν, |

οἷον ἀπὸ [...7–9...]πάδων. μν[ημονεύει δὲ] γραβίων κα[ὶ Στράττις] ἐν Φοινίσσαις (fr. 53). [**58**] ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι
20 φανοὶ ὠνομάζοντο Ἀριστοφάνης ἐν Αἰολοσίκωνι (fr. 8) παρίστησι·

καὶ διαστίλβονθ' ὁρῶμεν,
ὥσπερ ἐν κενῷ λυχνούχῳ,
πάντα τῆς ἐξωμίδος.

ἐν δὲ τῷ δευτέρῳ Νιόβῳ (fr. 290) προειπὼν λυχνοῦχον·

1 ὁ Casaubon : οἱ A | λοφνίδα, i.e. -ΙΔΑ Kaibel, cf. 15.701a et Lyc. 48, Call. fr. dub. 755, Hsch. λ 1292 λοφνίς· λαμπάς : † λοφνια †, i.e. -ΙΑ A : λοφνία (structura mutata) C E Eust. | τ** φλοιοῦ A : τ** om. C E : τοῦ φλοιοῦ Schweighäuser, cf. 15.701a τὴν ἐκ τοῦ φλοιοῦ τῆς ἀμπέλου λαμπάδα ‖ **5** ἐν α´ (i.e. πρώτῃ) τῶν B : † εατων † A : ἕνα τῶν M P Mus ‖ **11** ⟨ἐπὶ⟩ τῶν νεῶν Wilamowitz | lac. indic. Wilamowitz ‖ **12** Ἀμερίας Casaubon : † αμερις † A **14** ὃ περιεθλασμένον Kaibel : οπερ εθλασμενον A : ὃ ἐθλασμένον C E Eust. **16** ἐν Κενταύροις M P Mus : † ενεκενταυροις † A ‖ **18–368,21** οἷον ἀπὸ ... Ἐπικρά- om. B M P Mus ‖ **18** [ξυλολαμ]πάδων suppl. Kaibel, ducente Schweighäuser | μν[ημονεύει δὲ] suppl. Schweighäuser | κα[ὶ Στράττις] suppl. Schweighäuser, cf. 4.160b, 14.621f ‖ **22** κενῷ A : καινῷ Poll.[AB] 10.116 : κενῷ et καινῷ Poll.[FS] 10.116

οἴμοι κακόδαιμον (φησίν), ὁ λυχνοῦχος ἡμῖν οἴχεται.

εἶτ᾽ ἐπιφέρει·

καὶ πῶς ὑπερβὰς τὸν λυχνοῦχον ἔλαθες;

ἐν δὲ τοῖς ἑξῆς καὶ λυχνίδιον αὐτὸν καλεῖ διὰ τούτων (fr. 291)·

ἀλλ᾽ ὥσπερ ὁ λύχνος 5
ὁμοιότατα † καθεύδετ᾽ † ἐπὶ τοῦ λυχνιδίου.

Πλάτων δ᾽ ἐν Νυκτὶ Μακρᾷ (fr. 91)·

ἕξουσιν οἱ πομπεῖς λυχνούχους δηλαδή.

Φερεκράτης Δουλοδιδασκάλῳ (fr. 44)·

ἄνυσόν ποτ᾽ ἐξελθών, [σκ]ότος γὰρ γίγνετ⟨αι, 10
κα⟩ὶ τὸν λυχνοῦχον ἔκφερ᾽ ἐνθεὶς τὸν λύχνον.

Ἄλεξις δ᾽ ἐ̣ν̣ Κηρυττομένῳ (fr. 107)·

ὥστ᾽ ἐξελὼν τοῦ λυχνούχου τὸν λύχνον
μικροῦ κατακαύσας ἔλαθεν ἑαυτὸν ὑπὸ μάλης
τῇ γαστρὶ μᾶλλον τοῦ δέοντος προσαγαγών. 15

Εὐμήδης δ᾽ ἐν Σφαττομένῳ (fr. 1) προειπών·

† ηγουμενην † δὲ .υ̣κνὸν εἰς τὸ πρόσθ᾽ ἰδὼν
[.........]ατο . ϋμένιδι[........]ς,

ἐπιφέρει·

[... λυχνο]ύχω... κο[| 20

699f Ἐπικράτης δ᾽ ἐν Τριόδοντι ἢ Ῥωποπώλῃ (fr. 7) προειπών·

(A.) λαβὲ τριόδοντα καὶ λυχνοῦχον,

1 λυχνοῦχος A : λύχνος vel λύχνιον Schweighäuser ‖ **3** ἔλαθες A : ἔλαθέ σε Cobet ‖ **5** ὁ A : om. Poll. 10.119 ‖ **6** καθεύδετ᾽ A : καθεῦδε vel καθηῦδ᾽ Poll. **10** [σκ]ότος suppl. Schweighäuser : ..ότος A ‖ **10–11** γίγνε|νετ**.. ὶ A : suppl. Schweighäuser ‖ **13** λυχνούχου τὸν Elmsley : † λυχνουτονχουτον † (v.ll. λύχνου τὸν et λυχνούχου τὸν in unam confusas) A ‖ **14** ἔλαθεν A : ἔλαθ᾽ Elmsley | ἑαυτὸν ὑπὸ μάλης] † εαυτὸν υπομαλης † A ‖ **20** [λυχνο]ύχῳ̣ suppl. Schoell ‖ **21** -της] incip. de novo B M P Ald

ἐπιφέρει·

(Β.) ἐγὼ δὲ δεξιᾷ γε τόνδ᾽ ἔχω τινά,
σιδηρότευκτον ἐναλίων θηρῶν μέλος
κερατίνου τε φωσφόρου λύχνου σέλας. ‖

5 Ἄλεξις Μίδωνι (fr. 152)· 700a

ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν
τῆς νυκτὸς ἦν τις κηδεμὼν τῶν δακτύλων.

[59] ἐν δὲ Θεοφορήτῳ ὁ αὐτὸς Ἄλεξις (fr. 91)·

οἶμαι γὰρ ἐπιτιμᾶν τῶν ἀπαντώντων τινὰς
10 ἡμῖν, ὅτι τηνικαῦτα μεθύων περιπατῶ·
ποῖος γάρ ἐστιν φανός, ὦ πρὸς τῶν θεῶν,
τοιοῦτος οἷος ὁ γλυκύτατος ἥλιος;

Ἀναξανδρίδης δὲ ἐν Ὕβρει (fr. 49)·

οὔκουν λαβὼν τὸν | φανὸν ἅψεις μοι λύχνον; 700b

15 ἄλλοι δὲ ἔφασκον φανὸν λέγεσθαι τὴν λαμπάδα, οἱ δὲ τὴν ἔκ τινων ξύλων τετμημένων δέσμην. Μένανδρος Ἀνεψιοῖς (fr. 60)·

ὁ φανός ἐστι μεστὸς ὕδατος οὑτοσί·
δεῖ τ᾽ οὐχὶ σείειν † αλλὰ ποδιειν † αὐτόν.

Νικόστρατος ἐν Πατριώταις (fr. 22)·

20 ὁ κάπηλος γὰρ οὐκ τῶν γειτόνων
ἄν τ᾽ οἶνον, ἂν στέφανον ἀποδῶταί τινι,
ἄν τ᾽ ὄξος, ἀπέπεμψεν ὁ κατάρατος δοὺς ὕδωρ. |

Φιλιππίδης Συμπλεούσαις (fr. 16)· 700c

700e, 699d–e, 701a, 700a–c, 699e–f, 700e–f, 701a–b Eust. p. 1571.4–23 = i.263.43–264.19 | **700b–d** Eust. p. 1854.55 = ii.189.37–8

3 μέλος A : βέλος Casaubon ‖ **9** γὰρ A : γ᾽ Jacobs ‖ **13** ἐν Ὕβρει Casaubon : † ενυβρι † A ‖ **16** Ἀνεψιοῖς M P Mus, cf. 15.700e : ἀνεψιὸς A ‖ **18** δεῖ τ᾽ Musurus : δεῖ τε vel δεί τε M P : † δειτε † A | † αλλὰ ποδιειν † A : ἀλλ᾽ ἀποσείειν Bentley | αὐτόν A : αὐτόθεν Bentley ‖ **21** στέφανον A : τε φανὸν B : τ᾽ ἔλαιον Musurus ‖ **22** ἀπέπεμψεν A : ἀπέπεμψ᾽ Musurus

(A.) ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδὲ ἕν.
(B.) ἔπειτα φυσᾶν δυστυχὴς οὐκ ἠδύνω;

[60] Φερεκράτης δὲ ἐν Κραπατάλοις (fr. 90) τὴν νῦν λυχνίαν καλουμένην λυχνίον κέκληκε διὰ τούτων·

(A.) τίς τῶν λυχνίων ἠργασία; (B.) Τυρρηνική· 5

ποικίλαι γὰρ ἦσαν αἱ παρὰ τοῖς Τυρρηνοῖς ἐργασίαι φιλοτέχνων ὄντων τῶν Τυρρηνῶν. Ἀριστοφάνης δ᾽ Ἱππεῦσι (Antiph. fr. 109)·

τῶν δ᾽ ἀκοντίων
συνδοῦντες ὀρθὰ τρία λυχνίῳ χρώμεθα.

700d Δίφιλος δ᾽ ἐν | Ἀγνοίᾳ (fr. 2)· 10

ἅψαντες λύχνον
λυχνεῖον ἐζητοῦμεν.

Εὐφορίων δ᾽ ἐν Ἱστορικοῖς Ὑπομνήμασι (fr. 5, *FHG* iii.72 = fr. 174 van Groningen) Διονύσιόν φησι τὸν νεώτερον Σικελίας τύραννον Ταραντίνοις εἰς τὸ πρυτανεῖον ἀναθεῖναι λυχνεῖον δυνάμενον 15 καίειν τοσούτους λύχνους ὅσος ὁ τῶν ἡμερῶν ἐστιν ἀριθμὸς εἰς τὸν ἐνιαυτόν. Ἕρμιππος δὲ ὁ κωμῳδιοποιὸς ἐν Ἰάμβοις (fr. 8 West²) τὸ στρατιωτικὸν σύνθετον οὕτως ὀνομάζει, ἐν δὲ Φορμοφόροις δράματι (fr. 62)·

τῇδ᾽ ἐξιόντι δεξιᾷ, ὦ λυχνίδιον. 20

700e πανὸς δ᾽ ὀνομάζεται τὸ διακεκομμένον ξύλον καὶ | συνδεδεμένον· τούτῳ δ᾽ ἐχρῶντο λαμπάδι. Μένανδρος Ἀνεψιοῖς (fr. 59)·

εἰσιὼν
πανόν, λύχνον, λυχνοῦχον, ὅ τι πάρεστιν· φῶς

700e, 699d–e, 701a, 700a–c, 699e–f, 700e–f, 701a–b Eust. p. 1571.4–23 = i.263.43–264.19

3 λυχνίαν C E P Mus : † λυχνειαν † A ‖ **4** λυχνίον C E : † λυχνειον † A : λυχνείαν B : λύχνειον M P Mus, cf. 15.700d λυχνεῖον ‖ **5** λυχνίων A : λυχνείων Musurus ‖ **7** Ἀριστοφάνης A C E : Ἀντιφάνης Porson ‖ **9** λυχνίω vel λυχνίῳ A C E Eust. : λυχνείῳ Musurus ‖ **18** λυχνεῖον σύνθετον A : λυχνεῖον σύνδετον Schweighäuser : λυχνεῖον delevi ‖ **24** πάρεστιν A : πάρεστι B M P Mus

μόνον πολὺ ποίει.

Δίφιλος Στρατιώτῃ (fr. 6)·

ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός.

πρότερος δὲ τούτων Αἰσχύλος ἐν Ἀγαμέμνονι (284) μέμνηται τοῦ
5 πανοῦ | [καὶ Εὐριπίδης] ἐν Ἴωνι (195). ἔλεγ[ον δὲ τοῦτον οἱ] πρὸ
ἡμῶν κ[αὶ ξυλολυχνοῦ]χον, οὗ μνη[μονεύει Ἄλεξις] ἐν Εἰσοι-
κιζ[ομένῳ (fr. 66) οὕτως]·

ὁ δὲ ξυλο[λυχνοῦχος ...
πυρὸς[...

10 ν̣ὶ[
χ[
ο[
κ[... μνημο]νε[ύει δὲ Θεόπομπος ἐν Εἰρή]ν[ῃ (fr. 8) λέγων οὑτωσί·

ἡμᾶς δ' ἀ]παλ[λαχθέντας ἐπ' ἀγαθαῖς] τύχα[ις
15 ὀβελισκολυχνίου] καὶ ξ[ιφομαχαίρας πικρᾶς].

επακ[
επισ[
ασελ[
ωτι[
20 πῶς[
μεν[
δαίν[υ
γωδ[
ὀισπ[
25 φη[
ενο[

1 ποίει Dalechamps (*cura*) : ποιεῖ A ‖ **3** ἐστι C E B P Eust. Mus : ἐστιν A **4–5** τοῦ πανοῦ κτλ om. M P Mus : ἐν Ἴωνι κτλ om. B ‖ **5** [καὶ Εὐριπίδης] suppl. Meineke | ἔλεγ[ον δὲ τοῦτον οἱ] suppl. Kaibel : ἐλει ... A ‖ **6** κ[αὶ ξυλολυχνοῦ]χον suppl. Kaibel, Meineke | μνη[μονεύει Ἄλεξις] suppl. Meineke, cf. C E ξυλολύχνουχον δὲ μέμνηται Ἄλεξις, Eust. ὁ δὲ παρὰ Ἀλέξιδι ξυλολυχνοῦχος ‖ **6–7** Εἰσοικιζ[ομένῳ] suppl. Meineke ‖ **7** [οὕτως] suppl. Kaibel ‖ **13–15** [μνημο]νε[ύει δὲ Θεόπομπος] ... ξ[ιφομαχαίρας πικρᾶς] suppl. Kaibel ex Poll. 10.118, cf. Eust. τῷ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνῳ

νειμ[
απτ[
Φιλύ[λλιος (fr. 29)
π[
δι[5
λα[
φ[
φ[
τ[
ξ[10
δ[
.[
.[
.[
(adesp. com. fr. *126)] ὡς ἐβάδι 15
] μετὰ χερσὶν
] δὲ τῶν ἄλλων
]έμενον ἔν
]δέοι κατα
]ὅπερ ἔτι 20
]νι
]. ρων
]ιη
.
. 25
.
.
]κάν
]ῆι
]ο φησὶ 30
]λεί
]οδω
]ι εἰσ
]ωλι
]δ' ενι 35
]λύ

3 Φιλύλλιος] suppl. Schoell

]υθέ
]υτί
]όν
]ῆσ
5]εκ
]ου
]ψη
]χρυ
]αφά
10]ει:
]ον
]υ
]ξου
]ει
15]ὰ
]σ
]αῖ
.
]α
20 .
.

ΕΚ ΤΟΥ ΙΕ

| [**61**] ξυλολύχνου δὲ μέμνηται Ἄλεξις (fr. 66)· καὶ τάχα τούτῳ 700e
ὅμοιόν ἐστι τὸ παρὰ Θεοπόμπῳ (fr. 8.2) ὀβελισκόλυχνον. Φιλύλ-
λιος (fr. 29) δὲ τὰς λαμπάδας δᾳ̑δας καλεῖ. οὐ παλαιὸν | δ᾽ εὕρημα 700f
25 λύχνος· φλογὶ δ᾽ οἱ παλαιοὶ τῆς τε δᾳδὸς καὶ τῶν ἄλλων ξύλων
ἐχρῶντο.

700f Eust. p. 440.29–30 = I.695.5–6

22 ξυλολύχνου δὲ κτλ praeb. B Mus ex Epitome | ξυλολύχνου C E : χ E[s] : ξυλολυχνοῦχος (structura mutata) Eust. : ξυλολυχνούχου B Mus ‖ **24** δ᾽ C B Mus : δὲ E

ΙΕ

κοιμίσαι λύχνον,

Φρύνιχος (fr. 25.1) φησί.

† σω † καὶ θρυαλλίδ᾽, ἣν δέῃ. (Philyll. fr. *25)

καὶ Πλάτων ἐν Νυκτὶ Μακρᾷ (fr. 90)·

ἐνταῦθ᾽ ἐπ᾽ ἄκρων τῶν κροτάφων ἕξει λύχνον 5
δίμυξον.

μνημονεύει τοῦ διμύξου λύχνου καὶ Μεταγένης ἐν Φιλοθύτῃ (fr. 13.1) καὶ Φιλωνίδης ἐν Κοθόρνοις (fr. 3.1). ‖ 701a Κλείταρχος δ᾽ ἐν ταῖς Γλώσσαις λοφνίδα φησὶ καλεῖν Ῥοδίους τὴν ἐκ τοῦ φλοιοῦ τῆς ἀμπέλου λαμπάδα. Ὅμηρος δὲ τὰς λαμπάδας δετὰς ὀνομάζει· 10

καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ. (*Il.* 11.554 = 17.663)

ἑλάνη δὲ ἡ λαμπὰς καλεῖται, ὡς Ἀμερίας (p. 10 Hoffmann) φησί. Νίκανδρος δ᾽ ὁ Κολοφώνιος (fr. 89 Schneider) ἑλάνην τὴν τῶν καλάμων δέσμην. λύχνα δὲ οὐδετέρως εἴρηκεν Ἡρόδοτος ἐν 15 δευτέρᾳ Ἱστοριῶν (2.62.1, 2). λυχνοκαυτίαν | 701b δέ, ἣν οἱ πολλοὶ λέγουσι λυχναψίαν, Κηφισόδωρος ἐν Ὑί (fr. 11).

καὶ ὁ Κύνουλκος αἰεί ποτε τῷ Οὐλπιανῷ ἀντικορυσσόμενος ἔφη· ἐμοὶ δέ, παῖ δωρόδειπνε, ἀσσαρίου κανδήλας πρίω, ἵνα κἀγὼ κατὰ τὸν καλὸν Ἀγάθωνα (*TrGF* 39 F 15) ἀναφωνήσω τάδε τὰ τοῦ 20 ἡδίστου Ἀριστοφάνους (fr. 592.35)·

ἐκφέρετε πεύκας κατ᾽ Ἀγάθωνα φωσφόρους.

καὶ ταῦτ᾽ εἰπών·

701a Eust. p. 1653.16–17 = i.374.40–1 | **700e, 699d–e, 701a, 700a–c, 699e–f, 700e–f, 701a–b** Eust. p. 1571.4–23 = i.263.43–264.19

1–2 κοιμίσαι λύχνον, Φρύνιχος φησί praeb. B Mus ‖ **1** κοιμίσαι λύχνον B Mus : λύχνον κατακοιμίσῃ Poll. 7.178 ‖ **2** Φρύνιχος B : Κλείταρχος Mus **3** † σω †] hic incip. de novo A | ἣν δέῃ, i.e. ΗΝΔΕΗΙ Porson : † ηνδενι †, i.e. ΗΝΔΕΝΙ A ‖ **4** καὶ Πλάτων κτλ praeb. M P Mus ‖ **9** λοφνίδα Musurus : λοφίδα A : λοφνία C E Eust. ‖ **17** Ὑί Schweighäuser : υἱεῖ A : ὑγιεῖ M P Mus

οὐρὰν ὑπίλας ὑπὸ λεοντόπουν βάσιν (cf. E. fr. 540.1.2),

ὑπεξῆλθε τοῦ συμποσίου ὑπνηλὸς κάρτα γενόμενος.

[62] τῶν δὲ πολλῶν τὸ ἰὴ παιὼν ἐπιφθεγγομένων | ὁ Ποντιανὸς ἔφη· τὸ ἰὴ παιών, ἄνδρες φίλοι, μαθεῖν βούλομαι εἴτε 701c
5 παροιμία ἐστὶν εἴτε ἐφύμνιον εἴτε τι ἄλλο. πρὸς ὃν ὁ Δημόκριτος ἔφη· Κλέαρχος ὁ Σολεὺς οὐδενὸς ὢν δεύτερος τῶν τοῦ σοφοῦ Ἀριστοτέλους μαθητῶν ἐν τῷ προτέρῳ Περὶ Παροιμιῶν (fr. 64 Wehrli) τὴν Λητώ φησιν ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀνακομίζουσαν εἰς Δελφοὺς Ἀπόλλωνα καὶ Ἄρτεμιν γενέσθαι παρὰ τὸ τοῦ
10 κληθέντος Πύθωνος σπήλαιον. καὶ φερομένου τοῦ Πύθωνος ἐπ᾽ αὐτοὺς ἡ Λητὼ τῶν παίδων τὸν ἕτερον | ἐν ταῖς ἀγκάλαις ἔχουσα, 701d προσβᾶσα τῷ λίθῳ τῷ νῦν ἔτι κειμένῳ ὑπὸ τῷ ποδὶ τῆς χαλκῆς εἰργασμένης Λητοῦς, ὃ τῆς τότε πράξεως μίμημα γενόμενον ἀνάκειται παρὰ τὴν πλάτανον ἐν Δελφοῖς, εἶπεν· "ἵε παῖ"· τυχεῖν δὲ
15 τόξα μετὰ χεῖρας ἔχοντα τὸν Ἀπόλλωνα. τοῦτο δ᾽ ἐστὶν ὡς ἂν εἴποι τις· "ἄφιε παῖ" καὶ "βάλε παῖ"· διόπερ ἀπὸ τούτου λεχθῆναί φασι τὸ "ἵε παῖ" καὶ "ἵε παιών". ἔνιοι δὲ παρεγκλίνοντές τε τὴν λέξιν καὶ ⟨φιλοῦντες⟩ ἐπὶ τοῖς δεινοῖς ἀλεξητήριόν τινα παροιμίαν | λέγουσιν· "ἰὴ παιών" καὶ οὐχὶ "ἵε παῖ". πολλοὶ δὲ καὶ ἐπὶ τοῖς 701e
20 τέλος ἔχουσιν ἐπιφθεγγόμενοι οἱ μὲν ἐν παροιμίᾳ φασὶν οὕτω τοῦτο δὴ τὸ λεγόμενον "ἰὴ παιών", διὰ δὲ τὸ λίαν ἡμῖν εἶναι σύνηθες λανθάνον ὂν ἐν παροιμίᾳ, οἱ δὲ τὸ τοιοῦτο λέγοντες οὐχ ὡς παροιμίαν ⟨...⟩ τὸ δὲ ὑφ᾽ Ἡρακλείδου τοῦ Ποντικοῦ (fr. 158 Wehrli = fr. 110 Schütrumpf) λεχθὲν φανερῶς πέπλασται, ἐπὶ
25 σπονδαῖς τοῦτο πρῶτον εἰς τρὶς εἰπεῖν τὸν θεὸν οὕτως· "ἰὴ παιάν, ἰὴ παιάν, ⟨ἰὴ παιάν⟩"· ἐκ ταύτης γὰρ τῆς πίστεως τὸ τρίμετρον καλούμενον ἀνατίθησι | τῷ θεῷ φάσκων τοῦ θεοῦ τούτων ἑκάτερον 701f εἶναι τῶν μέτρων, ὅτι μακρῶν μὲν τῶν πρώτων δύο συλλαβῶν

1 ὑπίλας Schweighäuser : ὑπήλας A : ὑπίλλασ᾽ Ael. *NA* 12.7 : ὑπείλλει Erot. υ 23 ‖ **3** ἰὴ M P Mus : ἴη A : ἰὴ B ‖ **4** ἰὴ Dalechamps : ἴη A : ἰὴ B **12** προσβᾶσα A C : προβᾶσα E : ἐπιβᾶσα Kaibel ‖ **14** παρὰ A : πᵋ E : περὶ C **18** ⟨φιλοῦντες⟩ add. Kaibel, cf. Σ^AT *Il. 15*.365 ‖ **18–19** δεινοῖς ἀλεξητήριόν τινα παροιμίαν λέγουσιν· ἰὴ παιών, καὶ οὐχί· ἵε παῖ om. M P ‖ **19** λέγουσιν A : φασιν C E B Mus ‖ **22** λανθάνον ὂν A C E : λανθάνομεν B M P ‖ **23** lac. indic. Kaibel ‖ **26** ⟨ἰὴ παιάν⟩ add. Kaibel, ducente Dalechamps ‖ **27** τούτων scripsi : τοῦθ᾽ A C E : ⟨διὰ⟩ τοῦθ᾽ Kaibel ("nisi τοῦθ᾽ delendum")

λεγομένων "ἰὴ παιάν" ἡρῷον γίνεται, βραχέως δὲ λεχθεισῶν ἰαμ-
βεῖον. διὰ δὲ τοῦτο δῆλον ὅτι καὶ τὸν χωλίαμβον ἀναθετέον αὐτῷ·
βραχειῶν γὰρ γινομένων, εἰ δύο τὰς ἁπασῶν τελευταίας συλλαβὰς
εἰς μακρὰν ποιήσει τις, ὁ Ἱππώνακτος ἴαμβος ἔσται.

[63] μετὰ ταῦτ' ἤδη μελλόντων καὶ ἡμῶν ἀνίστασθαι ἐπεισῆλ- 5
θον παῖδες φέροντες ὁ μέν τις θυμιατήριον, ὁ δὲ ...
τοῦ συμποσίου ... δ̣ε̣
[λιβ]α[ν]ωτοῦ ... ι̣μ̣π̣ο̣ι̣
... δὴ ...
... ηιθυ̣ταυ 10
... τὰ τὸν
... αν. τήν
... ε̣ν̣ο̣ρ̣ ... οι
... ὁ ... καὶ τόδε
ε ... ε̣ . τοῦ θ[υμι]ατηρίου 15
... κ̣α̣ὶ̣ ἐ . τοῦ [λι]βανωτοῦ, τοῖς θεοῖς πᾶσι καὶ πάσαις εὐξάμενος,
ἐπισπείσας τοῦ οἴνου καὶ δοὺς κατὰ τὸ νόμιμον ἐπιχώριον τὸ λοι-
702a πὸν τοῦ ἀκράτου τῷ διδόντι ἐκπιεῖν παιδί, ‖ τὸν εἰς τὴν Ὑγίειαν
παιᾶνα ᾄσας τὸν ποιηθέντα ὑπὸ Ἀρίφρονος τοῦ Σικυωνίου (*PMG*
813) τόνδε· 20

> Ὑγίεια, πρεσβίστα μακάρων, μετὰ σοῦ
> ναίοιμι τὸ λειπόμενον βιοτᾶς, σὺ δέ μοι πρόφρων σύνοικος εἴης·
> εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων
> τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος ἀρχᾶς ἢ πόθων

1 βραχέως C E : βραχέων A | λεχθεισῶν A C E : del. Kaibel ‖ **1–2** ἰαμβεῖον C E M P Mus : ἰαμβίον A ‖ **2** χωλίαμβον Kaibel : ἴαμβον A C E ‖ **7** τοῦ συμποσίου ... **379,9** Σώπατρος γὰρ ὁ φλυακογράφος om. B M P Mus **8** [λιβ]α[ν]ωτοῦ suppl. Schoell | ι̣μ̣π̣ο̣ι̣] ινποι leg. Schoell ‖ **15** θ[υμι]ατηρίου suppl. Schoell ‖ **16** [λι]βανωτοῦ suppl. Schoell ‖ **17** ἐπισπείσας Kaibel : ἐπισπάσας A : σπείσασι (structura mutata) C E | ὁ νόμιμον ⟨τὸ⟩ ἐπιχώριον Kaibel ‖ **19** ᾄσας Kaibel : ᾄσαντες leg. Cobet : fort. ᾖσε ‖ **20** ἔθος δὲ ἦν ἀναστᾶσι τοῦ δείπνου καὶ σπείσασι τὸ λοιπὸν τῷ διδόντι παιδὶ ἐκπιεῖν διδόναι. παιᾶνα εἰς Ὑγίειαν ἐποίησε τόνδε Ἀρίφρων ὁ Σικυώνιος hic praeb. Musurus ex Epitome ‖ **21** σοῦ A C E et *IG* II[2] 4533.9 Max.Tyr. 7.1 : σεῦ *IG* IV[2],1 132.1 Luc. *Laps.* 6 : σ' εὐ- Ott. ‖ **22** σύνοικος εἴης A C E : ξυνείης Ott. : ξυ⟨ν⟩είη⟨ς⟩ *IG* II[2] 4533.11 ‖ **23** εἰ γάρ τις ἢ C E Mus et Ott. : ἢ γάρ τις A : εἰ δ' αὖθις *IG* II[2] 4533.11 ‖ **24** ἰσοδαίμονος C E et Plut. *Mor.* 450b, 479a S.E. *M.* 11.49 Ott. : εἰσοδαίμονος A : εὐδαίμονος *IG* II[2] 4533.12

οὓς κρυφίοις Ἀφροδίτας ἄρκυσι θηρεύομεν, | 5
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων 702b
ἀμπνοὰ πέφανται,
μετὰ σεῖο, μάκαιρ᾽ Ὑγίεια,
5 τέθαλε πάντα καὶ λάμπει Χαρίτων ὄαροι·
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων. 10

καὶ ἀσπασάμενος ἡμᾶς φιλοφρό-
[νως] . . . ἀπομάττοντας . . .
. . . οἴδασιν ο[ἱ πα]λαιοί· Σώπατρος γὰρ ὁ φλυακογράφος ἐν τῷ
10 ἐπιγραφομένῳ δράματι Φακῇ (fr. 19) λέγει οὕτω·

κρεανομοῦμαι, καὶ τὸν ἐκ Τυρρηνίας
οἶνον σὺν ὀκτὼ λαμβάνειν ἐπίσταμαι.

ταῦτα, φίλτατε Τιμόκρατες, κατὰ τὸν Πλάτωνα (cf. *Epist.* II 314c) |
οὐ Σωκράτους νέου καὶ καλοῦ παίγνια ἀλλὰ τῶν δειπνοσοφιστῶν 702c
15 σπουδάσματα· κατὰ γὰρ τὸν Χαλκοῦν Διονύσιον (fr. 6 West²)·

τί κάλλιον ἀρχομένοις
ἢ καταπαυομένοις ἢ τὸ ποθεινότατον;

702c Eust. p. 1164.23 = IV.260.18–19

1 ἄρχυσι C E et *IG* IV²,1 132.6 : ἄρχυσιν Musurus : ἄρκουσι A : ἕρκεσι Ott. : ἕλκεσι *IG* II² 4533.13–15 ‖ **3** ἀμπνοὰ C E Mus et Ott. : ἀνπνοὰ A ‖ **4** μάκαιρ᾽ Schweighäuser : μάκαιρα A C E et Ott. | Ὑγίεια C E Mus : † ὑγεια † A : Ὑγεία *IG* II² 4533.16 et Ott. ‖ **5** πάντα A C E : om. *IG* II² 4533 et Ott. ὄα[ρ]ο[ι] *IG* II² 4533 : ὄαροι A (sic Kaibel, ἔαρ σε leg. Cobet) : ὄαρ C γρ·E^mg : ὄαρι E : ὀάρ⁽⁾ Ott. : ἔαρ Musurus : ὀάροις Page ‖ **7–8** φιλοφρό[νως] suppl. Schoel ‖ **9** ο[ἱ πα]λαιοί suppl. Schoell ‖ **11** Τυρρηνίας M P Mus : Τυρρηνέας A ‖ **16** ἀρχομένοις A C E Eust. : ἀρχομένοισιν Casaubon ‖ **17** ποθεινότατον A C E Eust. : πιθανότατον M P Mus | Ἀθηναίου Ναυκρατίτου Δειπνοσοφιστῶν ιε′ add. A

ἐκ τοῦ δυοκαιδεκάτου λόγου

ἄνθρωπος εἶναί μοι (φησί) Κυρηναῖος δοκεῖς· 510a
κἀκεῖ γάρ τις,

κατὰ τὸν Ἄλεξιν (fr. 241.1–5),

5 ἂν ἐπὶ δεῖπνον ἕνα καλῇ,
πάρεισιν ὀκτωκαίδεκ' ἄλλοι καὶ δέκα
ἅρματα καὶ συνωρίδες πεντεκαίδεκα·
τούτοις δὲ δεῖ σε τἀπιτήδει' ἐμβαλεῖν,
ὡς ἦν κράτιστον μηδὲ καλέσαι μηδένα. | 5

10 ὅτι ἡ ἀπόλαυσις μετ' ἐπιθυμίας πρῶτον, εἶτα μεθ' ἡδονῆς. 510b
καίτοι Σοφοκλῆς γε ὁ ποιητής (test. 80e; cf. Pl. *R.* 329b–c) τῶν
ἀπολαυστικῶν εἷς ὤν, ἵνα μὴ κατηγορῇ τοῦ γήρως, εἰς σωφ-
ροσύνην ἔθετο τὴν ἀσθένειαν αὑτοῦ τὴν περὶ τὰς τῶν ἀφροδισίων
ἀπολαύσεις φήσας ἀσμένως ἀπηλλάχθαι αὐτῶν ὡς εἴπερ τινὸς
15 δεσπότου. ἐγὼ δέ φημι καὶ τὴν τοῦ Πάριδος κρίσιν ὑπὸ τῶν |
παλαιοτέρων πεποιῆσθαι ἡδονῆς πρὸς ἀρετὴν οὖσαν σύγκρισιν· 510c
προκριθείσης οὖν τῆς Ἀφροδίτης (αὕτη δ' ἐστὶν ἡ ἡδονή) πάντα
συνεταράχθη. καί μοι δοκεῖ καὶ ὁ καλὸς Ξενοφῶν (*Mem.* 2.1.21–34)
τὸν περὶ τὸν Ἡρακλέα καὶ τὴν Ἀρετὴν μῦθον ἐντεῦθεν πεπλα-
20 κέναι· κατὰ γὰρ τὸν Ἐμπεδοκλέα (31 B 128.1–3 D.–K.)·

οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμὸς
οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Κρόνος οὐδὲ Ποσειδῶν,
ἀλλὰ Κύπρις βασίλεια. |

καίτοι τινές φασι κατὰ φύσιν εἶναι τὴν ἡδονὴν ἐκ τοῦ πάντα ζῷα 511a
25 δεδουλῶσθαι ταύτῃ, ὥσπερ οὐχὶ καὶ δειλίας καὶ φόβου καὶ τῶν
ἄλλων παθημάτων κοινῶς μὲν ἐν ἅπασιν ὄντων, παρὰ δὲ τοῖς
λογισμῷ χρωμένοις ἀποδοκιμαζομένων. τὸ οὖν ἡδονὰς διώκειν
προπετῶς λύπας ἐστὶ θηρεύειν. | Ζεὺς οὖν ὅσα ἐφρόντιζεν ὑπὲρ 511b
Τρώων ἀγρυπνῶν, ταῦτ' ἀπώλεσε μεθ' ἡμέραν ὑφ' ἡδονῆς κρατη-
30 θείς. καὶ Ἄρης ἀλκιμώτατος ὢν ὑπὸ τοῦ ἀσθενεστάτου Ἡφαίστου
συνεποδίσθη καὶ ὦφλεν αἰσχύνην καὶ ζημίαν ἐκδοὺς ἑαυτὸν ἔρωσιν

1 ἐκ τοῦ ιβ´ λόγου E : Ἀθηναίου ἐκ τοῦ δυοκαιδεκάτου βιβλίου C ‖ **8** τἀπι-
τήδει' E Eust. : τἀπιτήδεια A C

511c ἀλογίστοις. | οὐδεὶς (Chamael. fr. [53] Manzano) δὲ λέγει τὸν Ἀριστείδου βίον ἡδὺν ἀλλὰ τὸν Σμινδυρίδου τοῦ Συβαρίτου καὶ τὸν Σαρδαναπάλου. καίτοι κατὰ τὴν δόξαν, φησὶ Θεόφραστος (fr. 551 Fortenbaugh), οὐχ ὁμοίως λαμπρός ἐστιν, ἀλλ᾽ οὐκ ἐτρύφησεν ὡς ἐκεῖνοι. οὐδὲ τὸν Ἀγησιλάου τοῦ Λακεδαιμονίων βασιλέως ἀλλὰ 5
511d μᾶλλον, εἰ ἔτυχε, τὸν Ἀνάνιος οὕτως ἀοράτου κατὰ | τὴν δόξαν ὄντος, οὐδὲ τὸν τῶν ἡμιθέων τῶν ἐπὶ τῆς Τροίας ἀλλὰ πολλῷ μᾶλλον τῶν νῦν. Πλάτων Φιλήβῳ (65c–d)· ἡδονὴ μὲν γὰρ ἁπάντων ἀλαζονίστατον. ὡς δὲ λόγος, καὶ ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὰ
511e ἀφροδίσια, ἃ δὴ μέγιστα δοκοῦσιν εἶναι, καὶ | τὸ ἐπιορκεῖν συγγνώμην εἴληφε παρὰ θεῶν, ὥσπερ καθάπερ παίδων τῶν ἡδομένων οὐδὲ τὸν λογισμὸν κεκτημένων. καὶ ὀγδόῳ τῆς Πολιτείας (559a–c) βούλεται τῶν ἐπιθυμιῶν τὰς μὲν εἶναι φυσικὰς μέν, οὐκ 10
512a ἀναγκαίας δέ, τὰς δὲ οὔτε φυσικὰς οὔτ᾽ ἀναγκαίας. | Ἡρακλείδης ὁ Ποντικός (fr. 55 Wehrli = fr. 39 Schütrumpf) φησιν· οἱ τύραννοι καὶ οἱ βασιλεῖς τῶν ἀγαθῶν ὄντες κύριοι καὶ πάντων εἰληφότες πεῖραν τὴν ἡδονὴν προκρίνουσι μεγαλοψυχοτέρας ποιοῦσαν τὰς τῶν ἀνθρώπων φύσεις. ἅπαντες οὖν οἱ τὴν ἡδονὴν τιμῶντες καὶ τρυφᾶν προῃρημένοι μεγαλόψυχοι καὶ μεγαλοπρεπεῖς εἰσιν, ὡς 15
512b Πέρσαι καὶ | Μῆδοι· μάλιστα γὰρ πάντων ἀνθρώπων τὴν ἡδονὴν οὗτοι καὶ τὴν τρυφὴν τιμῶσιν ἀνδρειότατοι καὶ μεγαλοψυχότατοι τῶν ἀνθρώπων ὄντες· ἐστὶ γὰρ τὸ μὲν ἥδεσθαι καὶ τὸ τρυφᾶν ἐλευθέρων, ἀνίησι γὰρ τὰς ψυχὰς καὶ αὔξει, τὸ δὲ πονεῖν δούλων καὶ ταπεινῶν· διὸ καὶ συστέλλονται οὗτοι. καὶ ἡ Ἀθηναίων πόλις, ἕως μὲν ἐτρύφα, μεγίστη τε ἦν καὶ μεγαλοψυχοτάτους ἔτρεφεν ἄνδρας· ἁλουργῆ μὲν γὰρ ἠμπίσχοντο ἱμάτια, ποικίλους δ᾽ ὑπέ- 20 25
512c δυνον χιτῶνας, κορύμβους δ᾽ ἀναδούμενοι | τῶν τριχῶν χρυσοῦς τέττιγας περὶ τὸ μέτωπον καὶ τὰς κόμας ἐφόρουν· ὀκλαδίας τε αὐτοῖς δίφρους ἔφερον οἱ παῖδες, ἵνα μὴ καθίζοιεν ὡς ἔτυχε. καὶ οὗτοι ἦσαν οἱ τοιοῦτοι οἱ τὴν ἐν Μαραθῶνι νικήσαντες μάχην καὶ μόνοι τὴν τῆς Ἀσίας ἁπάσης δύναμιν χειρωσάμενοι. Σιμωνίδης (*PMG* 584.1–4)· 30

τίς ἁδονᾶς ἄτερ θνη-
τῶν βίος ποθεινὸς ἢ ποί-

3 Σαρδαναπάλου C : Σαρδανα^{πα} E : Σαρδαναπάλλου A ‖ **5** Λακεδαιμονίων A : Λακεδαιμον$^{\text{(ων)}}$ E : Λακεδαιμόνων C ‖ **11** ἡδομένων] ἡδο^{μν} C E : ἡδονῶν A

α τυραννίς; |
τᾶσδ' ἄτερ οὐδὲ θεῶν ζηλωτὸς αἰών. 512d

Πίνδαρος (fr. 126) πρὸς Ἱέρωνα·

μηδ' ἀμαύρου τέρψιν ἐν βίῳ· πολύ τι
5 φέριστον ἐν βίῳ τερπνὸς αἰών.

τοὺς δὲ θεούς φασι (e.g. *Il.* 6.138) ῥεῖα ζώοντας — τὸ δὲ ῥεῖα ἐστὶν ἀπόνως — | διὸ καὶ Μεγακλείδης (*FHG* iv.443–4) ἐπιτιμᾷ τοῖς 512e μεθ' Ὅμηρον καὶ Ἡσίοδον ὅσοι περὶ Ἡρακλέους εἰρήκασιν ὡς στρατοπέδων ἡγεῖτο καὶ πόλεις ᾕρει· ὃς μεθ' ἡδονῆς πλείστης τὸν
10 βίον διετέλει, πλείστας μὲν γυναῖκας γήμας, ἐκ πλείστων δὲ λάθρᾳ παρθένων παιδοποιησάμενος· εἴποι γὰρ ἄν τις πρὸς τοὺς ταῦτα παραδεχομένους· "πόθεν, ὦ οὗτοι, τὴν περὶ τὰς ἐδωδὰς αὐτῷ σπουδὴν ἀνατίθετε, ἢ πόθεν παρῆλθεν εἰς τοὺς ἀνθρώπους τὸ τῆς λοιβαίας κύλικος | μηδὲν ὑπολείπεσθαι, εἰ μὴ τὰ περὶ τὰς 512f
15 ἡδονὰς ἐδοκίμαζεν; ἢ διὰ ⟨τί⟩ τὰ θερμὰ λουτρὰ τὰ φαινόμενα ἐκ τῆς γῆς πάντες Ἡρακλέους φασὶν εἶναι ἱερά, ἢ διὰ ⟨τί⟩ τὰς μαλακὰς στρωμνὰς Ἡρακλέους κοίτας εἰώθασι καλεῖν, εἰ κατεφρόνει τῶν ἡδέως ζώντων;" τοῦτον οὖν οἱ νεώτεροι κατασκευάζουσιν ἐν ληστοῦ σχήματι μόνον περιπορευόμενον ξύλον ἔχοντα καὶ λεοντῆν
20 καὶ τόξα· καὶ τοῦτο ἔπλασε πρῶτος Στησίχορος ὁ Ἱμεραῖος (*PMG* 229). | Ἀντισθένης (fr. 110 Decleva Caizzi = *SSR* V A 127) τὴν 513a ἡδονὴν ἀγαθὸν εἶναι φάσκων προσέθηκε τὴν ἀμεταμέλητον. ὁ δὲ παρ' Ὁμήρῳ Ὀδυσσεὺς ἡγεμὼν δοκεῖ γενέσθαι Ἐπικούρῳ τῆς πολυθρυλλήτου ἡδονῆς, ὅς φησιν (*Od.* 9.5)· |

25 οὐ γὰρ ἐγώ γέ τί φημι τέλος χαριέστερον εἶναι 513b

καὶ τὰ ἑξῆς. Μεγακλείδης δέ φησι τὸν Ὀδυσσέα καθομιλοῦντα τοὺς καιροὺς ὑπὲρ τοῦ δοκεῖν ὁμοήθη τοῖς | Φαίαξιν εἶναι τὸ ἁβροδίαιτον αὐτῶν ἀσπάζεσθαι, προπυθόμενον τοῦ Ἀλκίνου (*Od.* 8.248)· 513c

αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε

30 καὶ τὰ ἑξῆς. τοιοῦτόν τι καὶ ἕτερός τίς φησιν (Pi. fr. 43)·

ὦ τέκνον, ποντίου θηρὸς πετραίου

15 ⟨τί⟩ ex A addidi ‖ **16** ⟨τί⟩ ex A addidi ‖ **24** πολυθρυλλήτου C E : πολυθρυλήτου A ‖ **27** ὁμοήθη A[pc] : ὁμοή[θ] C E : ὁμοιοήθη A[ac]

χρωτὶ μάλιστα νόον
προσφέρων πάσαις πολίεσσιν ὁμίλει·
τὸ παρεὸν δ' ἐπαινήσας ἑκὼν |
513d ἄλλοτ' ἀλλοῖα φρόνει. 5

καὶ Θέογνις (215)· 5

πολύπου ὀργὴν ἴσχε πολυπλόκου.

εἴσι δ' οἵ φασι ταύτης τῆς γνώμης εἶναι τὸν Ὅμηρον προτάττοντα τοῦ σπουδαίου βίου τὸν καθ' ἡδονὴν λέγοντα (*Il.* 4.1–2)·

οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο·
μετὰ δέ σφισι πότνια Ἥβη | 10

513e καὶ τὰ ἑξῆς. καί (*Od.* 4.178–9)·

οὐδέ κεν ἡμέας
ἄλλο διέκρινε φιλέοντέ τε τερπομένω τε.

καί (*Od.* 9.162 = 557)·

ἥμεθα δαινύμενοι κρέα τ' ἄσπετα καὶ μέθυ ἡδύ· 15

διὸ καὶ Ὀδυσσεὺς τρυφὴν καὶ λαγνείαν τέλος βίου παρὰ τῷ Ἀλκίνῳ τίθεται (*Od.* 9.5–11). διαβόητοι δὲ ἐπὶ τρυφῇ πρῶτοι |
513f ἀνθρώπων Πέρσαι, ὧν καὶ οἱ βασιλεῖς ἐχείμαζον μὲν ἐν Σούσοις, οὕτω κληθεῖσιν, ὡς Ἀριστόβουλός (*FGrH* 139 F 18) φησι καὶ Χάρης (*FGrH* 125 F 11), διὰ τὴν ὡραιότητα τοῦ τόπου· σοῦσον γὰρ τῇ 20 Ἑλλήνων φωνῇ τὸ κρίνον. ἐθέριζον δὲ ἐν Ἐκβατάνοις, ἐν Περσεπόλει δὲ διέτριβον φθινοπώρου καὶ ἐν Βαβυλῶνι τὸ λεῖπον τοῦ ἐνιαυτοῦ μέρος. καὶ οἱ Πάρθων βασιλεῖς ἐαρίζουσι μὲν ἐν Ῥάγαις,
514a χειμάζουσι δ' ἐν Βαβυλῶνι τὸ λοιπὸν τοῦ ἐνιαυτοῦ. | καὶ τὸ παράσημον δὲ ὃ ἐπετίθεντο τῇ κεφαλῇ οἱ τῶν Περσῶν βασιλεῖς οὐδ' 25 αὐτὸ ἠρνεῖτο τὴν τῆς ἡδυπαθείας ἀπόλαυσιν· κατεσκευάζετο γὰρ ἐκ σμύρνης καὶ λαβύζου, ἥ ἐστιν εὐώδης, πολυτιμοτέρα σμύρνης. ὁπότε δὲ καὶ ἀπὸ τοῦ ἅρματος κατίοι ὁ βασιλεύς, οὔτε καθήλλετο ὀλίγου ὄντος ἐπὶ γῆν τοῦ ὕψους οὔτε διὰ χειρῶν ἐρειδόμενος, ἀλλ' ἀεὶ αὐτῷ χρυσοῦς δίφρος ἐτίθετο, καὶ οὕτω ἐπιβαίνων κατῄει· καὶ 30

17 Ἀλκίνῳ C E : Ἀλκινόῳ A ‖ **23–4** μέρος. καὶ … τοῦ ἐνιαυτοῦ om. E
27 εὐώδης A : εὐώ^{δ} C E : εὐῶδες Kaibel ‖ **30** οὕτω C E : τούτῳ A

ὁ βασιλέως διφροφόρος εἰς | τοῦτο εἵπετο· φυλάσσουσί τε αὐτὸν καὶ 514b
τριακόσιαι γυναῖκες, αἳ τὰς μὲν ἡμέρας κοιμῶνται, ἵνα νυκτὸς
ἐγρηγορῶσι, τῆς δὲ νυκτὸς ᾄδουσαι καὶ ψάλλουσαι διατελοῦσι
λύχνων καιομένων· χρῆται δ' αὐταῖς καὶ πολλάκις ὁ βασιλεὺς διὰ
5 τῆς τῶν μηλοφόρων αὐλῆς. ἦσαν δὲ οὗτοι δορυφόροι πάντες Πέρ-
σαι, ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες, χίλιοι τὸν ἀριθμόν,
ἀριστίνδην ἐκλεγόμενοι ἐκ τῶν μυρίων Περσῶν τῶν Ἀθανάτων |
καλουμένων. καὶ διῄει διὰ τῆς τούτων αὐλῆς πεζὸς ὑποτιθεμένων 514c
ψιλοταπίδων Σαρδιανῶν ἐφ' ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν ἢ βασι-
10 λεύς. ὅτε δὲ εἰς τὴν ἐσχάτην αὐλὴν ἔλθοι, ἀνέβαινεν ἐπὶ ἅρμα,
ἐνίοτε δὲ καὶ ἐφ' ἵππον· πεζὸς δὲ οὐδέποτε ἑωράθη ἔξω τῶν
βασιλείων. εἰ δὲ ἐπὶ θήραν ἐξίοι, καὶ αἱ παλλακίδες αὐτῷ συνεξῄε-
σαν. ὁ δὲ θρόνος ἐφ' ᾧ ἐχρημάτιζε καθήμενος χρυσοῦς ἦν, ὃν
περιειστήκεισαν τέσσαρες κιονίσκοι λιθοκόλλητοι χρυσοῖ, ἐφ' ὧν
15 διετέτατο ἱμάτιον ποικίλον | πορφυροῦν. Κλέαρχος (fr. 51a Wehrli) 514d
δέ φησι τοῖς πορίσασί τι τῷ βασιλεῖ ἡδὺ βρῶμα δίδοσθαι | ἆθλον 514e
τοῦ πορισθέντος. Χάρης δὲ ὁ Μιτυληναῖός (*FGrH* 125 F 2) φησιν·
εἰς τοῦθ' ἧκον τρυφῆς οἱ τῶν Περσῶν βασιλεῖς ὥστε ἔχεσθαι τῆς
βασιλικῆς κλίνης ὑπὲρ κεφαλῆς οἴκημά τι πεντάκλινον ἐν ᾧ
20 χρυσίου πεντακισχίλια | διὰ παντὸς ἔκειντο τάλαντα, καὶ τοῦτο 514f
ἐκαλεῖτο προσκεφάλαιον βασιλικόν· καὶ πρὸ ποδῶν ἕτερον οἴκημα
τρίκλινον οὗ τάλαντα τρισχίλια ἔκειντο ἀργυρίου, καὶ προσηγο-
ρεύετο βασιλικὸν ὑποπόδιον. ἦν δ' ἐν τῷ κοιτῶνι καὶ λιθοκόλλητος
ἄμπελος χρυσῆ ὑπὲρ τῆς κλίνης ἥν φασι καὶ βότρυας ἔχειν ἐκ τῶν
25 πολυτελεστάτων ψήφων συντεθειμένους, οὐ μακράν τε ταύτης
ἀνακεῖσθαι | κρατῆρα χρυσοῦν, Θεοδώρου Σαμίου ποίημα. Ἀγα- 515a
θοκλῆς (*FGrH* 472 F 3) δέ φησιν εἶναι παρὰ Πέρσαις καὶ χρυσοῦν
καλούμενον ὕδωρ, εἶναι δὲ τοῦτο λιβάδας ἑβδομήκοντα, καὶ
μηδένα πίνειν ἀπ' αὐτοῦ ἢ βασιλέα καὶ τὸν πρεσβύτατον αὐτοῦ
30 τῶν παίδων· τῶν δ' ἄλλων ἐάν τις πίῃ, θάνατος ἡ ζημία. ἐν δὲ
ὀγδόῳ Παιδείας (Cyr. 8.8.15–17) Ξενοφῶν πολλὴν αὐτῷ ὑπογρά-
φει ἁβρότητα· καὶ ζήτει τὸ βιβλίον. | Ξάνθος ὁ Λυδὸς (*FGrH* 765 F 515d
4a) ἱστορεῖ Λυδοὺς εἰς τοσοῦτο τρυφῆς ἐλάσαι ὡς πρώτους γυναῖ-
κας εὐνουχίσαι, | πρώτου Ἀνδραμύτου τοῦ Λυδῶν βασιλέως γυναῖ- 515e

10 ἅρμα] ἅρ^μ E : ἅρματος C : τὸ ἅρμα A ‖ **14** περιειστήκεισαν C E : περιϊστήκεσαν A : περιειστήκεσαν M P Mus ‖ **32** καὶ ζήτει τὸ βιβλίον verba epitomatoris

κας εὐνουχίσαντος ἐφ' ᾧ χρῆσθαι αὐταῖς ἀντὶ ἀνδρῶν εὐνούχων. Κλέαρχος (fr. 43a Wehrli) δέ φησι· Λυδοὶ διὰ τρυφὴν παραδείσους κατασκευασάμενοι καὶ κηπαίους αὐτοὺς ποιήσαντες ἐσκιατρα-
515f φοῦντο, ἡγησάμενοι | τρυφερώτερον τὸ μὴ αὐτοῖς ὅλως ἐπιπίπτειν τὰς τοῦ ἡλίου αὐγάς. καὶ τέλος πόρρω προάγοντες ὕβρεως τὰς τῶν 5
ἄλλων γυναῖκας καὶ παρθένους εἰς τὸν τόπον τὸν διὰ τὴν πρᾶξιν Ἁγνεῶνα κληθέντα συνάγοντες ὕβριζον. καὶ τέλος τὰς ψυχὰς ἀποθηλυνθέντες ἠλλάξαντο τὸν τῶν γυναικῶν βίον, διὸ καὶ γυναῖκα τύραννον ὁ βίος εὕρατο αὐτοῖς, μίαν τῶν ὑβρισθεισῶν, Ὀμφάλην, ἥτις πρώτη κατῆρξε τῆς εἰς Λυδοὺς πρεπούσης τιμωρίας· τὸ γὰρ 10
ὑπὸ γυναικὸς ἄρχεσθαι ὑβριζομένους σημεῖόν ἐστι βίας. οὖσα οὖν
516a καὶ αὐτὴ ἀκόλαστος | καὶ ἀμυνομένη τὰς γενομένας αὐτῇ πρότερον ὕβρεις τοῖς ἐν τῇ πόλει δούλοις τὰς τῶν δεσποτῶν παρθένους ἐξέδωκεν ἐν ᾧ τόπῳ πρὸς ἐκείνων ὑβρίσθη. εἰς τοῦτον οὖν συναθροίσασα μετ' ἀνάγκης συγκατέκλεισε τοῖς δούλοις τὰς δεσποί- 15
νας· ὅθεν οἱ Λυδοὶ τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι τὸν τόπον καλοῦσι Γυναικῶν Ἀγῶνα Γλυκὺν Ἀγκῶνα. οὐ μόνον δὲ Λυδῶν γυναῖκες ἄφετοι οὖσαι τοῖς ἐντυχοῦσιν ἀλλὰ καὶ Λοκρῶν τῶν Ἐπιζεφυρίων, ἔτι δὲ τῶν περὶ Κύπρον καὶ πάντων ἁπλῶς
516b τῶν ἑταιρισμῷ | τὰς ἑαυτῶν κόρας ἀφοσιούντων, παλαιᾶς τινος 20
ὕβρεως ἐοίκασιν εἶναι πρὸς ἀλήθειαν ὑπόμνημα καὶ τιμωρία. πρὸς ἣν εἷς τῶν Λυδῶν εὐγενὴς ἀνὴρ ὁρμήσας καὶ τῇ παρ' αὐτοῖς Μίδου βασιλείᾳ βαρυνθείς, τοῦ μὲν Μίδου ὑπ' ἀνανδρίας καὶ τρυφῆς ἐν πορφύρᾳ κειμένου καὶ ταῖς γυναιξὶν ἐν ἱστοῖς συνταλασιουργοῦντος, Ὀμφάλης δὲ πάντας τοὺς συγκατακλιθέντας αὐτῇ 25
ξενοκτονούσης, ἀμφοτέρους ἐκόλασε, τὸν μὲν ὑπὸ ἀπαιδευσίας κεκωφημένον τῶν ὤτων ἐξελκύσας, ὃς διὰ τὴν τοῦ φρονεῖν |
516c ἔνδειαν τοῦ πάντων ἀναισθητοτάτου ζῴου τὴν ἐπωνυμίαν ἔσχε, τὴν δὲ 〈...〉 πρῶτοι δὲ Λυδοὶ καὶ τὴν καρύκην ἐξεῦρον, περὶ ἧς τῆς σκευασίας οἱ τὰ Ὀψαρτυτικὰ συνθέντες εἰρήκασι, Γλαῦκος ὁ 30
Λοκρός, Μίθαικος, Διονύσιος, Ἆγις, Ἐπαίνετος, Ἡγήσιππος, Ἐρασίστρατος (fr. 290 Garofalo), Εὐθύδημος, Κρίτων, Στέφανος,
516d Ἀρχύτας καὶ ἄλλοι. καὶ κάνδαυλον δέ τινα ἔλεγον | οἱ Λυδοί.

3–4 ἐσκιατραφοῦντο C E : ἐσκιατροφοῦντο A ‖ **17** Γυναικῶν Ἀγῶνα et Γλυκὺν Ἀγκῶνα v.ll. ‖ **21** ἐοίκασιν C E : ἔοικεν A | τιμωρία A : τιμω^{ρ} E : τιμωρίαν C : τιμωρίας B ‖ **28–9** ἔσχε· τὴν δὲ 〈 . . 16 . . 〉 C : ἔσχε· 〈 . . 4 . . 〉 τὴν δέ 〈 . . 4 . . 〉 E : ἔσχεν A ‖ **29** καρύκην C E^{mg} : καρύκκην A E

γίνεσθαι δ' αὐτὸν Ἡγήσιππός φησιν ὁ Ταραντῖνος ἐξ ἑφθοῦ κρέως, κνηστοῦ ἄρτου, Φρυγίου τυροῦ ἀνήθου τε καὶ ζωμοῦ πίονος. Ἄλεξις (fr. 178.1, 5)·

κάνδαυλον |
5 ἐὰν παραθῶ σοι, προσκατεδεῖ τοὺς δακτύλους. | 516e

Νικόστρατος (fr. 16.1–2)· 517a

ὃς μέλανα ποιεῖν ζωμὸν οὐκ ἠπίστατο,
θρῖον δὲ καὶ κάνδαυλον.

Μένανδρος (fr. 351.10–11)·

10 Ἰωνικὸς πλούταξ ποιῶν
κάνδαυλον.

εἰς τοὺς πολέμους δὲ ἐξιόντες οἱ Λυδοὶ παρατάττονται μετὰ συρίγγων καὶ αὐλῶν, ὥς φησιν Ἡρόδοτος (1.17.1). καὶ Λακεδαιμόνιοι δὲ μετ' αὐλῶν ἐξορμῶσιν εἰς τὸν πόλεμον, καθάπερ Κρῆτες μετὰ |
15 λύρας. Ἡρακλείδης ὁ Κυμαῖός (*FGrH* 689 F 4) φησιν· ὁ ἐν τῇ 517b
λιβανοφόρῳ βασιλεὺς αὐτόνομός τέ ἐστι καὶ οὐδενὸς ὑπήκοος. οὗτος ὑπερβάλλει τρυφῇ καὶ ῥαθυμίᾳ· διατρίβει γὰρ ἀεὶ ἐν βαλανείοις ἐν τρυφῇ καὶ δαπάνῃ τὸν βίον διάγων, καὶ πράττει οὐδὲν πρᾶγμα οὐδὲ πολλοῖς πλησιάζει, ἀλλὰ δικαστὰς αὐτὸς ἀποδει-
20 κνύει. καὶ ἐάν τις ἡγῆται μὴ δικαίως δεδικάσθαι, | ἔστι θυρὶς ἐν τῷ 517c
ὑψηλοτάτῳ τῶν βασιλείων καὶ αὕτη ἁλύσει δέδεται. ὁ οὖν ἡγούμενος ἀδίκως δεδικάσθαι ἐπιλαμβάνεται τῆς ἁλύσεως καὶ ἕλκει τὴν θυρίδα, καὶ ὁ βασιλεὺς εἰσκαλεῖ καὶ αὐτὸς δικάζει. καὶ ἐὰν φαίνωνται οἱ δικασταὶ ἀδίκως δικάσαντες, ἀποθνήσκουσιν· ἂν δὲ δικαίως,
25 ὁ κινήσας τὴν θυρίδα ἀπόλλυται. ἀναλώματα δὲ τῆς ἡμέρας εἰς τὸν βασιλέα καὶ τὰς περὶ αὐτὸν γυναῖκας καὶ φίλους γίνεται τάλαντα πεντεκαίδεκα Βαβυλώνια. | παρὰ δὲ Τυρρηνοῖς ἐκτόπως 517d
τρυφήσασιν αἱ θεράπαιναι γυμναὶ τοῖς ἀνδράσι διακονοῦνται, ὡς ἱστορεῖ Τίμαιος (*FGrH* 566 F 1b). καὶ νόμος αὐτοῖς, ὥς φησι Θεό-
30 πομπος (*FGrH* 115 F 204), κοινὰς ὑπάρχειν τὰς γυναῖκας, ταύτας δ' ἐπιμελεῖσθαι σφόδρα τῶν σωμάτων καὶ γυμνάζεσθαι πρὸς ἑαυτάς τε καὶ μετ' ἀνδρῶν· οὐ γὰρ αἰσχρὸν αὐταῖς γυμναῖς φαίνε-

16 χώρᾳ post λιβανοφόρῳ praeb. A ‖ **17–18** βαλανείοις C E : βασιλείοις A
20–2 ἔστι θυρὶς … δεδικάσθαι om. E

517e σθαι· δειπνεῖν τε αὐτὰς παρ' οἷς ἐὰν | τύχωσι τῶν παρόντων, καὶ προπίνουσιν οἷς ἐὰν βουληθῶσιν· εἶναι δὲ καὶ πιεῖν δεινὰς καὶ τὰς ὄψεις πάνυ καλάς· τρέφειν τε τοὺς Τυρρηνοὺς πάντα τὰ γινόμενα παιδία οὐκ εἰδότας ὅτου πατρός ἕκαστον. ζῶσι δὲ καὶ οὗτοι τὸν αὐτὸν τρόπον ταῖς θρεψαμέναις, πότους τὰ πολλὰ ποιούμεναι καὶ 5 πλησιάζοντες ταῖς γυναιξὶν ἁπάσαις. οὐδὲν δ' αἰσχρὸν Τυρρηνοῖς οὐ μόνον ἐν τῷ μέσῳ τι ποιοῦσιν ἀλλ' οὐδὲ πάσχουσιν· ἐπιχώριον γὰρ καὶ τοῦτο παρ' αὐτοῖς. καὶ τοσούτου δέουσιν αἰσχρὸν ὑπολαμ-
518b βάνειν ὥστε καὶ ὁμολογοῦσι. | πάντες δὲ οἱ πρὸς ἑσπέραν οἰκοῦντες βάρβαροι πιττοῦνται καὶ ξυροῦνται τὰ σώματα· καὶ παρά γε 10 τοῖς Τυρρηνοῖς ἐργαστήρια κατεσκεύασται πολλὰ καὶ τεχνῖται τούτου τοῦ πράγματός εἰσιν, ὥσπερ παρ' ἡμῖν οἱ κουρεῖς· παρ' οὓς ὅταν εἰσέλθωσι, παρέχουσιν ἑαυτούς οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας ἢ παριόντας. χρῶνται δὲ τούτῳ τῷ νόμῳ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν Ἰταλῶν μαθόντες ὑπὸ Σαυνιτῶν καὶ Μεσαπ- 15
518c πίων. ὑπὸ δὲ τρυφῆς | οἱ Τυρρηνοὶ πρὸς αὐλὸν καὶ μάττουσι καὶ πυκτεύουσι καὶ μαστιγοῦσι. διαβόητοι δ' ἐπὶ τρυφῇ καὶ αἱ τῶν Σικελῶν τράπεζαι, οἳ καὶ τὴν παρ' αὐτοῖς θάλασσάν φασιν εἶναι γλυκεῖαν, χαίροντες τοῖς παρ' αὐτοῖς γινομένοις ἐδέσμασι. περὶ δὲ Συβαριτῶν τί δεῖ λέγειν; οἳ πρῶτοι εἰσήγαγον εἰς τὴν Βαβυλῶνα 20 λουτροχόους περιχύτας πεπεδημένους, τοῦ μὴ θᾶττον ἰέναι καὶ ὅπως μὴ σπεύδοντες κατακαίωσι τοὺς λουομένους. πρῶτοι δὲ Συβαρῖται καὶ τὰς ψοφούσας τέχνας ἐξώρισαν τῆς πόλεως, οἷον
518d χαλκέων καὶ τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως | αὐτοῖς πανταχόθεν ἀθόρυβοι ὦσιν οἱ ὕπνοι· οὐκ ἐξῆν δ' οὐδ' ἀλεκτρυόνα ἐν τῇ πόλει 25 τρέφεσθαι. ἱστορεῖ δὲ Τίμαιος (*FGrH* 566 F 48) ὅτι ἀνὴρ Συβαρίτης εἰς ἀγρόν ποτε πορευόμενος ἔφη ἰδὼν τοὺς ἐργάτας σκάπτοντας αὐτὸς ῥῆγμα λαβεῖν· πρὸς ὃν ἀποκρίνασθαί τινα τῶν ἀκουσάντων· "αὐτὸς δὲ σοῦ διηγουμένου ἀκούων πεπονεκέναι τὴν πλευράν." ἐν Κρότωνι δὲ σκάπτοντί τινι τὴν τῶν ἀθλούντων κόνιν ἐπιστάντες 30 Συβαρῖται ἐθαύμαζον, εἰ τηλικαύτην ἔχοντες πόλιν οἰκέτας μὴ κέκτηνται τοὺς σκάψοντας ἑαυτοῖς τὴν παλαίστραν. ἄλλος δὲ
518e παραγενόμενος | εἰς Λακεδαίμονα καὶ κληθεὶς εἰς φειδίτιον, ἐπὶ ξύλου κατακείμενος καὶ δειπνῶν πρότερον μὲν ἔφη καταπεπλη-

5 ταῖς θρεψαμέναις C E : τοῖς θρεψαμένοις A | ποιούμεναι C E : ποιούμενοι A ‖ **20** τὴν Βαβυλῶνα C E : τὰ βαλανεῖα A ‖ **21** περιχύτας, i.e. π^ε^χύτας C E : παραχύτ-, i.e. π^ε^χύτ- A

χθαι τὴν τῶν Λακεδαιμονίων ἀνδρίαν ἀκούων, νῦν δὲ ἰδὼν
νομίζειν μηδὲν τῶν ἄλλων αὐτοὺς διαφέρειν· καὶ γὰρ τὸν ἀνανδρό-
τατον μᾶλλον ἂν ἑλέσθαι ἀποθανεῖν ἢ τοιοῦτο βίον ζῶντα καρτε-
ρεῖν. ἔθος δὲ παρ' αὐτοῖς καὶ τοὺς παῖδας μέχρι ἐφήβων ἁλουργί-
5 δας φορεῖν καὶ πλοκαμῖδας ἀναδεδεμένους χρυσοφορεῖν· ἐπιχωριά-
ζειν δὲ παρ' αὐτοῖς ἀνθρωπάρια μικρὰ καὶ τοὺς σκωπαίους, ὥς
φησι | Τίμων (Timae. *FGrH* 566 F 49), τοὺς καλουμένους παρά τισι 518e
στίλπωνας, καὶ κυνάρια Μελιταῖα. | καίτοι Εὔβουλος ὁ κωμικός 519a
(fr. 114.1–4) φησι·

10 πόσῳ κάλλιόν ἐστι τρέφειν
ἄνθρωπον
ἢ χῆνα πλατυγίζοντα καὶ κεχηνότα
ἢ στρουθὸν ἢ πίθηκον, ἐπίβουλον κακόν. |

πρὸς οὓς Μασανάσσης ὁ Μαυρουσίων βασιλεὺς εἶπε ζητοῦσι 518f
15 συνωνεῖσθαι πιθήκους· "παρ' ὑμῖν, ὦ οὗτοι, αἱ γυναῖκες οὐ
τίκτουσι παιδία;" παιδίοις γὰρ ἔχαιρεν ὁ Μαυρούσιος | καὶ εἶχε 519a
παρ' ἑαυτῷ τρεφόμενα τῶν υἱῶν (πολλοὶ δὲ ἦσαν) τὰ τέκνα καὶ
τῶν θυγατέρων μέχρι τριῶν ἐτῶν, μεθ' ἃ ἀπέπεμπε πρὸς τοὺς
γεγεννηκότας παραγινομένων ἄλλων. | καὶ Ἀρχύτας δὲ ὁ Ταραν- 519b
20 τῖνος (A8 Huffmann) πλείστους οἰκέτας ἔχων, πολιτικὸς ἅμα καὶ
φιλόσοφος γενόμενος, ἀεὶ τούτοις παρὰ τὴν δίαιταν ἀφικνουμένοις
ἥδετο. ἀλλ' οἱ Συβαρῖται ἔχαιρον τοῖς Μελιταίοις κυνιδίοις καὶ
ἀνθρώποις οὐκ ἀνθρώποις, ἐφόρουν δὲ καὶ ἱμάτια Μιλησίων ἐρίων
πεποιημένα. ἠγάπων δὲ τῶν μὲν ἐξ Ἰταλίας Τυρρηνούς, τῶν | δ' 519c
25 ἔξωθεν Ἴωνας, ὅτι τρυφῇ προσεῖχον. οἱ δ' ἱππεῖς τούτων ὑπὲρ
τοὺς πεντακισχιλίους ὄντες ἐπόμπευον ἔχοντες κροκωτοὺς ἐπὶ τοῖς
θώραξιν. οἱ δ' εὔποροι, ὅτ' εἰς ἀγρὸν παραβάλοιεν, καίπερ ἐπὶ
ζευγῶν πορευόμενοι τὴν ἡμερησίαν πορείαν ἐν τρισὶν ἡμέραις
διήνυον. ἦσαν δέ τινες αὐτοῖς καὶ τῶν εἰς τοὺς ἀγροὺς φερουσῶν
30 ὁδῶν κατάστεγοι. τοῖς | δὲ πλείστοις ἦσαν οἰνῶνες ἐγγὺς τῆς 519d
θαλάσσης, εἰς οὓς δι' ὀχετῶν τῶν οἴνων ἐκ τῶν ἀγρῶν ἀφειμένων
τὸν μὲν ἔξω τῆς χώρας πιπράσκεσθαι, τὸν δ' εἰς τὴν πόλιν τοῖς
πλοίοις διακομίζεσθαι. ἐποιοῦντο δὲ καὶ δημοσίᾳ πυκνὰς ἑστιά-
σεις, καὶ τοὺς λαμπρῶς φιλοτιμηθέντας χρυσοῖς στεφάνοις ἐτίμων

14 Μασανάσσης C E : Μασσανάσσης A ‖ **25** ἔξωθεν A C E : ἔωθεν C[s] E[s]
31 ἀφειμένων A : ἀφει[μν] vel ἀφει[μν(ον)] C E

519e καὶ δημοσίασις θυσίαις ἀνεκήρυττον. | ἐστεφάνουν δὲ καὶ τῶν μαγείρων τοὺς ἄριστα τὰ παρατεθέντα διασκευάσαντας.

ὅτι παρὰ Συβαρίταις εὑρέθησαν πύελοι, ἐν αἷς κατακείμενοι ἐπυριῶντο. πρῶτοι δὲ καὶ ἀμίδας ἐξεῦρον, ἃς εἰσέφερον εἰς τὰ συμπόσια. καταγελῶντες δὲ τῶν ἀποδημούντων ἐκ τῶν πατρίδων 5 αὐτοὶ ἐσεμνύνοντο ἐπὶ τῷ γεγηρακέναι ἐπὶ ταῖς τῶν ποταμῶν 519f γεφύραις. | ἡ δὲ πόλις αὐτῶν ἐν κοίλῳ κειμένη τοῦ μὲν θέρους ἕωθεν καὶ πρὸς ἑσπέραν ψῦχος ὑπερβάλλον ἔχει, τὸ δὲ μέσον τῆς ἡμέρας καῦμα ἀνύποιστον· ὥστε τοὺς πλείστους αὐτῶν ὑπειλη- 520a φέναι πρὸς ὑγείαν διαφέρειν τοὺς ποταμούς· | ὅθεν καὶ ῥηθῆναι τὸν 10 βουλόμενον ἐν Συβάρει μὴ πρὸ μοίρας θανεῖν οὔτε δυόμενον οὔτ' ἀνίσχοντα τὸν ἥλιον ὁρᾶν δεῖ. πυνθανομένοις δὲ Πυθῶδε μέχρι τίνος εὐδαιμονήσουσιν, ἡ Πυθία ἔφη (Delphic Oracle Q122 Fonten- 520b rose) μέχρι τότ' εὐδαιμονεῖν, | ἔστ' ἂν πρότερον θνητὸν θεοῦ ἄνδρα σεβισῶσι. καὶ οἱ μὲν ἐδόκουν οὐδέποτε παύσεσθαι τρυφῶντες· οὐδὲ 15 520c γὰρ τιμήσειν ποτὲ ἄνθρωπον μᾶλλον θεοῦ. ἐγένετο δ' αὐτοῖς | ἡ τῆς τύχης μεταβολὴ ἐπεί τις οἰκέτην μαστιγῶν καταφυγόντα εἰς τὰ ἱερὰ πάλιν ἐμαστίγου· ὡς δὲ τέλος κατέφυγεν ἐπὶ τὰ τοῦ πατ- ρὸς αὐτοῦ μνήματα, ἀφῆκεν αἰδεσθείς. ἐξαναλώθησαν δὲ τρυφαῖς φιλοτιμούμενοι πρὸς ἑαυτούς τε καὶ πρὸς τὰς ἄλλας ἁπάσας 20 πόλεις. εἰς τηλικοῦτον δὲ τρυφῆς ἤλασαν ὡς καὶ τοὺς ἵππους ἐθίσαι πρὸς αὐλὸν ὀρχεῖσθαι· ὃ εἰδότες οἱ Κροτωνιᾶται, ὅτε αὐτοῖς ἐπολέμουν, ὡς Ἀριστοτέλης (fr. 583 Rose = fr. 600.1 Gigon) ἱστορεῖ, | 520d ἐνέδοσαν τοῖς ἵπποις τὸ ὀρχηστικὸν μέλος· συμπαρῆσαν γὰρ αὐτοῖς καὶ αὐληταὶ ἐν στρατιωτικῇ σκευῇ. καὶ ἅμα αὐλούντων 25 ἀκούοντες οἱ ἵπποι οὐ μόνον ἐξωρχήσαντο, ἀλλὰ καὶ τοὺς ἀνα- βάτας ἔχοντες ηὐτομόλησαν πρὸς τοὺς Κροτωνιάτας. τὰ ὅμοια ἱστορεῖ καὶ περὶ Καρδιανῶν ὁ Λαμψακηνὸς Χάρων (*FGrH* 262 F 1), | 520e οὓς καὶ αὐτοὺς οἱ Βησάλται εἷλον τῷ αὐτῷ τρόπῳ κτησάμενοι πρῶτον αὐλητρίδα ἀφικομένην εἰς αὐτοὺς καὶ διδάξασαν πολλοὺς 30 520f αὐλητάς, μεθ' ὧν στρατευσάμενοι ἐπὶ τὴν Καρδίην. | καὶ ἐπεὶ ἡ μάχη συνεστήκοι, αὐλήσαντες τὰ αὐλήματα ὅσα οἱ ἵπποι τῶν Καρδιηνῶν ἐξεπίσταιντο, ἐνίκησαν τοὺς Καρδιανούς, τῶν ἵππων

10 ὑγείαν C E : ὑγίειαν A ‖ **14** εὐδαιμονεῖν E* : εὐδαιμονῆσαι C **29** Βησάλται C : Βησάλ^{τ} E : Βισ- passim A ‖ **33** Καρδιανούς C : Καρ^{δν} E : Καρδιη- passim A

ἐπὶ τῶν ὀπισθίων στάντων ποδῶν καὶ πρὸς ὀρχησμὸν τραπομένων συνήθως τοῖς προσθίοις ποσὶ καὶ ἀποσεισαμένων τοὺς ἐπιβάτας. |

ὅτι παρὰ Συρακουσίοις νόμος ἦν τὰς γυναῖκας μὴ κοσμεῖσθαι χρυσῷ μηδ' ἀνθινὰ φορεῖν, ὥς φησι | Φύλαρχος (*FGrH* 81 F 45), | μηδ' ἐσθῆτας ἔχειν πορφυρᾶς ἐχούσας παρυφὰς εἰ μή τις αὐτῶν συγχωροίη ἑταίρα εἶναι κοινή, καὶ τὸν ἄνδρα μὴ καλλωπίζεσθαι μηδ' ἐσθῆτι περιέργῳ χρῆσθαι καὶ διαλλαττούσῃ εἰ μὴ ὁμολογῶν μοιχεύειν ἢ κίναιδος εἶναι, καὶ τὴν ἐλευθέραν μὴ ἐκπορεύεσθαι ἡλίου δεδυκότος ἐὰν μὴ μοιχευθησομένην. ἐκωλύετο δὲ καὶ ἡμέρας ἐξιέναι ἄνευ τῶν | γυναικονόμων ἀκολουθούσης αὐτῇ μιᾶς θεραπαινίδος. Συβαρῖται δὲ νόμον ἔγραψαν τὰς γυναῖκας εἰς τὰς ἑορτὰς καλεῖν καὶ τοὺς καλοῦντας πρὸ ἐνιαυτοῦ τὴν παρασκευὴν ποιεῖσθαι· εἰ δέ τις τῶν ὀψοποιῶν ἢ μαγείρων ἴδιον εὕροι βρῶμα καὶ περιττόν, ἐξουσίαν μὴ εἶναι χρήσασθαι τούτῳ ἕτερον πρὸ ἐνιαυτοῦ ἀλλ' αὐτῷ τῷ εὑρόντι, τὸν χρόνον τοῦτον ὅπως ὁ πρῶτος εὑρὼν καὶ τὴν | ἐργασίαν ἔχῃ, πρὸς τὸ τοὺς ἄλλους φιλοπονοῦντας αὑτοὺς ὑπερβάλλεσθαι τοῖς τοιούτοις. ὡσαύτως ἐνομοθέτησαν μηδὲ τοὺς τὰς ἐγχέλεις πωλοῦντας τέλος αὐτοὺς ἀποτίνειν μηδὲ τοὺς θηρεύοντας, καὶ τοὺς τὴν θαλασσίαν δὲ πορφύραν βάπτοντας καὶ τοὺς εἰσάγοντας ἀτελεῖς ἐποίησαν. τελευταῖον δὲ παρὰ Κροτωνιατῶν τριάκοντα πρεσβευτῶν ἡκόντων ἅπαντας ἀπέκτειναν καὶ πρὸ τοῦ τείχους ῥίψαντες ὑπὸ θηρίων εἴασαν διαφθαρῆναι. | αὕτη δ' αὐτοῖς καὶ τῶν κακῶν ἀρχὴ ἐγένετο μηνίσαντος τοῦ δαιμονίου· ἔδοξαν γοῦν οἱ ἄρχοντες αὐτῶν μετ' ὀλίγον ἰδεῖν τὴν Ἥραν ἐλθοῦσαν εἰς μέσην τὴν ἀγορὰν καὶ ἐμοῦσαν χολήν, ἀνέβλυσε δὲ καὶ αἵματος πηγὴ | ἔν τινι τῶν βωμῶν, ὥστε τὸν σύνεγγυς ἅπαντα τόπον κατεχάλκωσαν θυρίσι βουλόμενοι στῆσαι τὴν τοῦ αἵματος ἀναφοράν· διὸ καὶ ἀνάστατοι πάντες ἐγένοντο, οἱ καὶ τὸν τῶν Ὀλυμπίων | τὸν πάνυ ἀγῶνα ἀμαυρῶσαι θελήσαντες· καθ' ὃν γὰρ ἄγεται καιρὸν ἐπιτηρήσαντες ἄθλων ὑπερβολῇ ὡς αὑτοὺς καλεῖν ἐπεχείρουν τοὺς ἀθλητάς. |

ὅτι Συβαρίτης ἀνὴρ ἀκούσας τινὸς πορθμευομένου ὡς παρὰ τὴν γῆν πλευσεῖται, ἀπεκρίνατο ἀστείως ὅτι, "μόλις ἄν σου ὑπήκουσα, εἰ παρὰ τὴν θάλασσαν ἔμελλες πεζεύειν καὶ μὴ παρὰ τὴν γῆν πλεῖν." |

ὅτι καὶ Κροτωνιᾶται ἐξελόντες Συβαρίτας ἐξώκειλαν εἰς τρυφήν, ὥστε καὶ τὸν ἄρχοντα αὐτῶν περιιέναι κατὰ τὴν πόλιν ἁλουργίδα ἠμφιεσμένον καὶ ἐστεφανωμένον χρυσῷ στεφάνῳ καὶ

522c λευκὰς ὑποδεδεμένον κρηπῖδας. | ἐπεχείρησαν δὲ καὶ αὐτοὶ ὕστε-
ρον τὴν Ὀλυμπικὴν πανήγυριν καταλῦσαι τῷ αὐτῷ χρόνῳ προ-
522d | 522c θέντες ἀργυρικὸν | σφόδρα πλούσιον ἀγῶνα, | ὥς φησι Τίμαιος
522d (*FGrH* 566 F 45). | Ταραντίνους δέ φησι Κλέαρχος (fr. 48 Wehrli)
ἀλκὴν καὶ δύναμιν κτησαμένους εἰς τοσοῦτο τρυφῆς προελθεῖν 5
ὥστε τὸν ὅλον χρῶτα παραλεαίνεσθαι καὶ τῆς ψιλώσεως ταύτης
τοῖς λοιποῖς προκατάρξαι. ἐφόρουν δὲ καὶ παρυφὴν διαφανῆ πάν-
τες, οἷς νῦν ὁ τῶν γυναικῶν ἁβρύνεται βίος. ὕστερον δὲ ἀνάστατον
522e μίαν πόλιν Ἰαπύγων ἐποίησαν, | ἐξ ἧς τὰς ἐν ἀκμῇ γυναῖκας
ἀθροίσαντες καὶ σκηνοποιησάμενοι γυμνὰ πᾶσι τῆς ἡμέρας τὰ 10
σώματα παρεῖχον θεωρεῖν· καὶ ὁ βουλόμενος καθάπερ εἰς ἀτυχῆ
παραπηδῶν ἀγέλην ἐθοινᾶτο ταῖς ἐπιθυμίαις τὴν τῶν ἀθροισθέν-
των ὥραν πάντων μὲν ὁρώντων, μάλιστα δὲ ὧν ἥκιστα ἐκεῖνοι
522f προσεδόκων, θεῶν. ἐκεραυνώθησαν οὖν | πάντες.

ὅτι τὸ τῶν Ἰαπύγων γένος ἐκ Κρήτης ὂν τῶν κατὰ Γλαύκου 15
523a ζήτησιν ἀφικομένων καὶ κατοικησάντων | λήθην λαβὸν τῆς Κρη-
τῶν περὶ τὸν βίον εὐκοσμίας εἰς τοῦτο τρυφῆς, εἶθ' ὕστερον ὕβρεως
ἦλθον ὥστε πρῶτοι τὸ πρόσωπον ἐντριψάμενοι καὶ προκόμια
περιθετὰ λαβόντες στολὰς ἀνθινὰς φορῆσαι, τὸ δ' ἐργάσασθαι καὶ
πονεῖν αἴσχιον νομίσαι· καὶ τοὺς πολλοὺς αὐτῶν καλλίονας οἰκίας 20
523b ποιῆσαι τῶν ἱερῶν | καὶ ἐφυβρίζειν τὸ θεῖον καὶ πορθεῖν τὰ ἀγάλ-
ματα προειπόντας μεθίστασθαι τοῖς κρείττοσι· διόπερ ἀπ' οὐρανοῦ
ἐβλήθησαν πυρί. καὶ πάντες οἱ ἀπ' ἐκείνων μέχρι τήμερον ἐν χρῷ
523c κεκαρμένοι καὶ στολὴν πένθιμον ἀμπεχόμενοι ζῶσιν. | Ἴβηρες δὲ
καίτοι ἐν στρατηγικαῖς στολαῖς καὶ ποικίλαις προϊόντες καὶ χιτῶ- 25
σι ποδήρεσι χρώμενοι οὐδὲν ἐμποδίζονται τῆς πρὸς τοὺς πολέμους
ῥώμης. Μασσαλιῶται δὲ Ἰβηρικῶς μέν εἰσιν ἐσταλμένοι, ἐθηλύν-
θησαν δὲ καὶ ἀσχημονοῦσι διὰ τὴν ἐν ψυχαῖς μαλακίαν διὰ τρυφὴν
γυναικοπαθοῦντες· ὅθεν καὶ ἡ παροιμία "πλεύσειας εἰς Μασσα-
523d λίαν." καὶ οἱ τὴν Σῖριν δὲ κατοικοῦντες, | οὕτως ὀνομασθεῖσαν ἢ 30
ἀπὸ γυναικός τινος κατ' Εὐριπίδην (fr. 496) ἢ ἀπὸ τοῦ ποταμοῦ
523c κατ' Ἀρχίλοχον (fr. 22.2 West[2]), | ἣν πρῶτοι κατέσχον οἱ ἀπὸ
Τροίας ἐλθόντες. ὕστερον δὲ Κολοφώνιοι εἰς τρυφὴν ἐξώκειλαν οὐχ
523d ἧσσον Συβαριτῶν· καὶ γὰρ | ἰδίως ἐπεχωρίασεν αὐτοῖς φορεῖν
ἀνθινοὺς χιτῶνας, οὓς ἐζώννυντο μίτραις πολυτελέσι, καὶ ἐκα- 35

9 μίαν πόλιν A : μίαν πό^{λ} C E ‖ **17** τοῦτο A C : τοσοῦτο (recte) E

λοῦντο διὰ τοῦτο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες, ἐπεὶ Ὅμηρος (*Il.* 16.419) τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ. |

ὅτι Μεγάλη Ἑλλὰς ἐκλήθη πᾶσα σχεδὸν ἡ κατὰ τὴν Ἰταλίαν κατοίκησις. 523e

5 ὅτι Μιλήσιοι ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας καὶ τὰς ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον Πόντον κατῴκισαν πόλεσι λαμπραῖς· καὶ πάντες ὑπὸ τὴν Μίλητον ἔθεον. ὡς δ' ὑπήχθησαν ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης (fr. 557 Rose = fr. 565.1 Gigon). | καὶ παροιμία 523f
10 τις ἐγεννήθη ἐπ' αὐτῶν·

πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. (cf. Ar. *Pl.* 1002)

οὐ μόνον δὲ διὰ τρυφήν, φησὶν Ἡρακλείδης (fr. 50 Wehrli = fr. 23 Schütrumpf), ἀλλὰ καὶ διὰ πολιτικὴν ἔχθραν ἠτύχησαν· | πρῶτον 524a μὲν γὰρ ὁ δῆμος τοὺς πλουσίους ἐκβαλὼν καὶ τὰ τέκνα τῶν
15 φυγόντων εἰς ἀλωνίας συναγαγὼν βουσὶ συνηλοίησαν καὶ παρανόμῳ θανάτῳ διέφθειραν. τοιγαροῦν πάλιν οἱ πλούσιοι τοὺς δημότας κρατήσαντες, οὓς αὐτοὶ Γέργηθας ἐκάλουν, μετὰ τῶν τέκνων κατεπίττωσαν, ὧν καιομένων ἄλλα τε γέγονε τέρατα καὶ ἐλαία ἱερὰ αὐτομάτη | ἀνήφθη· διὸ πολὺν χρόνον ἀπηλαύνοντο τοῦ 524b
20 μαντείου, ὡς δ' ἠρώτων τὴν αἰτίαν, ἤκουσαν (Didyma Oracle 3 Fontenrose)·

καί μοι Γεργήθων τε φόνος μέλει ἀπτολεμίστων
πισσηρός τε μόρος καὶ δένδρεον ἀειθαλές.

διαδιδόντες δέ, φησὶ Κλέαρχος (fr. 45 Wehrli), τὴν τρυφὴν καὶ τοῖς
25 πλησιοχώροις, ἔπειτ' ὀνειδιζόμενοι ἔλεγον ἑαυτοῖς· "οἴκοι τὰ Μιλήσια κἀπιχώρια καὶ | μὴ ἐν τῷ μέσῳ." ὁ αὐτός (Clearch. fr. 46 524c Wehrli) φησι πρῶτον ἔθνος τὸ Σκυθῶν νόμοις κοινοῖς χρήσασθαι, εἶτα γενέσθαι πάντων ἀθλιωτάτους διὰ τὴν ὕβριν· ἐτρύφησαν μὲν γὰρ ὡς οὐδένες, | καὶ ὕβρεως εἰς τοῦτο προῆλθον ὥστε πάντων εἰς 524d
30 οὓς ἀφίκοντο ἠκρωτηρίαζον τὰς ῥῖνας· ἀφ' ὧν οἱ ἀπόγονοι μεταστάντες ἔτι καὶ νῦν ἀπὸ τοῦ πάθους ἔχουσι τὴν ἐπωνυμίαν. αἱ δὲ γυναῖκες αὐτῶν τὰς πρὸς ἑσπέραν καὶ ἄρκτον Θρᾳκικὰς γυναῖκας ἐποίκιλλον τὰ σώματα περόναις γραφὴν ἐνεῖσαι· ὅθεν ὕστερον

7 ὑπὸ C E : εἰς Eust. : ἐπὶ A ‖ **17** Γέργηθας C E : Γέργιθας A ‖ **22** Γεργήθων C E : Γεργίθων A

αἱ ὑβρισθεῖσαι τῶν Θρᾳκῶν γυναῖκες ἐξηλείψαντο τὴν συμφορὰν |
524e προσαναγραψάμεναι τὰ λοιπὰ τοῦ χρωτός, ἵν' ὁ τῆς ὕβρεως χαρακτὴρ εἰς ποικιλίαν καταριθμηθεὶς κόσμου προσηγορίᾳ τοὔνειδος ἐξαλείψῃ. οὕτω δ' ὑπερηφάνως προΐσταντο ὥστε οὐδένων ἄδακρυς ἡ τῆς δουλείας ὑπουργία γινομένη διήγγειλεν εἰς τοὺς ἐπιγινομένους τὴν ἀπὸ Σκυθῶν ῥῆσιν οἵα τις ἦν· οἳ καὶ τὰς κόμας ὑπὸ τῶν
524f Σκυθῶν περισπώμενοι διὰ τὸ πένθος | τὴν ἐφ' ὕβρει κουρὰν ἀπεσκυθίσθαι προσηγόρευσαν. Καλλίας (fr. 8.1) δὲ τοὺς σύμπαντας Ἴωνας ἐπισκώπτων φησί·

τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεζος Ἰωνία; 10

καὶ Ἀβυδηνοὶ δὲ — Μιλησίων δ' εἰσὶν ἄποικοι — ἀνειμένοι τὴν
525c δίαιτάν εἰσι καὶ κατεαγότες. | ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς τῷ Μαιάνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι· ἑάλωσαν γὰρ ὑπὸ Ἐφεσίων. καὶ αὐτοὶ δὲ Ἐφέσιοι ἐτρύφων ἱμάτια φοροῦντες, ὥς φησιν ὁ Ἐφέσιος Δημόκριτος (*FGrH* 267 F 1), πορφυρᾶ καὶ κρόκινα 15
525d ῥόμβοις ὑφαντὰ καὶ σαράπεις μηλίνους καὶ | πορφυροῦς καὶ λευκοὺς καὶ καλασίρεις Κορινθιουργεῖς πορφυρᾶς τε καὶ ἰοβαφεῖς καὶ ὑακινθίνας καὶ φλογίνας καὶ θαλασσοειδεῖς — εἰσὶ δὲ καὶ Περσικαί, αἵπερ εἰσὶ κάλλισται πασῶν — φοροῦντες δὲ καὶ ἀκταίας. ἐστὶ δὲ τοῦτο σπαθητὸν ἰσχύος καὶ κουφότητος χάριν· 20 καταπέπλασται δὲ χρυσοῖς κέγχροις· οἱ δὲ κέγχροι νήματι
525e πορφυρῷ πάντες | εἰς τὴν εἴσω μοῖραν ἅμματ' ἔχουσιν ἀνὰ μέσον. ἐν δὲ τῷ σχολίῳ τοῦ βιβλίου ὅθεν αἱ παρεκβολαὶ τάδε ἦσαν περὶ τοῦ ἄνω γεγραμμένου ῥόμβου· ῥόμβος ἐστὶ τροχίσκος ὃν τύπτοντες ἱμᾶσι καὶ στρέφοντες ποιοῦσι περιδινεῖσθαι καὶ ψόφον ἀποτε- 25 λεῖν· ῥύμβον δὲ αὐτὸν Εὔπολις (fr. 83.1) εἶπε· καλεῖται δὲ καὶ βρυτήρ.

ὅτι καὶ Σάμιοι ἐτρύφων βαδίζοντες κατεκτενισμένοι τὰς τρίχας
526a ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. | Κολοφώνιοι δὲ τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖς, ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς 30 Λυδοὺς φιλίαν ποιησάμενοι, προῄεσαν διησκημένοι τὰς κόμας χρυσῷ κόσμῳ, |

526b παναλουργέα φάρε' ἔχοντες, |

23–7 ἐν δὲ τῷ σχολίῳ … καὶ βρυτήρ verba epitomatoris, cf. Σ[P] A.R. 1.1134–9 (p. 103.3–5 Wendel)

κατὰ Ξενοφάνην (fr. 3.3 West[2]). | οὕτω δ' ἐξελύθησαν ὥστε τινὲς 526a | 526b
αὐτῶν οὔτε ἀνατέλλοντα τὸν ἥλιον οὔτε δυόμενον ἑωράκασι. |
Θεόπομπος (*FGrH* 115 F 117) δὲ χιλίους φησὶν αὐτῶν ἄνδρας 526c
ἁλουργεῖς φοροῦντας στολὰς ἀστυπολεῖν· ὅθεν καὶ βασιλεῦσι
5 σπάνιον ἦν τότε καὶ περισπούδαστον· ἰσοστάσιος γὰρ ἦν ἡ
πορφύρα πρὸς ἄργυρον ἐξεταζομένη· ὅθεν ἐν τυραννίδι γενόμενοι
αὐτῇ πατρίδι διεφθάρησαν. | κοινῶς δὲ περὶ πάντων Ἰώνων 526d
Ἀντιφάνης (fr. 91) φησί·

πόθεν οἰκήτωρ εἴ; τίς Ἰώνων
10 τρυφεραμπεχόνων ἁβρὸς ἡδυπαθὴς
ὄχλος ὥρμηται;

περὶ δὲ Βυζαντίων | φησὶ Θεόπομπος (*FGrH* 115 F 62) ὅτι διὰ τὸ 526e
δημοκρατεῖσθαι πολὺν χρόνον καὶ τὴν πόλιν ἐπ' ἐμπορίου κειμέ-
νην ἔχειν καὶ τὸν δῆμον περὶ τὴν ἀγορὰν καὶ τὸν λιμένα διατρί-
15 βειν ἀκόλαστοι ἦσαν καὶ συνουσιάζειν καὶ πίνειν εἰθισμένοι ἐπὶ
τῶν καπηλείων. καὶ Καλχηδόνιοι δέ, φησίν, ἐν ἐπιτηδεύμασι καὶ
βίῳ βελτίονι διατελοῦντες πρίν, ἐπεὶ τῆς Βυζαντίων δημοκρατίας
ἐγεύσαντο, διεφθάρησαν εἰς τρυφὴν ἐκ σωφρονεστάτων | καὶ μετρι- 526f
ωτάτων φιλοπόται καὶ πολυτελεῖς γενόμενοι. | καὶ Θετταλοὺς δέ 527a
20 φησι (Theopomp. *FGrH* 115 F 49) ζῆν σὺν ὀρχηστρίσι καὶ αὐλητρίσι
διατρίβοντας καὶ ἐν κύβοις καὶ πότοις διημερεύοντας, | πολυτελε- 527b
στάτους γενομένους περὶ δίαιταν καὶ ἐσθῆτα· ὅπερ αὐτοῖς αἴτιον
ἐγένετο καθ' Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας ζηλώσαντας τὴν
τούτων τρυφὴν καὶ πολυτέλειαν. | Φαρσάλιοι δέ, φησίν, ἀνθρώπων 527a
25 ἀργότατοι καὶ πολυτελέστατοι. | Αἰτωλοὶ δέ, ὥς φησι Πολύβιος 527b
(13.1.1), διὰ τὴν τῶν πολέμων συνέχειαν καὶ τὴν τῶν βίων
πολυτέλειαν κατάχρεοι ἐγένοντο, οἳ τοσούτῳ τῶν λοιπῶν ἑτοιμό-
τερον ἔχουσι πρὸς | θάνατον ὅσῳπερ καὶ ζῆν πολυτελῶς καὶ 527c
ἐκτενέστερον ζητοῦσι τῶν ἄλλων. διαβόητοι δὲ περὶ τρυφὴν
30 Σικελιῶται καὶ Συρακούσιοι· Ἀριστοφάνης (fr. 225.2–3) γοῦν φησι·

Συρακουσίους τράπεζαν
Συβαρίτιδάς τ' εὐωχίας.

9 εἴ] εἶ C E : ἢ A ‖ **22** ἐσθῆτα] τὴν ἐσθῆτα A : ἐσθῆ^τ E : αἰσθῆ^τ C : τὰς ἐσθῆτας 14.662f

527d καὶ Πλάτων δέ φησιν ἐν Ἐπιστολαῖς (*VII* 326b–c)· | ἐλθόντα με |
527c | 527d εἰς Σικελίαν | ὁ ταύτῃ βίος οὐδαμῇ οὐδαμῶς ἤρεσε, δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ, καὶ ὅσα τούτων ἐπιτηδεύματα συνέπεται τῷ βίῳ· ἐκ γὰρ τούτων τῶν ἐθῶν οὔτ' ἂν φρόνιμος οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ 5 τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, σώφρων δ'
527e οὐδ' ἂν μελλήσαι ποτὲ γενέσθαι. | Ποσειδώνιος (*FGrH* 87 F 10 = fr. 62a Edelstein–Kidd) δὲ τὰς κατὰ Συρίαν πόλεις τρυφώσας παριστῶν φησι τοὺς ἐν αὐταῖς συνεχῶς εὐωχουμένους τοῖς μὲν γυμνασίοις ὡς βαλανείοις χρᾶσθαι, ἀλείφεσθαι δ' ἐλαίῳ πολυτελεῖ 10
527f καὶ μύροις, τοῖς δὲ γραμματίοις — οὕτω δ' | ἐκάλουν τὰ κοινὰ τῶν συνδείπνων — ἐν οἰκητηρίοις διαιτᾶσθαι, καὶ τὸ πλεῖον τῆς
528a ἡμέρας γαστρίζεσθαι. | Ζακυνθίους δέ φασιν ἀπείρους εἶναι πολέμου διὰ τὸ ἐν εὐπορίᾳ καὶ πλούτῳ τρυφῶντας ἐθίζεσθαι.
528b Πολύβιος (7.1.1–3) δέ φησι Καπυησίους τοὺς ἐν | Καμπανίᾳ διὰ 15 τὴν ἀρετὴν τῆς γῆς πλουτήσαντας καὶ εἰς τρυφὴν καὶ πολυτέλειαν † ὑπερβαλλομένους τὴν περὶ Κρότωνα καὶ Σύβαριν φήμην καὶ μὴ δυναμένους φέρειν τὴν παροῦσαν εὐδαιμονίαν καλεῖν τὸν Ἀννίβαν· διὸ ὑπὸ Ῥωμαίων ἀνήκεστα ἔπαθον.

ὅτι Πετηλῖνοι τηρήσαντες τὴν πρὸς Ῥωμαίους πίστιν ἐς 20 τοσοῦτον ἐκαρτέρησαν πολιορκούμενοι ὑπ' Ἀννίβα ὥστε μετὰ τὸ
528c πάντα τὰ κατὰ τὴν πόλιν δέρματα καταφαγεῖν, | ἁπάντων δὲ τῶν κατὰ τὴν πόλιν δένδρων τοὺς φλοιοὺς καὶ τοὺς ἁπαλοὺς πτόρθους ἀναλῶσαι, ἕνδεκα μῆνας ὑπομείναντες τὴν πολιορκίαν οὐδενὸς βοηθοῦντος οὐδὲ συνευδοκοῦντος Ῥωμαίων παρέδοσαν ἑαυτούς. 25 τοὺς δὲ Κουρῆτάς φησι Φύλαρχος (*FGrH* 81 F 23) διὰ τὴν τρυφὴν σχεῖν τὴν προσηγορίαν λέγων·

> χλιδῶν τε πλόκαμος ὥστε παρθένου ἁβρᾶς·
> ὅθεν καλεῖν Κουρῆτα λοιπὸν ἤνεσαν. (A. fr. 313) |

528d Ἀγάθων (*TrGF* 39 F 3) δὲ περὶ τῶν αὐτῶν φησι τοὺς τὴν Πρώνα- 30 κτος θυγατέρα μνηστεύοντας τοῖς τε λοιποῖς πᾶσιν ἐξησκημένους ἐλθεῖν καὶ κομῶντας τὰς κεφαλάς, ἐπεὶ δ' ἀπέτυχον τοῦ γάμου·

11 γραμματίοις A C : γραμματείοις (recte) E et 5.210f ‖ **12** ἐν C E : ὡς ἐν A : ὡς 5.210f ‖ **14** πλούτῳ A : πλούῳ E* : πλείω C ‖ **17** ⟨ἐξοκεῖλαι⟩ ex A addendum est ‖ **20** ὅτι scripsi : ὅτε C E : δὲ post Πετηλῖνοι A : fort. οἵ τε

κόμας ἐκειράμεθα (φησί) μάρτυρας τρυφῆς,
ἦ που ποθεινὸν χρῆμα παιζούσῃ φρενί·
ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος
Κούρητες εἶναι κουρίμου χάριν τριχός.

5 καὶ ἐν Ἰταλίᾳ δὲ Κυμαῖοι | ἐτρύφων χρυσοφοροῦντες καὶ ἀνθινὰ 528e φοροῦντες καὶ μετὰ γυναικῶν εἰς τοὺς ἀγροὺς ἐξιόντες ἐπὶ ζευγῶν ὀχούμενοι.

ὅτι Νινύας ὁ Νίνου καὶ Σεμιράμιδος ἔνδον μένων καὶ τρυφῶν ὑπ' οὐδενὸς ἑωρᾶτο εἰ μὴ ὑπὸ τῶν εὐνούχων | καὶ τῶν ἰδίων 528f 10 γυναικῶν. τοιοῦτος καὶ Σαρδανάπαλος ὁ Ἀνακυνδαράξεω ἢ Ἀναβαραξάρου. ὅτε δὴ Ἀρβάκης ὁ Μῆδος, εἷς τῶν ὑπ' αὐτὸν στρατηγῶν, διεπράξατο δι' εὐνούχου θεάσασθαι Σαρδανάπαλον καὶ μόλις αὐτῷ ἐπετράπη ἐκείνου θελήσαντος, ὡς εἰσελθὼν εἶδεν αὐτὸν ἐψιμυθιωμένον καὶ κεκοσμημένον γυναικιστὶ καὶ μετὰ τῶν 15 παλλακίδων ξαίνοντα πορφύραν | ἀναβάδην τε μετ' αὐτῶν καθή- 529a μενον γυναικείαν τε στολὴν ἔχοντα, κατεξυρημένον τὸν πώγωνα καὶ κατακεκισσηρισμένον — ἦν δὲ καὶ γάλακτος λευκότερος καὶ ὑπεγέγραπτο τοὺς ὀφθαλμούς — Δοῦρις (*FGrH* 76 F 42) μέν φησιν, ἀγανακτήσας, εἰ τοιοῦτος αὐτῶν βασιλεύει, συγκεντήσας αὐτὸν 20 ἀνεῖλε. Κτησίας (*FGrH* 688 F 1q) δέ φησιν εἰς πόλεμον καταστῆναι τῷ Ἀρβάκῃ ἀθροίσαντα πολλὴν στρατιὰν καὶ καταλυθέντα | ἑαυτὸν ἐμπρῆσαι ἐν τοῖς βασιλείοις πυρὰν νήσαντα ὕψος τεσσάρων 529b πλέθρων, ἐφ' ἧς ἐπέθηκε χρυσᾶς κλίνας ἑκατὸν καὶ πεντήκοντα καὶ ἴσας τραπέζας καὶ ταύτας χρυσᾶς. ἐποίησε δὲ ἐν τῇ πυρᾷ καὶ 25 οἴκημα ἑκατόμποδον ἐκ ξύλων, κἀνταῦθα κλίνας ὑπεστόρεσεν, αἷς κατεκλίθη αὐτὸς καὶ ἡ γυνὴ καὶ αἱ παλλακίδες· τοὺς γὰρ τρεῖς υἱοὺς καὶ δύο θυγατέρας ὁρῶν τὰ πράγματα κακούμενα πεπόμφει εἰς Νίνον | δοὺς αὐτοῖς τρισχίλια χρυσίου τάλαντα. ἐπεστέγασε δὲ 529c τὸ οἴκημα δοκοῖς μεγάλαις καὶ παχείαις, ἔπειτα ἐν κύκλῳ περι- 30 έθηκε πολλὰ ξύλα καὶ παχέα, ὡς μὴ εἶναι ἔξοδον. ἐνταῦθα ἐπέθηκε χρυσίου μυριάδας χιλίας, ἀργυρίου ταλάντων μυρίας, ἱμάτια, πορφύρας καὶ στολὰς παντοδαπάς. ἔπειτα ὑφάψαι ἐκέλευσε τὴν πυράν· καὶ ἐκαίετο πεντεκαίδεκα ἡμέρας. οἱ δὲ ἐθαύμαζον ὁρῶντες

10 Σαρδανάπαλος C E : Σαρδανάπαλλος A ‖ **11** Ἀρβάκης A C E : Ἀρσάκης C[s] E[s] ‖ **12** Σαρδανάπαλον C E : Σαρδανάπαλλον A ‖ **17** κατακεκισσηρισμένον C E : κατακεκισηρισμένον A ‖ **25** ἑκατόμποδον C E B : ἑκατόνπεδον A : ἑκατόμπεδον Schweighäuser ‖ **27** πεπόμφει C E : προπεπόμφει A

529d τὸν καπνὸν καὶ ἐδόκουν θυσίας ἐπιτελεῖν· ταῦτα | δὲ μόνοι ᾔδεσαν οἱ εὐνοῦχοι. καὶ οὕτως ἐκτόπως ἡδυπαθήσας ὡς ἐνῆν γενναίως ἐτελεύτησεν. οὗτος τοῖς πορίσασιν αὐτῷ ἡδύ τι βρῶμα ἆθλα ἐτίθει
529e νοῦν οὐκ ἔχων. | οὗ καὶ ἐπιγέγραπται τῷ μνήματι· Σαρδανάπαλος Ἀνακυνδαράξεω Ἀγχιάλην ἔδειμε καὶ Ταρσὸν μιῇ ἡμέρῃ, ἀλλὰ 5
529f νῦν τέθνηκεν. | ἐπιγέγραπται δὲ καὶ ἐν λιθίνῃ στήλῃ Χαλδαϊκοῖς γράμμασιν ὃ μετενεγκὼν Χοιρίλος ἔμμετρον ἐποίησεν· ἐγὼ δ' ἐβασίλευσα καὶ ἄχρι ἑώρων τοῦ ἡλίου φῶς ἔπιον, ἔφαγον, ἠφροδι-
530a σίασα, εἰδὼς τόν τε χρόνον ὄντα | βραχὺν ὃν ζῶσιν οἱ ἄνθρωποι καὶ τοῦτον πολλὰς ἔχοντα μεταβολάς, καὶ ὅτι ὧν ἂν καταλίπω 10 ἀγαθῶν ἄλλοι ἕξουσι τὰς ἀπολαύσεις· διὸ κἀγὼ ἡμέραν οὐδεμίαν παρέλιπον τοῦτο ποιῶν. Κλείταρχος (*FGrH* 137 F 2) δὲ ἀποπεσόν-
530b τα τῆς τῶν Σύρων ἀρχῆς αὐτόν φησι γήρᾳ τελευτῆσαι. | Ἀριστόβουλος (*FGrH* 139 F 9a) δὲ ἐν Ἀγχιάλῃ φησὶν ἑστάναι τύπον Σαρδαναπάλου λίθινον συμβεβληκότα τῆς δεξιᾶς χειρὸς τοὺς 15 δακτύλους, ὡς ἂν ἐπικροτοῦντα, ἐπιγεγράφθαι δ' αὐτῷ Ἀσσυρίοις γράμμασι· Σαρδανάπαλος Ἀνακυνδαράξου παῖς Ἀγχιάλην καὶ
530c Τάρσον ἔδειμεν ἡμέρῃ μιᾷ. ἔσθιε, πῖνε, | παῖζε· ὡς τἄλλα τούτου
529d οὐκ ἄξια. ἔοικε δὲ λέγειν τοῦ ἀποκροτήματος | καὶ δεικνύειν
529e ἐνταῦθα οἵου καταγέλωτος | ἄξια τὰ τῶν ἀνθρώπων πράγματα, 20
530c οὐκ ἄξια ὄντα ψόφου δακτύλων ὃν χορεύων πεποίηται. | διετέθρυπτο δὲ καὶ ὁ Φρὺξ Ἀνδρόκοτος, ὃς ἀνθινὴν ἐνεδέδυτο ἐσθῆτα καὶ γυναικὸς ἐκοσμεῖτο εὐπρεπέστερον. Σάγαρις δὲ ὁ Μαρυανδηνὸς ὑπὸ τρυφῆς ἐσιτεῖτο μέχρι μὲν γήρως ἐκ τοῦ τῆς τιτθῆς στόματος, ἵνα μὴ μασώμενος πονέσειεν, οὐ πώποτε δὲ τὴν χεῖρα 25
530d | 530c κατωτέρω | τοῦ ὀμφαλοῦ προσηνέγκατο, | φησὶ Κλέαρχος (fr. 53
530d Wehrli). | Ἀριστοτέλης (test. 51b Düring) δὲ Ξενοκράτην τὸν Χαλκηδόνιον (fr. 68 Isnarde Parente) σκώπτων ὅτι οὐρῶν οὐ προσῆγε τὴν χεῖρα τῷ αἰδοίῳ ἔλεγε·

χεῖρες μὲν ἁγναί, φρὴν δ' ἔχει μίασμά τι. (E. *Hipp.* 317) 30

Ἀννάρῳ δὲ τῷ Βαβυλωνίῳ στολὴ καὶ κόσμος ἦν γυναικεῖος, καὶ βασιλέως ὄντι δούλῳ εἰσῄεσαν εἰς τὸ δεῖπνον πεντήκοντα καὶ

4 Σαρδανάπαλος C E : Σαρδανάπαλλος A ‖ **15** Σαρδαναπάλου C : Σαρδαναπά[λ] E : Σαρδαναπάλλου A ‖ **17** Σαρδανάπαλος C E : Σαρδανάπαλλος A **22** Ἀνδρόκοτος C E : Ἀνδρόκοττος A ‖ **23–4** Μαρυανδηνὸς C E : Μαριανδυν- A

ἑκατὸν ψάλλουσαι καὶ ᾄδουσαι γυναῖκες, ἱστορεῖ Κτησίας (*FGrH* 688 F 6). | ἐτρύφα δὲ καὶ Νίνος ὁ Ἀσσύριος, ὃς κατὰ τὸν Κολοφώνιον Φοίνικα (fr. 1.2–4, 7–11, 16–23, pp. 231–2 Powell) 530e

χρυσίου
5 τάλαντα εἶχε πολλῷ πλείονα Κασπίης ψάμμου,
ὃς οὐκ ἴδ' ἀστέρα, (φησίν) 4
οὐ μυήθη, οὐ δικασπόλος ἦν, 7
οὐ λεωλογεῖν ἐμάνθανεν, οὐκ ἀμιθρῆσαι, |
ἀλλ' ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν 530f
10 κἠρᾶν, τὰ δ' ἄλλα πάντα κατὰ πετρῶν ὤθει. 10
ὡς δ' ἀπέθαν' ὡνήρ, πᾶσι κατέλιπε ῥῆσιν· 11
"ἐγὼ Νίνος πάλαι ποτ' ἐγενόμην πνεῦμα, 16
νῦν δ' οὐκέτ' οὐδέν, ἀλλὰ γῆ πεποίηται·
ἔχω δ' ὁκόσον ἔδεσα
15 χὠκόσσ' ἐράσθην,
τὰ δ' ὄλβι' ἡμῶν δήιοι συνελθόντες | 20
φέρουσιν ὥσπερ ὠμὸν ἔριφον αἱ Βάκχαι· 531a
ἐγὼ δ' ἐς Ἀΐδην οὔτε χρυσὸν οὔθ' ἵππον
οὔτ' ἀργυρῆν ἄμαξαν ᾠχόμην ἕλκων."

20 Στράτων δὲ ὁ Σιδώνιος βασιλεύς, ὥς φησι Θεόπομπος (*FGrH* 115 F 114), ἡδυπαθείᾳ πάντας ὑπερέβαλεν οὐδὲν τῆς Φαιάκων τρυφῆς ἀποδέων, πλὴν | ὅσον οἱ μὲν μετὰ τῶν οἰκείων γυναικῶν καὶ 531b θυγατέρων ἐποιοῦντο τοὺς πότους, ὁ δὲ μετ' αὐλητρίδων καὶ ψαλτριῶν καὶ κιθαριστριῶν, ὧν αἱ μὲν ἐκ Πελοποννήσου μετάπεμπτοι 25 ἦσαν, αἱ δ' ἐξ Ἰωνίας, αἱ δ' ἐκ πάσης τῆς Ἑλλάδος. | ἦν μὲν οὖν 531c οὗτος καὶ φύσει δοῦλος τῶν ἡδονῶν, ἐφιλοτιμεῖτο δὲ καὶ | ἡμιλ- 531d λᾶτο καὶ πρὸς Νικοκλέα τὸν τῆς ἐν Κύπρῳ Σαλαμῖνος | βασιλέα 531e ἀσελγῆ καὶ αὐτὸν ὄντα καὶ τρυφῶντα. ἀπέθανον οὖν ἀμφότεροι βιαίως. καὶ Κότυς δὲ πάντων βασιλέων τῶν ἐν Θρᾴκῃ μάλιστα, 30 φησὶν ὁ αὐτός (Theopomp. *FGrH* 115 F 31), πρὸς ἡδυπαθείας καὶ τρυφὰς ὥρμησε, καὶ περιιὼν | τὴν χώραν ὅπου κατίδοι τόπους 531f δένδρεσι συσκίους καὶ καταρρύτους ὕδασι, τούτους κατεσκεύασεν ἑστιατόρια· καὶ φοιτῶν εἰς ἑκάστους ὅτε τύχοι, ἔθυε, καὶ ἦν μακα-

14 ἔδεσα C E : ἔδαισα A : ἔπαισα Kaibel ‖ **21** ὑπερέβαλεν C : ὑπερέβα^λ E : ὑπερβάλλειν A (ὑπερβαλεῖν Kaibel) : fort. ὑπερέβαλλεν ‖ **26** φύσει A : φυ^ει C : φύει E

ριστὸς ἕως εἰς Ἀθηνᾶν πλημμελεῖν ἐπεχείρησε. δεῖπνον οὖν ποτε κατεσκεύασεν ὡς γαμουμένης αὐτῷ τῆς Ἀθηνᾶς, καὶ θάλαμον κατασκευάσας ἀνέμενεν αὐτὴν μεθύων. ἤδη δ' ἔκφρων γενόμενος
532a ἔπεμπε | δορυφόρον ὀψόμενον εἰ παραγέγονεν εἰς τὸν θάλαμον. ὡς δ' ἐκεῖνος εἶπε μηδένα εἶναι ἐν τῷ θαλάμῳ, τοξεύσας τοῦτον 5 ἀπέθανε καὶ ἄλλον δεύτερον ἐπὶ τοῖς αὐτοῖς, ἕως ὁ τρίτος συνεὶς παραγενόμενος ἔφη πάλαι τὴν θεὸν αὐτὸν ἀναμένειν. οὗτός ποτε καὶ τὴν ἑαυτοῦ γυναῖκα ζηλοτυπήσας ἀνέτεμε τὴν ἄνθρωπον ἀπὸ τῶν αἰδοίων ἀρξάμενος.

532b ὅτι Χαβρίας ὁ Ἀθηναῖος | μὴ δυνάμενος ἐν τῇ πόλει ζῆν 10 ἀπεδήμησε τὰ μὲν διὰ τὴν ἀσέλγειαν αὐτοῦ τὴν περὶ τὸν βίον, τὰ δὲ διὰ τοὺς Ἀθηναίους· πᾶσι γάρ εἰσι χαλεποί· διὸ καὶ εἵλοντο αὐτῶν οἱ ἔνδοξοι ἔξω τῆς πόλεως καταβιοῦν, Ἰφικράτης μὲν ἐν Θράκῃ, Κόνων δ' ἐν Κύπρῳ, Τιμόθεος ἐν Λέσβῳ, αὐτὸς δ' ὁ Χαβρίας ἐν Αἰγύπτῳ, Χάρης δὲ ἐν Σιγείῳ. ὃν νωθρόν τε ὄντα καὶ 15
532c βραδὺν | καὶ πρὸς τρυφὴν ἤδη ζῶντα, ὃς καὶ στρατευόμενος αὐλητρίδας περιήγετο καὶ ψαλτρίας καὶ πεζὰς ἑταίρας, καὶ τῶν εἰσφερομένων εἰς τὸν πόλεμον τὰ μὲν εἰς ταύτην τὴν ὕβριν ἀνήλισκε, τὰ δ' Ἀθήνησι κατέλειπε τοῖς τε λέγουσι καὶ τὰ ψηφίσματα γράφουσιν, ἠγάπων οἱ πολῖται. καὶ δικαίως· καὶ γὰρ αὐτοὶ τοῦτον 20
532d τὸν | τρόπον ἔζων, ὡς τοὺς μὲν νέους ἐν τοῖς αὐλητριδίοις παρὰ ταῖς ἑταίραις διατρίβειν, τοὺς δὲ μικρῷ ἐκείνων πρεσβυτέρους ἐν κύβοις, τὸν δὲ δῆμον ἅπαντα πλείω καταναλίσκειν εἰς τὰς κοινὰς ἑστιάσεις καὶ κρεανομίας ἤπερ εἰς τὴν τῆς πόλεως διοίκησιν.
532e οὗτος ὁ Χάρης ποτὲ πολυτελῶς Ἀθηναίους ἐδείπνισεν | ἐν τῇ ἀγο- 25 ρᾷ θύσας τὰ ἐπινίκια τῆς πρὸς τοὺς Φιλίππου ξένους μάχης· ὧν ἡγεῖτο Ἀδαῖος ὁ Ἀλεκτρυὼν ἐπικαλούμενος, περὶ οὗ Ἡρακλείδης ὁ κωμικὸς (fr. 1.1–5) λέγει·

> Ἀλεκτρυόνα τὸν τοῦ Φιλίππου λαβὼν
> ἀωρὶ κοκκύζοντα καὶ πλανώμενον 30
> κατέκοψεν· οὐ γὰρ εἶχεν οὐδέπω λόφον.
> κᾆτα κόψας μάλα συχνοὺς ἐδείπνισε
> Χάρης Ἀθηναίους τόθ'· ὡς γενναῖος ἦν. | 5

6 ἀπέθανε C E* : ἀπέκτεινε A ‖ **15** ὃν Χάρητα C E : Χάρητα ut glossam delevi

ὅτι Ἱππίας καὶ Ἵππαρχος κωμασταὶ ἦσαν, ὅθεν βαρεῖα αὐτῶν 532f
ἐγένετο ἡ ἀρχή. καίτοι ὁ πατὴρ αὐτῶν Πεισίστρατος μετρίως
ἐχρῆτο ταῖς ἡδοναῖς, ὥστ' οὐδ' ἐν τοῖς χωρίοις ἢ τοῖς κήποις
φύλακας ἐφίστα, ὥς φησι Θεόπομπος (*FGrH* 115 F 135), | ἀλλ' εἴα 533a
5 τὸν βουλόμενον εἰσιόντα ὀπωρίζεσθαι καὶ λαμβάνειν εἴ τινος
δέοιτο τῶν ἐν τοῖς χωρίοις. | εἶτα τὴν οἰκίαν παρεῖχε κοινὴν 533b
ἅπασι· καὶ δεῖπνον ἀεὶ εὐτελὲς παρεσκευάζετο πολλοῖς ἀνθρώποις.
ἐθεράπευε δὲ καὶ τοὺς αὐτοῦ τι δεομένους, καί φασιν ὡς περιήγετο
ἀεὶ νεανίσκους δύο ἢ τρεῖς ἔχοντας κέρματα τούτοις τε διδόναι
10 προσέταττεν, ὁπότε τις προσέλθοι αὐτῷ δεόμενος. καί φασι μὲν
αὐτὸν καὶ εἰς ταφὴν εἰσφέρειν, ποιεῖν δὲ τοῦτο καὶ ὅτε τῶν
πολιτῶν τινα ἴδοι κακῶς | ἠμφιεσμένον. ἐκ δὴ τούτων πάντων 533c
ηὐδοκίμει καὶ πρῶτος ἦν τῶν πολιτῶν. ἐγένετο δὲ καὶ βαρὺς ἐν
πολλοῖς, ὅπου καὶ τὸ Ἀθήνησι Διονύσου πρόσωπον ἐκείνου φασί
15 τινες εἰκόνα.

ὅτι ὁ Ὀλύμπιος Περικλῆς ἀπαλλάξας ἐκ τῆς οἰκίας τὴν γυν-
αῖκα ᾤκει μετ' Ἀσπασίας | τῆς ἐκ Μεγάρων ἑταίρας καὶ τὸ πολὺ 533d
τῆς οὐσίας εἰς ταύτην κατανάλωσε. Θεμιστοκλῆς δὲ οὔπω Ἀθη-
ναίων μεθυσκομένων οὐδ' ἑταίραις χρωμένων ἐκφανῶς τέθριππον
20 ζεύξας ἑταιρίδων διὰ τοῦ Κεραμεικοῦ πληθύοντος ἑωθινὸς ἤλαυνεν.
ἀμφιβόλως δ' αὐτὸ εἴρηκεν Ἰδομενεύς (*FGrH* 338 F 4b), εἴτε ἑταί-
ρας τέσσαρας συνυπέζευξεν ὡς ἵππους εἴτ' ἀνεβίβασεν αὐτὰς ἐπὶ
τὸ τέθριππον. | οὗτος τρίκλινον οἰκοδομησάμενος περικαλλέστα- 533e
τον ἀγαπᾶν ἔφη, εἰ τοῦτον φίλων πληρώσειε, φησὶ Κλέαρχος (fr.
25 17 Wehrli).

ὅτι ὁ παρὰ τῇ παροιμίᾳ περιφόρητος Ἀρτέμων οὕτως ἐκλήθη |
διὰ τὸ τρυφερῶς βιῶν· καίτοι πρῴην, ὡς Ἀνακρέων (*PMG* 388.2–9) 533f
φησί, πένης ἦν

ψιλὸν

30 μὲν ἔχων

περὶ
πλευρῇσι βοός,
νεόπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλησι
καὶ ἐθελοπόρνοισιν | ὁμιλέων, 5 534a
35 κίβδηλον εὑρίσκων βίον,
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,

πολλάκις δὲ κόμην
πώγωνά τ᾽ ἐκτετιλμένος. |

533e μέμνηται δ᾽ αὐτοῦ Χαμαιλέων ὁ Ποντικός (fr. 36 Wehrli)·

ξανθῇ δ᾽ Εὐρυπύλῃ μέλει
ὁ περιφόρητος Ἀρτέμων. (Anacr. *PMG* 372) | 5

534b περὶ δὲ τοῦ καλοῦ Ἀλκιβιάδου Σάτυρος (fr. 1, *FHG* iii.160 = fr. 20 Schorn) ἱστορῶν φησι· λέγεται ὅτι ἐν Ἰωνίᾳ μὲν ὢν ἐφαίνετο τρυφερώτερος, ἐν Θήβαις δὲ σωμασκῶν καὶ γυμναζόμενος τῶν Θηβαίων αὐτῶν μᾶλλον Βοιώτιος, ἐν Θετταλίᾳ δὲ ἱπποτροφῶν καὶ ἡνιοχῶν τῶν Ἀλευαδῶν ἱππικώτερος, ἐν Σπάρτῃ δὲ καρτερίαν 10 καὶ ἀσφάλειαν ἐπιτηδεύων ἐνίκα τοὺς Λάκωνας, ὑπερῆρε δὲ καὶ τὴν τῶν Θρᾳκῶν ἀκρατοποσίαν. τὴν δὲ αὐτοῦ γυναῖκα πειρῶν ὡς
534c ἕτερος | ἔπεμψεν αὐτῇ χιλίους Δαρεικούς. κάλλιστος δὲ ὢν τὴν μορφὴν κόμην τε ἔτρεφεν ἐπὶ πολὺ τῆς ἡλικίας καὶ ὑποδήματα παρηλλαγμένα ἐφόρει, ἃ ἀπ᾽ αὐτοῦ Ἀλκιβιάδης καλεῖται. ὅτε δὲ 15 χορηγοίη πομπεύων ἐν πορφυρίδι, εἰσιὼν εἰς τὸ θέατρον ἐθαυμάζετο οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν ἀλλὰ καὶ ὑπὸ τῶν γυναικῶν. Ἀντισθένης δὲ ὁ Σωκρατικὸς (*SSR* V A 198) ὡς ἂν αὐτόπτης αὐτοῦ γεγονὼς ἰσχυρὸν αὐτὸν καὶ ἀνδρώδη καὶ ἀπαίδευτον καὶ τολμη-
534d ρὸν καὶ ὡραῖον ἐφ᾽ ἡλικίας γενέσθαι φησίν. ὅτε δὲ εἰς | ἀποδημίας 20 στέλλοιτο, τέσσαρσι τῶν συμμαχίδων πόλεων ὡς θεραπαίναις ἐχρῆτο· σκηνὴν μὲν γὰρ αὐτῷ Περσικὴν ἔπησσον Ἐφέσιοι, τροφὴν δὲ τοῖς ἵπποις αὐτοῦ Κῖοι παρεῖχον, ἱερεῖα δὲ παρίστασαν εἰς θυσίας καὶ κρεανομίας Κυζικηνοί, Λέσβιοι δὲ οἶνον παρεῖχον καὶ τἄλλα τὰ πρὸς τὴν καθ᾽ ἡμέραν δίαιταν. ἀφικόμενος δ᾽ ἐν 25 Ὀλυμπίᾳ δύο πίνακας ἀνέθηκεν, Ἀγλαοφῶντος γραφήν· ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα στεφανούσας αὐτόν, ἐν δὲ θατέρῳ |
534e Νεμέα ἦν καθημένη καὶ ἐπὶ τῶν γονάτων αὐτῆς Ἀλκιβιάδης καλλίων φαινόμενος τῶν γυναικείων προσώπων. καὶ στρατηγῶν δὲ ἔτι καλὸς εἶναι ἤθελεν· ἀσπίδα γοῦν εἶχεν ἐκ χρυσοῦ καὶ 30 ἐλέφαντος πεποιημένην, ἐφ᾽ ἧς ἦν ἐπίσημον Ἔρως κεραυνὸν ἠγκυλημένος. ἐπικωμάσας δέ ποτε εἰς Ἄνυτον ἐραστὴν ὄντα καὶ πλούσιον συνεπικωμάζοντος καὶ Θρασύλλου, προπιὼν τῷ Θρα-
534f σύλλῳ τὰ ἡμίση τῶν ποτηρίων ἐκέλευσε τοὺς | ἀκολούθους ἀποφέ-

15 Ἀλκιβιάδης C E : Ἀλκιβιάδες A

ρειν πρὸς τὸν Θράσυλλον | πένητα ὄντα. | λεγόντων δέ τινων ὡς 534e | 533f
ἀγνώμονα εἴη πεποιηκὼς Ἀλκιβιάδης, ὁ Ἄνυτος ἐλευθερίως καὶ
ἐρωτικῶς, "οὐ μὰ Δί'," ἔφη, "ἀλλ' εὐγνωμονέστατα· ἔχων γὰρ
ἐξουσίαν πάντα λαβεῖν τὰ ἡμίση κατέλιπεν."

5 ὅτι Ἀξίοχος καὶ Ἀλκιβιάδης εἰς Ἑλλήσποντον ἐκπλεύσαντες
ἔγημαν ἐν Ἀβύδῳ δύο ὄντε Μεδοντιάδα | τὴν Ἀβυδηνὴν καὶ 535a
ξεινόκοιτιν. καὶ γίνεται αὐτοῖν θυγάτηρ, ἣν οὐκ ἔφαντο δύνασθαι
γνῶναι ὁποτέρου εἴη. ἐπεὶ δὲ ἦν ἀνδρὸς ὡραία, ξυνεκοιμῶντο καὶ
ταύτῃ, καὶ εἰ μὲν χρῷτο καὶ ἔχοι Ἀλκιβιάδης, Ἀξιόχου ἔφασκεν
10 εἶναι θυγατέρα· εἰ δὲ Ἀξίοχος, Ἀλκιβιάδου. | περὶ τούτου Φερε- 535b
κράτης (fr. 164) φησίν·

οὐκ ὢν ἀνὴρ γὰρ Ἀλκιβιάδης, ὡς δοκεῖν,
ἀνὴρ ἁπασῶν τῶν γυναικῶν ἐστι νῦν.

ἐν Σπάρτῃ δ' ὢν ἔφθειρε τὴν Ἄγιδος τοῦ βασιλέως γυναῖκα
15 Τιμαίαν, οὐκ ἀκρασίας ἕνεκα φάσκων συνελθεῖν ἀλλ' ἵν' ὁ γενόμε-
νος ἐξ αὐτοῦ βασιλεύσῃ Σπάρτης καὶ οὐκέτι λέγωνται οἱ βασιλεῖς
ἀφ' Ἡρακλέους ἀλλ' ἀπ' Ἀλκιβιάδου. στρατηγῶν δὲ | συμπεριή- 535c
γετο Τιμάνδραν τε τὴν Λαΐδος τῆς Κορινθίας μητέρα καὶ Θεοδό-
την τὴν Ἀττικὴν ἑταίραν. μετὰ δὲ τὴν φυγὴν κυρίους Ἀθηναίους
20 ποιήσας τοῦ Ἑλλησπόντου καὶ πλείους τῶν πεντακισχιλίων
Πελοποννησίους λαβὼν ἀνέπεμψεν εἰς Ἀθήνας· κατιών τε μετὰ
ταῦτα εἰς τὴν πατρίδα ἐστεφάνωσε τὰς Ἀττικὰς τριήρεις θαλλῷ
καὶ μίτραις καὶ ταινίαις, ναῦς ἄγων αἰχμαλώτους ἠκρωτηριασμέ-
νας εἰς διακοσίας ἱππαγωγούς τε ἄγων σκύλων καὶ ὅπλων |
25 Λακωνικῶν τε καὶ Πελοποννησιακῶν μεστὰς εἰσέπλει. ἡ δὲ 535d
τριήρης ἐφ' ἧς αὐτὸς κατέπλει μέχρι μὲν τῶν κλείθρων τοῦ
Πειραιέως προέτρεχεν ἁλουργοῖς ἱστίοις. ὡς δ' ἐντὸς ἦν καὶ τὰς
κώπας ἔλαβον οἱ ἐρέται, Χρυσόγονος μὲν ηὔλει τὸ τριηρικὸν
ἐνδεδυκὼς τὴν Πυθικὴν στολήν, Καλλιππίδης δὲ ὁ τραγῳδὸς
30 ἐκέλευε τὴν ἐπὶ τῆς σκηνῆς στολὴν ἠμφιεσμένος· διὸ καὶ χαριέν-
τως εἶπέ τις· "οὔτ' ἂν δύο Λυσάνδρους ὑπήνεγκεν ἡ Σπάρτη οὔτ'
ἂν δύο Ἀλκιβιάδας Ἀθῆναι." ἐμιμεῖτο δὲ | τὸν Παυσανίου Μηδι- 535e
σμὸν καὶ καθομιλῶν Φαρνάβαζον τὴν Περσικὴν ἐνεδύσατο στολὴν
καὶ τὴν Περσικὴν ἔμαθε φωνήν, καθὰ καὶ Θεμιστοκλῆς. φασὶ δ'

7 ξεινόκοιτιν C E : ξυνόκοιτιν C[s] E[s] : ξυνῳκείτην A ‖ **23–4** ἄγων ... ἄγων C E : ἄγων[1] om. A

ὅτι καὶ Παυσανίας ὁ Σπαρτιατῶν βασιλεὺς καταθέμενος τὸν πάτριον τρίβωνα Περσικὴν στολὴν ἐνεδύετο, καὶ Ἀλέξανδρος δέ,
535f ὡς τῆς Ἀσίας ἐκυρίευσε. | Δημήτριος δὲ πάντας ὑπερέβαλλε· τὴν μὲν γὰρ ὑπόδεσιν ἣν εἶχε κατεσκεύαζεν ἐκ πολλοῦ δαπανήματος ἔκ τε χρυσοῦ καὶ πολυτελεστάτης πορφύρας καὶ πόλου ἀστέρας 5
536a ἔχοντος καὶ τὰ δώδεκα ζῴδια, | μίτραν δὲ χρυσόπαστον καυσίας ἁλουργῆ οὖσαν ἔσφιγγεν ἐπὶ τῶν νώτων. γινομένων δὲ τῶν Δημητρίων Ἀθήνησιν ἐγράφετο ἐπὶ τοῦ προσκηνίου ἐπὶ τῆς Οἰκουμένης ὀχούμενος.

ὅτι Παυσανίας περὶ Πλαταιὰς νικήσας Μαρδόνιον, τὰ τῆς 10 Σπάρτης ἐξελθὼν νόμιμα καὶ εἰς ὑπερηφανίαν ἐπιδοὺς περὶ
536b Βυζάντιον διατρίβων τὸν χαλκοῦν Ποσειδῶνος κρατῆρα | ἐτόλμη-
536c σεν ἐπιγράψαι ὡς αὐτὸς ἀναθείς. καὶ Φάραξ δὲ ὁ Λάκων | οὕτως ἀσελγῶς καὶ χύδην ἐχρήσατο ταῖς ἡδοναῖς ὡς μᾶλλον αὐτὸν ὑπολαμβάνεσθαι Σικελιώτην διὰ ταύτην ἢ Σπαρτιάτην. καὶ 15 Ἀρχίδαμος δὲ ὁ Λάκων ἀποστὰς τῆς πατρίου διαίτης συνηθίσθη ξενικῶς καὶ μαλακῶς· διὸ οὐκ ἠδύνατο τὸν οἴκοι βίον ὑπομένειν, ἀλλ' ἐσπούδαζεν ἀεὶ δι' ἀκρασίαν ἔξω διατρίβειν. καὶ Ταραντίνοις
536d πρεσβευσαμένοις περὶ συμμαχίας | συνεξῆλθε βοηθός· κἀκεῖ ἐν πολέμῳ ἀποθανὼν οὐδὲ ταφῆς κατηξιώθη, καίτοι Ταραντίνων 20 πολλὰ ὑποσχομένων τοῖς πολεμίοις ὑπὲρ τοῦ ἀνελέσθαι τὸ σῶμα.
536e | 536d Πτολεμαῖος δὲ ὁ δεύτερος Αἰγύπτου | βασιλεύσας, | ὥς φησι Φύλ-
536e αρχος (*FGrH* 81 F 40), | πάντων σεμνότατος γενόμενος καὶ παιδείας ἐπιμεληθείς, οὕτω διεφθάρη ὑπὸ τρυφῆς ὡς τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι καὶ λέγειν ὅτι μόνος εὕροι τὴν ἀθα- 25 νασίαν. κατατεινόμενος οὖν ὑπὸ ποδάγρας, ὥς ποτ' ἐρράισε καὶ κατεῖδε τοὺς Αἰγυπτίους παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους καὶ τὰ τυχόντα προσφερομένους ἐπί τε τῆς ἄμμου χύδην ἐρριμμένους, εἶπεν· "ὢ τάλας ἐγώ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι." |

537a ὅτι Ἱππόνικος ὁ Διομνήστου τοσοῦτον ἦν πλούσιος ἀπὸ 30 χρημάτων Ἐρετριέως τινὸς στρατηγοῦ, ἃ διέλαθεν ἔχων ὁ
537b Διόμνηστος μετὰ τελευτὴν αὐτοῦ, | ὥστε Ἀθηναίους αἰτῆσαι ἐν ἀκροπόλει τόπον ἵν' οἰκοδομήσηται τοῖς χρήμασιν ὅπου κείσεται, λέγων ὡς οὐκ ἀσφαλὲς ἐν ἰδιωτικῇ οἰκίᾳ πολλὰ χρήματα εἶναι. καὶ ἔδοσαν Ἀθηναῖοι· νουθετηθεὶς δ' ὑπὸ τῶν φίλων μετενόησε. 35

16 συνηθίσθη A : συνειθίσθαι C E ‖ **26** ἐρράισε A C : ἐρράιζε E ‖ **27** παρά, i.e. πε A : πε E : περὶ C

τούτων οὖν τῶν χρημάτων Καλλίας κύριος γενόμενος καὶ πρὸς ἡδονὴν βιώσας — ποῖοι γὰρ οὐ κόλακες περὶ αὐτὸν ἦσαν; — | τέλος μετὰ γρᾳδίου βαρβάρου διατελῶν καὶ τῶν ἀναγκαίων ἐνδεὴς ὢν τὸν βίον ἐτελεύτησε. τὸν δὲ Νικίου τοῦ Περγασῆθεν 537c
5 πλοῦτον καὶ τὸν Ἰσχομάχου Αὐτοκλέης καὶ Ἐπικλέης ἀπώλεσαν, οἳ μετ' ἀλλήλων ζῆν προελόμενοι καὶ πάντ' ἐν ἐλάττονι ποιούμενοι τῆς ἡδονῆς, οἳ ἐπεὶ πάντα κατανάλωσαν, κώνειον πιόντες ἀπέθανον.

ὅτι Ἀλεξάνδρῳ | χρυσοῦς ἔκειτο θρόνος ἐν παραδείσῳ καὶ κλῖναι 537d
10 ἀργυρόποδες, ἐφ' ὧν καθεζόμενος ἐχρημάτιζε μετὰ τῶν ἑταίρων. | ἐφόρει δ' ἐν τοῖς δείπνοις, ὁτὲ μὲν τὴν τοῦ Ἄμμωνος πορφυρίδα 537e καὶ περισχιδῆ καὶ κέρατα καθάπερ ἐκεῖνος, ὁτὲ δὲ τὴν τῆς Ἀρτέμιδος, ἣν καὶ ἐπὶ τοῦ ἅρματος ἐφόρει πολλάκις ὑποφαίνων ἄνωθεν τῶν ὤμων τό τε τόξον καὶ τὴν σιβύνην, ἐνίοτε δὲ καὶ τὴν
15 τοῦ Ἑρμοῦ, | τά τε πέδιλα καὶ τὸν πέτασον ἐπὶ τῇ κεφαλῇ καὶ τὸ 537f κηρύκειον ἐν τῇ χειρί, πολλάκις δὲ καὶ λεοντῆν καὶ ῥόπαλον ὡς Ἡρακλῆς. τί οὖν θαυμαστὸν εἰ καὶ Κόμοδος ὁ αὐτοκράτωρ ἐπὶ τῶν ὀχημάτων παρακείμενον εἶχε τὸ Ἡράκλειον ῥόπαλον ὑπεστρωμένης αὐτῷ λεοντῆς καὶ Ἡρακλῆς καλεῖσθαι ἤθελεν
20 Ἀλεξάνδρου τοῦ Ἀριστοτελικοῦ τοσούτοις αὐτὸν ἀφομοιοῦντος θεοῖς, ἀτὰρ καὶ τῇ Ἀρτέμιδι; ἔρρανε δὲ Ἀλέξανδρος καὶ μύρῳ σπουδαίῳ καὶ οἴνῳ εὐώδει τὸ δάκρυον, | ἐθυμιᾶτο δὲ αὐτῷ σμύρνα 538a καὶ τἆλλα θυμιάματα, εὐφημία δὲ καὶ σιγὴ κατεῖχε πάντας ὑπὸ δέους τοὺς παρόντας· ἀφόρητος γὰρ ἦν καὶ φονικός· ἐδόκει γὰρ
25 εἶναι μελαγχολικός. | ὅτε δ' εἷλε Δαρεῖον, γάμους | συνετέλεσεν 538b | 538c ἑαυτοῦ τε καὶ ἄλλων φίλων ἐνενήκοντα ἐν οἴκῳ ἑκατονταχλίνῳ. ἦν δ' ἑκάστη κλίνη κεκοσμημένη στολῇ γαμικῇ εἴκοσι μνῶν ἀργυρᾶ· ἡ δὲ αὐτοῦ χρυσόπους ἦν. συμπαρέλαβε δὲ εἰς τὸ συμπόσιον καὶ τοὺς ἰδιοξένους ἅπαντας καὶ κατέκλινεν ἀντιπροσώπους ἑαυτῷ καὶ
30 τοῖς νυμφίοις, τήν τε πεζὴν καὶ ναυτικὴν δύναμιν καὶ τὰς πρεσβείας καὶ τοὺς παρεπιδημοῦντας ἐν τῇ αὐλῇ. | κατεσκεύαστο 538d δὲ ὁ οἶκος μεγαλοπρεπῶς καὶ πολυτελῶς ἱματίοις καὶ ὀθονίοις πολυτελέσι καὶ πορφυροῖς καὶ φοινικοῖς χρυσοϋφέσι. τοῦ δὲ μένειν τὴν σκηνὴν ὑπέκειντο κίονες εἰκοσαπήχεις περίχρυσοι καὶ

5 Αὐτοκλέης A : Ἀ(. 3–4 .)τοκλέης C : Ἀτοκλέης E* ‖ **12** περισχιδῆ C E : περισχιδεῖς A ‖ **17** Κόμοδος C E : Κόμμοδος A ‖ **22** δάκρυον C E : δάπεδον A

διάλιθοι καὶ διάργυροι. περιεβέβληντο δὲ ἐν τῷ περιβόλῳ πολυ-
τελεῖς αὐλαῖαι ζῳωτοὶ καὶ διάχρυσοι κανόνας ἔχουσαι περιχρύσους
καὶ περιαργύρους. τῆς δ' αὐλῆς ἦν τὸ περίμετρον στάδιοι τέσ-
538e σαρες. | ἐπὶ πέντε δὲ ἡμέρας ἐπετελέσθησαν οἱ γάμοι, καὶ
ἐλειτούργησαν πάνυ πολλοὶ καὶ βαρβάρων καὶ Ἑλλήνων, καὶ οἱ 5
ἀπὸ τῆς Ἰνδικῆς θαυματοποιοὶ ἦσαν διαπρέποντες καὶ ψιλο-
538f | 539a κιθαρισταὶ | καὶ αὐλῳδοὶ καὶ ποιηταὶ τραγικοί τε | καὶ κωμικοί,
538f ὧν ἐκτίθεται ὁ ῥήτωρ οὗτος Ἀθήναιος καὶ τὰ ὀνόματα. | παρῆλθον
δὲ καὶ οἱ πρότερον μὲν καλούμενοι Διονυσιοκόλακες, τότε δὲ
Ἀλεξανδροκόλακες διὰ τὰς τῶν δώρων ὑπερβολάς, ἐφ' οἷς καὶ 10
539a ἥσθη Ἀλέξανδρος. | οἱ δὲ πεμφθέντες στέφανοι τηνικαῦτα ὑπὸ τῶν
πρεσβευτῶν καὶ τῶν λοιπῶν ταλάντων ἦσαν μυρίων πεντα-
κισχιλίων. ἄλλοι δέ φασι καὶ ἐπὶ χρυσῆς κλίνης κοιμᾶσθαι τὸν
539b Ἀλέξανδρον | καὶ αὐλητρίδας καὶ αὐλητὰς αὐτῷ ἀεὶ ἕπεσθαι· καὶ
538d | 538e πίνειν ἄχρι τῆς ἕω, | δειπνεῖν δὲ καὶ πρὸς σάλπιγγα, | ὥστε πᾶν 15
539c εἰδέναι τὸ στρατόπεδον. | τούτου καὶ οἱ ἑταῖροι ὑπερβαλλούσῃ τρο-
φῇ ἐχρήσαντο· ὧν εἷς ὢν ὁ Ἅγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι
καὶ τοῖς ὑποδήμασιν ἐφόρει. Κλεῖτος δὲ χρηματίζων ἐπὶ πορ-
φυρῶν ἱματίων διαπεριπατῶν τοῖς ἐντυγχάνουσι διελέγετο.
Περδίκκᾳ δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι 20
σταδιαῖαι τοῖς μεγέθεσιν, ὑφ' αἷς καταλαμβάνοντες τόπον ἐν ταῖς
καταστρατοπεδείαις ἐγυμνάζοντο. ἠκολούθουν δὲ αὐτοῖς καὶ
539d ὑποζύγια πολλὰ κόνιν κομίζοντα πρὸς τὴν | ἐν παλαίστραις
χρείαν. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοκυνήγοις οὖσιν αὐλαῖαι
σταδίων ἑκατὸν ἠκολούθουν, αἷς περιιστάντες τὰς θήρας ἐκυν- 25
ήγουν. τὰς δὲ χρυσᾶς πλατάνους καὶ τὴν χρυσῆν ἄμπελον ὑφ' ἣν
οἱ Περσῶν βασιλεῖς ἐχρημάτιζον πολλάκις καθήμενοι, σμαραγ-
δίνους βότρυς ἐχούσας καὶ τῶν Ἰνδικῶν ἀνθράκων, ἐλάττους φησὶν
ὁ Φύλαρχος (*FGrH* 81 F 41) φαίνεσθαι κατὰ πολὺ τῆς καθ' ἡμέραν
παρ' Ἀλεξάνδρῳ γινομένης δαπάνης· ἦν γὰρ αὐτῷ ἡ σκηνὴ κλινῶν 30
ἑκατόν, χρυσοῖ δὲ κίονες πεντήκοντα κατεῖχον αὐτήν, οἱ δὲ ὑπερ-
539e τείνοντες οὐρανίσκοι | διάχρυσοι ἦσαν. καὶ πρῶτοι μὲν Πέρσαι
πεντακόσιοι μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεσαν πορφυραῖς

8 ὧν ἐκτίθεται ὁ ῥήτωρ οὗτος Ἀθήναιος καὶ τὰ ὀνόματα verba epitomatoris **9** Διονυσιοκόλακες C E, cf. 10.435e C E : Διονυσοκόλακες A ‖ **16–17** τροφῇ C E : τρυφῇ A ‖ **17** Ἄγνων C E : Ἅγνων A ‖ **23** παλαίστραις C : παλαί^{στρ} E : τῇ παλαίστρᾳ A

καὶ μηλίναις ἐσθῆσιν ἐξησχημένοι· μετὰ δὲ τοξόται χίλιοι φλόγινα καὶ ὑσγινοβαφῆ καὶ κυάνεα ἔχοντες περιβόλαια. προειστήκεισαν δὲ τούτων ἀργυράσπιδες Μακεδόνες πεντακόσιοι. ἐν μέσῃ δὲ τῇ σκηνῇ χρυσοῦς δίφρος, ἐφ' οὗ καθήμενος Ἀλέξανδρος ἐχρημάτιζε 5 τῶν σωματοφυλάκων πανταχόθεν ἑστηκότων. ἔξωθεν δὲ κύκλῳ τῆς σκηνῆς τὸ | τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφειστήκει 539f καὶ Μακεδόνες χίλιοι, εἶτα μύριοι Πέρσαι· τό τε τὴν πορφύραν ἔχον πλῆθος εἰς πεντακοσίους ἦν, οἷς Ἀλέξανδρος ἔδωκε φορεῖν τὴν στολὴν ταύτην. οὐδεὶς δὲ τῶν τοσούτων ἐτόλμα προσ-10 πορεύεσθαι Ἀλεξάνδρῳ· τοιοῦτον ἐγεγόνει τὸ περὶ αὐτὸν ἀξίωμα.

ὅτι γράψαντος Ἀλεξάνδρου ταῖς ἐν Ἰωνίᾳ πόλεσι καὶ πρώτοις Χίοις, | ὅπως αὐτῷ πορφύραν ἀποστείλωσιν, ἀναγνωσθείσης τῆς 540a ἐπιστολῆς Χίοις παρὼν Θεόκριτος ὁ σοφὸς νῦν ἐγνωκέναι ἔφη τὸ παρ' Ὁμήρῳ (*Il.* 5.83) εἰρημένον·

15 ἔλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή. |

φησὶ Κλέαρχος (fr. 50 Wehrli) περὶ Δαρείου ὡς ἀθλοθετῶν τοῖς τὰς 539b ἡδονὰς αὐτῷ γνωρίζουσιν ὑπὸ πάντων τῶν ἡδέων ἡττωμένην ἀπέδειξε τὴν βασιλείαν, καὶ καταγωνιζόμενος ἑαυτὸν οὐκ ᾔσθετο πρότερον ἢ τὸ σκῆπτρον ἕτεροι λαβόντες ἀνεκηρύχθησαν. |

20 ὅτι Ἀντίοχος ὁ Γρυπὸς ἐπικαλούμενος τὰς ἐπὶ Δάφνῃ πανηγύ- 540a ρεις ἐπιτελῶν | τὸ μὲν πρῶτον ἀναδόσεις ὁλομελῶν ἐποιεῖτο 540b βρωμάτων, εἶτ' ἤδη καὶ ζώντων χηνῶν καὶ λαγωῶν καὶ δορ-κάδων. ἀνεδίδου δὲ καὶ χρυσοῦς στεφάνους τοῖς δειπνοῦσι καὶ ἀργυρώματα καὶ θεράποντας καὶ ἵππους καὶ καμήλους· ἔδει τε 25 ἀναβάντα ἐπὶ τὴν κάμηλον ἕκαστον πιεῖν καὶ λαβεῖν τε τὴν κάμηλον καὶ τὰ ἐπὶ τὴν κάμηλον καὶ τὸν παρεστῶτα παῖδα. καὶ Ἀντίοχος δὲ ὁ ἐπ' Ἀρσάκην στρατεύσας | ὑποδοχὰς ἐποιεῖτο καθ' 540c ἡμέραν ὀχλικάς, ἐν αἷς χωρὶς τῶν ἀναλισκομένων καὶ ἐκφατ-νιζομένων σωρευμάτων, | φησὶ Ποσειδώνιος (*FGrH* 87 F 9a = fr. 540b 30 61a Edelstein–Kidd), | ἕκαστος ἀπέφερε τῶν ἑστιατόρων ὁλομελῆ 540c κρέα καὶ χερσαίων καὶ πτηνῶν καὶ θαλαττίων ζῴων ἀδιαίρετα ἐσκευασμένα, ἅμαξαν πληρῶσαι δυνάμενα. Πολυκράτης δὲ ὁ Σαμίων τύραννος ὑπὸ | τρυφῆς τὰ πάντα συνῆγε, κύνας μὲν ἐξ 540d Ἠπείρου, Μολοττικὰς καὶ Λακαίνας, αἶγας δὲ ἐκ Σκύρου καὶ 35 Νάξου, ἐκ δὲ Μιλήτου καὶ Ἀττικῆς πρόβατα, ὗς δ' ἐκ Σικελίας. μετεστέλλετο δὲ καὶ τεχνίτας ἐπὶ μεγάλοις μισθοῖς. πρὸ δὲ τοῦ τυραννῆσαι κατασκευασάμενος στρωμνὰς πολυτελεῖς | καὶ ποτή- 540e

ρια ἐπέτρεπε χρῆσθαι τοῖς ἢ γάμον ἢ μείζους ὑποδοχὰς ποιου-
μένοις. καίπερ δὲ ὢν τύραννος καὶ περὶ φαύλας ὁμιλίας ἐπτο-
ημένος, ὡς καὶ ἀντερᾶν Ἀνακρέοντι τῷ ποιητῇ ὅτε καὶ δι' ὀργὴν
ἀπέκειρε τὸν ἐρώμενον, οὐδαμόθεν ἀναγέγραπται γυναῖκας ἢ
παῖδας μεταπεμψάμενος. πρῶτος δὲ οὗτος ναῦς τινας πήξας ἀπὸ 5
540f | 540e τῆς πατρίδος Σαμίας ἐκάλεσεν. | ἀπώλετο δὲ ζηλώσας, | ὥς φησι
540f Κλέαρχος (fr. 44 Wehrli), | τὰ Λυδῶν μαλακά· ὃς τῷ Σαρδέων
Ἀγκῶνι Γλυκεῖ προσαγορευομένῳ τὴν παρὰ Σαμίοις λαύραν
ἀντεσκεύαζε στενήν τινα οὖσαν καὶ γυναικῶν δημιουργῶν
πληθύουσαν καὶ τῶν πρὸς ἀπόλαυσιν. | 10
541a ὅτι Ἀλκισθένης ὁ Συβαρίτης τοιοῦτον ἱμάτιον πολυτελέστατον
541b κατεσκεύασεν ὡς ἐν πανηγύρεσι προτίθεσθαι | καὶ δεικνύμενον
πρὸς πάντων θαυμάζεσθαι· οὗ κυριεύσας Διονύσιος ὁ πρεσβύτερος
541a ἀπέδοτο Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. | ἱστορεῖ
541b Ἀριστοτέλης ἐν τῷ Περὶ Τρυφῆς (838^{a}15–21). | Σμινδυρίδῃ δὲ τῷ 15
541c Συβαρίτῃ | ἐπὶ πλεῖστον χλιδῆς ἀφικομένῳ χίλιοι μάγειροι καὶ
ὀρνιθευταὶ εἵποντο. ἐτρύφα δὲ πάνυ καὶ Διονύσιος ὁ νεώτερος
Σικελίας τύραννος, περὶ οὗ Κλέαρχος (fr. 47 Wehrli) γράφει·
Διονύσιος ὁ Διονυσίου πάσης γενόμενος Σικελίας ἀλάστωρ εἰς τὴν
541d Λοκρῶν παρελθὼν οὖσαν αὐτοῦ | μητρόπολιν (Δωρὶς γὰρ αὐτῷ ἡ 20
μήτηρ τὸ γένος Λοκρίς) στρώσας οἶκον μέγιστον ἑρπύλλοις καὶ
ῥόδοις μετεπέμπετο τὰς Λοκρῶν παρθένους, καὶ γυμνὸς μετὰ
γυμνῶν οὐδὲν αἰσχύνης παρέλιπεν ἐπὶ τοῦ στρώματος κυλινδού-
μενος· οἱ γοῦν ὑβρισθέντες μετ' οὐ πολὺ γυναῖκα καὶ τέκνα
ἐκείνου λαβόντες ὑποχείρια ἐπὶ τῆς ὁδοῦ στήσαντες μεθ' ὕβρεως 25
ἐνεκολάσταινον αὐτοῖς· καὶ ἐπεὶ τῆς ὕβρεως πλήρεις ἐγένοντο,
κεντοῦντες ὑπὸ τοὺς τῶν χειρῶν ὄνυχας βελόναις ἀνεῖλον αὐτούς.
541e εἶτα | τὰ μὲν ὀστᾶ ἐν ὅλμοις κατέκοψαν, τὰ δὲ λοιπὰ κρέα
νεμησάμενοι ἐπηράσαντο τοῖς μὴ γευσαμένοις αὐτῶν· ὅθεν κατή-
λεσαν αὐτῶν τὰς σάρκας, ἵν' ἡ τροφὴ σιτοποιουμένων κατεδεσθῇ· 30
τὰ δὲ λείψανα κατεπόντωσαν. αὐτὸς δὲ Διονύσιος τέλος μητρα-
γυρτῶν καὶ τυμπανοφορούμενος οἰκτρῶς τὸν βίον κατέστρεψεν.
εὐλαβητέον οὖν τὴν καλουμένην τρυφὴν οὖσαν τῶν βίων
541f ἀνατροπήν. | Γέλωνι δὲ Ἀκραγαντῖνοι κολυμβήθραν πολυτελῆ

2 φαύλας verbum epitomatoris : τῶν ἀρρένων A ‖ **8** Σαμίοις A C E : Σαμίους vel Σάμου E^{s} ‖ **12** κατεσκεύασεν] κατεσκεύασ$^{(εν)}$ C : κατεσκεύαζεν E : κατασκευάσαι (structura alia) A ‖ **26** ἐνεκολάσταινον C E : ἐνηκολάσταινον A

κατεσκεύασαν περίμετρον ἔχουσαν σταδίων ἑπτά, βάθος δὲ πηχῶν εἴκοσι, εἰς ἣν ἐπαγομένων ποταμίων καὶ κρηναίων ὑδάτων ἰχθυοτροφεῖον εἶναι εἰς τρυφὴν τῷ Γέλωνι· καθίπτασθαι δὲ καὶ κύκνων πλῆθος εἰς αὐτήν, καὶ ἦν ἐπιτερπὴς ἡ θέα. κατεχώσθη δὲ
5 ὕστερον. | ἐν δὲ Συρακούσαις κῆπος ἦν πολυτελὴς ὃς ἐκαλεῖτο 542a
Μῦθος, ἐν ᾧ Ἱέρων ἐχρημάτιζεν. ἡ δὲ Πανορμῖτις τῆς Σικελίας πᾶσα κῆπος προσαγορεύεται διὰ τὸ πᾶσα εἶναι πλήρης δένδρων ἡμέρων. | Δαμόφιλος δὲ ὁ Σικελιώτης, ὥς φησι Ποσειδώνιος 542b
(*FGrH* 87 F 7 = fr. 59 Edelstein–Kidd), τρυφῆς δοῦλος ἦν καὶ
10 κακουργίας τετρακύκλους ἀπήνας διὰ τῆς χώρας περιαγόμενος καὶ ἵππους καὶ θεράποντας ὡραίους καὶ παραδρομὴν κολάκων ἀνάγωγον. ὕστερον δὲ πανοικίᾳ κατέστρεψε τὸν βίον ὑπὸ τῶν οἰκετῶν περιυβρισθείς. Δημήτριος δὲ ὁ Φαληρεὺς (fr. 34 Wehrli = fr. 43A Fortenbaugh–Schütrumpf) | χιλίων διακοσίων ταλάντων 542c
15 κατ' ἐνιαυτὸν κύριος γενόμενος καὶ βραχέα δαπανῶν εἰς τὴν τῆς πόλεως διοίκησιν τὰ λοιπὰ πάντα διὰ τὴν ἔμφυτον ἀκρασίαν ἠφάνιζε, ταῖς μὲν εἰς τὰ δεῖπνα δαπάναις, | φησὶ Δοῦρις (*FGrH* 76 542b
F 10), | τοὺς Μακεδόνας ὑπερβαλών, τῇ δὲ καθαρειότητι Κυπρίους 542c
καὶ Φοίνικας· ῥάσματά τε μύρων πίπτειν ποιῶν ἐπὶ γῆν. | ἦσαν δὲ 542d
20 καὶ πρὸς γυναῖκας αὐτῷ ὁμιλίαι σιωπώμεναι καὶ νεανίσκων ἔρωτες νυκτερινοί, καὶ ὁ τοῖς ἄλλοις τιθέμενος θεσμοὺς καὶ βίους τάττων ἀνομοθέτητον ἑαυτῷ τὸν βίον κατεσκεύαζεν. ἐπεμελεῖτο δὲ καὶ τῆς ὄψεως τήν τε τρίχα ξανθιζόμενος καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος καὶ τοῖς ἄλλοις ἀλείμμασιν ἐγχρίων
25 ἑαυτόν· ἠβούλετο γὰρ καὶ τὴν ὄψιν ἱλαρὸς καὶ ἡδὺς | φαίνεσθαι. 542e
ἄγοντι δὲ τὴν τῶν Διονυσίων πομπὴν ᾖδεν ὁ χορὸς ποιήματα ἐν οἷς ἡλιόμορφος προσηγορεύετο (*PMG* 845.1)·

ἐξόχως τε εὐγενέτας ἠπιόμοιρος. |

τοσαῦτα δὲ ἦν αὐτῷ τὰ ἐν δείπνοις παρασκευαζόμενα καθ' ἡμέραν 542f
30 ὥστε χαρισαμένου τῷ Μοσχίωνι τὰ λείψανα Μοσχίων ἐν ἔτεσι δύο τρεῖς συνοικίας ἐωνήσατο. ἐζηλοτύπουν δὲ οἱ παῖδες τὸν ἐρώμενον αὐτοῦ Δίογνιν· καὶ τοσοῦτον ἦν τῷ Δημητρίῳ προσελθεῖν ὥστε περιπατοῦντος αὐτοῦ | οἱ παῖδες συνήρχοντο ἵν' ὀφθεῖεν 543a
αὐτῷ.

28 ἠπιόμοιρος C E B : ἡλιόμορφον (structura mutata) Eust., cf. supra : ἠπιόμορφος A

ὅτι τρυφῆς ἡγεμὼν Ῥωμαίοις Λεύκολλος ἐγένετο δυεῖν βασιλέων καρπωσάμενος πλοῦτον Μιθριδάτου καὶ Τιγράνου καὶ ἀφι-
543b κόμενος εἰς Ῥώμην καὶ θριαμβεύσας. | καὶ Παυσανίας δὲ καὶ Λύσανδρος ἐπὶ τρυφῇ διαβόητοι. καίτοι Θεόπομπος (*FGrH* 115 F 20) περὶ Λυσάνδρου φησὶν ὅτι φιλόπονός τε ἦν καὶ ἡδονῶν 5 ἁπασῶν κρείττων. γενομένης οὖν τῆς Ἑλλάδος σχεδὸν ἁπάσης
543c ὑπ' αὐτὸν κύριον | ἐν οὐδεμιᾷ φανήσεται τῶν πόλεων πρὸς ἡδονὰς ὁρμήσας ἢ πότοις ἀκαίροις χρησάμενος.

543d | 543c ὅτι Παρράσιος | ὁ Ἐφέσιος | ζωγράφος πορφύραν ἀμπεχόμενος καὶ χρυσοῦν στέφανον ἐπὶ κεφαλῆς ἔχων καὶ παρὰ μέλος ὑπὲρ τὴν 10 γραφικὴν τρυφῶν, λόγῳ δὲ τῆς ἀρετῆς ἀντιλαμβανόμενος ἐπέγραψε τοῖς αὐτοῦ ἔργοις (*FGE* 279)· |

543d ἁβροδίαιτος ἀνὴρ ἀρετήν τε σέβων τάδε ἔγραψε.

καί τις ὑπεραλγήσας παρέγραψε· "ῥαβδοδίαιτος ἀνήρ." ηὔχει δὲ οὗτος τὰ τῆς (*FGE* 284) | 15

543e τέχνης εὑρῆσθαι (αὐτῷ) τέρματα,

ἐπάγων καὶ ὅτι (*FGE* 285–6)·

ἀνυπέρβλητος (αὐτῷ) πέπηγεν
οὖρος· ἀμώμητον δ' οὐδὲν ἐγένετο βροτοῖς.

ἀγωνιζόμενος δέ ποτε πρὸς καταδεέστερον ἐν Σάμῳ τὸν Αἴαντα 20 καὶ ἡττηθείς, συναχθομένων αὐτῷ τῶν φίλων ἔφη ὡς αὐτὸς μὲν ὀλίγον φροντίζει, Αἴαντι δὲ συνάχθοιτο δεύτερον ἡττηθέντι. |
543f ἐφόρει δὲ ὑπὸ τρυφῆς πορφυρίδα καὶ στρόφιον λευκὸν περὶ τὴν κεφαλὴν εἶχε σκίπωνί τε ἐπεστηρίζετο χρυσᾶς ἕλικας ἐμπεπαιγμένῳ χρυσοῖς τε ἀνασπαστοῖς ἐπέσφιγγε τῶν βλαυτῶν τοὺς 25 ἀναγωγέας. ἀλλ' οὐδὲ τὰ κατὰ τὴν τέχνην ἀηδῶς ἐποιεῖτο ἀλλὰ ῥᾳδίως, ὡς καὶ ᾄδειν γράφοντα. τερατευόμενος δὲ ἔλεγεν, ὅτε τὸν ἐν Λίνδῳ Ἡρακλέα ἔγραφεν, ὡς ὄναρ αὐτῷ ἐπιφαινόμενος ὁ θεὸς σχηματίζοι αὐτὸν πρὸς τὴν τῆς γραφῆς ἐπιτηδειότητα. ἐπέγραψεν οὖν τῷ πίνακι (*FGE* 287–8)· | 30

544a οἷος δ' ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν

22 φροντίζει C E Eust. : φροντίζοι A ‖ **24–5** ἐμπεπαιγμένῳ C E : ἐμπεπαισμένῳ A ‖ **31** ἐννύχιον A C E : ἐννύχιος C[s] E[s]

Παρρασίῳ δι’ ὕπνου, τοῖος ὅδ’ ἐστὶν ὁρᾶν.

καὶ φιλοσόφων δ’ αἱρέσεις ὅλαι τῆς περὶ τρυφὴν αἱρέσεως ἀντεποιήσαντο, ὡς ἡ Κυρηναϊκὴ καλουμένη ἀπ’ Ἀριστίππου τοῦ Σωκρατικοῦ (frr. 157; 207 Mannebach = *SSR* IV A 174) τὴν ἀρχὴν
5 λαβοῦσα, ὃς ἀποδεξάμενος τὴν ἡδυπάθειαν ταύτην τέλος εἶναι ἔφη καὶ ἐν αὐτῇ τὴν εὐδαιμονίαν βεβλῆσθαι· καὶ μονόχρονον αὐτὴν εἶναι, παραπλησίως τοῖς ἀσώτοις | ἑνὶ μόνῳ τὸ ἀγαθὸν κρίνων τῷ 544b παρόντι, τὸ δὲ ἀπολελαυκέναι καὶ ἀπολαύσειν οὐδὲν νομίζων πρὸς αὑτόν, τὸ μὲν ὡς οὐκέτ’ ὄν, τὸ δὲ οὔπω καὶ ἄδηλον. ὡμολόγησε δ’
10 αὐτοῦ τῷ δόγματι καὶ ὁ βίος (fr. 78 Mannebach = *SSR* IV A 53), ὃν ἐν πάσῃ τρυφῇ ἐβίωσε καὶ πολυτελείᾳ μύρων καὶ ἐσθήτων καὶ γυναικῶν· Λαΐδα γοῦν ἀναφανδὸν εἶχε τὴν ἑταίραν καὶ ταῖς Διονυσίου πολυτελείαις | ἔχαιρε καίτοι πολλάκις ἐνυβριζόμενος· 544c (fr. 42B Mannebach) ἀδόξου γοῦν ποτε κλισίας παρ’ αὐτῷ τυχὼν
15 ἤνεγκεν, ἐρωτηθεὶς δὲ τί φαίνεται ἡ κατάκλισις, πρὸς τὴν χθὲς ἔφη παραπλησίαν εἶναι. “ἐκείνη τε γὰρ ἀδοξεῖ τήμερον χωρισθεῖσα ἐμοῦ, χθὲς δὲ πασῶν ἦν ἐνδοξοτέρα δι’ ἡμᾶς· αὕτη τε τήμερον ἔνδοξος γέγονε διὰ τὴν ἡμετέραν παρουσίαν, χθὲς δὲ οὐκ ἐδόκει μὲν παρόντος ἐμοῦ.” | (fr. 108 Mannebach = *SSR* IV A 20) 544d
20 διέτριβε δὲ τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν· πολλάκις δὲ ἐνουθέτει αὐτὸν ὁ Σωκράτης καὶ τὴν ἠθοποιίαν πλάσας τῆς Ἡδονῆς καὶ τῆς Ἀρετῆς εἰσῆγεν. ὁ δ’ Ἀρίστιππος (fr. 57D Mannebach = *SSR* IV A 96) ἐπὶ τῆς Λαΐδος ἔλεγεν· “ἔχω καὶ οὐκ ἔχομαι.” καὶ (fr. 58B Mannebach) παρὰ Διονυσίῳ δὲ διηνέχθη τισὶ περὶ ἐκλογῆς τριῶν
25 γυναικῶν. καὶ μύροις ἐλούετο καὶ ἔφασκεν ὅτι (E. *Ba.* 317–18)· |

ἐν βακχεύμασιν 544e
οὖσα ἥ γε σώφρων οὐ διαφθαρήσεται.

τοῦτον κωμῳδῶν Ἄλεξις (fr. 37.8–9 = Aristipp. fr. 5 Mannebach = *SSR* IV A 9) παράγει οἰκέτην μαθητοῦ αὐτοῦ λέγοντα ὡς ἄρα
30 φοιτήσας σοφιστῇ εὐφυεῖ, | μᾶλλον δὲ πάντων πρωτεύοντι ἀκολασίᾳ· 544f

τὴν τέχνην μὲν οὐ πάνυ
ἐξέμαθε, τὴν δ’ ἀρτηρίαν συνήρπασεν.

17 ἐνδοξο^τρ, i.e. ἐνδοξοτέρα C E : ἐνδοξοτάτη, i.e. ἐνδοξο^ττ A ‖ **18–19** οὐκ ἐδόκει] οὐ δόξει E : ἐδόκει C* : ἠδόξει μὴ (et μὲν om.) A

Ἀντιφάνης (fr. 35.1–6) δὲ περὶ τῆς τῶν φιλοσόφων τρυφερότητος διαλεγόμενός φησιν·

(A.) ὦ τᾶν, κατανοεῖς τίς ποτ' ἐστὶν οὑτοσὶ
ὁ γέρων; (B.) ἀπὸ τῆς μὲν ὄψεως Ἑλληνικός· |
545a λευκὴ χλανίς, φαιὸς χιτωνίσκος καλός, 5
πιλίδιον ἁπαλόν, εὔρυθμος βακτηρία,
βαιὰ τράπεζα. τί μακρὰ δεῖ λέγειν; ὅλως 5
αὐτὴν ὁρᾶν τὴν Ἀκαδημίαν δοκῶ.

545b ὅτι Πολύαρχος ὁ Ἡδυπαθὴς ἐπικαλούμενος | ἐμπεσούσης ποτὲ ἀπορίας καὶ σκέψεως περί τε τῶν ἐπιθυμιῶν καὶ τὸ σύνολον περὶ 10 τῶν σωματικῶν ἡδονῶν ἔφη· "ἐμοὶ μέν, ὦ ἄνδρες, πολλάκις ἤδη πέφηνεν ἐπισκοποῦντι κομιδῇ τὸ τῶν ἀρετῶν τούτων κατασκεύασμα καὶ πολὺ τῆς φύσεως ἀφεστηκὸς εἶναι· ἡ γὰρ φύσις ὅταν φθέγγηται τὴν ἑαυτῆς φωνήν, ἀκολουθεῖν κελεύει ταῖς ἡδοναῖς | 545c καὶ τοῦτό φησιν εἶναι νοῦν ἔχοντος. τεκμήριον δὲ τὸ πάντας 15 ἀνθρώπους, ὅταν ἐξουσίας ἐπιλάβωνται μέγεθος ἀξιόχρεων ἐχούσης, ἐπὶ τὰς σωματικὰς ἡδονὰς καταφέρεσθαι, τὰ δ' ἄλλα ἐν 545d παρέργῳ τίθεσθαι χώρᾳ." εἶτα προφέρει τοὺς Περσῶν | καὶ Λυδῶν καὶ Μήδων καὶ Σύρων βασιλεῖς, οἷς οὐδὲν γένος ἡδονῆς ἀζήτητον γέγονεν, ἀλλὰ καὶ δῶρα παρὰ τοῖς Πέρσαις προὔκειτο τοῖς 20 δυναμένοις ἐξευρίσκειν καινὴν ἡδονήν· ἡ γὰρ καινότης μεγάλην ἔχει δύναμιν πρὸς τὸ μείζω φανῆναι τὴν ἡδονήν, τῶν δὲ χρονιζουσῶν ἡδονῶν, κἂν ὦσι σφόδρα διηκριβωμέναι, ταχὺ ἡ ἀνθρω- 545e πίνη φύσις ἐμπίπλαται. | ἐντεῦθεν πολλὰ βρωμάτων εἴδη, πολλὰ δὲ πεμμάτων, πολλὰ δὲ θυμιαμάτων καὶ μύρων, πολλὰ δὲ 25 ἱματίων καὶ στρωμάτων καὶ ποτηρίων καὶ τῶν ἄλλων σκευῶν· πάντα γὰρ δὴ ταῦτα συμβάλλεσθαί τινας ἡδονάς, ὅταν ᾖ ὑποκειμένη ὕλη τῶν θαυμαζομένων· ὃ δὴ πεπονθέναι δοκεῖ χρυσὸς 545f καὶ ἄργυρος καὶ τὰ πολλὰ τῶν εὐοφθάλμων τε καὶ σπανίων. | εἶτα μέμνηται καὶ τῆς περὶ τὸν χρῶτα τοῦ Περσῶν βασιλέως ὀδμῆς 30 καὶ τῆς εὐμορφίας καὶ τῆς ὁμιλίας καὶ τῶν θεωρημάτων καὶ ἀκροαμάτων, καὶ κρίνει τοῦτον εὐδαιμονέστατον. "πλεῖσται γὰρ αὐτῷ", φησί, "καὶ τελειόταται παρεσκευασμέναι εἰσὶν ἡδοναί." μετὰ δ' ἐκεῖνον τάττει τὸν νεώτερον Διονύσιον, καίπερ πολὺ λει-

7 βαιὰ C E : βεβαία A C^{s} E^{s} | μακρὰ A : μ$^{(\alpha\kappa)}$ E : μικρ$^{(\acute{o}\nu)}$ C ‖ **34** τὸν νεώτερον Διονύσιον C : τὸν νεω$^{\tau\rho}$ Διονύ$^{(o\nu)}$ E : τὸν ὑμέτερον τύραννον A

πόμενον· "ἐκείνῳ μὲν γὰρ ἡ Ἀσία ὅλη χορηγεῖ, τὸ δὲ Διονυσίου | χορηγεῖον", φησί, "παντελῶς εὐτελὲς πρὸς ἐκεῖνο συγκρινόμενον. 546a οἱ δὲ νομοθέται, φησί, ὁμαλίζειν βουληθέντες τὸ τῶν ἀνθρώπων γένος καὶ μηδένα τῶν πολιτῶν τρυφᾶν ἀνακῦψαι | πεποιήκασι τὸ 546b 5 τῶν ἀρετῶν εἶδος· καὶ ἔγραψαν νόμους περὶ συναλλαγμάτων καὶ τῶν ἄλλων καὶ δὴ καὶ περὶ ἐσθῆτος καὶ τῆς λοιπῆς διαίτης, ὅπως ᾖ ὁμαλής. πολεμούντων οὖν τῶν νομοθετῶν τῷ τῆς πλεονεξίας γένει πρῶτον μὲν ὁ περὶ τὴν δικαιοσύνην ἔπαινος ηὐξήθη, καί πού τις ποιητὴς εἶπε (E. fr. 486(a))·

10 δικαιοσύνας τὸ χρύσεον πρόσωπον.

καὶ πάλιν (S. fr. 12.1–2)·

τὸ χρύσεον ὄμμα τὸ τᾶς δίκας.

ἀπεθεώθη δὲ καὶ αὐτὸ τὸ τῆς δίκης ὄνομα· ὥστε παρ' ἐνίοις | καὶ 546c βωμοὺς καὶ θυσίας γίνεσθαι Δίκῃ. μετὰ ταύτην δὲ σωφροσύνην καὶ 15 ἐγκράτειαν ἐπεισεκώμασαν καὶ πλεονεξίαν ἐκάλεσαν τὴν ἐν ἀπολαύσεσιν ὑπεροχήν· ὥστε τὸν πειθαρχοῦντα τοῖς νόμοις καὶ τῇ τῶν πολλῶν φήμῃ μετριάζειν περὶ τὰς σωματικὰς ἡδονάς."

ὅτι τὸ παλαιὸν τοῖς δυνάσταις ἐπιθυμία ἦν μέθης, ὥς φησι Δοῦρις (*FGrH* 76 F 15), διὸ ποιεῖν τὸν Ὅμηρον τῷ Ἀγαμέμνονι 20 λοιδορούμενον τὸν Ἀχιλλέα καὶ λέγοντα (*Il.* 1.225)·

οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων. |

καὶ τὸν θάνατον δ' ἀποσημαίνων τοῦ βασιλέως φησίν (*Od.* 546d 11.419–20)·

ὡς ἀμφὶ κρητῆρα τραπέζας τε πληθούσας
25 κείμεθα.

φιλήδονος δ' ἦν καὶ Σπεύσιππος (test. 39b Tarán) ὁ Πλάτωνος συγγενὴς καὶ διάδοχος τῆς σχολῆς· Διονύσιος γοῦν ἐπιστείλας αὐτῷ φιληδονίας καὶ φιλαργυρίας ὀνειδίζει καὶ τὸν Λασθενείας τῆς Ἀρκαδικῆς ἔρωτα, ἣ καὶ Πλάτωνος ἠκηκόει. | καὶ Ἐπίκουρος δὲ 546e 30 καὶ οἱ ἀπὸ τούτου τὴν κατὰ κίνησιν ἡδονὴν ἠσπάζοντο, ἵνα μὴ τοὺς καταιγισμοὺς λέγω καὶ τὰ ἐπεντρώματα ἃ πολλάκις προφέρεται ὁ Ἐπίκουρος, καὶ τοὺς γαργαλισμοὺς καὶ τὰ νύγματα, ὅς καί φησί που (fr. 67, p. 120 Usener)· οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονάς, ἀφαιρῶν δὲ τὰς δι'

546f ἀκροαμάτων, ἀφαιρῶν δὲ καὶ τὰς διὰ μορφῆς | κατ' ὄψιν ἡδείας κινήσεις. καὶ πάλιν (fr. 409, p. 278 Usener = 21M Long–Sedley)· ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή· καὶ τὰ σοφὰ τὰ περισσὰ ἐπὶ ταύτην ἔχει τὴν ἀναφοράν. πάλιν (fr. 70, p. 123 Usener)· τιμητέον τὸ καλὸν καὶ τὰς ἀρετὰς καὶ τὰ τοιουτότροπα, 5 ἐὰν ἡδονὴν παρασκευάζῃ, σαφῶς ὑπουργὸν ἐν τούτοις ποιῶν τὴν
547a ἀρετὴν τῆς ἡδονῆς. | πάλιν (fr. 512, p. 315 Usener)· προσπτύω τῷ καλῷ καὶ τοῖς κενῶς αὐτὸ θαυμάζουσιν ὅταν μηδεμίαν ἡδονὴν ποιῇ. καλῶς ἄρα ποιοῦντες Ῥωμαῖοι οἱ πάντ' ἄριστοι Ἅλιον καὶ Φιλίσκον τοὺς Ἐπικουρείους ἐξέβαλον τῆς πόλεως δι' ἃς εἰση- 10 γοῦντο ἡδονάς. ἀλλὰ καὶ Μεσσήνιοι κατὰ ψήφισμα ἐξέωσαν τοὺς
547b Ἐπικουρείους, Ἀντίοχος | δὲ ὁ βασιλεὺς καὶ πάντας τοὺς φιλοσόφους τῆς αὑτοῦ βασιλείας γράψας τάδε· βασιλεὺς Ἀντίοχος Φανίᾳ. ἐγράψαμεν ὑμῖν καὶ πρότερον ὅπως μηδεὶς ᾖ φιλόσοφος ἐν τῇ πόλει μηδ' ἐν τῇ χώρᾳ. πυνθανόμεθα δὲ οὐκ ὀλίγους εἶναι καὶ τοὺς 15 νέους λυμαίνεσθαι διὰ τὸ μηθὲν πεποιηκέναι ὑμᾶς ὧν ἐγράψαμεν περὶ τούτων. ὡς ἂν οὖν λάβῃς τὴν ἐπιστολήν, σύνταξον κήρυγμα ποιήσασθαι ὅπως οἱ μὲν φιλόσοφοι πάντες ἀπαλλάσσωνται ἐκ τῶν τόπων ἤδη, τῶν δὲ νεανίσκων ὅσοι ἐὰν ἁλίσκωνται πρὸς τούτοις γινόμενοι, διότι κρεμήσονται, καὶ οἱ πατέρες αὐτῶν ἐν αἰτίαις 20
547c ἔσονται ταῖς μεγίσταις· | καὶ μὴ ἄλλως γίνηται. εἰσηγεῖτο δὲ τὴν ἡδονὴν καὶ Σοφοκλῆς εἰπὼν ἐν Ἀντιγόνῃ (1165–8)·

τὰς γὰρ ἡδονὰς 1165
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν. 25
πλούτει τε γὰρ κατ' οἶκον,

547d καὶ τὰ ἑξῆς. | Λύκων δὲ ὁ Περιπατητικὸς (fr. 7 Wehrli) κατ' ἀρχὰς ἐπιδημήσας παιδείας ἕνεκα ταῖς Ἀθήναις περὶ συμβολικοῦ κώθωνος καὶ πόσον ἑκάστη τῶν ἑταιρουσῶν ἐπράττετο μίσθωμα ἀκριβῶς ἠπίστατο. ὕστερον δὲ καὶ τοῦ Περιπάτου προστὰς 30
547e ἐδείπνιζε τοὺς φίλους ἀλαζονείᾳ πολλῇ χρώμενος· | πολλοὶ γοῦν
548a βουλόμενοι προσιέναι πρὸς τὴν διατριβὴν ἀνεκόπτοντο. | καίτοι οἱ περὶ Πλάτωνα, φασί, καὶ Σπεύσιππον (test. 35 Tarán) οὐ χάριν ἐξοινίας τὰς συνόδους ταύτας ἐποιήσαντο, ἀλλ' ἵνα φαίνωνται καὶ τὸ θεῖον τιμῶντες καὶ φυσικῶς ἀλλήλοις συμπεριφερόμενοι, καὶ τὸ 35

33 φασί C : φη(σί) φα(σί) (v.ll.) E

πλεῖστον ἕνεκα ἀνέσεως καὶ φιλολογίας. | ὁ δὲ Λύκων καὶ σφαιριστὴς ἀγαθὸς ἦν, καὶ εἰκοσίκλινον εἶχεν οἶκον ἐπιτήδειον πρὸς τὰς ὑποδοχάς. 548b

ὅτι Ἀναξάρχῳ περιπεσούσης ἐξουσίας γυνὴ μὲν οἰνοχόει 5 παιδίσκη πρόσηβος ἀνασύρουσα πρὸς ἀλήθειαν τὴν τῶν οὕτως αὐτῇ χρωμένων ἀκρασίαν, ὁ δὲ σιτοποιὸς χειρῖδας ἔχων | καὶ περὶ τῷ στόματι κημὸν ἔτριβε τὸ σταῖς, ἵνα μήτε ἱδρὼς ἐπιρρέοι μήτε τοῖς φυράμασιν ὁ τρίβων ἐμπνέοι· διὸ ἐκεῖνά τις ἂν εἴποι τῷ σοφῷ τούτῳ φιλοσόφῳ· 548c

10 ξανθοῖς μύροις χρῶτα λιπαίνων,
χλανίδας θ' ἕλκων, βλαύτας σύρων,
βολβοὺς τρώγων, τυροὺς κάπτων,
ᾠὰ κολάπτων, κήρυκας ἔχων,
Χῖον πίνων, 5
15 κἀν σκυταρίοις ῥαπτοῖς φορῶν
Ἐφεσήια γράμματα καλά. (Anaxil. fr. 18.1–7)

Γοργίας γε μὴν ὁ Λεοντῖνος (82 A 11 D.–K.) | διὰ τὸ σωφρόνως ζῆν σχεδὸν ὀγδοήκοντα ἔτη τῷ φρονεῖν συνεβίωσε. καὶ ἐπεί τις αὐτὸν ἤρετο τίνι διαίτῃ χρώμενος οὕτως ἐμμελῶς καὶ μετὰ αἰσθήσεως 20 τοσοῦτον χρόνον ζήσειεν, "οὐδὲν πώποτε", εἶπεν, "ἡδονῆς ἕνεκα πράξας." οἱ δέ φασιν ὅτι ἐρωτηθείς τί αὐτῷ γέγονεν αἴτιον τοῦ βιῶσαι πλεῖον τῶν ἑκατὸν ἐτῶν, ἔφη· "τὸ μηθὲν πώποτ' ἑτέρου ἕνεκα πεποιηκέναι." Ὦχος δέ, | ὡς τελευτῶντα ἠρώτησεν ὁ πρεσβύτατος τῶν υἱῶν τί πράσσων τοσαῦτ' ἔτη διαφυλάξειε τὴν βασι- 25 λείαν, ἵνα καὶ αὐτὸς τοῦτον μιμοῖτο, "τὰ δίκαια πράττων", εἶπεν. | 548d 548e

ὅτι Τιθωνὸς ἀπὸ τῆς ἕω μέχρι δυσμῶν κοιμώμενος μόλις πρὸς ἑσπέραν τῇ ἐπιθυμίᾳ ἐπηγείρετο· ὅθεν Ἠοῖ συγκοιμᾶσθαι λεχθεὶς διὰ τὸ ταῖς ἐπιθυμίαις ἐμπεπλέχθαι ἐπὶ τῷ γήρᾳ καθεῖρκται 30 κρεμαστὸς ὢν πρὸς ἀλήθειαν ἐκ τούτων. | καὶ Μελάνθιος (*TrGF* 23 T 7b) δὲ τὸν αὑτοῦ τράχηλον κατατείνων ἀπήγχετο ἐκ τῶν ἀπολαύσεων κνισσότερος ὢν τοῦ Ὀδυσσέως Μελανθίου. Διονύσιος δὲ ὁ Ἡρακλείας τύραννος ὑπὸ τῆς καθ' ἡμέραν | ἀδηφαγίας ἔλαθεν ὑπερσαρκήσας, ὥστε διὰ τὸ πάχος ἐν δυσπνοίᾳ αὐτὸν συσχεθῆναι 548f 549a 549b

4 γυνὴ C E : γυμνὴ A | οἰνοχόει C E : ᾠνοχόει A ‖ **7** μήτε[1] E Eust. : μή τι C : μηδὲ A

καὶ πνιγμῷ· διὸ συνέταξαν οἱ ἰατροὶ κατασκευάσαι βελόνας λεπτὰς τῷ μήκει διαφερούσας, αἷς διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν ὅταν εἰς ὕπνον τύχῃ βαθύτερον ἐμπεσών. μέχρι μὲν οὖν τινος ὑπὸ τῆς πεπωρωμένης ἐκ τοῦ στέατος σαρκὸς οὐκ ἐνεποίει τὴν αἴσθησιν· εἰ δὲ πρὸς τὸν καθαρὸν τόπον ἡ βελόνη 5 διελθοῦσα ἔθιγε, τότε διηγείρετο. ἐχρημάτιζε δὲ τοῖς βουλομένοις 549c προτιθέμενος | κιβωτὸν τοῦ σώματος, ἵνα τὰ μὲν λοιπὰ μέρη κρύπτῃ, τὸ δὲ πρόσωπον μόνον ὑπερέχων διαλέγοιτο τοῖς ἀπαντῶσι· περὶ οὗ φησι Μένανδρος (fr. 25.1)·

> παχὺς γὰρ ὗς ἔκειτ' ἐπὶ στόμα. 10

καὶ πάλιν (fr. 25.2)·

> ἐτρύφησεν ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.

καὶ πάλιν (fr. 25.3–6)·

> μόνος μοι θάνατος οὗτος φαίνεται
> εὐθάνατος, ἔχοντα πολλὰς χολάδας κεῖσθαι παχὺν | 15
> 549d ὕπτιον μόλις λαλοῦντα καὶ τὸ πνεῦμ' ἔχοντ' ἄνω, 5
> ἐσθίοντα καὶ λέγοντα· "σήπομ' ὑπὸ τῆς ἡδονῆς."

ἦν δὲ τῶν πρὸ αὐτοῦ τυράννων ἐπιεικέστατος.

ὅτι Πτολεμαῖος ὁ ἕβδομος Αἰγύπτου βασιλεύς, ὁ αὑτὸν μὲν Εὐεργέτην ἀνακηρύττων, ὑπὸ δὲ Ἀλεξανδρέων Κακεργέτης 20 549e ὀνομαζόμενος, | διέφθαρτο τὸ σῶμα ὑπὸ παχύτητος καὶ γαστρὸς δυσπεριλήπτου τὸ μέγεθος, ὃς οὐδέποτε προῄει πεζός. ὅτι δὲ τρυφῆς ἦν οὐκ ἀλλότριος, καὶ αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ φάσκων 549f (Ptol. Euerg. *FGrH* 234 F 9)· | Ἀρτεμίτια μεγίστη ἑορτὴ ἐν Κυρήνῃ, ἐν ᾗ ὁ ἱερεὺς (ἐνιαύσιος δ' ἐστί) δειπνίζει τοὺς πρὸ ἑαυτοῦ 25 ἱερευσαμένους ⟨...⟩· τοῦτο δ' ἐστὶ κεραμεοῦν ἄγγος ἐπιδεχόμενον ὡς εἴκοσιν ἀρτάβας, ἐν ᾧ πολλὰ μὲν τῶν ἀγριμαίων ἔγκειται πεπονημένα, πολλὰ δὲ σῖτα καὶ τῶν ἡμέρων ὀρνίθων καὶ ἄλλα 550a | 549e τοιαῦτα. | ἡμεῖς δέ — | ἐγένετο δὲ καὶ οὗτος ἱερεὺς τοῦ Κυρηναίου 550a Ἀπόλλωνος — | περιειλόμεθα, φησί, τὰ τοιαῦτα· φιάλας δ' 30 ὁλαργύρους ἵππον τε κατεσκευασμένον σὺν ἱπποκόμῳ καὶ φαλάροις διαχρύσοις ἐδώκαμεν. εἰς πάχος δὲ ἐκδεδώκει καὶ ὁ υἱὸς

26 lac. indicavi : καὶ παρατίθησιν ἑκάστῳ τρυβλίον A ‖ **30** περιειλόμεθα ... τὰ τοιαῦτα C E : περιείλομεν τὰ τοιαῦτα Kaibel : † περιειλομενα † τοιαῦτα A

αὐτοῦ Ἀλέξανδρος, ὁ τὴν μητέρα ἀποκτείνας συμβασιλεύουσαν αὐτῷ· | ὃς οὐδὲ πατεῖν οἷός τε ἦν εἰ μὴ δυσὶν ἐπαπερειδόμενος 550b
ἐπορεύετο. εἰς δὲ τὰς ἐν τοῖς συμποσίοις ὀρχήσεις ἀπὸ μετεώρων κλινῶν καθαλλόμενος ἀνυπόδητος συντονωτέρας αὐτὰς τῶν ἠσκη-
5 κότων ἐποιεῖτο. Μάγης δὲ ὁ Κυρήνης βασιλεὺς ἔτη πεντήκοντα ἀπολέμητος γενόμενος | καὶ δι' ἀργίαν σώματος καὶ πλῆθος 550c
τροφῆς | κατάσαρκος | γενόμενος ὑπὸ τοῦ πάχους ἀπεπνίγη. παρὰ 550b | 550c
δὲ Λακεδαιμονίοις οὐ τῆς τυχούσης ἀδοξίας ἐνομίζετο, εἴ τις ἦν ἢ τὸ σχῆμα ἀνανδρότερον ἔχων ἢ τὸν ὄγκον τοῦ σώματος προπετῆ
10 γυμνῶν κατὰ δέκα ἡμέρας παρισταμένων τοῖς ἐφόροις τῶν νέων. οἱ ἔφοροι καὶ τὰ | περὶ τὴν ἔνδυσιν καὶ στρωμνὴν τῶν νέων | καθ' 550d | 550c
ἑκάστην καθεώρων. | ἦσαν δὲ καὶ ὀψοποιοὶ Λακεδαιμονίοις κρέως 550d
σκευασίας, ἄλλου δ' οὐδενός· Ναυκλείδην γοῦν ὑπερσαρκοῦντα τῷ σώματι καταβιβάσαντες εἰς μέσην τὴν ἐκκλησίαν παρ' ὀλίγον
15 ἐξέβαλον ἐκ τῆς πόλεως ἀπειλήσαντες τοῦτο ποιήσειν εἰ μὴ τὸν βίον ἐπανορθώσαιτο, πολλὰ καὶ Λυσάνδρου ὀνειδίσαντος ἐν τῷ κοινῷ ὡς τρυφῶντι | καὶ εἰπόντος ὅτι καὶ Ἀγησίλαος, ὅτε διέτριβε 550e
περὶ τὸν Ἑλλήσποντον πολεμῶν τοῖς βαρβάροις, ὁρῶν τοὺς Ἀσιαγενεῖς στολαῖς μὲν πολυτελῶς ἠσκημένους, τοῖς σώμασι δ'
20 ἀχρείους, γυμνοὺς ἐκέλευσε τοὺς ἁλισκομένους ἐπὶ τὸν κήρυκα ἄγειν καὶ χωρὶς πωλεῖν τῶν τούτων ἱματισμῶν, ὅπως οἱ σύμμαχοι εἰδότες διότι πρὸς μὲν ἆθλα μεγάλα, πρὸς δ' ἄνδρας εὐτελεῖς ὁ ἀγὼν συνέστηκε, προθυμότερον ὁρμῶσιν ἐπὶ τοὺς ἐναντίους. Λέων δ' ὁ Βυζάντιος | πάνυ παχὺς ὢν τὸ σῶμα τοῖς 550f
25 πολίταις ποτὲ στασιάζουσι πρὸς ἀλλήλους παρακαλῶν εἰς φιλίαν ἔλεγεν· "ὁρᾶτέ με, ἄνδρες πολῖται, οἷός εἰμι τὸ σῶμα· ἀλλὰ καὶ γυναῖκα ἔχω πολλῷ ἐμοῦ παχυτέραν. ὅταν οὖν ὁμονοῶμεν, καὶ τὸ τυχὸν ἡμᾶς σκιμπόδιον δέχεται· ἐὰν δὲ στασιάσωμεν, οὐδ' ἡ σύμπασα οἰκία." κάλλιον οὖν | πενομένους εἶναι λεπτοτέρους 551a
30 Λεωτροφίδου καὶ Θουμάντιδος, ὧν καταλέγει Ἕρμιππος (fr. 36.1–3)·

> οἱ γὰρ πενόμενοι
> ἀνάπηρά σοι θύουσιν ἤδη βοΐδια
> Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος,

21 τῶν τούτων ἱματισμῶν C E : τὸν τούτων ἱματισμόν A ‖ **24–6** τοῖς πολίταις … τὸ σῶμα om. E

ἢ ὑπερπλουτοῦντα τῷ Ταναγραίῳ κήτει ἐοικέναι. καὶ Ἀριστοφά-
551b | 551c νης (fr. 156.8–10) δὲ λεπτοὺς καταλέγει | Σαννυρίωνα | τραγῳδὸν
551a καὶ Μέλιτον καὶ Κινησίαν, | οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν
551b φησιν εἰς | Ἅδου πέμπεσθαι πρὸς τοὺς ἐκεῖ ποιητάς, καὶ (fr. 156.4,
551c 6) ἀϊδοφοίτας τούτους καλεῖ, | οὕς φησι καὶ (fr. 156.11) 5

ἐπὶ λεπτῶν ἐλπίδων

551d ὀχεῖσθαι. | εἰς δὲ τὸν Κινησίαν καὶ ὅλον δρᾶμα γέγραφε Στράττις, Φθιώτην Ἀχιλλέα αὐτὸν καλῶν διὰ τὸ ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ Φθιῶτα λέγειν. παίζων οὖν εἰς τὴν ἰδέαν αὐτοῦ ἔφη (Stratt. fr. 17)· 10

Φθιῶτ' Ἀχιλλεῦ.

Ἀριστοφάνης (*Av.* 1378) δὲ φιλύρινον ἐκάλει διὰ τὸ φιλύρας τοῦ ξύλου λαμβάνοντα σανίδα συμπεριζώννυσθαι ἵνα μὴ κάμπτηται
551e διά τε τὸ μῆκος καὶ τὴν ἰσχνότητα. | ἦν δὲ καὶ ἀσεβὴς καὶ παρά-
551d | 552a νομος, | ὡς Λυσίας ὁ ῥήτωρ (fr. 195 Carey) φησίν, | ὃν καὶ οὕτω 15 φησὶν ὑπὸ τῶν θεῶν διατεθεῖσθαι ὥστε τοὺς ἐχθροὺς βούλεσθαι αὐτὸν ζῆν μᾶλλον ἢ τεθνάναι παράδειγμα τοῖς ἄλλοις, ἵν' ἴδωσιν ὅτι τοῖς λίαν ὑβριστικῶς πρὸς τὰ θεῖα διακειμένοις οὐκ εἰς τοὺς παῖδας ἀποτίθενται τὰς τιμωρίας, ἀλλ' αὐτοὺς κακῶς ἀπολλύουσι·
552b τὸ μὲν γὰρ ἀποθανεῖν ἢ | καμεῖν νομίμως κοινὸν ἡμῖν ἅπασι, τὸ δ' 20 οὕτως ἔχοντα διατελεῖν καὶ καθ' ἑκάστην ἀποθνῄσκοντα μὴ δύνασθαι τελευτῆσαι τὸν βίον τούτοις μόνοις προσήκει τοῖς τοιαῦτα ἅπερ οὗτος ἐξημαρτήκει. λεπτότερος δ' ἦν Φιλήτας ὁ Κῷος ποιητής (test. 8 Sbardella = test. 22a Spanoudakis = adesp. com. fr. *122), ὃς διὰ τὴν τοῦ σώματος ἰσχνότητα σφαίρας ἐκ μολίβου 25 πεποιημένας εἶχε περὶ τὼ πόδε, ὡς μὴ ὑπὸ ἀνέμου ἀνατραπείη. |
552c | 552b Ἀρχέστρατον δέ φησι τὸν μάντιν | Πολέμων (fr. 84 Preller) |
552c ἁλόντα ὑπὸ πολεμίων καὶ ἐπὶ ζυγὸν ἀναβληθέντα ὀβολοῦ ὁλκὴν εὑρεθῆναι ἔχοντα· οὕτως ἦν ἰσχνός. ὁ αὐτὸς ἱστορεῖ καὶ ὅτι Πανάρετος ἰατρῷ μὲν οὐδενὶ ὡμίλησεν, ἦν δὲ ἰσχνότατος, ἄνοσος διατε- 30 λέσας, Ἀρκεσιλάου δ' ἠκροᾶτο τοῦ φιλοσόφου, καὶ ὅτι συνεγένετο Πτολεμαίῳ τῷ Εὐεργέτῃ τάλαντα δώδεκα τὸν ἐνιαυτὸν λαμβά-
552d νων. Ἱππῶναξ δ' ὁ ποιητὴς (test. 19 Degani) οὐ μόνον | λεπτὸς

3 Μέλιτον C E : Μέλητον A ‖ **17** ἴδωσιν A : ἴδ^ω E : ἴδω C ‖ **25** μολίβου C E et Ael. : μολύβου A

ἀλλὰ καὶ | μικρὸς ἦν τὸ σῶμα, | ἀκρότονος δ' οὕτως ὡς πρὸς τοῖς 552c | 552d
ἄλλοις καὶ καινὴν λήκυθον βάλλειν μέγιστόν τι διάστημα τῶν
ἐλαφρῶν σωμάτων οὐκ ἐχόντων βιαίαν τὴν φορὰν διὰ τὸ μὴ
δύνασθαι τὸν ἀέρα τέμνειν. εὐτελὴς δ' ἦν τὸ σῶμα διὰ λεπτότητα
5 καὶ Φιλιππίδης, | ὡς Ἀριστοφῶν (fr. 8)· 552e

(Α.) ἐν ἡμέραις αὐτὸν
τρισὶν ἰσχνότερον ἀποφανῶ Φιλιππίδου.
(Β.) οὕτως ἐν ἡμέραις ὀλίγαις νεκροὺς ποιεῖς;

ἀπὸ τούτου δὲ καὶ Ἄλεξις (fr. 148.2) πεφιλιππῶσθαι εἶπε τὸ
10 λελεπτύνθαι. | πολλῷ οὖν κάλλιον τοιοῦτον εἶναι τὴν ἰδέαν ἢ ὡς 552f
Ἀντιφάνης (fr. 20) φησί·

τοῦτον οὖν
δι' οἰνοφλυγίαν καὶ πάχος τοῦ σώματος
Ἀσκὸν καλοῦσι πάντες οἱ ἐπιχώριοι.

15 ὅτι Δεινίας ὁ μυροπώλης διὰ τρυφὴν εἰς ἔρωτα ἐμπεσὼν καὶ
πολλὰ ἀναλώσας, ὡς ἔξω τῶν ἐπιθυμιῶν ἐγένετο, ὑπὸ λύπης
ἐκταραχθεὶς ἐξέτεμεν αὐτοῦ τὰ αἰδοῖα. | ἔθος δ' ἦν Ἀθήνησι καὶ 553a
τοὺς πόδας τῶν τρυφώντων ἐναλείφειν μύροις, ἰρίνῳ ἢ ῥοδίνῳ ἢ
ἀμαρακίνῳ | ἢ Μεγαλλίῳ ἢ ἄλλοις τοιούτοις. | 553b
20 ὅτι οὕτως | ἐξήρτηντο τῶν ἡδυπαθειῶν οἱ τότε, ὡς καὶ 554b | 554c–d
Καλλιπύγου Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι δυεῖν θυγατέρων ἀνδρὸς
ἀγροίκου ταύτην ἱδρυσαμένων. ἐπείπερ οὐσίας λαμπρᾶς ἐπε-
λάβοντο πλουσίου τινὸς υἱοῖς συζευγθεῖσαι, οἳ ἠράσθησαν αὐτῶν
ὅτε φιλονεικήσασαι πρὸς ἑαυτὰς προῆλθον ἐπὶ τὴν λεωφόρον
25 διακρινόμεναι ποτέρα εἴη καλλιπυγωτέρα καὶ εἵλοντο αὐτοὺς
κριτάς. |
ὅτι καὶ τὸν Θεμιστοκλέους βίον ἁβρόν τινες παραδιδόασι. | 553e
φυσικὸν δή τί φησι Κλέαρχος (fr. 25 Wehrli) τοὺς οἰομένους εἶναι 553e–4b
καλοὺς καὶ ὡραίους ἀνθολογεῖν. |
30 ὅτι Θρασύλαος διετέθη ποτὲ ὑπὸ μανίας τοιαύτης ὡς πάντα τὰ 554e
πλοῖα τὰ εἰς τὸν Πειραιᾶ καταγόμενα ὑπολαμβάνειν ἑαυτοῦ εἶναι,
καὶ ἀπεγράφετο αὐτὰ καὶ διῴκει, καὶ καταπλέοντα ἀπεδέχετο
μετὰ χαρᾶς τοσαύτης ὅσησπερ ἂν τις τοσούτων χρημάτων κύριος
ὤν. καὶ τῶν μὲν ἀπολλυμένων οὐδὲν | ἐπεζήτησε, τοῖς δὲ σῳζο- 554f
35 μένοις ἔχαιρεν. ἐπεὶ δὲ ὁ ἀδελφὸς αὐτοῦ Κρίτων συλλαβὼν αὐτὸν

παρέδωκεν ἰατροῖς καὶ τῆς μανίας ἐπαύσατο, διηγεῖτο οὐδέποτε κατὰ τὸν βίον ἡσθῆναι πλέονα· λύπην μὲν γὰρ οὐδ᾽ ἡντινοῦν αὐτῷ παραγίνεσθαι, τὸ δὲ τῶν ἡδονῶν πλῆθος ὑπερβάλλειν.

1 ἰατροῖς C : ἰα$^{τρ\hat{}}$ E : ἰατρῷ A ‖ **3** παραγίνεσθαι, i.e. π^{ε}γ- A : π^{ε}γίνεσθαι, i.e. παραγίνεσθαι E^{s} : περιγίνεσθαι C E | τέλος τῶν ἐκ τοῦ δωδεκάτου λόγου add. E

ἐκ τοῦ τρισκαιδεκάτου λόγου

Ἀντιφάνης ὁ κωμῳδιοποιός (test. 8), ὡς ἀνεγίνωσκέ τινα τῷ Ἀλεξάνδρῳ τῶν ἑαυτοῦ κωμῳδιῶν, ὁ δὲ δῆλος ἦν οὐ πάνυ τι ἀποδεχόμενος, "δεῖ γάρ," ἔφησεν, "ὦ βασιλεῦ, τὸν ταῦτα ἀποδεχόμενον ἀπὸ συμβόλων τε πολλάκις δεδειπνηκέναι καὶ περὶ ἑταίρας πολλάκις καὶ εἰληφέναι καὶ δεδωκέναι πληγάς." | 555a (5)

ὅτι ἐν Λακεδαίμονι εἰς οἴκημα σκοτεινὸν πᾶσαι συνεκλείοντο αἱ κόραι καὶ οἱ ἄγαμοι νεανίσκοι, καὶ ἕκαστος ἧς ἐπιλάβοιτο, ταύτην ἀπῆγεν ἄπροικον, | φησὶν Ἕρμιππος (fr. 87 Wehrli)· | διὸ καὶ Λύσανδρον ἐζημίωσαν, ὅτι καταλιπὼν τὴν προτέραν ἑταίραν ἐβουλεύετο περικαλλεστέραν ἀγαγέσθαι. Κλέαρχος (fr. 73 Wehrli) δέ φησιν ὅτι ἐν Λακεδαίμονι τοὺς ἀγάμους αἱ γυναῖκες ἐν ἑορτῇ τινι ἕλκουσαι περὶ τὸν βωμὸν ῥαπίζουσιν, ἵνα τὴν ἐκ τοῦ πράγματος ὕβριν | φεύγοντες φιλοστοργῶσι καὶ ἐν ὥρᾳ προσίωσι τοῖς γάμοις. Κέκροψ δὲ πρῶτος Ἀθήνησι μίαν ἑνὶ ἔζευξεν ἀνέδην τὸ πρότερον οὐσῶν τῶν γυναικῶν καὶ κοινογαμίων ὄντων· διὸ καὶ ἔδοξέ τισι διφυὴς νομισθῆναι οὐκ εἰδότων τῶν πρότερον διὰ τὸ πλῆθος τὸν πατέρα. ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετάς, Ξανθίππην τε καὶ Μυρτώ, | εἰ μὴ ἄρα τότε τοῦτο ἐψήφιστο διὰ σπάνιν ἀνθρώπων, ὡς ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον, ὅθεν καὶ οἱ κωμῳδιοποιοὶ ἀπεσιώπησαν τοῦτο πολλάκις Σωκράτους μνημονεύσαντες. | παρὰ δὲ Πέρσαις ἀνέχεται ἡ βασίλεια τοῦ πλήθους τῶν παλλακίδων διὰ τὸ ὡς δεσπότην ἄρχειν τῆς γαμετῆς τὸν βασιλέα καὶ διὰ τὸ τὴν βασιλίδα ὑπὸ τῶν παλλακίδων θρησκεύεσθαι· προσκυνοῦσι γοῦν αὐτήν. καὶ ὁ Πρίαμος δέ, ὥς φησιν Ὅμηρος (*Il.* 24.496–7), πολλαῖς χρῆται γυναιξὶ καὶ ἡ Ἑκάβη οὐ δυσχεραίνει. | παρὰ δὲ Ἕλλησιν οὐκ ἀνέχεται ἡ τοῦ Φοίνικος μήτηρ τὴν τοῦ Ἀμύντορος παλλακίδα. Μήδεια δὲ καίπερ εἰδυῖα τὸ ἔθος, ὅτι ἐστὶ βαρβαρικόν, οὐ φέρει τὸν Γλαύκης γάμον, ἤδη εἰς τὰ ἄμεινα καὶ Ἑλληνικὰ ἐκδεδιητημένα. καὶ Κλυταιμνήστρα δὲ διὰ Κασάνδραν Ἀγαμέμνονα κτείνει, ἣν εἰς τὴν Ἑλλάδα ὁ κρείων

(margin: 555c; 555b | 555c; 10; 555d; 15; 20 556a; 556b; 25; 556c; 30)

1 ἐκ τοῦ ιγ´ λόγου E : Ἀθηναίου ἐκ τοῦ τρισκαιδεκάτου βιβλίου C **16** γυναικῶν C : γυ^ν() E : συνόδων A ‖ **22** κωμῳδιοποιοὶ E : κωμικοὶ C : τοὺς τῆς κωμῳδίας ποιητὰς (structura alia) A ‖ **32** Κασάνδραν C E : Κασσάνδραν A

556d ἐπήγετο ἐν ἔθει γενόμενος | βαρβαρικῶν νόμων. θαυμάσαι δ᾽ ἄν τις, φησὶν Ἀριστοτέλης (fr. 144 Rose = fr. 42 Gigon), ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα πᾶσι δοὺς γυναῖκας. κοιμῶνται οὖν παρ᾽ αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν, Νέστωρ καὶ Φοῖνιξ· οὐ γὰρ ἦσαν 5 ἐκλελυμένοι τοῖς σώμασιν ἐν νεότητι διὰ μέθης ἢ ἀφροδισίων ἢ τῆς ἐν ἀδδηφαγίᾳ ἀπεψίας. εἰκότως οὖν ἔρρωντο τῷ γήρᾳ. ἔοικεν οὖν ὁ Σπαρτιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς |
556e καὶ τὴν στρατείαν ἤθροισε· διὸ φυλάττεται τὴν πρὸς ἄλλην κοινωνίαν. ὁ δ᾽ Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου 10 λοιδορεῖται (*Il.* 2.226–8). ἀλλ᾽ οὐκ εἰκός, φησὶν Ἀριστοτέλης, εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν ἀλλ᾽ εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον (cf. *Il.* 9.71–2) εἰς τὸ μεθύειν παρεσκευάσατο. ὁ δ᾽ Ἡρακλῆς πλείστας δόξας ἐσχηκέναι γυναῖκας (ἦν γὰρ φιλογύνης)
556f ἀνὰ | μέρος αὐτὰς εἶχεν, ὡς ἂν στρεφόμενος καὶ κατὰ διάφορα 15 γινόμενος χωρία· ἐξ ὧν καὶ τὸ τῶν τέκνων πλῆθος αὐτῷ ἐγένετο. ἐν ἑπτὰ μέντοι γε ἡμέραις πεντήκοντα διεπαρθένευσε Θεστίου θυγατέρας, ὡς Ἡρόδωρος (*FGrH* 31 F 20) ἱστορεῖ. πολυγύναιος δὲ καὶ Αἰγεὺς πρώτην γήμας τὴν Ὅπλητος θυγατέρα, εἶτα τὴν Χαλκόδοντος. παραδοὺς δ᾽ ἀμφοτέρας φίλοις συνῆν πολλαῖς χωρὶς 20
557a γάμων. εἶτα ἔλαβεν Αἴθραν, μεθ᾽ ἣν Μήδειαν. | Θησεῖ δὲ Ἴστρος (*FGrH* 334 F 10) φησὶ γυναῖκας γενέσθαι τὰς μὲν ἐξ ἔρωτος, τὰς δ᾽
557b ἐξ ἁρπαγῆς, ὡς Ἑλένην, Ἀριάδνην, Ἱππολύτην, | μεθ᾽ ἣν καὶ
557a | 557b Φαίδραν ἔσχεν, | ἄλλας δ᾽ ἐκ νομίμων γάμων. | Φίλιππος δὲ |
557c οἰκειώσασθαι θέλων τὸ Θετταλῶν ἔθνος τῇ Ἰλλυρίδι Αὐδάτᾳ ἐπέ- 25 γημε δύο Θετταλίδας γυναῖκας, ὧν ἡ μὲν Φεραία Νικησίπολις, ἥτις αὐτῷ ἐγέννησε Θετταλονίκην, ἡ δὲ Λαρισσαία Φίλιννα, ἐξ ἧς Ἀρριδαῖον ἐτέκνωσε. προσεκτήσατο δὲ καὶ τὴν Μολοττῶν βασιλείαν γήμας Ὀλυμπιάδα, ἐξ ἧς ἔσχεν Ἀλέξανδρον καὶ
557d Κλεοπάτραν. καὶ τὴν Θρᾴκην δ᾽ | ἑλών, Μήδαν γήμας τὴν τοῦ 30 Θρᾳκῶν βασιλέως ἐπεισήγαγε καὶ ταύτην τῇ Ὀλυμπιάδι. ἐπὶ πάσαις δὲ Κλεοπάτραν τὴν Ἀττάλου ἀδελφιδῆν ἐπεισάγων τῇ Ὀλυμπιάδι πάντα τὸν ἑαυτοῦ βίον συνέχεεν· εὐθέως γὰρ ἐν αὐτοῖς τοῖς γάμοις ὁ μὲν Ἄτταλος, "νῦν μέντοι", ἔφη, "γνήσιοι καὶ οὐ

1 νόμων C : νό$^{\mu}$ E : γάμων A ‖ **7** ἀδδηφαγίᾳ C E : ἀδηφαγίαις A **20** Χαλκόδοντος A C : Χαλκώδοντος E Eust. ‖ **27** Λαρισσαία C E : Λαρισαία A

νόθοι βασιλεῖς γεννήσονται." καὶ Ἀλέξανδρος ἀκούσας ἔβαλεν ᾗ μετὰ χεῖρας εἶχε | κύλικι τὸν Ἄτταλον, ἔπειτα κἀκεῖνος αὐτὸν τῷ ποτηρίῳ. καὶ μετὰ ταῦτα Ὀλυμπιὰς μὲν εἰς Μολοττὸν φεύγει, Ἀλέξανδρος δὲ εἰς Ἰλλυριούς. | εἰς τοὺς πολέμους μέντοι γε οὐκ ἐπήγετο γυναῖκας ὁ Φίλιππος ὥσπερ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου καταλυθείς, ὃς περὶ τῶν ὅλων πολεμῶν τριακοσίας ἑξήκοντα περιήγετο παλλακάς. | 557e 557b 5

ὅτι εἰπόντος Σοφοκλεῖ (test. 58a) τινος ὅτι μισογύνης ἐστὶν Εὐριπίδης (test. 107a), "ἐν γε ταῖς τραγῳδίαις," ἔφη Σοφοκλῆς· "ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης." | φησὶν Εὔβουλος (fr. 97.1–8) περί τινων γυναικῶν· 557e 10 557f

οὐ περιπεπλασμέναι ψιμμυθίῳ,
οὐδ' ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους
κεχρισμέναι. κἂν ἐξίητε τοῦ θέρους,
15 ἀπὸ μὲν τῶν ὀφθαλμῶν ὑδρορρόαι δύο
ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς 5
ἐπὶ τὸν τράχηλον ἄλοκα μιλτώδη ποιεῖ,
ἐπὶ τῷ προσώπῳ δ' αἱ τρίχες φορούμεναι |
εἴξασι πολιαῖς, ἀνάπλεῳ ψιμμυθίου. 558a

20 Ἀναξίλας (fr. 22.1–6, 8–12, 15–30) δὲ καὶ αὐτός φησιν·

ὅστις ἀνθρώπων ἑταίραν ἠγάπησεν,
οὐ γένος ἂν δύναιτο παρανομώτατον φράσαι·
τί γὰρ ἢ δράκαιν' ἄμικτος ἢ Χίμαιρα πύρπνοος
ἢ Χάρυβδις ἢ τρίκρανος Σκύλλα, ποντία κύων,
25 Σφίγξ, Ὕδρα, λέαιν', ἔχιδνα, πτηνά θ' Ἁρπυιῶν γένη, 5
εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους; | 6
ἔστι δὲ σκοπεῖν ἀπ' ἀρχῆς πρῶτον μὲν τὴν Πλαγόνα, 8 558b
ἥτις ὥσπερ ἡ Χίμαιρα πυρπολεῖ τοὺς βαρβάρους.
εἷς μόνος δ' ἱππεύς τις αὐτῆς τὸν βίον παρείλετο· 10
30 πάντα τὰ σκεύη γὰρ ἕλκων ᾤχετ' ἐκ τῆς οἰκίας.
οἱ Σινώπῃ δ' αὖ συνόντες οὐχ Ὕδρᾳ σύνεισι νῦν; | 12
ἡ δὲ Νάννιον τί διαφέρειν Σκύλλης δοκεῖ; 15 558c
οὐ δύ' ἀποπνίξασ' ἑταίρους τὸν τρίτον θηρεύετ'
ἔτι λαβεῖν; ἀλλ' ἐξέπεσε πορθμὶς ἐλατίνῳ πλάτῃ.

3 Μολοττὸν C E : Μολοττοὺς A ‖ 27 Πλαγόνα C E : Πλαγγόνα A E[s]

ἡ δὲ Φρύνη τὴν Χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ
τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ᾽ αὐτῷ σκάφει;
ἡ Θεανὼ δ᾽ οὐχὶ Σειρήν ἐστιν ἀποτετιλμένη; | 20
558d βλέμμα καὶ φωνὴ γυναικός, τὰ σκέλη δὲ κοψίχου.
Σφίγγα Θηβαίαν δὲ πάσας ἐστὶ τὰς πόρνας καλεῖν, 5
αἳ λαβοῦσαι ἁπλῶς μὲν οὐδέν, ἀλλ᾽ ἐν αἰνιγμοῖς τισιν
ἐρῶσι καὶ φιλοῦσι καὶ σύνεισιν ἡδέως.
εἶτα, "τετράπους μοι", φησί, "γένοιτο σκίμπους ἢ θρόνος," 25
εἶτα δή· "τρίπους τις,", εἶτα, φησί· "παιδίσκη δίπους."
εἶθ᾽ ὁ μὲν γνοὺς ταῦτ᾽ ἀπῆλθεν εὐθὺς ὥσπερ γ᾽ 10
οὐδ᾽ ἰδεῖν δόξας ἐκείνην, σῴζεται δ᾽ ἄκων μόνος. |
558e οἱ δ᾽ ἐρᾶσθαι προσδοκῶντες εὐθύς εἰσιν ἠρμένοι
καὶ φέρονθ᾽ ὑψοῦ πρὸς αἴθραν. 30

Ἄλεξίς (fr. 150.1–3) φησί που·

ὦ δυστυχεῖς ἡμεῖς πεπρακότες 15
τὴν τοῦ βίου παρρησίαν καὶ τὴν τρυφὴν |
558f γυναιξὶ δοῦλοι ζῶμεν ἀντ᾽ ἐλευθέρων. |

559a Ξέναρχος (fr. 14) δέ φησιν·

εἶτ᾽ εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες,
ὧν ταῖς γυναιξὶν οὐδ᾽ ὁτιοῦν φωνῆς ἔνι; 20

Φιλέταιρος (fr. 5)·

ὡς τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ᾽ ἔχει.
οὐκ ἐτὸς Ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ᾽ οὐχὶ Γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Ἄμφις (fr. 1.1–5)· 25

εἶτ᾽ οὐ γυναικός ἐστιν εὐνοϊκωτέρα
γαμετῆς ἑταίρα; |
559b ἡ μὲν νόμῳ γὰρ καταφρονοῦσ᾽ ἔνδον μένει,
ἡ δ᾽ οἶδεν ὅτι ἢ τοῖς τρόποις ὠνητέος
ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον. 5 30

Εὔβουλος (fr. 115.1–5)·

κακὸς
κακῶς ἀπόλοιτο ὅστις γυναῖκα δευτέραν

ἔγημε· τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς·
ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ,
ὁ δ' οἷον ἦν γυνὴ κακὸν πεπεισμένος. 5

καὶ προελθών φησιν (fr. 115.6–15)·

5 ὦ Ζεῦ πολυτίμητε, εἶτ' ἐγώ ποτε κακῶς |
ἐρῶ γυναῖκας; νὴ Δί' ἀπολοίμην ἄρα. 559c
εἰ δ' ἐγένετο
κακὴ γυνὴ Μήδεια, Πηνελόπη δὲ
μέγα πρᾶγμα. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή· 10
10 Ἄλκηστιν ἀντέθηκα χρηστήν. ἀλλ' ἴσως
Φαίδραν ἐρεῖ κακῶς τις· ἀλλὰ νὴ Δία
χρηστή — τίς ἦν μέντοι; τίς; οἴμοι δείλαιος,
ταχέως γέ μ' αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,
τῶν δ' αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω. | 15

15 Ἀντιφάνης (fr. 220.1–3)· 559d

(A.) γεγάμηκε δήπου. (B.) τί λέγεις; ἀληθινῶς
γεγάμηκεν, ὃν ἐγὼ ζῶντα περιπατοῦντα
κατέλιπον;

Μένανδρος (fr. 64.1–3)· |

20 οὐ γαμεῖς ἂν νοῦν ἔχῃς. 559e
γεγάμηκα γὰρ
αὐτός, διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.

πάλιν (Men. fr. 119)·

ἐξώλης ἀπόλοιθ' ὅστις ποτὲ |
25 ὁ πρῶτος ἦν ὁ γήμας, ἔπειθ' ὁ δεύτερος, 559f
εἶθ' ὁ τρίτος, εἶθ' ὁ τέταρτος, εἶθ' ὁ μεταγένης.

Καρκίνος (*TrGF* 70 F 2–3)·

ὦ νύκτες,
ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν;
30 ἀρκοῦν ἂν εἴη κἂν "γυναῖκ'" εἴπῃς μόνον.

ὁ δὲ Μεγαρικὸς ποιητὴς Θέογνίς (457–60) φησιν· |

οὔτοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γεραιῷ· 560a

οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος,
οὐδ᾽ ἄγκυραν ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα. | 460

560b ὅτι οἱ μέγιστοι πόλεμοι διὰ γυναῖκας ἐγένοντο, ὁ Ἰλιακὸς δι᾽
560c Ἑλένην, ὁ λοιμὸς διὰ Χρυσηΐδα, Ἀχιλλέως μῆνις διὰ Βρισηΐδα. | ὁ 5
Φιλίππου δὲ οἶκος ἀνετράπη διὰ τὸν Κλεοπάτρας γάμον, ὁ
560d Ἡρακλέους διὰ τὸν Ἰόλης, ὁ Θησέως διὰ τὸν | Φαίδρας τῆς
Μίνωος, ὁ Ἀθάμαντος διὰ τὸν Θεμιστοῦς τῆς Ὑψέως, ὁ Ἰάσονος
διὰ τὸν Γλαύκης, ὁ Ἀγαμέμνονος διὰ Κασάνδραν. καὶ ἡ ἐπ᾽
Αἴγυπτον δὲ Καμβύσου στρατεία διὰ γυναῖκα ἐγένετο· πυθόμενος 10
γὰρ τὰς Αἰγυπτίας ἐν ταῖς συνουσίαις διαφέρειν τῶν ἄλλων
ἔπεμψε πρὸς Ἄμασιν αἰτῶν θυγατέρα πρὸς γάμον. ὁ δὲ τῶν μὲν
560e ἑαυτοῦ οὐκ ἔδωκεν ὑπονοήσας | παλλακίδος ἕξειν αὐτὴν τιμήν,
ἔπεμψε δὲ τὴν Ἀπρίου θυγατέρα, ὃς ἦν ὑπ᾽ αὐτοῦ τῆς τῶν
Αἰγυπτίων βασιλείας ἐκπεπτωκώς. ἡσθεὶς οὖν ὁ Καμβύσης τῇ 15
παιδὶ ἐκμανθάνει παρ᾽ αὐτῆς πάντα, καὶ δεηθείσης ἐκδίκησιν τὸν
Ἀπρίου φόνον, πείθει πολεμῆσαι Αἰγυπτίοις. Νιτῖτις δὲ ἐκαλεῖτο
560f ἡ παῖς. Δείνων (*FGrH* 690 F 11) | δέ φησι τὴν παῖδα ταύτην Κύρῳ
πεμφθῆναι ὑπὸ Ἀμάσιδος· ἐξ ἧς γεννηθῆναι Καμβύσην, ὃν
560b ἐκδικοῦντα τῇ μητρὶ ἐπ᾽ Αἴγυπτον στρατεῦσαι. | καὶ ὁ ἱερὸς δὲ 20
καλούμενος πόλεμος διὰ Θεανὼ τὴν Θηβαίαν, ὥς φησι Δοῦρις
(*FGrH* 76 F 2), ἐγένετο ἁρπασθεῖσαν ὑπὸ Φωκέως τινός. δεκαετὴς
δὲ γενόμενος ἔτει δεκάτῳ Φιλίππου συμμαχήσαντος πέρας ἔσχε·
τότε γὰρ εἷλον Θηβαῖοι Φωκίδα. καὶ ὁ Κρισσαϊκὸς δὲ πόλεμος, |
560c ὅτε Κιρραῖοι πρὸς Φωκεῖς ἐπολέμησαν, δεκαετὴς ἦν ἁρπασάντων 25
Κιρραίων τὴν Πελάγοντος τοῦ Φωκέως Μεγιστώ· δεκάτῳ δὲ ἔτει
560f ἑάλω καὶ ἡ Κίρρα. | Δοῦρις (*FGrH* 76 F 52) δέ φησι πρῶτον
γενέσθαι πόλεμον δύο γυναικῶν Ὀλυμπιάδος καὶ Εὐριδίκης, ἐν ᾧ
τὴν μὲν βακχικώτερον μετὰ τυμπάνων προελθεῖν, τὴν δ᾽ Εὐρι-
δίκην Μακεδονικῶς ὡπλισμένην, προησκημένην τὰ πολεμικά. | 30

561b εἴη καὶ ἐρᾶν καὶ ἔρωτι
χαρίζεσθαι κατὰ καιρόν,

9 Κασάνδραν C E : Κασσάνδραν A ‖ **16** ἐκδίκησιν C : ἐκδικ^{ηο} E : ἐκδικῆσαι A ‖ **17** Νιτῖτις C E : Νειτήτιν (structura alia) A ‖ **18** Δείνων C E : Δίνων A
24 Κρισσαϊκὸς C E : Κρισαϊκὸς A

φησὶ Πίνδαρος (fr. 127.1–2). | Ζήνων δὲ ὁ Κιττιεὺς (fr. 263, *SVF* i.61 561c
= 67D Long–Sedley) ᾤετο τὸν Ἔρωτα θεὸν φιλίας καὶ ὁμονοίας
καὶ ἐλευθερίας παρασκευαστικόν, ἄλλου δ' οὐδενός· διὸ καὶ συνερ-
γόν που τοῦτόν φησι πρὸς | πόλεως σωτηρίαν. καὶ οἱ ἄλλοι δὲ 561d
5 σοφοὶ σεμνὸν τὸν Ἔρωτα καὶ παντὸς αἰσχροῦ κεχωρισμένον
ᾔδεσαν. καὶ κατὰ τὰ γυμνάσια Ἑρμῇ καὶ Ἡρακλεῖ συνίδρυον, τῷ
μὲν λόγου, τῷ δ' ἀλκῆς προεστῶτι· ὧν ἑνωθέντων φιλία καὶ
ὁμόνοια γεννᾶται. Ἀθηναῖοι δὲ τῆς Ἀκαδημίας | Ἀθηνᾷ καθιερω- 561e
μένης αὐτόθι τὸν Ἔρωτα ἱδρυσάμενοι συνθύουσιν αὐτῷ· Θεσπιεῖς
10 τε τὰ Ἐρωτίδια τιμῶσι καθάπερ Ἀθήναια ἢ Ὀλύμπια. Λακεδαι-
μόνιοι δὲ πρὸ τῶν παρατάξεων Ἔρωτι προθύονται ὡς ἐν τῇ τῶν
παραταττομένων φιλίᾳ κειμένης τῆς νίκης· Κρῆτες δ' ἐν ταῖς
παρατάξεσι τοὺς καλλίστους τῶν πολιτῶν | κοσμήσαντες διὰ 561f
τούτων θύουσι τῷ Ἔρωτι. ὁ δὲ παρὰ Θηβαίοις ἱερὸς λόχος καλού-
15 μενος συνέστηκεν ἐξ ἐραστῶν καὶ ἐρωμένων. | φησί που Ἄλεξις (fr. 562a
247.3–13)· |

καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι 562b
τὸν Ἔρωτα, συντομώτερον δ' εἰπεῖν, ὅσοι
τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας· 5
20 ἐστὶ γὰρ οὔτε θῆλυς οὔτ' ἄρσην, πάλιν
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὔτ' ἀβέλτερος
οὔτ' αὖθις ἔμφρων, ἀλλὰ συνηνεγμένος
πανταχόθεν, ἑνὶ τύπῳ πόλλ' εἴδη φέρων·
ἡ τόλμα μὲν γὰρ ἀνδρός, ἡ δειλία δὲ 10
25 γυναικός, ἡ δ' ἄνοια μανίας, ὁ δὲ λόγος |
φρονοῦντος, ἡ σφοδρότης δὲ θηρός, ὁ δὲ πόνος 562c
ἀδάμαντος, ἡ φιλοτιμία δὲ δαίμονος.

Εὔβουλος (fr. 40.1–8) δέ φησι·

τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
30 ἢ κηροπλαστήσας Ἔρωτα ὑπόπτερον;
ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,
ἀλλ' ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ. |
ἐστὶ γὰρ οὔτε κοῦφος οὔτε ῥᾴδιος 5 562d

1 Κιττιεὺς C E : Κιτιέα (structura alia) A ‖ **11** παρατάξεων A : παρατάξεως C E

ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον,
βαρὺς δὲ κομιδῇ. πῶς ἂν οὖν ἔχοι πτερὰ
τοιοῦτο πρᾶγμα;

Ἄλεξις (fr. 20.1–5)·

λέγεται λόγος 5
ὑπὸ τῶν σοφιστῶν, μὴ πέτεσθαι
τὸν Ἔρωτα, τοὺς δ᾽ ἐρῶντας, αἰτίαν δ᾽ ἔχειν
ἐκεῖνον ἄλλως, ἠγνοηκότας δὲ τοὺς |
562e γραφεῖς πτερωτὸν αὐτὸν ζωγραφεῖν. 5

Χαιρήμων δὲ ὁ τραγικός (*TrGF* 71 F 16) φησιν ὡς τὸν οἶνον τῶν 10
χρωμένων κεράννυσθαι, οὕτω καὶ τὸν Ἔρωτα· ὃς μετριάζων μέν
ἐστιν εὔχαρις, ἐπιτεινόμενος δὲ καὶ διαταραττόμενος χαλεπώτα-
τος. φησὶ δ᾽ αὐτὸν καί·

δίδυμα
τόξα ἐντύνεσθαι, 15
τὸ μὲν ἐπ᾽ εὐαίωνι τύχᾳ, 550
τὸ δ᾽ ἐπὶ συγχύσει βιοτᾶς. (E. *IA* 548–51) |

563a Θεόφιλος (fr. 12.1–7) δέ φησι·

τίς φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν;
ἦ πού τις ἐστὶ τοὺς τρόπους ἀβέλτερος· 20
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ᾽ οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶ, 5
παιδὸς κόρης. οὐ νοῦν ἔχω πρὸς τῶν θεῶν;
κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς. | 25

563b Ἀριστοφῶν (fr. 11.1–9) δέ φησιν·

ἀπεψηφισμένος ἐστὶν
ὑπὸ τῶν θεῶν τῶν δώδεκ᾽ εἰκότως Ἔρως;
ἐτάραττε κἀκείνους γὰρ ἐμβάλλων στάσεις
ὅτ᾽ ἦν μετ᾽ αὐτῶν. ὡς δὲ λίαν ἦν θρασὺς 30
καὶ σοβαρός, ἀποκόψαντες αὐτοῦ τὰ πτερά, 5
ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,
δεῦρ᾽ αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω,
τὰς δὲ πτέρυγας ἃς εἶχε τῇ Νίκῃ φορεῖν |

ἔδοσαν περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων. 563c

περὶ δὲ τοῦ ἐρᾶν Ἄμφις (fr. 15.1–6) φησί·

τί φῄς; σὺ ταυτὶ προσδοκᾷς πείσειν ἐμέ,
ὡς ἔστ᾽ ἐραστὴς ὅστις ὡραίων φιλῶν
5 τρόπων ἐραστής ἐστι τὴν ὄψιν παρείς;
οὔτε τούτῳ πείθομαι
οὔθ᾽ ὡς πένης ἄνθρωπος ἐνοχλῶν πολλάκις 5
τοῖς εὐποροῦσιν οὐ λαβεῖν τι βούλεται.

Ἄλεξις (fr. 70.1–3)· |

10 ὡς ὅστις αὖθις ἀκμῆς τῶν σωμάτων 563d
ἐρᾷ,
τῆς ἡδονῆς ἐστιν οὐχὶ τῶν φίλων φίλος.

ὅτι Ἑρμείας ὁ Κουριεὺς (vv. 1–2, p. 237 Powell) τοὺς Στωικοὺς

Στώακας

15 καλεῖ,

ἐμπόρους λήρου |
λόγων, 563e

καὶ παιδοπίπας καὶ τοῦτο μόνον ἐζηλωκότας τὸν τῆς σοφίας σφῶν ἀρχηγὸν Ζήνωνα τὸν Φοίνικα. |

20 ὅτι Ἀρίστων ὁ Κῖος (fr. 18 Wehrli = fr. 13A Fortenbaugh–White) πρός τινα Ἀττικὸν ἐπιδεικνύντα τινὰ μέγαν τὴν ἡλικίαν ὡς καλόν, ᾧ Δῶρος ἦν τοὔνομα, τὸ Ὀδυσσέως ἔφη πρὸς Δόλωνα (*Il.* 10.401)· 563f

"ἦ ῥά νύ τοι μεγάλων Δώρων ἐπεμαίετο θυμός." |

25 φησὶν Ἡγήσανδρος (fr. 26, *FHG* iv.418) τῶν ἡδυσμάτων ἐρᾶν πάντας, οὐ τῶν κρεῶν οὐδὲ τῶν ἰχθύων. ἀπογενομένων οὖν τούτων οὐδεὶς ἡδέως ἔτι προσφέρεται τὸ κρέας οὐδὲ τὸν ἰχθύν, οὐδ᾽ ἐπιθυμεῖ τῶν ὠμῶν καὶ ἀνηδύντων. | Ἀριστοτέλης (fr. 96 Rose = fr. 43 Gigon) ἔφη τοὺς ἐραστὰς εἰς οὐδὲν ἄλλο τοῦ σώματος ἀποβλέ- 564a 564b

3–7 ἐμέ ... πένης om. C ‖ **20** Κῖος A C[s] E : Κεῖος C Eust. ‖ **26** πάντας A : πάντως C E

πειν ἢ τοὺς ὀφθαλμούς, ἐν οἷς τὴν αἰδῶ κατοικεῖν. Σοφοκλῆς (fr. *474.1–2) δὲ περὶ τοῦ Πέλοπος κάλλους παράγει λέγουσαν Ἱπποδάμειαν·

τοιάνδ᾽ ἐν ὄψει λύγκα θηρατηρίαν |
564c ἔρωτος, ἀστραπήν τιν᾽ ὀμμάτων, ἔχει. 5

Λικύμνιος δὲ τὸν Ὕπνον φήσας ἐρᾶν τοῦ Ἐνδυμίωνος, οὐδὲ
564d καθεύδοντος αὐτοῦ κατακαλύπτει τοὺς ὀφθαλμούς· | φησὶ γοῦν (*PMG* 771)·

Ὕπνος δὲ χαίρων
ὀμμάτων αὐγαῖς ἀναπεπταμένοις 10
ὄσσοις ἐκοίμιζε κοῦρον.

καὶ ἡ Σαπφὼ (fr. 138) δὲ πρὸς τὸν πάνυ καλὸν τὴν μορφήν φησι·

στᾶθι κἄντα φίλος
καὶ τὰν ἐπ᾽ ὄσσοις ἀμπέτασον χάριν.

ὁ δ᾽ Ἀνακρέων (*PMG* 360.1–4) τί φησίν; 15

παρθένιον βλέπουσαν
δίζημαί σε, σὺ δ᾽ οὐκ ἀίεις·
οὐ γὰρ οἶδας ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις. |

564e ὁ δὲ τοῦ Κυθηρίου Φιλοξένου (*PMG* 821) Κύκλωψ ἐρῶν τῆς Γαλα- 20
τείας καὶ ἐπαινῶν αὐτῆς τὸ κάλλος, προμαντευόμενος τὴν τύφλωσιν πάντα μᾶλλον αὐτῆς ἐπαινεῖ ἢ τῶν ὀφθαλμῶν μνημονεύει λέγων ὧδε·

ὦ καλλιπρόσωπε χρυσεοβόστρυχε Γαλάτεια,
χαριτόφωνε κάλλος Ἐρώτων. 25

564f τυφλὸς ὁ ἔπαινος καὶ κατ᾽ οὐδὲν ὅμοιος | τῷ Ἰβυκείῳ ἐκείνῳ (*PMG* 288.1–4)·

Εὐρύαλε γλαυκέων Χαρίτων θάλος
καλλικόμων μελέδημα, σὲ μὲν Κύπρις
ἅ τ᾽ ἀγανοβλέφαρος Πει- 30
θὼ ῥοδέοισιν ἄνθεσι θρέψαν·

Φρύνιχός (*TrGF* 3 F 13) τε ἐπὶ τοῦ Τρωίλου ἔφη·

λάμπειν ἐπὶ πορφυραῖς παρηΐσι φῶς ἔρωτος.

ὅτι τὸ ξύρεσθαι τὸν πώγωνα κατ᾽ Ἀλέξανδρον | εὕρηται, ὥς 565a
φησι Χρύσιππος (xxviii fr. 2, *SVF* iii.198), τῶν πρώτων οὐ
χρωμένων αὐτῷ· καὶ γὰρ Τιμόθεος ὁ αὐλητὴς πώγωνα μέγαν
5 ἔχων ηὔλει, καὶ ἐν Ἀθήναις διατηροῦσιν οὐ σφόδρα ἀρχαῖον τὸν
πρῶτον προκειράμενον | παρωνύμιον ἔχειν Κόρσην· διὸ καὶ 565b
Ἄλεξις (fr. 266) ἔφη·

πιττοκοπούμενόν τιν᾽ ἢ ξυρόμενον
ὁρᾷς, τούτων ἔχει τι θάτερον·
10 ἢ γὰρ στρατεύειν ἐπινοεῖν μοι φαίνεται
καὶ πάντα τῷ πώγωνι δρᾶν ἐναντία,
ἢ πλουσιακὸν τούτῳ προσπίπτει κακόν. 5
τί γὰρ αἱ τρίχες λυποῦσιν ὑμᾶς, πρὸς θεῶν,
δι᾽ ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται, |
15 εἰ μή τι ταύταις ἀντιπράττεσθ᾽ ὑπονοεῖς; 565c

Διογένης (Diog. Sinop. *SSR* V B 404) δὲ ἰδών τινα οὕτως ἔχοντα τὸ
γένειον ἔφη· "μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε
καὶ οὐ γυναῖκα;" ἕτερον δέ τινα ἐπὶ ἵππου ἰδὼν παραπλησίως
ἔχοντα καὶ μεμυρισμένον καὶ τούτοις ἀκολούθως ἠμφιεσμένον,
20 πρότερον μὲν ἔφη ζητεῖν τί ἐστιν ὁ ἱππόπορνος, νῦν δ᾽ εὑρηκέναι.
ἐν Ῥόδῳ δὲ νόμου ὄντος μὴ ξύρεσθαι οὐδ᾽ ὁ ἐπιληψόμενος οὐδείς
ἐστι διὰ τὸ πάντας ξύρεσθαι· ἐν Βυζαντίῳ δὲ ζημίας ἐπικειμένης |
τῷ ἔχοντι κουρεῖ ξυρὸν οὐδὲν ἧττον πάντες χρῶνται αὐτῷ. | 565d
ξυρομένους τὴν ὑπήνην φησὶ καὶ τὸν ὄρρον. | συνεσπασμένοι καὶ 565f | 565e
25 κακοπινεῖς οὐ μόνον τοῖς ἤθεσιν ἀλλὰ καὶ ἕξει. |
ὅτι ἐν Ἤλιδι κρίσις γίνεται κάλλους· | κατὰ τὴν Σπάρτην τε 565f | 566a
θαυμάζεται μᾶλλον ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη καλλίστας
γεννώσης τῆς Σπάρτης γυναῖκας· διὸ καὶ Ἀρχιδάμου τοῦ
βασιλέως γυναικὸς αὐτῷ καλῆς φαινομένης, ἑτέρας δὲ αἰσχρᾶς καὶ
30 πλουσίας, ὡς ἀπέκλινεν ἐπὶ τὴν πλουσίαν, ζημιῶσαί φασι τοὺς
ἐφόρους αὐτὸν ἐπιλέγοντας ὅτι βασιλίσκους ἀντὶ βασιλέων ταῖς
Σπάρταις γεννᾶν προαιρεῖται. Εὐριπίδης (fr. 15.2) τε | ἔφη· 566b

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

6 προκειράμενον C : προκειρά^μν E : προκειραμένων Eust. : προσκειράμενον A ‖ **31** βασιλίσκους Eust. : β^αλ(κ) C E : βασιλίκους A

καὶ οἱ παρ' Ὁμήρῳ δὲ δημογέροντες θαυμάζοντες τῆς Ἑλένης τὸ κάλλος φασίν (*Il.* 3.156)·

οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς

καὶ τὰ ἑξῆς· ἐκπέπληκται γοῦν καὶ αὐτὸς ὁ Πρίαμος ἐπὶ τῷ | 566c κάλλει τῆς γυναικὸς καίτοι ἐν δεινοῖς ὤν· θαυμάζει γοῦν ἐπὶ 5 κάλλει τὸν Ἀγαμέμνονα τοιαῦτα ἐκφωνῶν (*Il.* 3.169)·

καλὸν δ' οὕτω ἐγὼν οὔ πω ἴδον.

καθίστων δὲ καὶ πολλοὶ τοὺς καλλίστους βασιλέας, ὡς μέχρι νῦν οἱ Ἀθάνατοι καλούμενοι Αἰθίοπες, ὥς φησι Βίων (*FGrH* 668 F 2)· ὡς ἔοικε γὰρ τὸ κάλλος βασιλείας οἰκεῖόν ἐστι. θεαὶ περὶ κάλλους 10 566d ἤρισαν πρὸς ἀλλήλας, διὰ τοῦτο | Γαννυμήδης ἡρπάγη. θεαὶ δὲ τίνας ἁρπάζουσιν; οὐ τοὺς καλλίστους; οἷς καὶ σύνεισιν, Ἠὼς μὲν Κεφάλῳ καὶ Κλείτῳ καὶ Τιθανῷ, Δημήτηρ Ἰασίονι, Ἀφροδίτη Ἀγχίσῃ καὶ Ἀδώνιδι. διὰ κάλλος καὶ Ζεὺς διὰ κεράμων χρυσὸς ἔρχεται, ταῦρος γίνεται, ἀετὸς πτεροῦται πολλάκις, ὥσπερ καὶ ἐπ' 15 Αἰγίνῃ. Σωκράτης δὲ ὁ πάντων καταφρονῶν οὐ τοῦ Ἀλκιβιάδου 566e κάλλους | ἥττων ἐστίν, ὡς καὶ ὁ σεμνότατος Ἀριστοτέλης τοῦ Φασηλίτου μαθητοῦ; ἡμεῖς δ' οὐχὶ καὶ τῶν ἀψύχων τὰ κάλλιστα προκρίνομεν; ἐπαινεῖται δὲ καὶ τῶν Σπαρτιατῶν τὸ ἔθος τὸ γυμνοῦν τὰς παρθένους τοῖς ξένοις. ἐν Χίῳ δὲ καὶ βαδίζειν τοῖς 20 πολλοῖς ἡδὺ πρὸς τὰ γυμνάσια καὶ ὁρᾶν προσπαλαίοντας τοὺς νέους ταῖς κόραις. |

566f ὅτι οἱ Ἀρεοπαγῖται ἀριστήσαντά τινα ἐν καπηλείῳ ἐκώλυον ἀνιέναι εἰς τὸν Ἄρειον πάγον. |

567a ὅτι Ἀριστοφάνης (Ar. Byz. *FGrH* 347 T 1 = fr. 364A Slater), 25 Ἀπολλόδωρος (*FGrH* 244 T 17), Ἀμμώνιος (*FGrH* 350 T 2), Ἀντιφάνης (*FGrH* 349 T 2) καὶ Γοργίας ὁ Ἀθηναῖος (*FGrH* 351 T 1) περὶ τῶν Ἀθήνησιν ἑταιρίδων συγγεγράφασιν.

ὅτι Θεόμανδρος ὁ Κυρηναῖος περιιὼν ἐπηγγέλλετο διδάξειν εὐτυχίαν. | 30

567b ὅτι Ἀριστείδης καὶ Παυσανίας καὶ Νικοφάνης οἱ ζωγράφοι 567c | 567b πορνογράφοι ἦσαν ἐπιτυχεῖς. | Ὤκιμον Κορινθία ἑταίρα, | περὶ ἧς 567c Εὔβουλός (fr. 53.1–3) | φησι·

11 Γαννυμήδης C E : Γανυμήδης A ‖ **13** Τιθανῷ C E : Τιθωνῷ A | Ἰασίονι C E : Ἰάσωνι A : Ἰασίωνι M P Mus

Κόρινθον ἦλθον. ἡδέως ἐνταῦθά πως
λάχανον τρώγων Ὤκιμον διεφθάρην·
κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

ὀνόματα δ᾽ ἑταιρῶν ἀφ᾽ ὧν καὶ δράματα ἐπεγράφη ἄλλα τε καὶ
5 τάδε· Θάλαττα, Κοριαννώ, Ἄντεια, Θαΐς, Φάνιον, Ὀπώρα, |
Κλεψύδρα (οὕτω κληθεῖσα ἐπεὶ πρὸς κλεψύδραν συνουσίαζεν ἕως 567d
κενωθῇ, ὄνομα δὲ αὐτῇ κύριον Μητίχη), |

Νάννιον, Πλαγγών, Λύκα, | 567e
Γνάθαινα, Φρύνη, Μυρρίνη. (Timocl. fr. 27.2–3) | 567f

10 ἐστὶ δ᾽ ἑταίρα, 567d

ὡς Ἀντιφάνης (fr. 2) φησί,

τῷ τρέφοντι συμφορά·
εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα. |

Ἄμφις (fr. 23.1–5) δέ πού φησι· 567f

15 τυφλὸς ὁ Πλοῦτος εἶναί μοι δοκεῖ,
ὅστις |
παρὰ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ 568a
ἑταίραις τε τοιαύταισι, παγίσι βίου,
ἔνδον κάθητ᾽ ἀπόπληκτος, οὐδ᾽ ἐξέρχεται. 5

20 Ἄλεξις (fr. 103.2–3, 7–12, 16–26) δὲ τοιαῦτα περὶ τῶν ἑταιρῶν
φησιν, ὅτι

ῥάπτουσι
πᾶσαι ἐπιβουλάς. | 3
τυγχάνει μικρά τις οὖσα· φελλὸς ἐν ταῖς βαυκίσιν 7 568b
25 ἐγκεκάττυται. μακρά τις· διάβαθρον λεπτὸν φορεῖ
τήν τε κεφαλὴν ἐπὶ τὸ νῶτον καταβαλοῦσ᾽ ἐξέρχεται·
τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία· 10
ὑπενέδυσ᾽ ἐρραμμένα αὐτήν, ὥστε τὴν εὐπυγίαν
ἀναβοᾶν τοὺς ἰδόντας. | 12
30 τὰς ὀφρῦς πυρρὰς ἔχει τις· ζωγραφοῦσιν ἀσβόλῳ. 16 568c
συμβέβηκ᾽ εἶναι μέλαιναν· κατέπλασε ψιμυθίῳ.

17 παρὰ A : π^{ε} C E

λευκόχρως λίαν τις ἐστί· παιδέρωτ᾽ ἐντρίβεται.
καλὸν ἔχει τοῦ σώματός τι· τοῦτ᾽ αὐτὸ γυμνὸν δείκνυται.
εὐφυεῖς ὀδόντας ἔσχεν· ἐξ ἀνάγκης δεῖ γελᾶν, | 20
568d ἵνα θεωροῖεν οἱ παρόντες τὸ στόμ᾽ ὡς κομψὸν φορεῖ.
ἂν δὲ μὴ χαίρῃ γελῶσα διὰ τέλους τὴν ἡμέραν 5
ἔνδον, ὥσπερ τοῖς μαγείροις παράκειθ᾽ ἑκάστοτε,
ἡνίκ᾽ ἂν πωλῶσιν αἰγῶν κρανία, ξυλήφιον
μυρρίνης ἔχουσι λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν, 25
ὥστε τῷ χρόνῳ σεσηρέναι ἄν τε βούλητ᾽ ἄν τε μή. |

568e φησί που Εὔβουλος (fr. 82)· 10

τὰς φειδωλοὺς κερμάτων παλευτρίας
πώλους Κύπριδος ἐξησκημένας,
γυμνὰς ἐφεξῆς ἐπικαίρους τεταμένας,
ἐν λεπτοπήνοις ὑμέσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας· 5 15
παρ᾽ ὧν βεβαίως ἀσφαλῶς τ᾽ ἔξεστί σοι |
568f μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν. |

569a ἐπιτιμῶν δὲ καὶ Ξέναρχος (fr. 4.1–15) τοῖς περὶ τοὺς μεγάλους μισθοὺς ἐσπουδακόσι τῶν ἑταιρῶν φησι·

δεινὰ 20
πράττουσιν οἱ νεώτεροι· |
569b ὅπου γὰρ οὐσῶν μειρακίων μάλ᾽ εὐπρεπῶν
ἐπὶ τοῖσι πορνείοισιν, ἃς ἔξεσθ᾽ ὁρᾶν
εἰληθερούσας στέρνα τ᾽ ἠμφιεσμένας, 5
γυμνὰς ἐφεξῆς τ᾽ ἐπικαίρους τεταγμένας· 25
ὧν ἔστιν ἐκλεξάμενον ᾗ τις ἥδεται,
λεπτῇ, παχείᾳ, στρογγύλῃ, μακρᾷ, ῥικνῇ,
νέᾳ, παλαιᾷ, μεσοκόπῳ, πεπαιτέρᾳ,
καὶ μὴ λάθρᾳ εἰσδῦναι, 10
μηδὲ δι᾽ ὀπῆς κάτωθεν ἐκδῦναι στέγης, | 30
569c μηδ᾽ ἐν ἀχύροισιν εἰσενεχθῆναι·

9 βούλητ᾽ C : βου$^{τ()}$ E : βούλωνται A ‖ **14** λεπτοπήνοις C E : λεπτονήτοις A C^{s} E^{s} ‖ **18–19** τοὺς μεγάλους μισθοὺς] τοὺς μ^{γλ} μισθοὺς C : τοὺς μ^{γλ} μι$^{σθ`}$ E : τὰς μεγαλομίσθους A ‖ **19** ἐσπουδακόσι A : ἐσπουδακὸς C E ‖ **22** μειρακίων C : μει$^{ρ(κων)}$ E : μειράκων A

αὐταὶ βιάζονται γάρ· εἰσέλκουσαι
τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
πατρίδια, τοὺς δ' ἀπφάρια, τοὺς νεωτέρους. | 15

ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν ἔστησεν ἐπὶ 569d
5 οἰκημάτων γύναια πριάμενος· ἱστορεῖ Νίκανδρος ὁ Κολοφώνιος (*FGrH* 271 F 9) φάσκων αὐτὸν καὶ Πανδήμου Ἀφροδίτης ἱερὸν πρῶτον ἱδρύσασθαι ἀφ' ὧν ἠργυρίσαντο αἱ προστᾶσαι τῶν οἰκημάτων. | καὶ Ἀσπασία δὲ ἡ Σωκρατικὴ ἐνεπορεύετο πλήθη καλῶν 569f γυναικῶν, καὶ ἐπλήθυνεν ἀπὸ τῶν ταύτης ἑταιρίδων ἡ Ἑλλάς, ὡς
10 Ἀριστοφάνης ὁ χαρίεις | ἐν Ἀχαρνεῦσι (527) παραδηλοῖ. | αἱ μὲν 570a ἄλλαι αὐλητρίδες Ἀπόλλωνος νόμον αὐλοῦσιν, αἱ δὲ μεγαλόμισθοι |570b ἑταῖραι Ἱέρακος νόμον, Ἐπικράτης (fr. 2.1–4) φησίν· ὃς καὶ περὶ Λαΐδος φησίν (fr. 3.1–21)·

ἀργός ἐστι καὶ πότις,
15 τὸ καθ' ἡμέραν ὁρῶσα πίνειν κἀσθίειν
μόνον. πεπονθέναι δὲ ταὐτά μοι δοκεῖ |
τοῖς ἀετοῖς· οὗτοι γὰρ ὅταν ὦσι νέοι, 570c
ἐκ τῶν ὀρῶν πρόβατ' ἐσθίουσι καὶ λαγῶς 5
μετέωρ' ἀναρπάσαντες ἀπὸ τῆς ἰσχύος.
20 ὅταν δὲ γηράσκωσιν ἤδη, τότ'
ἐπὶ τοὺς νέους ἵζουσι πεινῶντες κακῶς·
κἄπειτα τοῦτ' εἶναι νομίζεται τέρας.
καὶ Λαῒς ὀρθῶς νομίζοιτ' ἂν τέρας· 10
αὕτη γὰρ οὖν ὁπότ' ἦν νεοττὸς καὶ νέα,
25 ὑπὸ τῶν στατήρων ἦν ἀπηγριωμένη,
εἶδες δ' ἂν αὐτῆς Φαρνάβαζον θᾶττον ἄν. |
ἐπεὶ δὲ δόλιχον τοῖς ἔτεσιν ἤδη τρέχει 570d
τὰς ἁρμονίας τε διαχαλᾷ τοῦ σώματος, 15
ἰδεῖν μὲν αὐτὴν ῥᾷόν ἐστι καὶ πτύσαι·
30 ἐξέρχεταί τε πανταχόσ' ἤδη πιομένη,
δέχεται δὲ καὶ στατῆρα καὶ τριώβολον,
προσίεται δὲ καὶ γέροντα καὶ νέον.
οὕτω δὲ τιθασὸς γέγονεν, ὥστ', ὦ φίλτατε, 20
τἀργύριον ἐκ τῆς χειρὸς ἤδη λαμβάνει. |

35 συνήκμαζον δὲ Λαΐδι Λαγίσκη, Νεαλύτη καὶ Ὤκιμον, | φησὶν 570e | 570d Ἀναξανδρίδης (fr. 9.4–6). |

570f οὐκ ἐσθ᾽ ἥδιστον ἀποθανεῖν, |

570e φησὶ Φιλέταιρος (fr. 6.2–3), |

570f βινοῦνθ᾽ ἅμα,
ὥσπερ λέγουσιν ἀποθανεῖν Φοριμίσιον. |

571a οὐχ ὧδ᾽ ἐμόγησαν 5
ἐλπίδες ὥστ᾽ ἐχθρῶν συμμαχίαν καλέσαι,

φησὶ Καλλίμαχος (fr. 477 Pfeiffer). |

571b οὓς ἐδίδαξαν ἀριστερὰ γράμματα Μοῦσαι,

ὥς τις ἔφη τῶν παρῳδῶν (adesp. parod. fr. 6 Olson–Sens). |

571c ὅτι παρὰ Ἀθηναίοις Ἑταίρα Ἀφροδίτη ἐκαλεῖτο ἡ τοὺς ἑταίρους 10
καὶ τὰς ἑταίρας συνάγουσα, ὅ ἐστι φίλας· καλοῦσι γοῦν καὶ αἱ
571d ἐλεύθεραι γυναῖκες | τὰς συνήθεις καὶ φίλας ἑταίρας, ὡς Σαπφώ
(fr. 142)·

Λητὼ καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἔταιραι.

καλοῦσι δὲ καὶ τὰς μισθαρνούσας ἑταίρας καὶ τὸ ἐπὶ συνουσίᾳ 15
μισθαρνεῖν ἑταιρεῖν, οὐ πρὸς τὸ ἔτυμον ἀναφέροντες ἀλλὰ πρὸς τὸ
572b εὐσχημονέστερον. | Ἀναξίλας (fr. 21.1–4)·

ἐὰν δέ τις μέτρια λέγουσι
τοῖς δεομένοις ὑπουργῇ πρὸς χάριν,
ἐκ τῆς ἑταιρίας ἑταίρα τοὔνομα 20
προσηγορεύθη. |

572c ὅταν νέος
ἀλλότριον εἰσελθὼν ὄψον ἐσθίειν μάθῃ
ἀσύμβολόν τε χεῖρα προσβάλῃ βορᾷ,
διδόναι νόμιζ᾽ αὐτόν σοι τῆς νυκτὸς λόγον, | 25

572b φησὶν Ἀντιφάνης (Ephipp. fr. 20.1–4). |

572d ὅτι ἑορτὴ ἄγεται ἐν Μαγνησίᾳ Ἑταιρείδια. συντελοῦσι δ᾽
αὐτὴν Μάγνητες, ὥς φησιν Ἡγήσανδρος (fr. 25, *FHG* iv.418),
572e πρώτου Ἰάσονος συναγαγόντος τοὺς Ἀργοναύτας | καὶ Ἑταιρείῳ

4 Φοριμίσιον E : Φοριμίσι C* : Φορμήσιον A ‖ **27** Ἑταιρείδια C E^s : Ἑταιρίδια A E

Διὶ θύσαντος καὶ τὴν ἑορτὴν Ἑταιρείδια προσαγορεύσαντος. θύουσι δὲ ταῦτα καὶ οἱ Μακεδόνων βασιλεῖς. Πόρνης δ' Ἀφροδίτης ἱερόν ἐστιν ἐν Ἀβύδῳ· κατεχομένης γὰρ τῆς πόλεως δουλείᾳ οἱ φρουροὶ θύσαντες καὶ μεθυσθέντες ἑταίρας πλείους προσελάβοντο,
5 ὧν μία κοιμωμένους αὐτοὺς ἰδοῦσα ἀνελομένη τὰς κλεῖς καὶ τὸ τεῖχος ὑπερβᾶσα ἀπήγγειλε τοῖς Ἀβυδηνοῖς· | οἱ δὲ μεθ' ὅπλων 572f ἀφικόμενοι ἀνεῖλον τοὺς φύλακας, καὶ ἐλευθερωθέντες Ἀφροδίτης Πόρνης ναὸν ἱδρύσαντο χαριστήρια ἀποδιδόντες τῇ πόρνῃ. τὴν δ' ἐν Σάμῳ Ἀφροδίτην ἑταῖραι ἱδρύσαντο αἱ συνακολουθήσασαι
10 Περικλεῖ ὅτε ἐπολιόρκει τὴν Σάμον, ἐργασάμεναι ἱκανῶς ἀπὸ τῆς ὥρας. | καὶ ἐν Ἐφέσῳ δὲ ἱερὸν ἵδρυτο Ἑταίρᾳ Ἀφροδίτῃ. Γύγης δ' 573a ὁ Λυδῶν βασιλεύς, ὥς φησι Κλέαρχος (fr. 29 Wehrli), οὐ μόνον περὶ ζῶσαν τὴν ἐρωμένην περιβόητος γέγονεν ἐγχειρίσας αὐτόν τε καὶ τὴν ἀρχὴν ἐκείνῃ πᾶσαν, ἀλλὰ καὶ τελευτησάσης
15 συναγαγὼν πάντας Λυδοὺς ἔχωσε τὸ νῦν ἔτι καλούμενον τῆς ἑταίρας μνῆμα, εἰς ὕψος ἄρας ὥστε περιοδεύοντος αὐτοῦ τὴν ἐντὸς τοῦ Τμώλου χώραν, οὗ | ἂν ἐπιστραφεὶς τύχῃ, καθορᾶν τὸ μνῆμα 573b καὶ πᾶσι τοῖς Λυδίαν οἰκοῦσιν ἄποπτον εἶναι. Δημοσθένης ἐν τῷ Κατὰ Νεαίρας ([D.] 59.122) φησί· τὰς μὲν ἑταίρας ἡδονῆς ἕνεκα
20 ἔχομεν, τὰς δὲ παλλακὰς τῆς καθ' ἡμέραν παλλακείας, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν. |

ὅτι ἔθος Κορινθίοις, ὅταν ἡ πόλις εὔχηται περὶ μεγάλων τῇ 573c Ἀφροδίτῃ, συμπαραλαμβάνεσθαι πρὸς τὴν ἱκετείαν ἑταίρας ὡς
25 πλείστας, καὶ ταύτας προσεύχεσθαι καὶ τοῖς ἱεροῖς παρεῖναι. καὶ ὅτε δὴ ἐπὶ τὴν Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ Πέρσης, ὥς φησι Θεόπομπος (*FGrH* 115 F 285), αἱ Κορίνθιαι ἑταῖραι | εὔξαντο 573d Ἀφροδίτῃ ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας. | καὶ οἱ ἰδιῶται δὲ 573e κατεύχονται τῇ Ἀφροδίτῃ τελεσθέντων περὶ ὧν ἂν ποιῶνται τὴν
30 δέησιν ἀπάξειν αὐτῇ καὶ ταῖς ἑταίραις. | ἄγουσι δὲ καὶ Ἀφροδίσια 574b αὐτόθι αἱ ἑταῖραι. | ἐν δὲ Λακεδαίμονι, ὥς φησι Πολέμων ὁ 574c περιηγητής (fr. 18 Preller), εἰκών ἐστι τῆς διαβοήτου ἑταίρας Κοττίνας, ἣ καὶ βοῦν ἀνέθηκε χαλκῆν. |

ὅτι Ἀλκιβιάδης, ἐφ' οὗ τις τῶν κωμικῶν ἔφη (adesp. com. fr. 574d
35 123)·

1 Ἑταιρείδια C E : Ἑταιρίδια C^s : Ἑταιρώδια E^s : Ἑταιρίδεια A ‖ **2** ταῦτα] ταῦ^τ C E : τὰ Ἑταιρίδεια A ‖ **30** ταῖς ἑταίραις C E : τὰς ἑταίρας A

Ἀλκιβιάδην τὸν ἁβρόν, ὦ γῆ καὶ θεοί,
ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λαβεῖν,

574e ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικὸς ἐπὶ | τὰς τῶν ἑταιρίδων θύρας ἐκώμαζεν ἀπολιπὼν τὰς Λακαίνας καὶ τὰς Ἀττικάς· Μεδοντίδος γοῦν τῆς Ἀβυδηνῆς ἐξ ἀκοῆς ἐρασθεὶς ἔστερξε, καὶ 5 πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιόχῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστής, ὥς φησι Λυσίας ἐν τῷ κατ᾽ αὐτοῦ λόγῳ (fr. 8 Carey), καὶ ταύτης ἐκοινώνησεν αὐτῷ. καὶ ἑταίρας δὲ δύο ἐπήγετο ἀεί, Δαμασάνδραν τὴν Λαΐδος τῆς νεωτέρας γυναῖκα καὶ Θεοδότην, ὑφ᾽ ἧς 574f καὶ θανὼν ἐκηδεύθη ἐν Μελίσσῃ κώμῃ | Φρυγίας ἐπιβουλευθεὶς 10 ὑπὸ Φαρναβάζου· ἐν ᾧ καὶ κατ᾽ ἔτος ἐθύετο βοῦς διακελευσαμένου τοῦτο τοῦ πάντα ἀρίστου Ἀδριανοῦ βασιλέως, ὃς καὶ ἀνέστησεν 575a ἐπὶ τοῦ μνήματος Παρίου λίθου εἰκόνα τὸν Ἀλκιβιάδην. | καὶ οὐδὲν θαυμαστὸν εἰ ἐξ ἀκοῆς ἠράσθη τῆς Ἀβυδηνῆς ἑταίρας Ἀλκιβιάδης, ὁπότε, ὥς φησι Χάρης (*FGrH* 125 F 5), πολλοὶ 15 ὀνείρατι θεασάμενοι οὓς μὴ πρότερον εἶδον, ἠράσθησαν· Ὑστάσπη γοῦν, φησί, νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, ἄμφω καλοί. Ἀφροδίτης οὖν καὶ Ἀδώνιδος αὐτούς φασιν οἱ ἐπιχώριοι. ἐκυρίευσε δὲ ὁ μὲν Ὑστάσπης Μηδίας καὶ τῆς ὑποκάτω χώρας, ὁ δὲ Ζαριάδρης 575b τῶν ὑποκάτω Κασπίων | πυλῶν μέχρι Τανάιδος. τῶν δὲ ἐπέκεινα 20 τοῦ Τανάιδος Ὁμάρτῃ βασιλεῖ θυγάτηρ ἦν, ὄνομα Ὀδάτις. αὕτη κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν Ζαριάδρην ἠράσθη, τὸ δ᾽ αὐτὸ τοῦτο κἀκείνῳ πάθος συνέπεσε πρὸς αὐτήν. καὶ ἐπεθύμουν ἀλλήλων διὰ τὴν κατὰ τὸν ὕπνον φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη τῶν κατὰ Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδρης δὲ ἦν καλός. πέμποντος 25 575c οὖν τοῦ Ζαριάδρου πρὸς τὸν Ὁμάρτην | καὶ φιλοτιμουμένου γῆμαι τὸν ἄνθρωπον οὐ συνετίθετο ὁ Ὁμάρτης· ἤθελε γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ αὐτὸν οἰκείων. συναγαγὼν οὖν τοὺς δυνάστας καὶ φίλους μετ᾽ οὐ πολὺ ἐποιεῖτο τοὺς γάμους οὐ προειπὼν ὅτῳ μέλλοι διδόναι τὴν παῖδα. ἀκμαζούσης οὖν τῆς μέθης εἰσκαλέσας ὁ πατὴρ 30 575d τὴν Ὀδάτιν εἶπεν· "ἡμεῖς, ὦ θύγατερ, νῦν ποιούμεθα | τοὺς σοὺς γάμους. περιβλέψασα οὖν καὶ θεωρήσασα πάντας, λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσασα δὸς ᾧ θέλεις γαμηθῆναι· τούτου γὰρ κεκλήσῃ γυνή." κἀκείνη περιβλέψασα πάντας ἀπῄει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῷ ὅτι 35

9 γυναῖκα C E : μητέρα A ‖ **20** ὑποκάτω C E : ὑπεράνω A

μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ δὲ στρατοπεδεύων ἐπὶ τοῦ Τανάιδος διαλαθὼν τὴν στρατοπεδείαν διῆλθε μετὰ μόνου τοῦ ἁρματηλάτου διὰ τῆς πόλεως διώξας ὀκτακοσίους | σταδίους. 575e πλησίον δὲ τῆς κώμης γενόμενος ἐν ᾗ τοὺς γάμους ἐτέλουν,
5 καταλιπὼν ἔν τινι τόπῳ αὐτῷ ἅρματι τὸν ἁρματηλάτην προῆγεν ἐνδεδυκὼς στολὴν Σκυθικήν. καὶ παρελθὼν εἰς τὴν αὐλὴν καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλικείου καὶ δακρύουσαν κιρνῶσαν τε βραδέως τὴν φιάλην ἔφη· "ὦ Ὀδάτι, πάρειμι δή σοι καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης." ἡ δὲ κατανοήσασα ξένον
10 ἄνδρα καὶ καλὸν καὶ ὅμοιον τῷ κατὰ τὸν ὕπνον ἑωραμένῳ | περιχαρὴς γενομένη δίδωσιν αὐτῷ τὴν φιάλην. καὶ ὃς ἁρπάσας 575f αὐτὴν ἀπήγαγεν ἐπὶ τὸ ἅρμα καὶ ἔφυγεν ἔχων τὴν Ὀδάτιν. οἱ δὲ παῖδες καὶ αἱ θεράπαιναι συνειδυῖαι τὸν ἔρωτα κατεσιώπησαν καὶ οὐκ ἔφασαν εἰδέναι ὅπου πεπόρευται ἐρωτώμενοι. μνημονεύεται δ'
15 ὁ ἔρως οὗτος τοῖς τὴν Ἀσίαν οἰκοῦσι βαρβάροις καὶ περισσῶς ἐστι ζηλωτός, καὶ τὸν μῦθον τοῦτον ζωγραφοῦσι. καὶ ταῖς θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν ὄνομα τίθενται Ὀδάτιν. | καὶ Ἀριστοτέ- 576a λης δὲ ἐν τῇ Μασσαλιωτῶν Πολιτείᾳ (fr. 549 Rose = fr. 560 Gigon) φησὶν Εὔξενον τὸν Φωκαέα Νάννῳ τῷ βασιλεῖ ἐπιδημήσαντα
20 ξένον κατὰ τὸν ἄνω ῥηθέντα τρόπον γάμους τελοῦντι τῆς θυγατρὸς | Πέττας λαβεῖν παρ' αὐτῆς τὴν φιάλην εἴτε τύχῃ εἴτ' 576b ἄλλῃ τινὶ αἰτίᾳ, καὶ ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως σχεῖν αὐτὴν γυναῖκα καὶ γεννῶσαι υἱὸν Πρῶτιν. καὶ ἐστὶ γένος ἀπὸ τῆς ἀνθρώπου ἐν Μασσαλίᾳ οἱ Πρωτιάδαι καλούμενον.

25 ὅτι Θεμιστοκλῆς | ἅρμα ζευξάμενος ἑταιρῶν, ὥς φησιν 576c Ἰδομενεύς (*FGrH* 338 F 4a), πληθούσης ἀγορᾶς εἰσήλασεν εἰς τὸ ἄστυ· ἦσαν δ' αὗται Λάμια, Σκιώνη, Σατύρα, Νάννιον. ἦν δὲ καὶ αὐτὸς ἐξ ἑταίρας, ὄνομα Ἀβροτόνου, ὡς Ἀμφικτύων (Amphicrates *FGrH* 338 F 4a) φησίν·

30 Ἀβρότονον Θρήισσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησί φασι Θεμιστοκλέα.
(*A.P.* 7.306 = anon. *FGE* 1158–9) |

Νεάνθης (*FGrH* 84 F 2a) δὲ Εὐτέρπης αὐτόν φησιν υἱόν. Κύρῳ δὲ 576c ἐπὶ τὸν ἀδελφὸν στρατεύσαντι Ἀσπασία ἡ σοφωτάτη, Φωκαῒς
35 ἑταίρα οὖσα, συνεστρατεύετο, Μιλτὼ πρότερον καλουμένη. συνη-

19 Νάννῳ C E : Νάνῳ A ‖ **28** Ἀμφικτύων C E : Ἀμφικράτης A

κολούθει δὲ αὐτῷ καὶ ἡ Μιλησία παλλακίς. ὁ δὲ μέγας Ἀλέξαν-
576e δρος Θαΐδα εἶχε μεθ' ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν, | ἣ μετὰ τὸν
Ἀλεξάνδρου θάνατον καὶ Πτολεμαίῳ ἐγαμήθη τῷ πρώτῳ βασι-
λεύσαντι Αἰγύπτου καὶ ἐγέννησεν αὐτῷ Λεοντίσκον καὶ Λάγον,
θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος ὁ Σόλων τῶν ἐν 5
Κύπρῳ βασιλεύς. καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεύς, ὁ
Φιλάδελφος, ὡς ὁ Εὐεργέτης Πτολεμαῖος (*FGrH* 234 F 4) ἱστορεῖ,
πλείστας ἔσχεν ἐρωμένας, Διδύμην ἐπιχωρίαν εὐπρεπεστάτην, |
576f Βιλιστύχην, Ἀγαθόκλειαν, Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ἐπὶ
τῇ πρὸς Ἐλευσῖνι θαλάσσῃ, Μύρτιον καὶ ἄλλας. Κλεινοῦς δὲ τῆς 10
οἰνοχοούσης αὐτῷ εἰκόνες πολλαὶ ἀνάκεινται κατὰ Ἀλεξάνδρειαν
μονοχίτωνες ῥυτὸν ἔχουσαι ἐν ταῖς χερσίν. αἱ δὲ κάλλισται τῶν
οἰκιῶν, φησὶ Πολύβιος (14.11.3–4), Μυρτίου καὶ Ποθεινῆς καὶ
Μνησίδος τῆς αὐλητρίδος προσαγορεύονται· ἦν δὲ καὶ ἡ Ποθεινὴ
577a αὐλητρίς. τοῦ δὲ Φιλοπάτορος Πτολεμαίου Ἀγαθόκλεια | ἡ ἑταίρα 15
ἐκράτει, ἡ καὶ πᾶσαν ἀνατρέψασα τὴν βασιλίαν. Ἱέρων δὲ τυραν-
νήσας Συρακουσίοις ἠγάγετο γυναῖκα τῶν ἐπ' οἰκήματος προ-
εστηκυιῶν, Πειθὼ ὄνομα, καὶ ἀπέδειξε βασιλίδα. Τιμόθεος δὲ ὁ
στρατηγήσας Ἀθηναίων ἐπιφανῶς ἑταίρας ἦν υἱὸς Θρᾴττης τὸ
γένος, σεμνῆς δ' ἄλλως τοὺς τρόπους· μεταβαλοῦσαι γὰρ αὗται εἰς 20
577b τὸ σῶφρον τῶν ἐπὶ τούτων σεμνυνομένων | εἰσὶ βελτίους. ὁ δὲ
Τιμόθεος καὶ σκωπτόμενός ποτε ὅτι τοιαύτης εἴη μητρός, "καὶ
χάριν γε αὐτῇ", φησίν, "οἶδ', ὅτι δι' αὐτῆς Κόνωνός εἰμι υἱός."
Ἀριστοφῶν δ' ὁ ῥήτωρ νόμον εἰσενεγκὼν ἐπ' Εὐκλείδου ἄρχοντος,
577c ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται νόθον εἶναι, αὐτὸς ἀπεδείχθη | ὑπὸ 25
Καλλιάδου τοῦ κωμικοῦ (Call. Com. fr. *40) ἐκ Χορηγίδος τῆς
ἑταίρας παιδοποιησάμενος· ἱστορεῖ Καρύστιος (fr. 11, *FHG* iv.358).
Δημήτριος δὲ ὁ Πολιορκητὴς δαιμονίως ἤρα τῆς αὐλητρίδος
Λαμίας, ἐξ ἧς ἔσχε θυγατέρα Φίλαν. ἦν δὲ Λάμια θυγάτηρ Κλεά-
νορος, κατεσκεύασε δὲ τὴν ἐν Σικυῶνι ποικίλην στοάν. ἤρα δὲ καὶ 30
577d Λεαίνης τῆς Ἀττικῆς. | ἦν δὲ ἡ Λαμία σφόδρα εὔθικτος καὶ Ἀττικὴ |
577e | 577d πρὸς τὰς ἀποκρίσεις· | περὶ ἧς Μάχων (173 Gow) φησὶν ὅτι, ἐπεί
ποτε ἡδέως ταύτῃ ὁμιλήσοι ὁ Δημήτριος κελητίσας, εἶπε·

9 Βιλιστύχην C* E : Βιλιστίχην A ‖ **16** Ἱέρων C E : Ἱερώνυμόν (structura alia) A ‖ **20** μεταβαλοῦσαι E : μετακαλοῦσαι C : μεταβάλλουσαι A
21 τούτων C E : τούτῳ A

"πρὸς ταῦτα καὶ Λέαιναν, εἰ βούλει, κράτει." |

πάλιν ὁ αὐτός φησιν ὅτι (Macho 174–5, 178–87 Gow)· 577e

Δημήτριός ποθ' ὁ βασιλεὺς γένη μύρων
Λαμίᾳ παρὰ πότον παντοδαπῶν ἐπεδείκνυτο. 175
5 ἀποδοκιμαζούσης δὲ πάντα καὶ πάνυ 178
κατεγχλιδώσης τῷ βασιλεῖ, νάρδον τινὰ |
διένευσ' ἐνεγκεῖν τῇ χειρὶ 180 577f
ταἰδοῖον ἀποτρίψας καὶ θιγὼν τοῖς δακτύλοις,
"τουτί γε, Λάμια," φησίν, "ὀσφράνθητι καὶ
10 εἴσῃ παρὰ τἄλλα διαφορὰν ὅσην ἔχει."
ἐκείνη δὲ γελάσασα, "ἀλλὰ τοῦτ'," ἔφη, "τάλαν,
δοκεῖ μοι σαπρότατον πάντων πολύ." 185
ὁ δ' εἶπεν, "ἀλλὰ μὴν
ἀπὸ βαλάνου τοῦτ' ἐστίν, ὦ Λαμία, βασιλικῆς." |

15 Φίλιππος δὲ ὁ Μακεδὼν ηὔξησε Φίλινναν τὴν ὀρχηστρίδα, ἐξ ἧς 578a
Ἀρριδαῖος ὁ μετ' Ἀλέξανδρον βασιλεύσας, Δημήτριος δὲ ὁ Πολιορ-
κητὴς μετὰ τὰς προειρημένας Μανίαν, Ἀντίγονος δὲ Δημώ. | περὶ 578b
δὲ τῆς Μανίας ὁ Μάχων (188–98 Gow) τάδε φησίν·

ἴσως ἂν ἀπορήσῃ τις εὐλόγως
20 τῶν ἀκροατῶν εἴ τις Ἀττικὴ γυνὴ
προσηγορεύετο ἢ ἐνομίσθη Μανία· 190
αἰσχρὸν γὰρ ὄνομα Φρυγιακὴν γυναῖκ' ἔχειν |
καὶ ταῦθ' ἑταίραν ἐκ μέσης τῆς Ἑλλάδος 578c
ἢ τὴν Ἀθηναίων μὴ κωλῦσαι πόλιν,
25 ὑφ' ἧς ἅπαντές εἰσιν ἐπηνωρθωμένοι.
τὸ μὲν οὖν ὑπάρχον εὐθὺς ἐκ παιδίου 195
αὐτῇ Μέλισσα ἦν ὄνομα. τῷ μεγέθει
τῶν τότε γυναικῶν βραχύ τι καταδεεστέρα,
φωνῇ δ' ὁμιλίᾳ τε κεχορηγημένη,

30 καὶ τὰ ἑξῆς. | εἶτ' ἐπιφέρει (Macho 211–12)· 578e

ἐδόκει δὲ λιθιᾶν, ὡς ἔοιχ', ἡ Μανία,
Γνάθαινα τ' εἰς τὰ στρώμαθ' ὅτι προΐεται.

31 τοῦτό ἐστιν ὃ ἀλλαχοῦ φησι προπετεστέραν ἔχειν κοιλίαν rubr.Cmg Emg

ἐπεὶ δέ ποθ’ (Macho 214–17 Gow)

ἡ Γνάθαινα πρὸς τὴν Μανίαν
ἐλοιδορεῖτο καὶ λέγει· “τί τοῦτο, παῖ; 215
εἰ καὶ λίθον εἶχες—”, ὑπολαβοῦσα ἡ Μανία,
“ἔδωκ’ ἄν, ἵν’ ἔχῃς”, φήσ’, “ἀποψᾶσθαι, τάλαν.” | 5

578f φησὶ δὲ καὶ ὅτι (Macho 218–25 Gow)·

Μανίας ἤρα Λεοντίσκος
ὁ παγκρατιαστὴς καὶ συνεῖχ’ αὐτὴν μόνος
γαμετῆς τρόπον γυναικός, ὑπὸ δ’ Ἀντήνορος 220
μοιχευομένην αἰσθόμενος 10
ἠγανάκτησεν. ἡ δέ, “μή σοι
μελέτω,” φησί· “μαθεῖν γὰρ αἰσθέσθαι θ’ ἅμα,
Ὀλυμπιονικῶν νυκτὸς ἀθλητῶν δυεῖν |
579a πληγὴν τί δύναταί ποτ’, ἤθελον.” 225

αἰτοῦντος δὲ Δημητρίου μιγῆναι αὐτῇ ἀντηξίωσε δοῦναι 15

καὶ αὐτὸν δωρεάν τινα.
δόντος δ’ ἐπιστρέψασα λέγει·
“Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν’ ἔξεστί σοι.” 230
(Macho 228–30 Gow)

αὐτόμολος δὲ ξένος παρεπιδημήσας Ἀθήνησι καὶ μισθωσάμενος 20
579b αὐτὴν ὅσου ἤτησεν, | ἀνισταμένης πολλάκις καὶ παίζουσαν ὡς δασύποδα

ἐπικροῦσαι βουλόμενος, | 240
579c “τί (ἔφη), μειράκια, δοκεῖ τῶν ἀγρίων ὑμῖν ποτ’
ἐν τοῖς ὄρεσι τάχιστα θηρίων τρέχειν;” 25
ἡ Μανία δ’, “αὐτόμολος, ὦ βέλτιστ’,” ἔφη. (Macho 240–3 Gow)

τοῦτον

ῥίψασπίν ποτ’ ἔφη 245
γεγονέναι προσβολῆς οὔσης.
ὁ δὲ στρατιώτης ὑπό τι σκυθρωπάσας 30

21 ἤτησεν ἀνισταμένης A : ἡτ[η] ἀνισταμ[0] E : ἤρη ἀνισταμένην C ‖ **25** θηρίων E : θυρίων C : θηρίον A

ἀπέπεμψε ταύτην, διαλιποῦσα δ' ἡ ἑταίρα,
"μὴ παρὰ τοῦτο λυποῦ," ἔφη, "φίλτατε·
οὐ γὰρ σὺ φεύγων ἀπέβαλες τὴν ἀσπίδα | 250
ἀλλ' ὅ σοι χρήσας τότε." (Macho 245–51 Gow) | 579d

5 Διφίλου δὲ παρὰ Γναθαίνῃ πίνοντός ποτε καὶ εἰπόντος· 579e

"ψυχρόν τἀγγεῖον, ὦ Γνάθαιν', ἔχεις",
"τῶν σῶν γάρ", εἶπεν, "ἐπιμελῶς, ὦ Δίφιλε, 260
εἰς αὐτό γ' ἀεὶ δραμάτων ἐμβάλλομεν."
κληθεὶς δέ ποτε πρὸς τὴν Γνάθαιναν Δίφιλος
10 ἐπὶ δεῖπνον Ἀφροδισίοις,
τιμώμενος μάλιστα τῶν ἐρωμένων 264
παρῆν ἔχων δύο Χῖα, Θάσια τέσσαρα, 266
(Macho 259–64, 266 Gow)

καὶ ἄλλα καὶ μάγειρον. |

15 Συριακοῦ δέ τινος ξένου 579f
πέμψαντος αὐτῇ χιόνα σαπέρδην θ' ἕνα 270
αἰσχυνομένη τὰ δῶρα μή τις καταμάθῃ
φυλαττομένη τε πολὺ μάλιστα Δίφιλον
μὴ δώσει δίκην μετὰ ταῦτα κωμῳδουμένη,
20 τὸ μὲν τάριχος εἶπε ταχέως ἀποφέρειν
πρὸς τοὺς σπανίζειν ὡμολογημένους ἁλῶν, 275
τὴν χιόνα δ' εἰς τὸν ἄκρατον ἐνσείσασα | 276
προσήνεγκε Διφίλῳ. 278 580a
ὑπερηδέως δὲ τὴν κύλικ' ἐκπιὼν ἄφνω
25 καὶ τὸ παράδοξον καταπλαγεὶς ὁ Δίφιλος, 280
"ψυχρόν γ'," ἔφη,
"Γνάθαιν', ἔχεις τὸν λάκκον ὁμολογουμένως."
ἡ δ' εἶπε· "τῶν σῶν δραμάτων γὰρ
εἰς αὐτὸν ἀεὶ τοὺς προλόγους ἐμβάλλομεν."
30 (Macho 269–76, 278–84 Gow) |

συνδειπνοῦσα δέ ποτε 580b

Δεξιθέᾳ τῇ ἑταίρᾳ 295
τοὖψον ἀποτιθείσης πᾶν |

21 ὡμολογημένους C : ὡμολογημ^{μν} E : ὁμολογουμένως A

580c τῆς Δεξιθέας τῇ μητρί,
"εἰ", φησίν, "ᾔδειν τοῦτ' ἐγώ,
τῇ μητρὶ συνεδείπνουν ἄν, οὐχὶ σοί, γύναι."
(Macho 295–9 Gow)

γηράσασα δὲ καὶ ἤδη οὖσα σορός, εἰς τὴν ἀγορὰν ἐξῄει καὶ τοὖψον 5
ἐφορᾷ καὶ ἐπολυπραγμόνει

πόσου
πωλεῖθ' ἕκαστον. (Macho 303–4 Gow) |

580d Στρατοκλέους δὲ ἐρίφους διδόντος

τοῖς γνωρίμοις 10
λοπάδας τε συνάλμους (Macho 311–12 Gow)

ἀφ' ὧν συνέβαινε διψᾶν τε καὶ |

580e μακρὰς πράττειν εἰς τὰ λοιπὰ συμβολάς,
Γνάθαινα (Macho 315–16 Gow)

ἔφη· 15

"Στρατοκλῆς ἐπὶ ἐρίφοις χειμῶνα ποιεῖ." (Macho 318 Gow) |

581a καὶ Γναθαίνιον δέ, φησὶ Μάχων (333–8 Gow), ἡ θυγατριδῆ Γναθαίνης, σατράπῃ πάνυ γέροντι ἰδόντι αὐτῆς

τό τ' εἶδος καὶ τοὺς ῥυθμοὺς (Macho 337 Gow)

καὶ πυθομένῳ 20

πόσον μίσθωμα πράττεται, | 338
581b δραχμὰς χιλίας 340
ἔταξεν. (Macho 338, 340–1 Gow)

581c εἶτα πέντε ἐπράξατο. | καὶ πολλὰ τοιαῦτα ληρεῖ περί τε τῆς Γναθαινίου καὶ ἑτέρων. | 25

581d ἀνάγωγος ὢν (φησί) καὶ βάναυσος. (Macho 358 Gow) |

582b ὅτι

ἡ Γναθαίνιον,

φησὶ Μάχων (387–94 Gow),

εἰς Πειραιᾶ ποτε κατέβαινε πρὸς ξένον τινὰ
ἔμπορον ἐραστὴν ἐπ' ἀστράβης
ἔχουσ' ὀνάρια μετ' αὑτῆς τρία 390
καὶ θεραπαίνας.
5 ἐπεὶ δ' ἐπὶ στενῆς ὁδοῦ
κακὸς αὐταῖς παλαιστὴς συνήντησε τῶν ἀεὶ
ἐπιμελῶς ἡττωμένων,

καὶ μὴ δυνάμενος διελθεῖν | ἠπειλήσατο τῷ ὀνηλατῇ τὰ γύναια 582c
καταβαλεῖν

10 "σὺν τοῖς ὀναρίοις καὶ ταῖς ἀστράβαις,"
Γναθαίνιον εἶπε· "μὴ δῆτ', ἄνερ· 400
οὐδέποτε γὰρ τοῦτ' ἐστί σοι πεπραγμένον."
(Macho 399–401 Gow)

φησὶ δὲ Μάχων (402–26 Gow) καὶ ὅτι Λαῒς ἡ Κορινθία

15 ποτὲ
Εὐριπίδην ἰδοῦσ' ἐν κήπῳ
πινακίδα καὶ γραφεῖον ἐξηρτημένον
ἔχοντα, "ἀπόκριναι," φησίν, "ὦ ποιητά μοι· | 405
τί βουλόμενος ἔγραψας ἐν τραγῳδίᾳ 582d
20 "ἔρρ', αἰσχροποιέ";" καταπλαγεὶς δ' ὁ Εὐριπίδης
τὴν τόλμαν αὐτῆς, "σὺ γάρ", ἔφη, "τίς εἶ;
αἰσχροποιός;" ἡ δὲ γελάσασα ἀπεκρίθη·
"τί δ' αἰσχρόν, εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ;" 410
ἡ Γλυκέριον δὲ λαβοῦσα παρὰ ἐραστοῦ τινος
25 Κορίνθιον καινὸν λήδιον
ἔδωκεν εἰς γναφεῖον. εἶτ', ἐπεὶ τέλος
ἔδοξ' ἔχειν, πέμψασα τὴν θεραπαινίδα
τὸ μισθάριον ἔχουσαν ἐκέλευ' ἀποφέρειν | 415
θοἰμάτιον. ὁ γναφεὺς δ', "ἄν γ' ἐλᾳδίου 582e
30 τεταρτημόριά μοι", φησί, "προσενέγκης τρία,
κόμισαι."
ὡς δ' ἀπήγγειλε, "τάλαιν'", εἶπεν
ἡ Γλυκέριον· "μέλλει γὰρ ὥσπερ μαινίδας 420
ἀποτηγανίζειν", φησί, "μου τὸ ληΐδιον."
35 ὁ τοῦ Σοφοκλέους Δημοφῶν ἐρώμενος
τὴν Αἶγα Νικὼ πρεσβυτέραν οὖσαν

νέος ὢν ἔτ᾿ αὐτὸς εἶχεν· ἐπεκαλεῖτο δ᾿ Αἴξ |
582f ὅτι τὸν μέγαν ἐραστήν ποτε κατέφαγε 425
Θαλλὸν

τὸν κάπηλον. ἐπεὶ δ᾿ ἠξίου ποτὲ τῆς πυγῆς αὐτῆς λαβέσθαι ὁ Δημοφῶν, 5

εἶπε γελάσασα· "ἵνα |
583a Σοφοκλεῖ δῷς παρ᾿ ἐμοῦ λαβών, φίλτατε." | 432
583c Πύθωνος δὲ 456
αὐτὴν ἀπολιπόντος, Εὔαρδιν δὲ τὴν
παχεῖαν ἀναλαβόντος, εἶθ᾿ ὕστερον 10
μεταπεμπομένου αὐτήν,
"Πύθων," ἔφη, "ἐπεὶ | 460
583d ἤδη τῶν ὑῶν ἐγένετο διάμεστος,
ἐπὶ τὴν αἶγ᾿ οἷός ἐστιν ἀνακάμπτειν πάλιν."
(Macho 431–2, 456–62 Gow) | 15

583a Ἵππη δὲ Θεόδοτον σχοῦσα

ἐραστὴν τὸν ἐπὶ τοῦ χόρτου ποτὲ 440
γενόμενον, ὀψὲ τῆς ὥρας |
583b εἰσῆλθέ ποτε ἐπὶ κώθωνα πρὸς
Πτολεμαῖον. (Macho 440–3 Gow) 20

ἐπεὶ

"Πτολεμαῖε," ἔφη, "διψῶ σφόδρα· 445
ἐγχεέτω μοί τις τέσσαρας κοτύλας ἔπειτ᾿
εἰς τὴν μεγάλην", ὁ βασιλεὺς λέγει·
"εἰς τὴν λεκάνην μὲν οὖν· δοκεῖς γάρ μοι πολύν, 25
Ἵππη, πάνυ χόρτον καταβεβρωκέναι." (Macho 445–9 Gow) |

583d ὅτι αἱ καλαὶ Ἀθῆναι τοσοῦτο πλῆθος ἤνεγκαν ἑταιρῶν, ὅσον ὄχλον εὐανδροῦσα πόλις οὐκ ἔσχεν. ἀναγέγραφεν οὖν Ἀριστοφάνης μὲν ὁ Βυζάντιος (*FGrH* 347 T 2 = fr. 364b Slater) ἑκατὸν καὶ τριάκοντα καὶ πέντε, Ἀπολλόδωρος (*FGrH* 244 F 208) δὲ πλείους, 30
583e καὶ ἄλλοι. | εἰσὶ δὲ καὶ ἄγραφοι ἄλλαι τε καὶ Ἀγαλλίς, Θαυμάριον, Σιγή, Συνωρὶς ἡ καὶ Λύχνος, Θρυαλλίς, Χίμαιρα, Λαμπάς.
583f ὅτι Δίφιλος | ἐν ἀγῶνι ἀσχημονήσας ἤρθη ἐκ τοῦ θεάτρου καὶ οὐδὲν ἧττον ἐλθὼν εἰς τὴν Γνάθαιναν ἐκέλευεν ὑπονίψαι τοὺς

πόδας. ἡ δέ, “τί γάρ;”, εἶπεν· “οὐχ ἡρμένος ἥκεις;” σφόδρα δ᾽ ἦν ἡ Γνάθαινα εὔθικτος πρὸς τὰς ἀποκρίσεις. καὶ ἄλλαι δ᾽ ἑταῖραι μέγα ἐφρόνουν ἐφ᾽ ἑαυταῖς παιδείας ἀντεχόμεναι καὶ τοῖς μαθήμασι χρόνον ἀπομερίζουσαι· διὸ καὶ εὔθικτοι πρὸς τὰς ἀπαντήσεις
5 ἦσαν. | κατηγοροῦντος οὖν ποτε Στίλπωνος (fr. 157 Döring = *SSR* II O 18) Γλυκέρας παρὰ πότον ὡς διαφθειρούσης τοὺς νέους, ὑποτυχοῦσα ἡ Γλυκέρα, “τὴν αὐτὴν ἔχομεν αἰτίαν,” εἶπεν, “ὦ Στίλπων,” ὡς μηδὲν διαφέρειν ἐπιτριβομένοις καὶ κακῶς πάσχουσιν ἢ μετὰ φιλοσόφου ζῆν ἢ ἑταίρας. | 584a

10 Φρύνην δ᾽ ἐπείρα Μοίριχος τὴν Θεσπικήν· | 450 583b
κἄπειτα αἰτήσασαν αὐτὸν μνᾶν μίαν 583c
ὁ Μοίριχος, “μέγ᾽,” εἶπεν· “οὐ πρῴην δύο
χρυσοῦς λαβοῦσα παρεγένου ξένῳ τινί;”
ἡ δέ, “περίμενε τοίνυν καὶ σύ”, φησίν, “ἕως οὗ
15 βινητιάσω, καὶ τοσοῦτον λήψομαι.” 455
(Macho 450–5 Gow) |

παρασίτου δέ τινος ὑπὸ γραὸς τρεφομένου καὶ τὸ σῶμα εὖ ἔχοντος Γνάθαινα ἔφη· “χαριέντως, ὦ νεανίσκε, τὸ σῶμα διάκεισαι.” “τί οὖν οἴει, εἰ μὴ ἐδευτεροκοίτουν;” “τῷ λιμῷ ἄν”, ἔφη, “ἀπέθανες·”
20 φησὶ Λυγκεύς (fr. 24 Dalby). Παυσανίου δὲ τοῦ Λάκκου ὀρχουμένου καὶ εἰς κάδδον τινὰ ἐμπεσόντος, “ὁ Λάκκος”, ἔφη, “εἰς τὸν κάδδον ἐμπέπτωκεν.” ἐπιδόντος δέ τινος οἶνον ἐν ψυκτηρίῳ μικρῷ καὶ εἰπόντος ὅτι ἑκδεκαέτης, | “μικρός γε,” ἔφη, “ὃς τοσούτων ἐτῶν·” | οἱ δὲ Φρύνης τοῦτό φασι. | νεανίσκων δέ τινων παρὰ πότον
25 ὑπὲρ αὐτῆς τυπτόντων ἑαυτοὺς ἔφη πρὸς τὸν ἡττώμενον· “θάρρει, παιδίον· οὐ γὰρ στεφανίτης ὁ ἀγών ἐστιν ἀλλ᾽ ἀργυρίτης.” ὡς δ᾽ ὁ τὴν μνᾶν τῇ θυγατρὶ δοὺς αὐτῆς οὐδὲν ἔτι ἔφερεν, ἀλλ᾽ ἐφοίτα μόνον, “παιδίον,” ἔφη, “ὥσπερ πρὸς Ἱππόμαχον τὸν παιδοτρίβην μνᾶν δοὺς οἴει ἀεὶ φοιτήσειν;” | τῶν δὲ πινόντων παρ᾽ αὐτῇ βαλλο-
30 μένων εἰς βολβοφακῆν καὶ τῆς παιδίσκης εἰς τὸν κόλπον ἐμβαλλομένης τῶν φακῶν ἡ Γνάθαινα ἔφη· “κολποφακῆν διανοεῖται ποιεῖν.” πρὸς δὲ ἀδολέσχην διηγούμενον ὅτι παραγέγονεν | ἀφ᾽ Ἑλλησπόντου, “πῶς οὖν”, φησίν, “εἰς τὴν πρώτην πόλιν οὐχ ἧκες

584b 584c cf. 585e | 584c 584d 584e

6 παρὰ A : πε E : περὶ C ‖ **14** σύ C : σοι E : σου A ‖ **21** κάδδον C E : κάδον A
22 κάδδον C E : κάδον A ‖ **23** ἑκδεκαέτης C E : ἑκκαιδεκαέτης A

τῶν ἐκεῖ;" τοῦ δ' εἰπόντος· "εἰς ποίαν;", "εἰς Σίγειον," εἶπεν. εἰσελθόντος δέ τινος ὡς αὐτὴν καὶ ἰδόντος ἐπί τινος ἀγγείου ᾠὰ καὶ εἰπόντος· "ὠμὰ ταῦτα, Γνάθαινα, ἢ ἑφθά;", "ἔγχαλκα," ἔφη, "παιδίον." Χαιρεφῶντος δ' ἀκλήτου ἐπὶ δεῖπνον ἐλθόντος προπιοῦσα ποτήριον αὐτῷ, "λαβέ," ἔφησεν, "ὑπερήφανε." καὶ ὅς· "ἐγὼ 5 ὑπερήφανος;" "τίς δὲ μᾶλλον," εἶπεν ἡ Γνάθαινα, "ὃς οὐδὲ καλού-
584b | 584f μενος ἔρχῃ;"· | ταῦτα ὁ Λυγκεύς (fr. 24 Dalby). | Μετάνειρα δὲ ἡ ἑταίρα Δημοκλέους τοῦ παρασίτου Λαγυνίωνος ἐπίκλην διαπηδῶντος ἐπὶ τὴν πλησίον κλίνην ἔφη· "πρόσεχε, μὴ ἀνατραπῇς·"
585a φησὶν Ἡγήσανδρος (fr. 28, *FHG* iv.419). | Ἀριστόδημος (fr. 9, *FHG* 10 iii.310) δέ φησι· Γνάθαιναν δύο ἐμισθώσαντο, στρατιώτης καὶ μαστιγίας. ἀναγωγότερον οὖν τοῦ στρατιώτου λάκκον αὐτὴν εἰπόντος, "πῶς;" ἔφη· "ἢ ὅτι δύο ποταμὼ ἐμβάλλετόν μοι, ὁ Λύκος καὶ ὁ Μαστιγίας;" ἐπὶ δὲ τὴν τῆς Γναθαίνης θυγατέρα πτωχῶν ἐραστῶν κωμαζόντων καὶ ἀπειλούντων κατασκάψειν τὴν 15 οἰκίαν, ἐνηνοχέναι γὰρ δικέλλας ἅμας, "εἰ ταῦτ' εἴχεθ' ὑμεῖς,"
585b εἶπεν ἡ Γνάθαινα, "ἐνέχυρα ἂν θέντες | τὸ μίσθωμα ἀπεστείλατε." ἐμμελὴς δ' ἦν πάνυ ἡ Γνάθαινα καὶ οὐκ ἀνάστειος φθέγξασθαι, ἣ καὶ νόμον συσσιτικὸν συνέγραψε κατὰ ζῆλον τῶν ταῦτα συνταξα-
585c μένων φιλοσόφων. Καλλίστιον δὲ τὴν Πτωχελένην | μαστιγίας 20 ἐμισθώσατο. θέρους δὲ ὄντος ἐπεὶ γυμνὸς κατέκειτο, τοὺς τύπους τῶν πληγῶν ἰδοῦσα, "πόθεν οὗτοι, τάλαν;" εἶπε. καὶ ὅς· "παιδὸς ὄντος μου ζωμὸς κατεχύθη." ἡ δέ· "δηλαδὴ μόσχειος." Μενάνδρῳ δὲ τῷ ποιητῇ δυσημερήσαντι εἰσελθόντι εἰς τὴν οἰκίαν Γλυκέρα προσενέγκασα γάλα παρεκάλει ῥοφῆσαι. ὁ δ', "οὐ θέλω," εἶπεν· 25 ἦν γὰρ ἐφεστηκυῖα γραῦς αὐτῷ. ἡ δὲ ἀποφυσήσασα εἶπε· "τῷ κάτω χρῶ." Θαῒς δὲ ἐραστοῦ τινος αὐτῆς ἀλαζόνος παρὰ πολλῶν
585d ποτήρια | χρησαμένου καὶ λέγοντος θέλειν ταῦτα συγκόψαι, ἄλλα δὲ κατασκευάσαι, "ἀπολεῖς", ἔφη, "ἑκάστου τὸ ἴδιον." Λεόντιον δὲ κατακειμένη μετ' ἐραστοῦ ἐπεισελθούσης εἰς τὸ συμπόσιον Γλυκέ- 30 ρας καὶ τοῦ ἐραστοῦ αὐτῆς ταύτῃ μᾶλλον προσέχοντος κατάστυγνος ἦν. ὡς δ' ἐπιστρέψας ὁ γνώριμος αὐτὴν ἠρώτησε τί λυπεῖται,

1–3 εἰς ποίαν; … εἰπόντος om. C ‖ **1** Σίγειον E Eust. : † σιγιον † A : def. C **13** ποταμὼ ἐμβάλλετόν C E : ποταμοὺς ἐμβάλλετέ E[s] : ποταμοὶ ἐμβάλλετέ A : ποταμοὶ ἐμβάλλετόν Eust. ‖ **13–14** ὁ Λύκος καὶ ὁ Μαστιγί(ας) C : ὁ Λύκος καὶ ὁ Μαστιγίος E : Λύκος καὶ Ἐλεύθερος A ‖ **23** κατεχύθη A : κατεχέθη (vox nihili) C E

"ἡ ὑστέρα με λυπεῖ," ἔφη. πρὸς Λαΐδα τὴν Κορινθίαν ἐραστὴς ἀποσφράγισμα πέμψας ἐκέλευε παραγίνεσθαι. ἡ δ', "οὐ δύναμαι," εἶπε· "πηλός ἐστι." Θαῒς πρὸς γράσωνα | πορευομένη ἐραστήν, 585e ἐπεί τις αὐτὴν ἤρετο ποῦ πορεύεται, ἔφη·

5 Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος. (E. *Med.* 1385)

Φρύνη δέ ποτε συνδειπνοῦσα γράσωνι ἄρασα φορίνην, "λαβέ", εἶπε, "καὶ κατάτραγε." ζητουμένου δὲ ἔν τινι συμποσίῳ διὰ τί οἱ στέφανοι κρήμανται εἶπεν· "ὅτι ψυχαγωγοῦσι." μαστιγίου δέ τινος μειρακιευομένου | πρὸς αὐτὴν καὶ φαμένου πολλαῖς συμπε- 585f
10 πλέχθαι καθ' ὑπόκρισιν ἐσκυθρώπασεν. ἐρομένου δὲ τὴν αἰτίαν, "ὀργίζομαί σοι," εἶπεν, "ὅτι πολλὰς ἔχεις." φιλάργυρος δέ τις ὑποκοριζόμενος αὐτὴν εἶπεν· "Ἀφροδίσιον εἶ Πραξιτέλους," ἡ δέ· "σὺ δ' Ἔρως Φειδίου." ὅτι Σινώπη, ἧς Δημοσθένης ἐν τῷ Κατ' Ἀνδροτίωνος (22.56) | μέμνηται, Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς 586a
15 εἶναι, φησὶν Ἡρόδικος (fr. IV.1, p. 125 Düring). Φανοστράτη δέ, ἧς καὶ αὐτῆς | ἐν τῷ αὐτῷ λόγῳ Δημοσθένης (22.56) | μέμνηται, 585f | 586a Φθειροπύλη ἐκαλεῖτο ἐπεὶ ἐπὶ τῆς πύλης ἑστῶσα ἐφθειρίζετο. | ἡ 586b δὲ Σταγόνιον καὶ Ἄνθις, | ὡς Ὑπερίδης (fr. 24 Jensen) φησίν, | 586a Ἀφύαι ἐκαλοῦντο ὅτι λευκαὶ καὶ λεπταὶ οὖσαι τοὺς ὀφθαλμοὺς 586b
20 μεγάλους εἶχον. καὶ ἡ Νικοστρατὶς δὲ διὰ τὴν αὐτὴν αἰτίαν Ἀφύη ἐπεκλήθη. |

ὅτι Ἅρπαλος τὴν Ἀθήνηθεν Γλυκέραν, ὥς φησι Θεόπομπος 586c (*FGrH* 115 F 254a), μετεπέμψατο· ἣ καὶ ἐλθοῦσα ᾤκει ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ καὶ προσεκυνεῖτο ὑπὸ τοῦ πλήθους ὡς βασί-
25 λισσα· ἀπείρητό τε πᾶσι μὴ στεφανοῦν Ἅρπαλον ἐὰν μὴ Γλυκέραν. ἐν Ῥωσῷ δὲ καὶ εἰκόνα χαλκῆν αὐτῆς στῆσαι ἐτόλμησε. | Λυσίας δὲ ἐν τῷ Πρὸς Λαΐδα (fr. 208 Carey) φησί· Φιλύρα δέ τοι 586e ἐπαύσατο πορνευομένη νέα ἔτι οὖσα καὶ Σκιώνη καὶ Ἱππάφεσις καὶ Θεόκλεια καὶ ἄλλαι. |

30 ὅτι Ναΐδι τῇ ἑταίρᾳ ὁ ἰατρὸς Νικόστρατος ὁ ταύτην ἀναλαβὼν 586f ἀποθνήσκων κατέλιπε πολὺν ἐλλέβορον, ἄλλο δ' οὐδέν. μέμνηται δὲ καὶ Λυκοῦργος (1.17) Εἰρηνίδος ἑταίρας, | καὶ Ὑπερίδης (fr. 141 587a Jensen) Ναννίου τῆς καὶ Αἰγός, | ἣ καὶ Προσκήνιον ἐπεκαλεῖτο 587b

8 κρήμανται C* E : κρήμνανται A ‖ **24** προσεκυνεῖτο E : ἐπροσκυνεῖτο C : προσκυνεῖσθαι (structura alia) A ‖ **26** Ῥωσῷ C E : Ῥωσσῷ A

ὅτι πρόσωπον ἀστεῖον εἶχε καὶ ἐχρῆτο χρυσοῖς ἱματίοις
587c πολυτελέσι, ἐκδῦσα δὲ ἦν αἰσχροτάτη. | μέμνηται δὲ Ὑπερίδης (fr. 142 Jensen) καὶ Νεμεάδος αὐλητρίδος, περὶ ἧς ἄξιον θαυμάζειν πῶς περιεῖδον Ἀθηναῖοι οὕτω προσαγορευομένην τὴν πόρνην πανηγύρεως ἐνδοξοτάτης ὀνόματι κεχρημένην· κεκώλυτο γὰρ τὰ 5 τοιαῦτα τίθεσθαι ὀνόματα οὐ μόνον ταῖς ἑταιρούσαις ἀλλὰ καὶ ταῖς
587e ἄλλαις δούλαις, ὥς φησι Πολέμων (fr. 3 Preller). | Φιλέταιρος (fr. 9.1–5, 7) δέ φησί που·

> οὐχὶ Κερκώπη μὲν ἤδη γέγονεν ἔτη τρισχίλια,
> ἡ δὲ Διοπείθους ἀηδὴς Τελέσιλλα ἕτερα μυρία; 10
> Θεολύτην δ᾽ οἶδεν οὐδεὶς ὅτε τὸ πρῶτον ἐγένετο.
> οὐχὶ Λαῒς μὲν τελευτῶσ᾽ ἀπέθανε κινουμένη, |
> 587f Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε; 5
> περὶ δὲ Ναΐδος σιωπῶ· γομφίους γὰρ οὐκ ἔχει. | 7

588a τὸν τῆς Ἡδονῆς τοῖχον ὑποσκάπτοντες, Ἐρατοσθένης (p. 193 15 Bernhardy) ἔφη.

ὅτι Ἐπίκουρος τῆς ἐγκυκλίου παιδείας ἀμύητος ὢν ἐμακάριζε τοὺς ὁμοίως αὐτῷ ἐπὶ φιλοσοφίαν παρερχομένους λέγων (fr. 117, p. 137 Usener = 25F Long–Sedley)· μακαρίζω σε, ὦ οὗτος, ὅτι
588b καθαρὸς πάσης αἰτίας ἐπὶ | φιλοσοφίαν ἔρχῃ. οὗτος Λεόντιον τὴν 20 ἑταίραν ἐρωμένην εἶχεν, ἣ καὶ πᾶσι μὲν τοῖς Ἐπικουρείοις συνῆν ἐν τοῖς κήποις, Ἐπικούρῳ δὲ καὶ ἀναφανδόν. ὅτι Λαῒς ἐξ
588c Ὑκκάρων, πόλεως Σικελικῆς, αἰχμάλωτος | γενομένη ἧκεν εἰς Κόρινθον, φησὶ Πολέμων (fr. 44 Preller), ἧς καὶ Ἀρίστιππος (*SSR* IV A 91 = fr. 60 Mannebach) ἤρα καὶ Δημοσθένης ὁ ῥήτωρ 25 Διογένης τε ὁ κύων (Diog. Sinop. *SSR* V B 213)· ᾗ καὶ Ἀφροδίτη ἡ ἐν Κορίνθῳ ἡ Μελαινὶς νυκτὸς ἐπιφαινομένη ἐμήνυεν ἐραστῶν ἔφοδον πολυταλάντων. Ἀπελλῆς δὲ ὁ ζωγράφος παρθένον ἔτι οὖσαν ταύτην ἰδὼν ἀπὸ Πειρήνης ὑδροφοροῦσαν θαυμάσας τὸ
588d κάλλος ἤγαγεν εἰς συμπόσιον. | χλευασάντων δ᾽ αὐτὸν τῶν ἑταί- 30 ρων ὅτι ἀνθ᾽ ἑταίρας παρθένον εἰς τὸ συμπόσιον ἀγάγοι, "μὴ θαυμάσητε," ἔφη· "ἐγὼ γὰρ αὐτὴν εἰς μέλλουσαν ἀπόλαυσιν μετ᾽ οὐδ᾽ ὅλην τριετίαν καλὴν δείξω." τὸ δ᾽ αὐτὸ καὶ Σωκράτης ἐμαντεύσατο περὶ τῆς Ἀθηναίας Θεοδότης. οὕτω δ᾽ ἦν ἡ Λαῒς

1 χρυσοῖς C : χρ^{υ0} E : † χρυσεοις † καὶ A ‖ **5** κεκώλυτο C E : ἐκεκώλυτο A
6–7 ταῖς ἄλλαις δούλαις A : τὰς ἄλλας δούλας C E

καλὴ ὡς καὶ τοὺς ζωγράφους | ἐρχομένους πρὸς αὐτὴν ἀπο- 588e
μιμεῖσθαι τοὺς μαστοὺς καὶ τὰ στέρνα. διαζηλοτυπουμένη δέ ποτε
τῇ Φρύνῃ ἡ Λαῒς πολὺν ἐραστῶν ἔσχηκεν ὅμιλον οὐ διακρίνουσα
πλούσιον ἢ πένητα. Ἀρίστιππος (*SSR* IV A 92 = fr. 61 Mannebach)
5 δὲ δύο τοῦ ἔτους μῆνας συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ. ὀνει-
διζόμενος δὲ ὑπὸ τοῦ οἰκέτου, ὅτι ὁ μὲν αὐτῇ τοσοῦτον ἀργύριον
δίδωσιν, ἡ δὲ προῖκα Διογένει τῷ κυνὶ συγκυλίεται, ἔφη· "ἐγὼ
Λαΐδι χορηγῶ ἵν' αὐτῆς ἀπολαύω, | οὐχ ἵνα μὴ ἄλλο." Διογένους 588f
δ' εἰπόντος αὐτῷ· "Ἀρίστιππε, κοινῇ συνοικεῖς πόρνῃ· ἢ κύνιζε
10 γοῦν, ὡς ἐγώ, ἢ πέπαυσο," Ἀρίστιππος (fr. 64A Mannebach) ἔφη·
"ἆρά γε μή τί σοι ἄτοπον δοκεῖ εἶναι, Διόγενες, οἰκίαν οἰκεῖν ἐν ᾗ
πρότερον ᾤκησαν ἄλλοι;" "οὐ γάρ," ἔφη. "τί δὲ ναῦν ἐν ᾗ πολλοὶ
πεπλεύκασιν;" "οὐδὲ τοῦτο," ἔφη. "οὕτως οὖν οὐδὲ γυναικὶ
συνεῖναι ἄτοπον ᾗ πολλοὶ κέχρηνται." | Στράττις (fr. 27.3) δὲ οὐ 589a
15 Σικελὴν ἀλλὰ Κορινθίαν εἶναι φησὶ αὐτήν. ἀνῃρέθη δὲ ὑπό τινων
γυναικῶν ἐν Θετταλίᾳ ἐρασθεῖσα Παυσανίου Θετταλοῦ, κατὰ
φθόνον καὶ δυσζηλίαν | ξυλίναις χελώναις τυπτομένη ἐν Ἀφροδίτης 589b
ἱερῷ· διὸ καὶ τὸ τέμενος ἐκλήθη Ἀνοσίας Ἀφροδίτης. καὶ ἦν τάφος
αὐτῆς παρὰ τῷ Πηνειῷ σημεῖον ἔχων ὑδρίαν λιθίνην καὶ
20 ἐπίγραμμα τόδε (anon. *FGE* 1596–9)·

τῆσδέ ποθ' ἡ μεγάλαυχος ἀνίκητός τε πρὸς ἀλκὴν
  Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου,
Λαΐδος, ἣν ἐτέκνωσεν Ἔρως, θρέψε δὲ Κόρινθος·
  κεῖται δ' ἐν κλεινοῖς Θετταλικοῖς πεδίοις.

25 αὐτοσχεδιάζουσιν οὖν οἱ λέγοντες αὐτὴν ἐν Κορίνθῳ | τεθάφθαι. 589c
Ἀριστοτέλης δ' ὁ Σατυριστὴς ἐξ Ἑρπυλλίδος ἑταίρας ἐπαιδοποίησε
Νικόμαχον καὶ συνῆν ταύτῃ μέχρι θανάτου, φησὶν Ἕρμιππος (fr.
46 Wehrli = *FGrH* 1026 F 28). Πλάτων δὲ τὴν Κολοφωνίαν ἑταίραν
Ἀρχαιάνασσαν ἠγάπα καὶ ᾖδεν εἰς αὐτὴν τάδε (Asclep. *A.P.* 7.217
30 = *HE* 1002–5 = 'Plato' *FGE* 608–11)·

Ἀρχαιάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν,
  ἧς κἀπὶ ῥυτίδων πικρὸς ἔπεστιν Ἔρως· |
ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης 610 589d
  πρωτοπόρου, δι' ὅσης ἤλθετε πυρκαϊῆς. 1005

8 ἄλλο C E : ἄλλος A ‖ **29** Ἀρχαιάνασσαν A C E : Ἀρχεάνασσαν C[s] E[s]

Περικλῆς δ' ὁ Ὀλύμπιος δι' Ἀσπασίαν τὴν νεωτέραν — οὐ τὴν Σωκράτει συγγενομένην — συνετάραξε πᾶσαν τὴν Ἑλλάδα. ἦν δὲ πρὸς ἀφροδίσια πάνυ καταφερής· ὃς καὶ τῇ τοῦ υἱοῦ γυναικὶ
589e συνῆν, | ὅς καὶ φευγούσης ποτὲ Ἀσπασίας γραφὴν ἀσεβείας λέγων ὑπὲρ αὐτῆς πλείω ἐδάκρυσεν ἢ ὅτε ὑπὲρ τοῦ βίου καὶ τῆς οὐσίας 5 ἐκινδύνευε. καὶ Κίμωνος δὲ Ἐλπινίκῃ τῇ ἀδελφῇ παρανόμως
589f συνόντος καὶ φυγαδευθέντος | μισθὸν ἔλαβε τῆς καθόδου ὁ Περι-
589e κλῆς τὸ τῇ Ἐλπινίκῃ μιγῆναι | καίτοι τῷ Καλλίᾳ ἐκδοθείσῃ. |
589f Περίανδρος δὲ ὁ ἐξ Ἐπιδαύρου Μέλισσαν ἰδὼν Πελοποννησιακῶς ἠσθημένην (ἀναμπέχονος γὰρ καὶ μονοχίτων ἦν καὶ ᾠνοχόει τοῖς 10 ἐργαζομένοις) ἐρασθεὶς ἔγημε. Πύρρου δὲ τοῦ Ἠπειρώτου ἐρω-
590a μένη ἦν ἡ Λευκαδία Τίγρις· ἣν Ὀλυμπιὰς | ἡ τοῦ νεανίσκου μήτηρ φαρμάκοις ἔκτεινεν. |

590b ὅτι εὕρηται παρὰ τοῖς ἀρχαίοις καὶ ὁ τίγρις τὸ ζῷον ἀρσενικῶς. |

590c ὅτι Ὑπερίδης ὁ ῥήτωρ ἐκ τῆς πατρῴας οἰκίας τὸν υἱὸν 15 ἀποβαλὼν Γλαύκιππον Μύρριναν τὴν πολυτελεστάτην ἀνέλαβε, καὶ ταύτην μὲν ἐν ἄστει εἶχεν, ἐν Πειραιεῖ δὲ Ἀρισταγόραν, |
590d Φίλαν δ' ἐν Ἐλευσῖνι πολλῶν χρημάτων ὠνησάμενος. ἐν δὲ τῷ Ὑπὲρ Φρύνης λόγῳ Ὑπερίδης (fr. 171 Jensen) ὁμολογεῖ ἐρᾶν τῆς γυναικὸς καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλάχθαι. ἦν δ' ἡ Φρύνη ἐκ 20 Θεσπιέων, κρινομένη δ' ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ ἀπέφυγε· διὸ ὀργισθεὶς ὁ Εὐθίας οὐκέτι εἶπεν ἄλλην δίκην. ὁ δὲ Ὑπερίδης |
590e συναγορεύων τῇ Φρύνῃ, ὡς οὐδὲν ἤνυε λέγων ἐπίδοξοί τε ἦσαν οἱ δικασταὶ καταψηφιούμενοι, παραγαγὼν αὐτὴν εἰς τοὐμφανὲς καὶ περιρρήξας τοὺς χιτωνίσκους γυμνά τε τὰ στέρνα ποιήσας τοὺς 25 ἐπιλογικοὺς οἴκτους ἐκ τῆς ὄψεως αὐτῆς ἐπερρητόρευσε δεισιδαιμονῆσαί τε ἐποίησε τοὺς δικαστὰς τὴν ὑποφῆτιν καὶ ζάκορον Ἀφροδίτης ἐλέῳ χαρισαμένους μὴ ἀποκτεῖναι. καὶ ἀφεθείσης ἐγράφη ψήφισμα, μηδένα οἰκτίζεσθαι τῶν λεγόντων ὑπέρ τινος,
590f μηδὲ βλεπομένους | τὸν κατήγορον ἢ τὴν κατηγορουμένην κρίνε- 30 σθαι. ἦν δὲ ἡ Φρύνη μᾶλλον καλὴ ἐν τοῖς μὴ βλεπομένοις, διὸ οὐδὲ ῥᾳδίως ἦν ἰδεῖν αὐτὴν γυμνήν· ἐχέσαρκον γὰρ χιτώνιον ἠμπίσχετο καὶ τοῖς δημοσίοις οὐκ ἐχρῆτο βαλανείοις. τῇ δὲ τῶν Ἐλευσινίων πανηγύρει ἐν ὄψει τῶν Πανελλήνων ἀποθεμένη θοἰμάτιον καὶ λύσασα τὰς κόμας ἐνέβαινε τῇ θαλάσσῃ· καὶ ἀπ' αὐτῆς 35
591a Ἀπελλῆς | τὴν Ἀναδυομένην Ἀφροδίτην ἀνεγράψατο. καὶ Πραξι-

30 βλεπομένους C E : βλεπόμενον A

τέλης δὲ ὁ ἀγαλματοποιὸς ἐρῶν αὐτῆς τὴν Κνιδίαν Ἀφροδίτην ἀπ' αὐτῆς ἐπλάσατο καὶ ἐν τῇ τοῦ Ἔρωτος βάσει, ὃν αὐτὸς ἔπλασεν, ἐπέγραψε ('Simonides' *A.Pl.* 204.1–3 = *FGE* 910–12)·

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν Ἔρωτα
5 ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ· |

ἐκλογήν τε αὐτῇ τῶν ἀγαλμάτων ἔδωκεν, ἡ δὲ ἑλομένη τὸν Ἔρωτα ἀνέθηκεν ἐν Θεσπιαῖς. αὐτῆς δὲ Φρύνης οἱ περικτίονες ἀνδριάντα ποιήσαντες ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος 591b
10 Πεντελικοῦ, κατεσκεύασε δ' αὐτὸν Πραξιτέλης· ὃν ἰδὼν Κράτης ὁ κυνικὸς (*SSR* V H 28) ἔφη τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα. ἕστηκε δ' ἡ εἰκὼν αὕτη μέση Ἀρχιδάμου καὶ Φιλίππου | ἔχουσα ἐπιγραφὴν "Φρύνη Ἐπικλέους Θεσπική". Ἀπολλόδωρος (*FGrH* 244 F 212) δὲ δύο ἀναγράφει Φρύνας, ὧν τὴν μὲν ἐπικαλεῖσθαι 591c
15 Κλαυσιγέλωτα, τὴν δὲ Σαπέρδιον. Ἡρόδικος (IV fr. 2, p. 126 Düring) δὲ τὴν μέν φησι καλεῖσθαι Σηστὸν διὰ τὸ ἀποσήθειν καὶ ἀποδύειν τοὺς συνόντας αὐτῇ, τὴν δὲ Θεσπικήν. ἐπλούτει | δὲ σφόδρα ἡ Φρύνη καὶ ὑπισχνεῖτο τειχιεῖν Θήβας εἰ ἐπιγράψειαν Θηβαῖοι ὅτι· "Ἀλέξανδρος μὲν κατέσκαψεν, ἀνέστησε δὲ Φρύνη ἡ 591d
20 ἑταίρα." παρεσίτει δὲ ταύτῃ Γρυλλίων εἷς τῶν Ἀρεοπαγιτῶν. | τὸ δὲ κύριον αὐτῆς ὄνομα Μνησαρέτη, φησὶν | Ἀριστογείτων (IV, Baiter–Sauppe ii.310). | Δημάδης δὲ ὁ ῥήτωρ ἐξ αὐλητρίδος ἐπαιδοποιήσατο Δημέαν· ὃν φρυαττόμενον ἐπὶ τοῦ βήματος ἐπεστόμισεν Ὑπερίδης εἰπών· "οὐ σιωπήσῃ μεῖζον τῆς μητρὸς ἔχων τὸ 591e 591d 591f
25 φύσημα;" Βίων δ' ὁ Βορυσθενίτης φιλόσοφος (T1 Kindstrand) ἑταίρας ἦν υἱὸς Ὀλυμπίας | Λακαίνης. Σοφοκλῆς (test. 77) δ' ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος ἑταίρας. ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησὶν ἐκεῖνα τὰ εἰς Ὅμηρον ἀναφερόμενα (cf. [Hdt.] *Vita Homeri* 417–19, vol. 5 p. 211 Allen)· 592a

30 κλῦέ μευ εὐχομένου, Κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν,
ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν. |

ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ βίου Ἀρχίππην ἠγάπησε τὴν ἑταίραν καὶ τοῦ βίου κληρονόμον κατέλιπε. περὶ ἧς ἐρωτώμενος ὁ πρότερος 592b
35 αὐτῆς ἐραστὴς Σμικρίνης· "τί ποιεῖ Ἀρχίππη;", χαριέντως ἔφη· "ὥσπερ αἱ γλαῦκες, ἐπὶ τάφον κάθηται." ἀλλὰ μὴν καὶ Ἰσοκρά-

592c τῆς Μετάνειραν εἶχεν ἐρωμένην, | τὴν αὐτὴν δὲ καὶ Λυσίας, ὥς
592b | 592c φησι | Δημοσθένης | ἐν τῷ Κατὰ Νεαίρας ([D.] 59.21). ἥττητο δ' ὁ
Λυσίας καὶ Λαγίδος, ἧς ἔγραψεν ἐγκώμιον ὁ ῥήτωρ Κέφαλος (fr.
2, Baiter–Sauppe ii.217), καθὰ καὶ Ἀλκιδάμας ὁ Γοργίου μαθητὴς
(II, Baiter–Sauppe ii.155) Ναΐδος. ταύτης δὲ καὶ Φιλωνίδης ἤρα. | 5
592d μήποτε οὖν καὶ ἐν τῷ Ἀριστοφάνους Πλούτῳ (179), ἐν ᾧ λέγει·

ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;,

γραπτέον "Ναῒς" καὶ οὐ "Λαΐς". Ἰσοκράτης δὲ καὶ Λαγίσκαν τὴν
592e ἑταίραν ἀνελάβετο εἰς τὴν οἰκίαν. | Δημοσθένη δὲ τὸν ῥήτορα καὶ
τεκνοποιήσασθαι ἐξ ἑταίρας ἔχει λόγος· αὐτὸς γοῦν ἐν τῷ Περὶ 10
Χρυσίου λόγῳ (IV, Baiter–Sauppe ii.251) προαγήοχε τὰ τέκνα ἐπὶ
τὸ δικαστήριον ὡς δι' ἐκείνων ἔλαιον ἕξων χωρὶς τῆς μητρός, καί-
592f | 592e | 592f τοι ἔδει | καὶ ταύτην ἐπάγεσθαι | κατὰ τὸ ἔθος· | ἀλλ' αἰδοῖ τοῦτ'
ἐποίησε φεύγων τὴν διαβολήν. ἀκόλαστος δὲ ἦν περὶ τὰ ἀφροδί-
σια, ὥς φησιν Ἰδομενεύς (*FGrH* 338 F 12). τοιγαροῦν καὶ ὁ γραμ- 15
ματεύς ποτ' αὐτοῦ εἶπε· "τί ἄν τις περὶ Δημοσθένους λέγειν
593a δύναιτο; | τὰ γὰρ ἐνιαυτῷ μελετηθέντα ἐκείνῳ μία γυνὴ μιᾷ νυκτὶ
συνέχεεν." ἀνελάβετο δὲ εἰς τὴν οἰκίαν καί τινα Κνωσσίωνα
μειρακίσκον, καίτοι γυναῖκα ἔχων· ὡς καὶ αὐτὴν ἀγανακτήσασαν
592f συγκοιμᾶσθαι τῷ Κνωσσίωνι. | καὶ δι' Ἀρίσταρχον δέ ποτε τὸ μει- 20
ράκιον παροινήσας εἰς Νικόδημον ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς. |

593d | 593e ὅτι Μύστα ἡ Σελεύκου | ἐρωμένη ἡττηθέντος ὑπὸ Γαλατῶν τοῦ
βασιλέως καὶ μόλις διασωθέντος μεταμφιασαμένη τὰ βασιλικὰ
συλληφθεῖσα ἀνήχθη μετὰ τῶν αἰχμαλώτων καὶ πραθεῖσα ὡς
θεραπαινὶς ἦλθεν εἰς Ῥόδον· ἔνθα ἐκφήνασα ἑαυτὴν ἥτις ἦν 25
περισπουδάστως τῷ Σελεύκῳ διεπέμφθη.

ὅτι Λαμπιτὼ ἡ Δημητρίου τοῦ Φαληρέως (fr. 37 Wehrli = fr. 5
593f Fortenbaugh–Schütrumpf) ἑταίρα | Χαριτοβλέφαρος ἐκαλεῖτο. |

594b | 594c ὅτι Πλαγγὼν ἡ Μιλησία ἑταίρα | Πασιφίλα ἐπεκαλεῖτο. Ἀρχί-
λοχος (fr. spur. 331 West² = *FGE* 540–1)· | 30

594d συκῆ πετραίη πολλὰς βόσκουσα κορώνας,
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

11 Χρυσίου B : Χρυσείου A : Χρ$^{υ(ου)}$ C E | προαγήοχε E* : προαγίοχε C : προαγείοχε A ‖ **12** ἔλαιον C E : ἔλεον A ‖ **18** Κνωσσίωνα C E : Κνωσίωνα A **20** Κνωσσίωνι C E : Κνωσίωνι A ‖ **23** μεταμφιασαμένη C E : μεταμφιεσαμένη A

Φιλήμονος (fr. dub. 198) δὲ ἑταίρας ἐρασθέντος καὶ χρηστὴν ταύτην ὀνομάσαντος ἐν γράμματι ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς. Ἅρπαλος δὲ ὁ Μακεδὼν ὁ τῶν Ἀλεξάνδρου πολλὰ χρήματα συλήσας | καὶ καταφυγὼν εἰς Ἀθήνας πολλὰ 594e
5 χρήματα εἰς Πυθιονίκην κατηνάλωσε καὶ θανούσῃ πολυτάλαντον μνῆμα κατεσκεύασε, περὶ οὗ Δικαίαρχός (fr. 21 Wehrli = fr. 81 Mirhady) φησιν | ὡς ἰδών τις Μιλτιάδου φήσειεν ἢ Περικλέους ἢ 594f
Κίμωνος | εἶναι. περὶ δὲ τῆς Πυθιονίκης Θεόπομπός (*FGrH* 115 F 595a
253) φησιν ὡς Βακχίδος ἦν δούλη τῆς αὐλητρίδος, ἐκείνη δὲ
10 Σινώπης τῆς Θρᾴττης | τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης 595b
τὴν πορνείαν, ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον ἀλλὰ καὶ τρίπορνον αὐτήν. ταύτης δύο μνήματα, φησί, κατεσκεύασεν Ἅρπαλος, ὃ μηδὲ τοῖς ἐν Κιλικίᾳ τελευτήσασιν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας γέγονεν. |

15 ὅτι φιλεῖ καὶ ἡ Ναύκρατις | ἐπαφροδίτους ἔχειν ἑταίρας. | 595d | 596e
Δωρίχαν γοῦν ἡ καλὴ Σαπφὼ (fr. 254c, cf. fr. 15) ἐρωμένην 596b
γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς κατ᾽ ἐμπορίαν εἰς Ναύκρατιν ἀπαίροντος διὰ τῆς ποιήσεως διαβάλλει ὡς πολλὰ τοῦ Χαράξου νοσφισαμένην. Ἡρόδοτος (2.135.1) | δ᾽ αὐτὴν Ῥοδῶπιν 596c
20 καλεῖ ἀγνοῶν ὡς ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς (cf. Hdt. 2.135.4). |

ὅτι Στίλπωνος τοῦ φιλοσόφου (fr. 156 Döring = *SSR* II O 17) 596e
ἠκροᾶτο Νικαρέτη ἡ Μεγαρὶς ἑταίρα. Λέαινα δὲ | ἡ Ἁρμοδίου 596f
ἑταίρα τοῦ τυραννοκτονήσαντος αἰκιζομένη ὑπὸ τῶν περὶ Ἱππίαν
25 τὸν τύραννον οὐδὲν ἐξειποῦσα ἐναπέθανε ταῖς βασάνοις. ἑταίρα δέ τις ἐπεκαλεῖτο Λήμη καὶ Παρόραμα διὰ τὸ καὶ δύο δραχμῶν φοιτᾶν πρὸς τὸν βουλόμενον, φησὶ Γοργίας (*FGrH* 351 F 1). |

ὅτι οὐ συνεχρόνισε Σαπφὼ (fr. 250) καὶ Ἀνακρέων, ὥς τινες 599c
οἴονται· ὁ μὲν γὰρ κατὰ Κῦρον καὶ Πολυκράτην ἐγένετο, ἡ δὲ κατ᾽
30 Ἀλυάτην τὸν Κροίσου πατέρα. | Δίφιλος δὲ ὁ κωμικὸς (fr. 71) ἔν 599d
τινι δράματι αὐτοῦ Σαπφοῦς ἐραστὰς πεποίηκεν Ἀρχίλοχον καὶ Ἱππώνακτα. | ἐρωτικὸς μὲν εἶναι ὁμολογῶ, ἐρωτομανὴς δὲ οὔ. | 599e
φησὶν Εὐριπίδης (fr. 898.1–13)· 599f

2 γράμματι C E : διὰ τοῦ δράματος A ‖ **5** κατηνάλωσε] κατηνάλ^{ω} C E : κατανάλωσεν A : κατανήλωσεν Kaibel ‖ **6** μνῆμα C : μνῆ^{μ} E : μνημεῖον A
30 Ἀλυάτην C E : Ἀλυάττην A | κωμικὸς C : κωμ$^{(x)}$ E : κωμῳδιοποιὸς A

Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἣν οὐδ᾽ ἂν εἴποις οὐδὲ μετρήσειας
ὅση πέφυκε καὶ ἐφ᾽ ὅσον διέρχεται.
αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.
τεκμήριον δέ, μὴ λόγῳ μόνον μάθῃς· | 5 5
600a ἔργῳ δὲ δεῖξον τὸ σθένος τὸ τῆς θεοῦ.
ἐρᾷ μὲν ὄμβρου γαῖα ὅτε ξηρὸν πέδον
ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχει,
ἐρᾷ δ᾽ ὁ σεμνὸς οὐρανὸς πληρούμενος
ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο. 10 10
ὅταν δὲ συμμιχθῆτον ἐς ταὐτὸν δύο,
φύουσιν ἡμῖν πάντα καὶ τρέφουσ᾽ ἅμα
δι᾽ ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος.

599e καὶ παρ᾽ Αἰσχύλῳ (fr. 44.1–5) δὲ | τῷ Ἀλεξανδρεῖ ἀνδρὶ εὐπαιδεύτῳ |
600a Ἀφροδίτη φησίν· | 15

600b ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν.
ὄμβρος δ᾽ ἀπ᾽ εὐνάεντος οὐρανοῦ πεσὼν
ἔκυσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον. | 5 20

600d καὶ Κριτίας (88 B 1.5–10 D.–K.) δέ φησιν· |

600e οὔ ποτε φιλότης γηράσκεται οὐδὲ θανεῖται 5
ἔστ᾽ ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσι
παῖς διαπομπεύῃ πρόποσιν ἐπὶ δεξιὰ νωμῶν
παννυχίδας θ᾽ ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσι, 25
πλάστιγξ δ᾽ ἡ χαλκοῦ θυγάτηρ ἐπ᾽ ἄκραισι καθίζει
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν. | 10

600f ἡγεμὼν δὲ μελῶν ἐρωτικῶν Ἀλκμὰν γέγονε καὶ ἐξέδωκε πρῶτος μέλος ἀκόλαστον· ὅς καί φησί που τῶν μελῶν (*PMG* 59(a))·

Ἔρως δ᾽ αὖ με Κύπριδος ἕκατι 30
γλυκὺς κατείβων καρδίαν ἰαίνει. |

18 εὐνάεντος A Cs Es : εὐνάοντος C E

καὶ Στησίχορος οὐ μετρίως ἐρωτικὸς ἐγένετο καὶ ᾄσματα συνέστησεν ἃ παιδιὰ καὶ παιδικὰ ἐκαλεῖτο. οὕτω δ' ἐναγώνιος ἦν ἡ περὶ τὰ ἐρωτικὰ πραγματεία, ὥστε καὶ Αἰσχύλος μέγας ὢν ποιητὴς ⟨παιδερασ⟩τικοὺς διὰ τῶν τραγῳδιῶν ἦγεν εἰς τὰ θέατρα ἔρωτας· | καὶ ἐδέχοντο οἱ θεαταί. | καὶ Πίνδαρος (fr. 127.1–2) δὲ ὢν ἐρωτικός φησί που· 601a 601b | 601c

εἴη καὶ ἐρᾶν καὶ ἔρωτι
χαρίζεσθαι κατὰ καιρόν.

καὶ Τίμων δὲ ἐν τοῖς Σίλλοις (*SH* 791.2) ἔφη·

ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι,

καὶ μὴ ἀναμένειν ἔστ' ἂν ἐκεῖνό τις φθέγξηται (*SH* 791.1)· |

ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι. | 601d

Χαλκιδεῖς δὲ ληροῦντες δεικνύουσι παρ' αὐτοῖς τόπον ὃν Ἁρπάγιον καλοῦσιν, ἐν ᾧ μυρρίναι διάφοροι πεφύκασιν, ὅθεν τὸ Τρωϊκὸν μειράκιον ἡρπάγη παρὰ Διός. | 601f

ὅτι Χαρίτων | καὶ τὰ αὐτοῦ παιδικὰ Μελάνιππος φανέντες ἐπιβουλεύοντες Φαλάριδι καὶ βασανιζόμενοι ἐφ' ᾧ εἰπεῖν τοὺς συνειδότας οὐ μόνον οὐ κατεῖπον, ἀλλὰ καὶ τὸν Φάλαριν εἰς ἔλεον τῶν βασάνων ἤγαγον, ὡς ἀπολῦσαι αὐτοὺς πολλὰ ἐπαινέσαντα· διὸ καὶ Ἀπόλλων ἡσθεὶς ἐπὶ τούτοις ἀναβολὴν θανάτου τῷ Φαλάριδι ἐχαρίσατο. | 602a | 602b

ὅτι φιλόπαις ἦν ἐκμανῶς Ἀλέξανδρος· Βαγώου γοῦν | τοῦ εὐνούχου οὕτως ἥττητο ὡς ἐν ὄψει θεάτρου ὅλου καταφιλεῖν αὐτὸν ἀνακλάσαντα τῶν θεατῶν ἐπιφωνούντων μετὰ κρότου. | 603a | 603b

ὅτι τῇ περὶ τὴν Πειρήνην χαλκῇ βοῒ βοῦς | ἐπανέστη ἀπατηθεὶς τῇ ὁμοιώσει· ἤδη δέ που καὶ γεγραμμένῃ κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ τῇ μὲν κύων, τῇ δὲ περιστερά, τῇ δὲ χὴν προσῆλθον καὶ ἐπεπήδησαν· φανέντων δὲ πᾶσι τούτοις ἀδυνάτων ἀπέστησαν. Κλείσοφος δὲ ὁ Σηλυβριανὸς τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν αὐτὸν τῷ ναῷ ὡς πλησιάσαι δυνάμενος. καὶ ὡς ἠδυνάτει διά τε τὴν ψυχρότητα καὶ τὸ ἀντίτυπον τοῦ λίθου, τῆς ἐπιθυμίας ἀπέστη. | Κτησικλέους δ' ἦν 605e | 605f 606a

4 ⟨παιδερασ⟩τικοὺς scripsi : αρτικοὺς C E* ‖ **12** vide finem ‖ **21** vide finem **24** vide finem ‖ **29** Σηλυβριανὸς C E : Σηλυμβριανὸς A

606b τὸ ἄγαλμα. | καὶ ἄλογα δὲ ζῷα ἀνθρώπων ἠράσθη, Σεκούνδου μὲν
οἰκέτου οἰνοχόου Νικομήδους Βιθυνῶν βασιλέως ἀλεκτρύων, ὃς
606c ἐκαλεῖτο Κένταυρος, | Ἀμφιλόχου δὲ παιδὸς Ὠλενίου χήν. ἐν δὲ
Λευκαδίᾳ ταὼς οὕτως ἠράσθη παρθένου, ὡς καὶ τὸν βίον ἐκλι-
πούσῃ συναποθανεῖν. ὁ δὲ τοῦ δελφῖνος ἔρως κεῖται παρ᾽ Ὀππια- 5
606d νῷ. | ἐστὶ δὲ συνετώτατον ζῷον ὁ δελφὶς καὶ φιλανθρωπότατον καὶ
χάριν ἀποδοῦναι ἐπιστάμενον. Φύλαρχος (*FGrH* 81 F 26) οὖν φησι
606e Κοίρανον | τὸν Μιλήσιον ἰδόντα ἁλιέας δελφῖνα λαβόντας καὶ
μέλλοντας κατακόπτειν ἀργύριον δοῦναι καὶ ἀφεῖναι εἰς τὸ
πέλαγος· εἶτα ναυαγίᾳ χρησάμενον καὶ μετὰ πολλῶν περὶ 10
Μύκονον μόνον ὑπὸ δελφῖνος σωθῆναι. τελευτήσαντος δὲ γηραιοῦ
καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλασσαν γενομένης πλῆθος δελφίνων
606f ἐφάνη μικρὸν ἀπωτέρω τῶν συνεκκομιζόντων τὸν Κοίρανον, | ὡσεὶ
συνεκφέρον καὶ συγκηδεῦον τὸν ἄνθρωπον. ὁ αὐτὸς (Phylarch.
FGrH 81 F 36) ἱστορεῖ ὅτι ἐλέφαντι Ἰνδικῷ συνετρέφετο θήλεια 15
ἐλέφας ἣν Νίκαιαν ἐκάλουν· ᾧ τελευτῶσα ἡ τοῦ τρέφοντος Ἰνδοῦ
γυνὴ παιδίον αὐτῆς τριακοστέον παρέθετο. καὶ γέγονε δεινὴ
φιλοστοργία τοῦ θηρίου πρὸς τὸ παιδίον· οὔτε γὰρ ἀπ᾽ αὐτοῦ
χωριζόμενον τὸ βρέφος ὑπέμενεν, ὁ δὲ εἰ μὴ βλέποι τὸ παιδίον
ἤσχαλλεν. ὅτ᾽ οὖν ἡ τροφὸς ἐμπλήσῃ αὐτὸ γάλακτος, ἀνὰ μέσον 20
607a τῶν ποδῶν τοῦ θηρίου ἐτίθει αὐτὸ ἐν σκάφῃ· | εἰ δὲ μὴ τοῦτο
πεποιήκοι, τροφὴν οὐκ ἐλάμβανεν ἡ ἐλέφας. εἶτα τοὺς καλάμους
λαμβάνων τῶν παρατιθεμένων χορτασμάτων καθεύδοντος τοῦ
βρέφους τὰς μυίας ἀπεσόβει· ὅτε δὲ κλαίοι, τῇ προβοσκίδι τὴν
σκάφην ἐκίνει καὶ κατεκοίμιζεν αὐτό. τὸ δ᾽ αὐτὸ ἐποίει καὶ ὁ ἄρρην 25
ἐλέφας πολλάκις. |

607b ὅτι εἰ διαλεκτικοὶ συνελθόντες εἰς πότον περὶ συλλογισμῶν
διαλέγοιντο, ἀλλοτρίως ποιοῦσι τοῦ παρόντος καιροῦ· καὶ ὁ καλὸς
γὰρ κἀγαθὸς ἀνὴρ μεθυσθείη ἄν. οἱ δὲ βουλόμενοι σωφρονικοὶ εἶ-
607c ναι σφόδρα μέχρι τινὸς διατηροῦσιν | ἐν τοῖς πότοις τὸ τοιοῦτον· εἶθ᾽ 30
ὅταν παραδυῇ τὸ οἰνάριον, πᾶσαν ἀσχημοσύνην ἐπιδείκνυνται. |

608a | 608d ὅτι Χαιρήμων (*TrGF* 71 F 9.1–2) | ἔαρος τέκνα προσαγορεύει τὰ
608e ἄνθη, | τὸν δὲ κισσὸν (*TrGF* 71 F 5.1) χορῶν ἐραστὴν καὶ ἐνιαυτοῦ

2 οἰκέτου οἰνοχόου (v.ll.) C E : οἰνοχόου A ‖ **5–6** ὁ δὲ τοῦ δελφῖνος ἔρως κεῖται παρ᾽ Ὀππιανῷ verba epitomatoris (cf. Ael. *NA* 6.15) ‖ **12** παρὰ A : π^{ε} E : περὶ C ‖ **17** τριακοστέον C E : τριακοσταῖον A

παῖδα, τὰ ῥόδα (*TrGF* 71 F 13.2) δὲ ἔαρος τιθήνημα, | καὶ ἀλλαχοῦ 608f
(*TrGF* 71 F 8.1) ῥόδα ὀξυφεγγῆ.

ὅτι διαβόητοι γυναῖκες ἐγένοντο Θαργηλία τε ἡ Μιλησία | σοφή, | 609a
ἣ καὶ τεσσαρεσκαίδεκα | ἀνδράσιν ἐγαμήθη. καὶ Ἀνοῦτις δὲ ἡ 608f | 609a
5 Ξέρξου ὁμοπάτριος καλλίστη ἦν τῶν ἐν Ἀσίᾳ. | καὶ Παντίκα ἡ 609b
Κυπρία, | ἣν παρ' Ὀλυμπιάδι τῇ Ἀλεξάνδρου μητρὶ οὖσαν ᾔτει 609c
Μόνιμος. καὶ ἐπεὶ ἦν ἀκόλαστος ἡ γυνή, ἔφη Ὀλυμπιάς· "ὦ
πόνηρε, τοῖς ὀφθαλμοῖς γαμεῖς καὶ οὐ τῷ νῷ." καλὴ δὲ ἐγένετο
καὶ ἡ κατάγουσα Πεισίστρατον ἐπὶ τὴν τυραννίδα, ὡς Ἀθηνᾶ
10 δῆθεν, ἡ στεφανόπωλις· ἣν καὶ ἐξέδωκε πρὸς γάμον Πεισίστρατος
Ἱππάρχῳ τῷ υἱῷ. | Ἡσίοδος (fr. 277) δέ που τὴν ἐν Εὐβοίᾳ Χαλ- 609e
κίδα καλλιγύναικα εἶπε. Νυμφόδωρος (*FGrH* 572 F 7) δὲ τοιαύτην
ἱστορεῖ τὴν Τρωϊκὴν νῆσον Τένεδον. διετέθη δὲ καὶ περὶ κάλλους
γυναικῶν ἀγὼν ἐν τῷ περὶ Ἀλφειὸν πεδίῳ παρὰ Κυψέλλῳ, | καὶ 609f
15 ἐνίκησεν ἡ αὐτοῦ γυνὴ Ἡροδίκη. καὶ ἐκράτησεν ὁ ἀγὼν παρ'
Ἠλείοις, φησὶ Θεόφραστος (fr. 563 Fortenbaugh), καὶ αἱ ἀγω-
νιζόμεναι γυναῖκες χρυσοφόροι ὠνομάζοντο. ἀνδράσι δὲ τοῖς
νικήσασιν ἆθλα δίδονται ὅπλα | καὶ στέφανος μυρρίνης. ἐνιαχοῦ δέ 610a
φησι Θεόφραστος κρίσεις γυναικῶν περὶ σωφροσύνης γίνεσθαι καὶ
20 οἰκονομίας, ὡς ἐν τοῖς βαρβάροις· ἑτέρωθι δὲ κάλλους, ὡς δὲ καὶ
τοῦτο τιμᾶσθαι, καθὰ καὶ παρὰ Τενεδίοις καὶ Λεσβίοις. |

ὅτι Σοφοκλῆς τις ψηφίσματι ἐξήλασε πάντας | φιλοσόφους τῆς 610e | 610f
Ἀττικῆς, καθ' οὗ λόγον ἔγραψε Φίλων ὁ Ἀριστοτέλους γνώριμος
(cf. Baiter–Sauppe ii.343). ἀπελογήσατο δ' αὖθις ὑπὲρ Σοφοκλέους
25 Δημοχάρης ὁ Δημοσθένους ἀνεψιός (I, Baiter–Sauppe ii.341–2).
καὶ Ῥωμαῖοι δ' οἱ πάντα ἄριστοι ἐξέβαλον τοὺς σοφιστὰς τῆς
Ῥώμης ὡς διαφθείροντας τοὺς νέους· ἔπειτ' οὐκ οἶδ' ὅπως
κατεδέξαντο. Ἀνάξιππος ὁ κωμικός (fr. 4.1–3) φησιν·

οἴμοι, φιλοσοφεῖς. ἀλλὰ τοὺς φιλοσόφους |
30 ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον, 611a
ἐν τοῖσι δ' ἔργοις ἀνοήτους ὄντας ὁρῶ.

9 ἡ κατάγουσα Πεισίστρατον Peppink : ἡ κάγουσα Πεισίστρατον E* : ἡ παραιβατήσασα Πεισιστράτῳ C : τὴν κατάγουσαν ... Πεισίστρατον (structura alia) A ‖ **14** Κυψέλλῳ C E : Κύψελον (structura alia) A ‖ **20** δὲ[2] C E : δέον A

εἰκότως οὖν οἱ Λακεδαιμόνιοι οὐ προσίενται, ὥς φησι Χαμαιλέων (fr. 35 Wehrli), τὴν ῥητορικὴν διὰ τὰς ἐν τοῖς λόγοις ὑμῶν φιλοτιμίας καὶ ἔριδας καὶ τοὺς ἀκαίρους ἐλέγχους· δι᾽ οὓς Σωκράτης μὲν
611b ἀπέθανε καὶ Θεόδωρος ὁ ἄθεος (*SSR* IV H 11), | Διαγόρας δ᾽ ἐφυγαδεύθη, ὅτε καὶ πλέων ναυαγίᾳ ἐχρήσατο, Θεότιμος δ᾽ ὁ 5 γράψας κατ᾽ Ἐπικούρου ὑπὸ Ζήνωνος τοῦ Ἐπικουρείου ἐξαιτηθεὶς ἀνηρέθη.

ὅτι τοῦ κυνὸς τὴν φύσιν περιττὴν ἔχοντος, αἰσθήσει τε τῇ πρὸς
611c ὄσφρανσιν καὶ πρὸς τὸ οἰκεῖον καὶ ἀλλότριον | καὶ τῷ συνανθρωπίζον καὶ οἰκουρὸν εἶναι ζῷον καὶ φυλακτικὸν τοῦ τῶν εὖ δρώντων 10 βίου, οὐδὲν τούτων πρόσεστι τοῖς κυνικοῖς· οὔτε γὰρ συνανθρωπίζουσιν οὔτε διαγινώσκουσιν οὐδένα τῶν ὁμιλούντων, αἰσθήσει τε πολλῶν ὑστεροῦντες ἀργῶς καὶ ἀφυλάκτως ζῶσι. λοιδόρου δὲ καὶ παμφάγου τοῦ ζῴου πεφυκότος, ἔτι δὲ ταλαιπώρου καὶ γυμνοῦ τὸν βίον, ταῦτα μελετῶσι κακολόγοι καὶ βοροὶ καὶ ἄνοικοι καὶ 15
611e ἀνέστιοι βιοῦντες | διὰ τὸν βρένθον ὑμῶν τὸν πολύν. |

611d ὅτι διάλογοί τινες φέρονται Λυσίου θαυμαζόμενοι μέν, ὑποπτευόμενοι δὲ Σωκράτους εἶναι συγγράμματα χαρισθέντα αὐτῷ ὑπὸ
611e Ξανθίππης τῆς Σωκράτους γυναικὸς μετὰ τὸν ἐκείνου | θάνατον. |

612a ὅτι Σόλων (fr. 73b Ruschenbusch) οὐχ ἐπέτρεπεν ἀνδρὶ 20
611e μυρεψικῆς τέχνης προΐστασθαι. | Λυσίας ἐν τῷ Πρὸς Αἰσχίνην τὸν
612d Σωκρατικὸν (fr. 1 Carey) τάδε φησί· | τοσοῦτοι ἐπὶ τὴν οἰκίαν ἅμα ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀφειλόμενα ἔρχονται ὥστε οἴεσθαι τοὺς παριόντας ἐπ᾽ ἐκφορὰν αὐτοὺς ἥκειν τοῦ τεθνεῶτος. οὕτω δ᾽ οἱ ἐν τῷ Πειραιεῖ διάκεινται ὥστε πολὺ ἀσφαλέστερον εἶναι εἰς τὸν 25
612e Ἀδρίαν πλεῖν ἢ | τούτῳ συμβαλεῖν· πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείσηται αὑτοῦ νομίζει ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπε. καὶ περὶ τῆς ἐρωμένης δὲ αὐτὴν ἐπάγει ῥᾷον εἶναι τοὺς ὀδόντας ἀριθμῆσαι |
612f ὅσου ἐλάττους ἦσαν ἢ τῆς χειρὸς τοὺς δακτύλους.

16 βρένθον A C E : ἀλαζονείαν E[s] ‖ **28** αὐτὴν C E : fort. αὐτῆς, cf. A ἧς **29** τέλος τῶν ἐκ τοῦ ιγ´ λόγου E | quae sequuntur praeb. C fol. 183r–v (post 13.612f), E fol. 398r–v (post 15.702c) : om. B M P Mus

ἐκ τοῦ τρεισκαιδεκάτου βιβλίου

φησὶ Πίνδαρος (fr. 123.3–6)· ὃς τὰς τοῦ προσώπου τῆσδ᾽ ἀκτῖνας 601d

μαρμαριζοίσας δρακὼν
μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος
5 ἠὲ σιδήρου κεχάλκευται μέλαιναν καρδίαν 5
ψυχρᾷ φλογί. |

τῶν δὲ φαύλων ἐρώτων, ὧν πολὺς ἀριθμὸς ἐν τῷ λόγῳ τούτῳ τῷ ῥήτορι, Λάιόν τινές φασιν ἄρξασθαι ξενισθέντα Πέλοπι καὶ ἁρπάξαντα κατ᾽ ἔρωτα τὸν | υἱὸν Χρύσιππον. | 602f 603a

10 ὅτι ἦν μὲν ἐρωτικὸς Ἀλέξανδρος, ἦν δὲ καὶ περὶ τὸ καθῆκον ἐγκρατής· αἰχμαλώτους γοῦν λαβὼν τὰς Δαρείου παῖδας καὶ τὴν γυναῖκα οὐ μόνον ἀπέσχετο, ἀλλ᾽ οὐδὲ μαθεῖν ἐκείνας ἐποίησεν ὅτι εἰσὶν αἰχμάλωτοι, ἀλλ᾽ ὡς ἔτι Δαρείου ἐν τῇ βασιλείᾳ ὄντος πάντα αὐταῖς χορηγεῖσθαι ἐκέλευσε. καὶ τοῦτο μαθὼν Δαρεῖος ηὔξατο 15 Ἡλίῳ τὰς χεῖρας ἀνατείνας ἢ αὐτὸν βασιλεύειν ἢ Ἀλέξανδρον. | 603c

"οἱ παῖδές εἰσι καλοί", Γλυκέρα ἡ ἑταίρα ἔφη, "ὅσον ἐοίκασι γυναικὶ χρόνον." | 605d

ὅτι Σοφοκλῆς ποτε κατ᾽ ἔρωτα γυμνὸς συνών τινι | ἀπώλεσε τὴν χλανίδα ὑπεστρωμένην οὖσαν καὶ ἁρπασθεῖσαν. Εὐριπίδου δὲ 20 τὸ γεγονὸς διατωθάζοντος Σοφοκλῆς | τῷ περὶ Ἡλίου καὶ Βορέου λόγῳ χρησάμενος εἶπεν, ὡς ἐμὲ μὲν ("Sophocles" *FGE* 1040–3) 604d | 604e 604f

Ἥλιος χλιαίνων 1040
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦντι ἑταίραν
Βορρᾶς ὡμίλησε. σὺ δ᾽ οὐ σοφός, ὃς τὸν Ἔρωτα
25 ἀλλοτρίαν σπείρων λωποδύτην ἀπάγεις. |

ὅτι οὐ καλῶς ὁ Φρύνιχος (*TrGF* 3 F 13) εἶπε· | 603f

λάμπει δ᾽ ἐπὶ πορφυρεαῖς παρειαῖσι φῶς ἔρωτος· 604a

εἰ γὰρ ὁ ζώγραφος χρώματι πορφυρέῳ ἄλειψε γνάθους, οὐκ ἂν ἔτι καλαὶ φαίνοιντο· οὐ γὰρ δεῖ τὸ καλὸν τῷ μὴ καλῷ εἰκάζειν. οὐδ᾽ 30 ἐκεῖνο δέ με ἀρέσκει | τὸ Σιμωνίδειον (*PMG* 585.1–2) κάρτα δοκέον τοῖς Ἕλλησιν εὖ εἰρῆσθαι· 604b

1 sic C : τὰ λείποντα ἐκ τῶν ἀπὸ τοῦ τρισκαιδεκάτ⁰ λόγ⁰ E ‖ **7–8** τούτῳ τῷ ῥήτορι C E : fort. τούτου τοῦ ῥήτορος

> πορφυρέου ἀπὸ στόματος
> ἱεῖσα φωνήν,

οὐδ᾽ ὁ ποιήσας (Pi. *O.* 6.41)·

> χρυσοκόμην Ἀπόλλωνα·

χρυσέας γὰρ εἰ ἐποίησε ζωγράφος τὰς τοῦ θεοῦ κόμας καὶ μὴ μελαίνας, χεῖρον ἂν ἦν τὸ ζωγράφημα. οὐδ᾽ ὁ φάς· 5

> ῥοδοδάκτυλον·

εἰ γάρ τις εἰς ῥόδεον χρῶμα βάψει τοὺς δακτύλους, πορφυροβάφους χεῖρας καὶ οὐ γυναικὸς καλῆς ποιήσει. | “Περικλῆς,” φησι, “ποιεῖν μὲν ἔφη, στρατηγεῖν δ᾽ οὐκ ἐπίστασθαι.” 604d 10

ἐκ τοῦ τεσσαρεσκαιδεκάτου βιβλίου

τὸν Διόνυσον μαινόμενον οἱ πολλοὶ λέγουσιν ἀπὸ τοῦ τοὺς 613a
πλείονας ἀκράτου σπῶντας θορυβώδεις γίνεσθαι. | τοῦ οἴνου ἐς τὸ 613b
σῶμα, ὥς φησιν Ἡρόδοτος (1.212.2), κατιόντος ἐπαναπλέει κακὰ
5 ἔπεα καὶ μαινόμενα. | Ξενοφῶν (*Ages.* 5.1) φησι μέθης ἀπέχεσθαι 613c
ὁμοίως χρῆναι καὶ μανίας, σίτων τε ὑπερκαίρων ὁμοίως καὶ
ἀργίας. |

ὅτι Ἀνάχαρσις ὁ Σκύθης (A11A Kindstrand) ἐν συμποσίῳ 613d
γελωτοποιῶν εἰσαχθέντων ἀγέλαστος διέμεινε, πιθήκου δ'
10 ἐπεισαχθέντος γελάσας ἔφη· "οὗτος μὲν φύσει γελοῖός ἐστιν, ὁ δ'
ἄνθρωπος ἐπιτηδεύει." Εὐριπίδης (fr. 492.1–5) δέ πού φησιν·

ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος εἵνεκα
ἀσκοῦσι χάριτας κερτόμους· ἐγὼ δέ πως
μισῶ γελοίους οἵτινες |
15 ἀχάλινα ἔχουσι στόματα, καὶ εἰς ἀνδρῶν μὲν οὐ 614a
τελοῦσιν ἀριθμόν, ἐν γέλωτι δ' εὐπρεπεῖς. 5

οἰκοῦσι δ' οἴκους καὶ τὰ ναυστολούμενα
ἔσω δόμων κομίζουσι. (E. fr. 494.9–10) 10

Παρμενίσκος δ' εἰς Τροφωνίου καταβὰς καὶ ἀνελθὼν οὐκέτι γελᾶν
20 ἠδύνατο· καὶ χρηστηριαζομένῳ ἡ Πυθία ἔφη (Delphic Oracle Q185
Fontenrose)·

εἴρῃ μ' ἀμφὶ γέλωτος, ἀμείλιχε, μειλιχίοιο. |
δώσει σοι μήτηρ οἴκῳ· τὴν ἔξοχα τῖε. 614b

ἐλπίζων δ' ἂν ἐπανέλθῃ εἰς τὴν πατρίδα γελάσειν, ὡς οὐδὲν ἦν
25 πλέον, οἰόμενος ἐξηπατῆσθαι ἔρχεται κατὰ τύχην εἰς Δῆλον· καὶ
θαυμάζων τὰ κατὰ τὴν νῆσον ἦλθε καὶ εἰς τὸ Λητῷον νομίζων
ἰδεῖν ἄγαλμά τι ἀξιόλογον. ἰδὼν δ' αὐτὸ ξύλινον ἄμορφον παραδό-
ξως ἐγέλασε· καὶ τὸν χρησμὸν συμβαλὼν καὶ τῆς ἀρρωστίας
ἀπαλλαγεὶς μεγαλωστὶ τὴν Λητὼ ἐτίμησεν. | εὑρετὰς δὲ γελοίων | 614c
30 Ἀναξανδρίδης (fr. 10.2) | Ῥαδάμανθυν καὶ Παλαμήδην φησί. γελω- 614b | 614c
τοποιοῦ δὲ Ξενοφῶν μέμνηται Φιλίππου λέγων ἐν τῷ Συμποσίῳ

1 ἐκ τοῦ ιδ´ λόγου E : Ἀθηναίου ἐκ τοῦ τεσσαρεσκαιδεκάτου βιβλίου C
12 εἵνεκα E Eust. : ἕνεκα C : οὕνεκα A ‖ **18** κομίζουσι C E : σῴζουσι A C[s] E[s]

(1.11)· Φίλιππος ὁ γελωτοποιὸς κρούσας τὴν θύραν εἶπε τῷ
ὑπακούσαντι εἰσαγγεῖλαι ὅστις εἴη καὶ ὅτι συνεσκευασμένος ἥκει
614d πάντα τἀπιτήδεια ὥστε | δειπνεῖν τὰ ἀλλότρια, καὶ τὸν παῖδα δ᾽
ἔφη πάνυ πιέζεσθαι διά τε τὸ φέρειν μηδὲν καὶ διὰ τὸ ἀνάριστον
εἶναι. Ἱππόλοχος δὲ γελωτοποιῶν μέμνηται Μανδρογένους καὶ 5
Στράτωνος τοῦ Ἀττικοῦ. πλῆθος δ᾽ ἦν Ἀθήνησι τῆς σοφιστείας
ταύτης· ἐν γοῦν τῷ Διομέων Ἡρακλείῳ συνελέγοντο ἑξήκοντα
ὄντες τὸν ἀριθμόν, καὶ ἐν τῇ πόλει δὲ ἐλέγετο ὡς· "οἱ ἑξήκοντα
τοῦτ᾽ εἶπον", καί· "ἀπὸ τῶν ἑξήκοντα ἔρχομαι." ἐν δὲ τούτοις
614e ἦσαν Καλλιμέδων ὁ Κάραβος καὶ | Δεινίας καὶ Μνασιγείτων καὶ 10
Μέναιχμος. τοσαύτη δ᾽ αὐτῶν δόξα τῆς ῥαθυμίας ἐγένετο ὥστε
καὶ Φίλιππον ἀκούσαντα τὸν Μακεδόνα πέμψαι αὐτοῖς τάλαντον,
ἵν᾽ ἐγγραφόμενοι τὰ γελοῖα πέμποιεν αὐτῷ· ἦν γὰρ φιλογελοια-
στὴς Φίλιππος, ὡς μαρτυρεῖ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς
(2.19). φιλόγελως δ᾽ ἦν καὶ Δημήτριος ὁ Πολιορκητής, ὥς φησι 15
614f Φύλαρχος (*FGrH* 81 F 12)· ὃς καὶ τὴν Λυσιμάχου αὐλὴν | κωμικῆς
σκηνῆς οὐδὲν διαφέρειν εἶπεν· ἐξιέναι γὰρ ἀπ᾽ αὐτῆς πάντας δισυλ-
λάβους, τὸν Βῖθυν χλευάζων καὶ τὸν Πάριν, ὄντας παρὰ Λυσι-
μάχῳ μεγίστους, καί τινας τοιούτους· παρ᾽ αὐτοῦ δὲ Πευκέστας
καὶ Μενελάους, ἔτι δὲ Ὀξυθέμιδας. ταῦτα δ᾽ ἀκούων ὁ Λυσίμαχος, 20
"ἐγὼ τοίνυν", ἔφη, "πόρνην ἐκ τραγικῆς σκηνῆς οὐχ ἑώρακα ἐξι-
615a οῦσαν," τὴν αὐλητρίδα Λαμίαν λέγων. | ἀπαγγελθέντος δὲ τούτου
ὑπολαβὼν ὁ Δημήτριος εἶπεν· "ἀλλ᾽ ἡ παρ᾽ ἐμοὶ πόρνη σωφρονέ-
στερον τῆς παρ᾽ ἐκείνῳ Πηνελόπης ζῇ." καὶ Σύλας δὲ ὁ Ῥωμαίων
στρατηγὸς φιλόγελως ἦν. Λεύκιος δὲ Ἀννίκιος Ῥωμαίων στρατη- 25
γήσας, Ἰλλυριοὺς καταπολεμήσας καὶ αἰχμάλωτον ἀγαγὼν
Γένιον τὸν αὐτῶν βασιλέα ἀγῶνας ἐπιτελῶν τοὺς ἐπινικίους ἐν τῇ
Ῥώμῃ παντὸς γέλωτος ἄξια πράγματα ἐποίησεν, ὥς φησι Πολύ-
615b βιος (30.22)· | μεταπεμψάμενος γὰρ τοὺς ἐκ τῆς Ἑλλάδος ἐπιφανε-
στάτους τεχνίτας καὶ σκηνὴν ποιήσας μεγίστην πρώτους εἰσήγα- 30
γεν αὐλητάς, Θεόδωρον τὸν Βοιώτιον, Θεόπεμπτον, Ἕρμιππον·
καὶ τούτους στήσας ἐπὶ τὸ προσκήνιον μετὰ τοῦ χοροῦ αὐλεῖν
ἐκέλευσεν ἅμα πάντας. τῶν δὲ διαπορευομένων τὰς κρούσεις

13 ἐγγραφόμενοι A C E : ἐκγραφόμενοι E^{s} ‖ **16** Δημη^{τρ} καὶ τὴν Λυσιμάχου αὐλὴν C E : Δημη^{τρ} om. A, ut glossam delevi ‖ **24** Σύλας C E : Σύλλας A **25** Ἀννίκιος C E : Ἀνίκιος A ‖ **27** Γένιον A C E, cf. (structura mutata) Eust. Γένιος : Γέντιον E$^{corr.}$ ‖ **31** Θεόπεμπτον C E : Θεόπομπος (structura alia) A

ἁρμοζούσῃ κινήσει προσπέμψας οὐκ ἔφη καλῶς αὐτοὺς αὐλεῖν, ἀλλ' ἀγωνίζεσθαι | μᾶλλον ἐκέλευσε. τῶν δὲ διαπορούντων ἐκέλευσέ τις τῶν ῥαβδούχων ἐπιστρέψαντας ἀπαγαγεῖν ἑαυτοὺς καὶ ποιεῖν ὡσανεὶ μάχην. ταχὺ δὲ συννοήσαντες οἱ αὐληταὶ ταῖς ἑαυτῶν ἀσελγείαις μεγάλην ἐποίησαν σύγχυσιν. συνεπιστρέφοντες τοὺς μέσους χοροὺς πρὸς τοὺς ἄκρους οἱ μὲν αὐληταὶ φυσῶντες ἀδιανόητα καὶ διαφέροντες τοὺς αὐλοὺς ἀπῆγον ἀνὰ μέρος ἐπ' ἀλλήλους, ἅμα δὲ τούτοις ἐπικτυποῦντες οἱ χοροὶ καὶ συνεπεισιόντες τὴν σκηνὴν | ἐπεφέροντο τοῖς ἐναντίοις καὶ πάλιν ἀνεχώρουν ἐκ μεταβολῆς. ὡς δὲ καὶ περιζωσάμενός τις τῶν χορευτῶν στραφεὶς ἦρε τὰς χεῖρας ἀπὸ πυγμῆς πρὸς τὸν ἐπιφερόμενον αὐλητήν, τότ' ἤδη κρότος ἐξαίσιος ἐγένετο καὶ κραυγὴ τῶν θεωμένων. ἔτι δὲ τούτων ἐκ παρατάξεως ἀγωνιζομένων ὀρχησταὶ δύο εἰσήγοντο μετὰ συμφωνίας εἰς τὴν ὀρχήστραν, καὶ πύκται τέσσαρες ἀνέβησαν ἐπὶ τὴν σκηνὴν μετὰ σαλπιγκτῶν καὶ βυκανιστῶν. ὁμοῦ δὲ τούτων πάντων ἀγωνιζομένων ἄλεκτον ἦν τὸ συμβαῖνον. | (615c, 615d; lines 5, 10, 15)

ὅτι τῶν καλουμένων πλάνων ἑτέρων ὄντων παρὰ τοὺς θαυματοποιοὺς πολλοὶ μέμνηνται. Κηφισόδωρον οὖν τινά φασιν (Dionys. Com. fr. 4.3)· | (615e)

20 εἰς τοῦτο τὸ μέρος τοῦ βίου καταχρώμενον. | (615f)

Χρύσιππος (xxviii fr. 7, *SVF* iii.199) δέ φησιν· ὁ πλάνος Πανταλέων τελευτᾶν | μέλλων ἑκάτερον τῶν υἱῶν κατ' ἰδίαν ἐξηπάτησε φήσας μόνῳ αὐτῷ λέξειν ὅποι κατωρύχοι τὸ χρυσίον· ὥστε μάτην ὕστερον κοινῇ σκάπτοντας αἰσθέσθαι ἐξηπατημένους. ὁ αὐτός (xxviii fr. 8, *SVF* iii.199) φησιν ὅτι φιλοσκώπτης τις ὑπὸ Δημητρίου μέλλων ἀναιρεθῆναι εἶπε θέλειν ὥσπερ τὸ κύκνειον ᾄσας ἀποθανεῖν· ἐπιτρέψαντος δ' ἐκείνου ἔσκωψε. | Λυσίμαχος δὲ ὁ βασιλεὺς Τελέσφορον ἕνα τῶν ὑπάρχων αὐτοῦ, ἐπεὶ ἔσκωπτέ ποτε ἐν συμποσίῳ Ἀρσινόην τὴν Λυσιμάχου γυναῖκα ὡς ἐμετικὴν εἰπών· (616a, 616b, 616c; line 25)

30 "κατάρχεις τήνδ' ἐμοῦσαν εἰσάγων," (cf. E. fr. 183.1)

4 συννοήσαντες A : συνοήσαντες C E ‖ **5** συνεπιστρέφοντες C E : συνεπιστρέψαντες A C^s E^s ‖ **14** τὴν A : τ^(ὸν) E : τὸ C ‖ **15** σαλπιγκτῶν καὶ βυκανιστῶν E B Eust. : σαλπιγκτῶν καὶ κυκανιστῶν C : σαλπικτῶν καὶ βυκανητῶν A ‖ **23** ὅποι C E : ὅπου A ‖ **25** Δημητρίου] Δημη^τρ C E : τοῦ δημίου A

ἐμβληθῆναι ἐκέλευσεν εἰς γαλεάγραν καὶ δίκην θηρίου περιφερό-
μενον καὶ τρεφόμενον, κολαζόμενον οὕτως ἐποίησεν ἀποθανεῖν. |
616d Ταχὼς δ᾽ ὁ Αἰγυπτίων βασιλεὺς Ἀγησίλαον σκώψας τὸν Λακεδαι-
μονίων βασιλέα, ὅτ᾽ ἦλθεν αὐτῷ συμμαχήσων (ἦν γὰρ βραχὺς τὸ
σῶμα), καὶ εἰπών· 5

"ὤδινεν ὄρος, Ζεὺς δ᾽ ἐφοβεῖτο, τὸ δ᾽ ἔτεκε μῦν,"

ἤκουσεν ὡς· "φανήσομαί σοί ποτε καὶ λέων." ὕστερον οὖν ἀφιστα-
616e μένων Αἰγυπτίων | οὐδὲν αὐτῷ συμπράξας ἐκπεσόντα τῆς ἀρχῆς
ἐποίησε φυγεῖν εἰς Πέρσας.

ὅτι Μελανιππίδης (*PMG* 758.1–4) διασύρει τὴν αὐλητικὴν 10
λέγων ὅτι·

Ἀθάνα
ὄργανα ἔρριψεν ἱερᾶς ἀπὸ χειρὸς
εἶπέ τε· "ἔρρετε αἴσχεα, σώματι λύμα·
ἐμὲ δ᾽ ἐγὼ κακότατι δίδωμι." | 15

616f ᾧ ἀντικορυσσόμενος οἷον ὁ Σελινούντιος Τελέστης (*PMG* 805a.3–5)
φησὶ ψεῦδος εἶναι τὸ τὴν

Ἀθηνᾶν δυσόφθαλμον αἶσχος ἐκφοβη-
θεῖσαν ἐκ χερῶν βαλεῖν
νυμφαγενεῖ χειροκτύπῳ φηρὶ Μαρσύᾳ κλέος· | 20
617a οὐ γάρ νιν εὐηράτοιο κάλλους ὀξὺς ἔρως ἤγειρεν, 5

ὡς οὐκ ἂν εὐλαβηθείσης τὴν αἰσχρότητα τοῦ εἴδους διὰ τὴν παρθε-
νίαν· ἑξῆς τέ φησιν (Telest. *PMG* 805b)·

ἀλλὰ μάταν ἀναχόρευτος ἅδε ματαιολόγων
φήμα προσέπτατο Ἑλλάδα μουσοπόλου, 25
σοφᾶς ἐπίφθονον βροτοῖς τέχνας ὄνειδος. |

617b–c ὅτι πάτριον ἦν τοὺς αὐλητὰς συναυλεῖν τοῖς χοροῖς καὶ οὐχὶ
617c ἀνάπαλιν. | Πρατίνας οὖν φησιν ὁ Φλιάσιος (*PMG* 708.1–8, 11–13)
ἔν τινι ὑπορχήματι·

τί τάδε τὰ χορεύματα; 30
τίς ὕβρις ἔμολεν ἐπὶ Διονυσιάδα πολυπάταγα θυμέλαν;

18 Ἀθηνᾶν A[s] : Ἀθην(αν) C : Ἀθν E : Ἀθανᾶν A

ἐμὸς ἐμὸς ὁ Βρόμιος, | ἐμὲ δεῖ παταγεῖν 617d
ἀν᾽ ὄρεα σύμενον μετὰ Ναΐδων
οἷά τε κύκνον ἄγοντα ποικιλόπτερον μέλος. 5
ὁ δ᾽ αὐλὸς
5 ὕστερον χορευέτω· καὶ γάρ ἐσθ᾽ ὑπηρέτης.
κώμων μόνων θηρομάχοις τε πυγμαχίαισι | νέων θέα. 8 617e
φλέγε τὸν ὁλοσιαλοκάλαμον, 11
λαλοβαρυπαραμελορυθμοβάταν
τρυπάνῳ δέμας πεπλασμένον. |

10 περὶ δὲ τῆς αὐλῶν πρὸς λύραν κοινωνίας Ἔφιππός (fr. 7.3–5) 617f
φησιν ὡς· |

ὅταν εὖ 618a
συναρμόσῃ τις,
τόθ᾽ ἡ μεγίστη τέρψις ἐξευρίσκεται.

15 συναυλία δέ ἐστιν, ὥς φησι Σῆμος (*FGrH* 396 F 11), ἀγὼν συμφωνίας ἀμοιβαῖος αὐλοῦ καὶ ῥυθμοῦ, χωρὶς λόγου τοῦ προσμελῳδοῦντος. | Λίβυν δὲ τὸν αὐλὸν καλοῦσιν οἱ ποιηταί, | ἐπεὶ Λίβυς τις 618b | 618c νομὰς τὴν αὐλητικὴν πρῶτος εὗρεν. αὐλήσεων δ᾽ ὀνομασίαι αἵδε· κῶμος, βουκολισμός, γίγγρας, τετράκωμος, ἐπίφαλλος, χορεῖος,
20 καλλίνικος, πολεμικόν, ἡδύκωμος, σικιννοτύρβη, θυροκοπικόν (τὸ καὶ κρουσίθυρον), κνισμός, μόθων. ταῦτα δὲ πάντα μετ᾽ ὀρχήσεως ηὐλεῖτο, φησὶ Τρύφων (fr. 109 Velsen), ὃς (fr. 113 Velsen) καὶ ᾠδῆς ὀνομασίας καταλέγει τάσδε· ἱμαῖος ἡ ἐπιμύλιος | καλουμένη, ἣν 618d παρὰ τοὺς ἀλετοὺς ᾖδον, ἴσως ἀπὸ τῆς ἱμαλίδος· ἱμαλὶς δὲ παρὰ
25 Δωριεῦσιν ὁ νόστος καὶ τὰ ἐπίμετρα τῶν ἀλέτων. ἡ δὲ τῶν ἱστουργούντων ᾠδὴ αἴλινος, ὥς φησιν Ἐπίχαρμος (fr. 14), ἡ δὲ τῶν ταλασιουργῶν ἴουλος. Σῆμος δ᾽ ὁ Δήλιός (*FGrH* 396 F 23) φησιν ὅτι τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ᾽ αὑτὰ προσηγορεύοντο ἀμάλαι· συναθροισθέντα δὲ καὶ εἰς μίαν γενόμενα δέσμην ἴουλος, |
30 ὅθεν καὶ ἴουλοι εἰς τὴν Δήμητραν ὕμνοι καὶ Δημητρίουλοι καὶ 618e καλλίουλοι. καί (carm. pop. *PMG* 849)·

6 θηρομάχοις E : θήροαμάχοις, i.e. v.ll. θηρο- et θηρα- in unam confusas C : θυραμάχοις A E[s] ‖ **7** ὁλοσιαλοκάλαμον A C : ὁλοσιαλοκάλαμος (structura mutata) Eust. : ὁλοσιακάλαμον E ‖ **20** σικιννοτύρβη E Eust.(1) : σιλιννοτύρβη C : σικυννοτύρβη A

πλεῖστον οὖλον οὖλον ἵει, ἴουλον ἵει.

ἄλλοι δὲ ἐριουργῶν φασιν ᾠδὴν τὸν ἴουλον. αἱ δὲ τῶν τιτθῶν ᾠδαὶ
619a καταβλυκαλήσεις καλοῦνται. | ἡ δὲ τῶν θεριστῶν ᾠδὴ Λιτυέρσης
καλεῖται. καὶ τῶν μισθωτῶν δέ τις ἦν ᾠδὴ τῶν ἐς τοὺς ἀγροὺς
φοιτώντων· καὶ βαλανείων ἄλλαι· καὶ τῶν πισσουσῶν ἄλλη. ἦν δὲ 5
καὶ τοῖς ἡγουμένοις τῶν βοσκημάτων ὁ βουκολισμός, ὃν εὗρε
619b Δίομος βουκόλος ὁ Σικελιώτης. | ἡ δ᾽ ἐπὶ θανάτοις καὶ λύπαις ᾠδὴ
ὀλοφυρμὸς καλεῖται. ἴουλοι δὲ ᾠδαὶ Δήμητρι καὶ Περσεφόνῃ
πρέπουσιν· οὔπιγγοι δὲ αἱ εἰς Ἄρτεμιν. ᾔδοντο δὲ Ἀθήνησι καὶ οἱ
Χαρώνδου νόμοι παρ᾽ οἶνον, ὥς φησιν Ἕρμιππος (fr. 88 Wehrli). 10
Ἀριστοφάνης δὲ ἐν Ἀττικαῖς Λέξεσί (Ar. Byz. fr. 340 Slater) φησιν·
ἱμαῖος ᾠδὴ μυλωθρός· ἐν δὲ γάμοις ὑμέναιος· ἐν δὲ πένθεσιν
619c ἰάλεμος. λίνος | δὲ καὶ αἴλινος οὐ μόνον ἐν πένθεσιν ἀλλὰ καὶ

ἐπ᾽ εὐτυχεῖ
μολπῇ, 15

κατ᾽ Εὐριπίδην (*HF* 348–9). Κλέαρχος (fr. 32 Wehrli) δέ πού φησιν·
Ἠριφανὴς ἡ μελοποιὸς Μενάλκου κυνηγοῦντος ἐρῶσα ἐθήρευε
μεταθέουσα ταῖς ἐπιθυμίαις· φοιτῶσα γὰρ καὶ πλανωμένη πάντας
τοὺς ὀρείους ἐπεξῄει δρυμούς, ὡς μῦθον εἶναι τοὺς λεγομένους
Ἰνοῦς δρόμους· ὡς μὴ μόνον τῶν ἀνθρώπων τοὺς ἀστοργίᾳ διαφέ- 20
619d ροντας ἀλλὰ καὶ τῶν θηρῶν τοὺς ἀνημερωτάτους | συνδακρῦσαι τῷ
πάθει λαβόντας αἴσθησιν ἐρωτικῆς· ὅθεν ἐποίησέ τε καὶ ποιήσασα
περιῄει κατὰ τὴν ἐρημίαν ἀναβοῶσα καὶ ᾄδουσα τὸ καλούμενον
νόμιον, ἐν ᾧ ἐστι (carm. pop. *PMG* 850)·

μακραὶ δρύες, ὦ Μενάλκα. 25

Ἀριστόξενος (fr. 89 Wehrli) δέ φησιν· ᾖδον αἱ ἀρχαῖαι Καλύκην
τινὰ ᾠδήν. Στησιχόρου (*PMG* 277) δ᾽ ἦν ποίημα ἐν ᾧ Καλύκη τις
ἐρῶσα Εὐάθλου νεανίσκου σωφρόνως εὔχεται τῇ Ἀφροδίτῃ γαμη-
619e | 619d θῆναι αὐτῷ | ἤ, εἰ μὴ τοῦτο, ἀπαλλαγῆναι τοῦ βίου· | ἐπεὶ γοῦν
619e ὑπερεῖδεν ὁ νεανίσκος, κατεκρήμνισεν ἑαυτήν. | καὶ Ἴφικλος δὲ 30
Ἁρπαλύκην ἐρασθεῖσαν ὑπερεῖδεν· ἡ δὲ ἀπέθανε, καὶ γίνεται ἐπ᾽

1 ἵει … ἵει A C E Eust.(2) : ἵη … ἵη vel ἰὴ … ἰὴ C^s E^s ‖ **5** πισσουσῶν C E : πεισσουσῶν E^ac : πτισσουσῶν A ‖ **6** βουκολισμός C E Eust.(3) : βουκολιασμός A ‖ **8** Περσεφόνῃ C E : Φερσεφόνῃ A ‖ **12** μυλωθρός C E : μυλωθρῶν A
17 Ἠριφανὴς C E : Ἠριφανὶς A

αὐτῇ παρθένοις ἀγὼν ᾠδῆς ἡ Ἁρπαλύκη καλεῖται. Νύμφις (*FGrH* 432 F 5b) δέ φησι Μαρυανδηνοὺς | ἀνακαλεῖσθαί τινα τῶν ἀρχαίων 619f
Βόρβον. τοῦτον δέ φασιν υἱὸν γενέσθαι ἀνδρὸς ἐπιφανοῦς | ὡραῖον· 620a
ὃν ἐφεστῶτα ἰδίοις ἔργοις καὶ βουλόμενον τοῖς θερίζουσι δοῦναι
5 πιεῖν βαδίζοντα ἐφ᾽ ὕδωρ ἀφανισθῆναι· ζητεῖν οὖν αὐτὸν τοὺς ἀπὸ τῆς χώρας μετά τινος μεμελῳδημένου θρήνου καὶ ἀνακλήσεως. τοιοῦτος δὲ καὶ ὁ παρ᾽ Αἰγυπτίοις καλούμενος Μάνερως. |

ὅτι Κάσανδρος ὁ Μακεδόνων βασιλεὺς οὕτως ἦν φιλόμηρος, ὥς 620b
φησι Καρύστιος (fr. 8, *FHG* iv.358), ὡς διὰ στόματος ἔχειν τῶν
10 ἐπῶν τὰ πολλά. ἐκαλοῦντο δ᾽ οἱ ῥαψῳδοὶ καὶ Ὁμηρισταί. τοὺς δὲ Ὁμηριστὰς πρῶτος εἰς τὰ θέατρα παρήγαγε Δημήτριος ὁ Φαληρεύς (fr. 33 Wehrli = fr. 55A Fortenbaugh–Schütrumpf). | οὐ 620c
μόνον δὲ τὰ Ὁμήρου μελῳδηθῆναί φησι | Χαμαιλέων (fr. 28 620b
Wehrli = fr. 30 Martano) | ἀλλὰ καὶ τὰ Ἡσιόδου καὶ Ἀρχιλόχου 620c
15 καὶ Μιμνέρμου καὶ Φωκυλίδου. τὰ δ᾽ Ἀρχιλόχου Σιμωνίδης ὁ Ζακύνθιος ἐν τοῖς θεάτροις ἐπὶ δίφρου καθεζόμενος ἐρραψῴδει, τοὺς δ᾽ Ἐμπεδοκλέους (31 A 12 D.–K.) Καθαρμοὺς ἐρραψῴδησεν |
Ὀλυμπίασι Κλεομένης ὁ ῥαψῳδός. ἐν Ἀλεξανδρείᾳ δὲ ἐν τῷ 620d
μεγάλῳ θεάτρῳ ὑπεκρίνατο Ἡγησίας ὁ κωμῳδὸς τὰ Ἡροδότου,
20 Ἰάσων (*FGrH* 632 F 1) φησίν, Ἑρμόφαντος δὲ τὰ Ὁμήρου. ἐκαλοῦντο δέ τινες καὶ ἱλαρῳδοί, οἳ καὶ σημῳδοὶ διὰ τὸ τὸν Μάγνητα Σῆμον ἐν τοῖς τοιούτοις διαπρέψαι. | Ἀριστόξενος (fr. 620e
111 Wehrli) δέ φησι τὸν μὲν ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα ὑποκρινόμενον μαγῳδὸν καλεῖσθαι, τὸν δὲ γυναικεῖα ἀνδρείοις
25 λυσιῳδόν. ἐν δὲ τῷ Ἰωνικῷ λόγῳ | τῷ καὶ κιναιδολόγῳ 620f
καλουμένῳ ἤκμασε Σωτάδης ὁ Μαρωνείτης καὶ ὁ υἱὸς αὐτοῦ Ἀπολλώνιος· ὃς ἀκαίρως παρρησιασάμενος καὶ κακῶς εἰπὼν Λυσίμαχον μὲν τὸν βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν Φιλάδελφον παρὰ Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις
30 τῶν πόλεων, τῆς δεούσης ἔτυχε τιμωρίας· ἐκπλεύσαντα γὰρ | τῆς 621a
Ἀλεξανδρείας καὶ διαπεφευγέναι δοκοῦντα τὸν κίνδυνον (εἰρήκει

2 Μαρυανδηνοὺς C[pc] E : Μαρυανδυνοὺς C[ac] : Μαριανδυνῶν (structura alia) A ‖ **3** Βόρβον C E : † βωρβον † A : Βῶρμον Hsch. β 1394 ‖ **8** Κάσανδρος C E Eust. : Κάσσανδρον (structura alia) A ‖ **21** σημῳδοὶ C E Eust. : σιμῳδοὺς (structura alia) A ‖ **27** ὃς Σωτάδης C E : Σωτάδης ut glossam delevi

γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινά, ἀτὰρ καὶ τόδε ὅτε τὴν ἀδελφὴν Ἀρσινόην γεγαμήκει (Sotades fr. 1, p. 238 Powell)·

"εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖ"),

Πάτροκλος ὁ τοῦ βασιλέως στρατηγὸς ἐν Καύνῳ τῇ νήσῳ λαβὼν
621b αὐτὸν | καὶ εἰς μολιβῆν κεραμίδα ἐμβαλὼν καὶ ἀπαγαγὼν εἰς τὸ 5
πέλαγος κατεπόντωσε. τοιαύτη δ' ἦν αὐτοῦ ἡ ποίησις (Sotades fr. 2, p. 238 Powell)·

ὁ δ' ἀποστεγάσας τὸ τρῆμα τῆς ὄπισθε λαύρας
διὰ δενδροφόρου φάραγγος ἐξέωσε βροντὴν
ἠλέματον, ὁκοίην ἀροτὴρ γέρων χαλᾷ βοῦς. 10

ἔγραψε δὲ ταῦτα εἰς Φιλῖνον τὸν τοῦ αὐλητοῦ Θεοδώρου πατέρα.
621c σεμνότερος δὲ τῶν τοιούτων ποιητῶν ὁ ἱλαρῳδός· | οὐδὲ γὰρ σχινίζεται, χρῆται δ' ἐσθῆτι λευκῇ ἀνδρείᾳ καὶ στεφανοῦται χρυσοῦν στέφανον, καὶ πάλαι μὲν ὑποδήμασιν ἐχρῆτο, νῦν δὲ κρηπῖσι, ψάλλει δ' αὐτῷ ἢ ἄρρην ἢ θήλεια, ὡς καὶ τῷ αὐλῳδῷ. ὁ δὲ μαγῳ- 15
δὸς τύμπανα ἔχει καὶ κύμβαλα, καὶ πάντα τὰ περὶ αὐτὸν ἐνδύματα γυναικεῖα· σχινίζεταί τε καὶ πάντα ποιεῖ τὰ ἔξω κόσμου ὑποκρινόμενός ποτε μὲν γυναῖκας καὶ μοιχοὺς καὶ μαστροπούς, ποτὲ δὲ ἄνδρα μεθύοντα καὶ ἐπὶ κῶμον παραγενόμενον εἰς τὴν
621d ἐρωμένην. | ἐστὶ δὲ ἡ μὲν ἱλαρῳδία περὶ τὴν τραγῳδίαν σεμνὴ 20
621c οὖσα, ἡ δὲ μαγῳδία περὶ τὴν κωμῳδίαν, | φησὶν Ἀριστόξενος (fr.
621d 110 Wehrli). | ὠνόμασται δὲ ἀπὸ τοῦ οἱονεὶ μαγικά τινα προφέρεσθαι καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις. παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τρόπος παλαιὸς λιτὸς καὶ οὗτος αὐτοῖς ὡς τἄλλα· ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ τῇ λέξει κλέπτοντάς τινας 25
621e ὀπώραν ἢ ξενικὸν ἰατρὸν τοιαυτὶ λέγοντα, ὡς | Ἄλεξις (fr. 146.1–7)·

ἐὰν ἐπιχώριος
ἰατρὸς εἴπῃ· "τρύβλιον τούτῳ δότε
πτισάνης," καταφρονοῦμεν εὐθέως, 30
ἐὰν δέ· "πτισάνας", θαυμάζομεν.
καὶ εἰ μέν· "σευτλίον", παρείδομεν, 5

2 γεγαμήκει C E : ἐγεγαμήκει A ‖ **5** μολιβῆν C E : μολυβῆν A ‖ **20** περὶ, i.e. πε C E : παρὰ, i.e. πε A ‖ **21** περὶ, i.e. πε E : πε C : παρὰ, i.e. πε A

εἰ δέ· "τευτλίον", ἀσμένως ἠκούσαμεν,
ὡς οὐ τὸ σεῦτλον ταὐτὸν ὂν τῷ τευτλίῳ.

ἐκαλοῦντο δὲ οἱ ταύτην τὴν τέχνην μετιόντες παρὰ Λάκωσι δεικηλισταί, ὡς ἄν τις σκευοποιοὺς εἴπῃ καὶ μιμητάς. | Σικυώνιοι δὲ 621f
5 φαλλοφόρους αὐτοὺς καλοῦσιν, ἄλλοι αὐτοκαβδάλους, Ἰταλοὶ δὲ φλύακας, Θηβαῖοι δὲ ἐθελοντάς· οἳ τὰ πολλὰ ἰδίως ὀνομάζοντες καινουργοῦσι κατὰ τὰς φωνάς. Στράττις (fr. 49.1–7) οὖν φησι·

συνίετ᾽ οὐδέν, πᾶσα Θηβαίων πόλις· |
οἳ πρῶτα μὲν τὴν σηπίαν 622a
10 ὀπιτθοτίλαν ὀνομάζετε,
τὸν ἀλεκτρυόνα δὲ ὀρτάλιχον, τὸν ἰατρὸν δὲ
σάκταν, βλέφυραν δὲ τὴν γέφυραν, τῦκα δὲ 5
τὰ σῦκα, κωτιλίδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ᾽ ἄκολον.

15 Σῆμος (*FGrH* 396 F 24) δέ φησι τοὺς αὐτοκαβδάλους | ἐστεφανωμένους κιττῷ περαίνειν ῥήσεις· ὕστερον δὲ ἰάμβους ὀνομασθῆναι αὐτοὺς καὶ τὰ ποιήματα αὐτῶν. οἱ δὲ ἰθύφαλλοι προσωπεῖον μεθυόντων ἔχουσι καὶ ἐστεφάνωνται χειρῖδας ἀνθινὰς ἔχοντες, χιτῶσί τε χρῶνται μεσολεύκοις περιέζωνταί τε Ταραντῖνον
20 καλύπτον αὐτοὺς μέχρι σφυρῶν. σιγῇ δὲ διὰ τοῦ πυλῶνος εἰσελθόντες, ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέφουσιν εἰς τὸ θέατρον λέγοντες (carm. pop. *PMG* 851a.1–4)· | 622b

ἀνάγετ᾽, εὐρυχωρίαν 622c
ποιεῖτε·
25 ἐθέλει γὰρ ὁ θεὸς ἐσφυρωμένος
διὰ μέσου βαδίζειν.

οἱ δὲ φαλλοφόροι προσωπεῖον μὲν οὐ λαμβάνουσι, προπόλιον δ᾽ ἐξ ἑρπύλου περιτίθενται καὶ παιδέρωτας ἐπάνω τούτου ἐπιτίθενται στέφανόν τε δασὺν ἴων καὶ κιττοῦ. καὶ πρῶτα μὲν ᾄδουσί τι ἐν
30 ῥυθμῷ, | εἶτα προτρέχοντες τωθάζουσι στάδην οὓς ἂν προέλοιντο. | 622d
φησί που Εὔβουλος (fr. 14.1–8, 10–12)· 622e

τί, ὦ πόνηρ᾽, ἕστηκας ἐν πύλαις ἔτι,

10 ὀπιτθοτίλαν C E : ὀπισθοτίλαν C[s] E[s] Eust. : † ὀπιτθοτιλαν † A ‖ **28** ἑρπύλου C E : ἑρπύλλου A

ἀλλ᾽ οὐ βαδίζεις; τοῖσδε γενναίως πάλιν
διεσπάρακται θερμὰ χηνίσκων μέλη,
διερράχισται σεμνὰ δελφάκων κρέα,
κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλῳ,
κατησίμωται πάντα τἀκροκώλια, | 5 5
622f ἐνωγάλισται σεμνὸς ἀλλᾶντος τόμος,
παρεντέτρωκται τευθὶς ἐξωπτημένη,
ὥστ᾽ ἐπεὶ βούλει τῶν λελειμμένων φαγεῖν, 8
ἔπειγ᾽ ἔπειγε, μή ποθ᾽ ὡς λύκος χανὼν 10
καὶ τῶνδ᾽ ἁμάρτης. 10

Ἀντιφάνης (fr. 216.1–26) δέ φησιν·

(A.) ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία |
623a τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης
χλιαίνεται, ἐξαίρεται, παφλάζεται, 15
προσκάεθ᾽· ὥστε μηδ᾽ ἂν εἰ χαλκεῦς ἔχων 5
μυκτῆρας εἰσέλθῃ τις, ἐξέλθοι πάλιν
εἰκῇ· τοσαύτην ἐξακοντίζει πνοήν.
πλησίον δὲ
ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ᾽ ὅλην 20
κεστρεύς, λεπισθείς, πασθείς, στραφείς, 10
χρωσθείς, ὁμοῦ τι πρὸς τέλος δρόμου περῶν, |
623b σίζει κεκραγώς, παῖς δ᾽ ἐφέστηκε ῥαίνων
ὄξει, Λίβυς τε καυλὸς ἐξηραμμένος
ἀκτῖσι θείαις σιλφίου παραστατεῖ. 25
(B.) εἶτ᾽ οὐκ ἐπῳδούς φησιν ἰσχύειν τινάς· 15
ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασωμένους
σοῦ ταῦτα συστρέφοντος. (A.) ἥ τε σύννομος
τῆς κουφονώτου σῶμ᾽ ἔχουσα σηπίας
ξιφηφόροισι χερσὶν ἐξωπλισμένη 30
τευθὶς μεταλλάξασα λευκαυγῆ φύσιν 20
σαρκὸς πυρωτοῖς ἀνθράκων ῥαπίσμασι |
623c ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται
δείπνου προφήτην λιμὸν ἐκκαλουμένη.
ὥστ᾽ εἴσιθι. 35

26 ἐπῳδούς A C E : ἐπῳδάς C[s] E[s]

μὴ μέλλε, χώρει· δεῖ γὰρ ἠριστηκότας 25
πάσχειν ἐάν τι καὶ παθεῖν ἡμᾶς δέῃ. |

ὅτι Ἀμοιβεὺς ὁ Ἀθηναῖος κιθαρῳδὸς πλησίον τοῦ θεάτρου οἰκῶν, εἰ ἐξέλθοι ᾀσόμενος, τάλαντον Ἀττικὸν ἐλάμβανεν. | 623d

5 ἡ μουσικὴ πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον, 623e

φησὶν Εὔπολις (fr. 366), ἀεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυναμένοις. |

ἡ μουσική, | 623f

φησὶν Ἀναξίλας (fr. 27.1–3), | 623e

10 ὥσπερ Λιβύη, 623f
ἀεί τι καινὸν κατ' ἐνιαυτὸν τίκτει
θηρίον.

κατὰ δὲ τὸν Θεοφίλου Κιθαρῳδόν (fr. 5)·

μέγας
15 θησαυρός ἐστι καὶ βέβαιος ἡ μουσικὴ
πᾶσι τοῖς μαθοῦσι παιδευθεῖσί τε·

καὶ γὰρ τὰ ἤθη παιδεύει καὶ τοὺς θυμοειδεῖς καὶ τὰς γνώμας διαφόρους καταπραΰνει· Κλεινίας γοῦν ὁ Πυθαγόρειος | καὶ τῇ γνώμῃ καὶ τοῖς ἤθεσι διαφορῶν, | ὥς φησι Χαμαιλέων (fr. 4 Wehrli = fr. 5 Martano), | ὅτε ἐχαλέπαινεν, ἀναλαμβάνων τὴν λύραν ἐκιθάριζε, πρὸς δὲ τοὺς ἐπιζητοῦντας τὴν αἰτίαν ἔλεγε· "πραΰνομαι." καὶ ὁ Ὁμηρικὸς δὲ Ἀχιλλεὺς μόνος τῶν ἐν Τροίᾳ Ἑλλήνων τῇ Ἠετίωνος κιθάρᾳ κατεπραΰνετο (cf. *Il.* 9.186–9). Θεόφραστος δὲ ἱστορεῖ ἐν τῷ Περὶ Ἐνθουσιασμοῦ (fr. 726B Fortenbaugh) ἰσχιακοὺς | ἀνόσους διατελεῖν εἰ καταυλήσει τις τοῦ τόπου τῇ Φρυγιστὶ ἁρμονίᾳ· ἣν Φρύγες πρῶτοι, καὶ παρὰ Φρυξὶ δὲ Ὕαγνις, εὗρον καὶ μετεχειρίσαντο· διὸ καὶ τοὺς παρ' Ἕλλησιν αὐλητὰς Φρυγίους καὶ δουλοπρεπεῖς κλήσεις ἔχειν, οἷος ὁ παρὰ Ἀλκμᾶνι (*PMG* 109) 624a 623f 20 624a 25 624b

30 Σάμβας καὶ Ἄδων καὶ Τῆλος,

καὶ παρ' Ἱππώνακτι (fr. 153 Degani) Κίων ⟨καὶ⟩ Κώδαλος καὶ Βάβυς, ἐφ' ᾧ καὶ ἡ παροιμία (Zenob. 4.81) ἐπὶ τῶν ἀεὶ πρὸς τὸ χεῖρον αὐλούντων·

> καὶ κίων ἢ Βάβυς αὐλεῖ. |

624c Ἡρακλείδης (fr. 163 Wehrli = fr. 114 Schütrumpf) δ' οὐδ' ἁρμονίαν φησὶ δεῖν καλεῖσθαι τὴν Φρύγιον, ὡς οὐδὲ τὴν Λύδιον· ἁρμονίας γὰρ εἶναι τρεῖς, τρία γὰρ καὶ γενέσθαι Ἑλλήνων γένη, Δωριεῖς, Αἰολεῖς, Ἴωνας. οὐ μικρᾶς οὖν οὔσης διαφορᾶς ἐν τοῖς τούτων ἤθεσι Λακεδαιμόνιοι μὲν μάλιστα τῶν ἄλλων Δωριέων τὰ πάτρια διαφυλάττουσι, Θεσσαλοὶ δὲ (οὗτοι γὰρ τὴν ἀρχὴν τοῦ γένους Αἰολεῦσι μετέδωκαν) παραπλήσιον ἀεὶ ποιοῦνται τοῦ βίου τὴν 624d ἀγωγήν, Ἰώνων δὲ τὸ πολὺ | πλῆθος ἠλλοίωται διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἀεὶ δυναστεύουσι τῶν βαρβάρων. τὴν οὖν ἀγωγὴν τῆς μελῳδίας ἣν οἱ Δωριεῖς ἐποιοῦντο Δώριον ἐκάλουν ἁρμονίαν, Αἰολίδα δὲ ἣν Αἰολεῖς ᾖδον, Ἰαστὶ δὲ τὴν τρίτην ἣν ἤκουον ᾀδόντων Ἰώνων. ἡ μὲν οὖν Δώριος τὸ ἀνδρῶδες ἐμφαίνει καὶ μεγαλοπρεπὲς καὶ οὐ διακεχυμένον οὐδ' ἱλαρὸν ἀλλὰ σκυθρωπὸν καὶ σφοδρόν, οὔτε δὲ ποικίλον οὔτε πολύτροπον. τὸ δὲ τῶν 624e Αἰολέων ἦθος ἔχει τὸ γαῦρον καὶ | ὀγκῶδες, ἔτι δὲ ὑπόχαυνον· ὁμολογεῖ δὲ ταῦτα ταῖς ἱπποτροφίαις αὐτῶν καὶ ξενοδοχίαις· οὐ πανοῦργον δὲ ἀλλ' ἐξηρημένον καὶ τεθαρρηκός, διὸ καὶ οἰκεῖον αὐτοῖς ἡ φιλοποσία καὶ τὰ ἐρωτικὰ καὶ πᾶσα ἡ περὶ δίαιταν ἄνεσις· διὸ περιέχουσι τὸ τῆς ὑποδωρίου καλουμένης ἁρμονίας ἦθος· αὕτη γάρ ἐστιν ἡ Αἰολίς, ὡς Ἡρακλείδης καὶ Λᾶσός (*PMG* 624f 702.3) φησι. | καὶ Πρατίνας (*PMG* 712a) δέ φησι·

> μήτε σύντονον δίωκε
> μήτε τὰν ἀνειμέναν Ἰαστὶ
> οὖσαν, ἀλλὰ τὰν μέσαν
> νεῶν ἄρουραν Αἰόλιζε τῷ μέλει. |

625a πρότερον μὲν οὖν Αἰολίδα ταύτην ἐκάλουν, ὕστερον δὲ ὑποδώριον· ὁρῶντες γὰρ τὸν ὄγκον καὶ τὸ προσποίημα τῆς καλοκἀγαθίας ἐν τοῖς τῆς ἁρμονίας ἤθεσι Δώριον μὲν αὐτὴν οὐ νομίζουσι, προσεμφερῆ δέ πως ἐκείνῃ· διὸ ὑποδώριον ἐκάλεσαν, ὡς ὑπόλευκον καὶ 625b ὑπόγλυκυ τὸ λευκῷ καὶ γλυκεῖ προσεμφερές. | Ἴωνες δὲ τὸ Μιλη-

1 ⟨καὶ⟩ ex A addidi ‖ **4** καὶ κίων A E : καὶ κάκιον C : καίκιον γρ.E[mg]

σίων ἦθος διαφαίνουσιν ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις βρενθυόμε-
νοι καὶ θυμοῦ πλήρεις, δυσκατάλλακτοι, φιλόνεικοι, οὐδὲν φιλάν-
θρωπον οὐδ᾽ ἱλαρὸν ἐνδιδόντες, ἀστοργίαν καὶ σκληρότητα ἐν τοῖς
ἤθεσιν ἐμφανίζοντες· διὸ οὐδὲ τὸ τῆς Ἰαστὶ γένος ἁρμονίας οὔτ᾽
5 ἀνθηρὸν οὔτε ἱλαρόν ἐστιν ἀλλ᾽ αὐστηρὸν καὶ σκληρὸν καὶ ὄγκον
ἔχον οὐκ ἀγεννῆ· διὸ τῇ τραγῳδίᾳ προσφιλὴς ἡ ἁρμονία. τὰ δὲ
τῶν νῦν Ἰώνων ἤθη τρυφερώτερα καὶ πολὺ παραλλάττον τὸ | τῆς 625c
ἁρμονίας ἦθος. φασὶ δὲ Πύθερμον τὸν Τήιον ἐν τῷ γένει τῆς
ἁρμονίας τούτῳ ἁρμόττοντα τοῖς ἤθεσι τῶν Ἰώνων ποιῆσαι σκαιὰ
10 μέλη, καὶ διὰ τὸ εἶναι τὸν ποιητὴν Ἰωνικὸν Ἰαστὶ κληθῆναι τὴν
ἁρμονίαν· | διόπερ οὐχ ἁρμονία ἡ Ἰαστί, τρόπος δέ τις θαυμαστὸς 625d
σχήματος ἁρμονίας. καταφρονητέον οὖν τῶν τὰς κατ᾽ εἶδος διαφο-
ρὰς οὐ θεωρούντων, ἐπακολουθούντων δὲ τῇ τῶν φθόγγων ὀξύτητι
καὶ βαρύτητι καὶ τιθεμένων ὑπερμιξολύδιον ἁρμονίαν καὶ ὑπὲρ
15 ταύτης ἄλλην· οὐχ ὁρῶ γὰρ οὐδὲ τὴν ὑπερφρύγιον ἔχουσαν ἦθος·
ἣν οἴονταί τινες ἐξευρηκέναι. | δεῖ δὲ τὴν ἁρμονίαν εἶδος ἔχειν 625e
ἤθους ἢ πάθους, καθάπερ ἡ Λοκριστί· ταύτῃ γὰρ ἔνιοι τῶν
γενομένων κατὰ Σιμωνίδην καὶ Πίνδαρον ἐχρήσαντό ποτε, καὶ
πάλιν κατεφρονήθη. τρεῖς οὖν αὗται ἁρμονίαι, ὡς εἴπομεν
20 (14.624c) ἐξ ἀρχῆς, ὅσα καὶ τὰ ἔθνη. τὴν δὲ Φρυγιστὶ καὶ Λυδιστὶ
παρὰ τῶν βαρβάρων οὖσαν ἔγνων Ἕλληνες ἀπὸ τῶν σὺν Πέλοπι
κατελθόντων εἰς Πελοπόννησον Φρυγῶν καὶ Λυδῶν, Λυδῶν μὲν
συνακολουθησάντων | διὰ τὸ τὸ Σίπυλον εἶναι Λυδίας, Φρυγῶν δὲ 625f
οὐχ ὅτι ὁμοτέρμονες Λυδοῖς, ἀλλ᾽ ὅτι καὶ αὐτῶν ἦρχεν ὁ Τάντα-
25 λος. ἔστι δὲ καὶ ἐν Λακεδαίμονι μάλιστα χώματα μεγάλα ἃ
καλοῦσι τάφους τῶν μετὰ Πέλοπος Φρυγῶν. | οὐ παραληπτέον δὲ 626a
ἐπὶ ἀπάτῃ καὶ γοητείᾳ τὴν μουσικὴν παρεισῆχθαι τοῖς ἀνθρώ-
ποις, οὐδὲ | Κρῆτας καὶ Λακεδαιμονίους αὐλὸν καὶ ῥυθμὸν ἀντὶ 626b
σάλπιγγος εἰκῇ νομιστέον εἰσαγαγεῖν, οὐδὲ τοὺς πρώτους Ἀρκά-
30 δας εἰς τὴν ὅλην πολιτείαν τὴν μουσικὴν παραλαβεῖν, παρ᾽ οἷς
μόνοις τἄλλα αὐστηροτάτοις οὖσι τῷ βίῳ οἱ παῖδες ἐκ νηπίων
ᾄδειν ἐθίζονται κατὰ νόμον τοὺς πατρίους ὕμνους καὶ παιᾶνας.
μετὰ δὲ ταῦτα τοὺς Τιμοθέου καὶ Φιλοξένου νόμους μανθάνοντες
χορεύουσι κατ᾽ ἐνιαυτὸν τοῖς Διονυσιακοῖς αὐληταῖς | ἐν τοῖς 626c
35 θεάτροις, οἱ παῖδες τοὺς παιδικοὺς ἀγῶνας, οἱ δ᾽ ὡσεὶ τριάκοντα

2 φιλόνεικοι A E : φιλόνικοι C ‖ **15** ταύτης A C[s] E[s] : ταύτην C E ‖ **17** ἤθους A : εἴδους E : εἶδος C ‖ **23** Φρυγῶν C E : Φρύγες A

ἐτῶν νεανίσκοι τοὺς τῶν ἀνδρῶν. καὶ τῶν μὲν ἄλλων αὐτοῖς μαθη-
μάτων ἀρνηθῆναί τι μὴ εἰδέναι οὐδὲν αἰσχρόν, τὸ δὲ ᾄδειν ἀποτρί-
βεσθαι αἰσχρὸν παρ᾽ αὐτοῖς νομίζεται. καὶ μὴν ἐμβατήρια μετ᾽
αὐλοῦ καὶ τάξεως ἀσκοῦντες μετὰ κοινῆς ἐπιστροφῆς καὶ δαπάνης
626d κατ᾽ | ἐνιαυτὸν ἐν τοῖς θεάτροις ἐπιδείκνυνται. τοῦτ᾽ οὖν αὐτοὺς 5
εἴθισαν οἱ παλαιοὶ οὐ τρυφῆς καὶ περιουσίας χάριν ἀλλὰ θεωροῦν-
τες τὴν ἑκάστου κατὰ τὸν βίον σκληρότητα καὶ τὴν τῶν ἠθῶν
αὐστηρίαν, ἥτις αὐτοῖς παρέπεται διὰ τὴν τοῦ περιέχοντος ψυχρό-
τητα καὶ στυγνότητα τὴν κατὰ πλεῖστον ἐν τοῖς τόποις οὖσαν, οἷς
καὶ συνεξομοιούμεθα ἄνθρωποι· διὸ καὶ κατὰ τὰς ἐθνικὰς διαστά- 10
σεις πλεῖστον ἀλλήλων διαφέρομεν ἤθει καὶ μορφαῖς καὶ χρώμασι.
626e πρὸς δὲ τούτοις συνόδους κοινὰς ἀνδράσι καὶ | γυναιξὶ κατείθισαν
καὶ χοροὺς κοινούς, τὸ τῆς φύσεως ἀτέραμνον διὰ τῶν ἐθισμῶν
ἐξημεροῦντες καὶ πραΰνοντες· ὧν Κυναιθεῖς ὀλιγωρήσαντες εἰς
τέλος, καίτοι σκληρότατον πολὺ τῆς Ἀρκαδίας ὁμοῦ τῷ τόπῳ καὶ 15
τὸν ἀέρα ἔχοντες, οὕτως ἀπεθηριώθησαν ὡς μέγιστα ἀσεβήματα
παρὰ μόνοις αὐτοῖς γίνεσθαι. καθ᾽ οὓς δὲ καιροὺς τὴν μεγάλην
626f σφαγὴν | ἐποιήσαντο, εἰς ἅς τε πόλεις Ἀρκαδικὰς κατὰ τὴν δίοδον
εἰσῆλθον, οἱ μὲν ἄλλοι πάντες αὐτοὺς ἐξεκήρυξαν, Μαντινεῖς δὲ
μετὰ τὴν ἀπαλλαγὴν αὐτῶν καθαρμὸν τῆς πόλεως ἐποιήσαντο 20
σφάγια περιαγαγόντες κύκλῳ τῆς χώρας ἁπάσης.

ὅτι στύραξ ἐν ταῖς ὀρχήστραις ἐθυμιᾶτο τοῖς Διονυσίοις.

627a ὅτι τὸ ἀρχαῖον ἡ μουσικὴ προτροπὴ ἦν ἐπ᾽ ἀνδρίαν. | Ἀλκαῖος
οὖν ὁ ποιητής, μουσικώτατος γενόμενος, πρότερα τῶν κατὰ
ποιητικὴν τὰ κατὰ τὴν ἀνδρίαν τίθεται μᾶλλον τοῦ δέοντος 25
πολεμικὸς γενόμενος· διὸ σεμνυνόμενός φησι (Alc. fr. 140.2–3)·

μαρμαίρει δὲ μέγας δόμος
χαλκῷ,

627b καὶ ἄλλα τοιαῦτα. | καίτοι ἥρμοττεν ἴσως τὴν οἰκίαν πλήρη εἶναι
μουσικῶν ὀργάνων. ἀλλ᾽ οἱ παλαιοὶ τὴν ἀνδρίαν ὑπελάμβανον | 30
627c εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν, καὶ ταύτῃ τὰ πολιτικὰ
προσνέμειν. Ἀρχίλοχος οὖν ἀγαθὸς ὢν ποιητὴς πρῶτον ἐκαυχή-

6 οὐ τρυφῆς καὶ A : καὶ τρυφῆς οὐ C E ‖ **18** τε C E : ποτε A et Plb.
23 ἀνδρίαν C E : ἀνδρείαν A ‖ **25** τὴν ἀνδρίαν] τὴν ἀνδρείαν A : τὴν ἀν[δρ] E :
τὸν ἄνδρα C ‖ **30** ἀνδρίαν C E : ἀνδρείαν A

σατο δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων, εἶτα ἐπὶ ποιητικῇ εἰπών (fr. 1 West²)·

εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος
καὶ Μουσάων ἐρατὸν δῶρον ἐπιστάμενος.

5 καὶ Αἰσχύλος (test. 162) δὲ τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικὴν οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγραφῆναι | ἠξίωσε μᾶλλον τὴν ἀνδρίαν· διὸ καὶ οἱ ἀνδρειότατοι Λακεδαιμόνιοι μετ' αὐλῶν στρατεύονται, Κρῆτες μετὰ λύρας, μετὰ δὲ συρίγγων καὶ αὐλῶν Λυδοί, ὥς φησιν Ἡρόδοτος (1.17.1). | Γέται δὲ κιθάρας ἔχοντες τὰς 10 ἐπικηρυκείας ποιοῦνται | καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς, φησὶ Θεόπομπος (*FGrH* 115 F 216). | ἐστὶ δὲ ἡ φόρμιγξ καὶ δαιτὶ ἑταίρη καθ' Ὅμηρον (cf. *Od.* 8.99; 17.270–1)· ἰατρεύει γὰρ τὴν ὕβριν καὶ τὴν ἀκοσμίαν ἡ μουσικὴ καὶ αὐθάδειαν παύει· περιαιρουμένη | γὰρ τὴν στυγνότητα ποιεῖ πρᾳότητα καὶ χαρὰν 15 ἐλευθέριον. ἀποδέδοται οὖν ταῖς συνουσίαις ἐπανορθώσεως χάριν καὶ ὠφελείας. | φησὶ δὲ Φιλόχορος (*FGrH* 328 F 172) ὅτι οἱ παλαιοὶ ἔσπενδον Διόνυσον μὲν ἐν οἴνῳ | καὶ μέθῃ | διθυραμβοῦντες, | Ἀπόλλωνα δὲ μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες.

627d 627e 627d 627e 627f 628a 628b | 628a 628b

οἴνῳ συγκεραυνωθεὶς φρένας,

20 φησὶν Ἀρχίλοχος (fr. 120.2 West²). Λακεδαιμόνιοι εἰ μὲν ἐμάνθανον τὴν μουσικὴν οὐδὲν λέγουσιν· ὅτι δὲ κρίνειν δύνανται καλῶς τὴν τέχνην ὁμολογεῖται παρ' αὐτῶν, καί φασι τρὶς ἤδη σεσωκέναι διαφθειρομένην αὐτήν.

ὅτι καὶ πρὸς γυμνασίαν καὶ ὀξύτητα | διανοίας συμβάλλεται ἡ 25 μουσική. οὐ κακῶς δέ φασιν οἱ περὶ Δάμωνα τὸν Ἀθηναῖον (37 B 6 D.–K.) ὅτι τὰς ᾠδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη γίνεσθαι κινουμένης πως τῆς ψυχῆς· καὶ αἱ μὲν ἐλευθέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας, αἱ δ' ἐναντίαι τὰς ἐναντίας. Κλεοσθένης οὖν ὁ Σικυώνιος τύραννος ἰδὼν φορτικῶς ὀρχησάμενον ἕνα τῶν τῆς θυγατρὸς | μνηστήρων 30 (Ἱπποκλείδης δ' ἦν ὁ Ἀθηναῖος) ἀπωρχῆσθαι τὸν γάμον αὐτὸν ἔφη νομίζων, ὡς ἔοικε, καὶ τὴν ψυχὴν τἀνδρὸς εἶναι τοιαύτην· καὶ γὰρ ἐν ὀρχήσει καὶ πορείᾳ καλὸν μὲν εὐσχημοσύνη καὶ κόσμος, αἰσχρὸν δὲ ἀταξία καὶ τὸ φορτικόν· διὸ ἐξ ἀρχῆς συνέταττον οἱ ποιηταὶ τοῖς ἐλευθέροις τὰς ὀρχήσεις καὶ ἐχρῶντο τοῖς σχήμασι

628c 628d

7 ἀνδρίαν C E : ἀνδρεῖαν A

σημείοις μόνον τῶν ᾀδομένων τηροῦντες ἀεὶ τὸ εὐγενὲς καὶ ἀνδρῶδες ἐπ᾽ αὐτῶν· ὅθεν καὶ ὑπορχήματα τὰ τοιαῦτα προσηγό-
628e ρευον. | Ἀριστοφάνης (Pl. Com. fr. 138.1–2) οὖν φησι·

> νῦν δὲ δρῶσιν οὐδὲν οἱ ὀρχούμενοι,
> ἀλλ᾽ ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται· 5

ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον καὶ μεγαλοπρεπὲς καὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμούμενον.
628f Σωκράτης (fr. 3 West[2]) | οὖν φησιν·

> οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
> ἐν πολέμῳ· 10

σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία καὶ ἐπίδειξις τῆς τε
629a λοιπῆς εὐταξίας καὶ τῆς τῶν σωμάτων ἐπιμελείας. | Ἀμφίων (*FGrH* 387 F 1) δὲ παίδων φησὶν ὀρχήσεις ἐν τῷ Ἑλικῶνος Μουσείῳ ἄγεσθαι κατὰ σπουδήν, καὶ ἐπίγραμμα παρατίθεται λέγον (anon. *FGE* 1844–5)· 15

> ἀμφότερ᾽, ὠρχεύμην τε καὶ ἐν Μώσαις ἐδίδασκον
> ἄνδρας.

629b Καφησίας ὁ αὐλητὴς ἐπιβαλλομένου | τινὸς τῶν μαθητῶν αὐλεῖν μέγα καὶ τοῦτο μελετῶντος ἐπάταξεν εἰπὼν οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἶναι, ἀλλ᾽ ἐν τῷ εὖ τὸ μέγα. οὐ μάτην δὲ οὐδὲ τὰ κατὰ 20 τὴν χειρονομίαν συνέστη ἐπιμελεστέρως· ἐζήτουν γὰρ κἀν ταύτῃ κινήσεις καλὰς καὶ ἐλευθερίους ἐν τῷ εὖ τὸ μέγα παραλαμβάνοντες, καὶ τὰ σχήματα μετέφερον ἐντεῦθεν εἰς τοὺς χορούς, ἐκ δὲ τῶν
629c χορῶν εἰς τὰς παλαίστρας· καὶ γὰρ ἐν τῇ μουσικῇ καὶ τῇ | τῶν σωμάτων ἐπιμελείᾳ περιεποιοῦντο τὴν ἀνδρίαν, καὶ πρὸς τὰς ἐν 25 τοῖς ὅπλοις κινήσεις ἐγυμνάζοντο μετὰ ᾠδῆς· ὅθεν ἐκινήθησαν αἱ καλούμεναι πυρρίχαι καὶ πᾶς ὁ τοιοῦτος τρόπος τῆς ὀρχήσεως. τὴν δ᾽ ἀπόκινον καλουμένην ὄρχησιν ὕστερον μακτρισμὸν ὠνόμα-
629d σαν. | τὰ δὲ στασιμώτερα καὶ ποικιλώτερα καὶ τὴν ὄρχησιν ἁπλουστέραν ἔχοντα καλεῖται δάκτυλοι, ἰαμβική, Μολοσσική, ἐμμέ- 30 λεια, κόρδαξ, σίκιννις, Περσική, Φρύγιος, νικτισμός, Θρᾴκιος,

13–14 Μουσείῳ E : Μουσίῳ C : † μουσθιου † (structura alia) A ‖ **25** ἀνδρίαν C : ἀν^δρ E : ἀνδρείαν A ‖ **31** νικτισμός C* E : νιβατισμός A et Hsch. ν 588

καλαβρισμός, Τελεσιὰς | ἀπὸ Τελεσίου πρώτου μετὰ ὅπλων 630a
ταύτην ὀρχησαμένου· | ἐστὶ δὲ Μακεδονικὴ ὄρχησις, ᾗ χρησάμενοι 629d
οἱ περὶ Πτολεμαῖον ἀνεῖλον Ἀλέξανδρον τὸν Φιλίππου ἀδελφόν.
εἴσι δὲ καὶ μανιώδεις ὀρχήσεις, κερνοφόρος, | μιγγάς, θερμαυ- 629e
5 στρίς. ἦν δὲ καὶ παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα λέγουσα
(carm. pop. *PMG* 852.1–4)·

ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα,
ποῦ μοι τὰ καλὰ σέλινα;
ποῦ μοι ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα,
10 ταδὶ τὰ σέλινα;

ἦν δέ τις καὶ Ἰωνικὴ παροίνιος ὄρχησις. ἐκαλεῖτο δὲ καί τις
ὄρχησις κόσμου ἐκπύρωσις. ἦσαν δὲ καὶ γελοῖαι | ὀρχήσεις ἴγδις, 629f
μακτρισμός, ἀπόκινος, σοβάς, μορφασμός, γλαύξ, χρεῶν ἀπο-
κοπή, ἐλαίων, ἀλφίτων ἐκχύσεις. σχήματα δ᾽ ὀρχήσεων ξιφισμός,
15 καλαθισμός, κολλαβίδες, σκώψ, σκώπευμα. ἦν δὲ ὁ σκὼψ τῶν
ἀποσκοπούντων τι σχῆμα ἄκραν τὴν χεῖρα ὑπὲρ τοῦ μετώπου
κεκυρτωκότων. | διποδισμός, ἐπαγκωνισμός. | καλεῖται δ᾽ ἡ σατυ- 630a | 630b
ρικὴ ὄρχησις σίκιννις καὶ οἱ σάτυροι σικιννισταί· οἱ δέ φασι Σίκιν-
νον εὑρετὴν αὐτῆς γενέσθαι βάρβαρον, κατὰ δέ τινας Κρῆτα.
20 ὀρχησταὶ δ᾽ οἱ Κρῆτες. Σκάμων (*FGrH* 476 F 2) δὲ ἀπὸ τοῦ
σείεσθαι λέγει εἰρῆσθαι σίκιννιν καὶ πρῶτον Θέρσιππον ταύτην
ὀρχήσασθαι. πρώτη δ᾽ εὕρηται ἡ περὶ τοὺς πόδας κίνησις τῆς διὰ
τῶν χειρῶν· | οἱ γὰρ παλαιοὶ τοὺς πόδας μᾶλλον ἐγυμνάζοντο ἐν 630c
τοῖς ἀγῶσι καὶ τοῖς κυνηγεσίοις. οἱ δὲ Κρῆτες κυνηγετικοί, διὸ
25 καὶ ποδώκεις. οἱ δὲ τὴν σίκιννιν ἀπὸ τῆς κινήσεως φασὶ λέγεσθαι.
ἦν δὲ ταχυτάτη· οὐ γὰρ ἔχει πάθος, διὸ οὐδὲ βραδύνει. συνέστηκε
δὲ καὶ ἡ σατυρικὴ ποίησις ἐκ χορῶν, ὡς καὶ ἡ τότε τραγῳδία·
διόπερ οὐδὲ ὑποκριτὰς εἶχον. τρεῖς δ᾽ εἰσὶ τῆς σκηνικῆς | ποιήσεως 630d
ὀρχήσεις, τραγική, κωμική, σατυρική. τρεῖς δὲ καὶ τῆς λυρικῆς
30 ποιήσεως, πυρρίχη, γυμνοπαιδική, ὑπορχηματική. καὶ ἐστὶν
ὁμοία ἡ μὲν πυρρίχη τῇ σατυρικῇ· ἀμφότεραι γὰρ διὰ τάχους.
πολεμικὴ δὲ δοκεῖ εἶναι ἡ πυρρίχη· ἔνοπλοι γὰρ αὐτὴν παῖδες
ὀρχοῦνται. τάχους δὲ δεῖ τῷ πολέμῳ εἰς τὸ διώκειν ἢ

1–2 ἀπὸ Τελεσίου … ὀρχησαμένου glossa (om. A) ‖ **4** μανιώδεις A E^s : μανιώδης C E ‖ **15** κολλαβίδες C E : καλλαβίδες A C^s E^s

φεύγειν μηδὲ μένειν, μηδ᾽ αἰδεῖσθαι κακὸς εἶναι.
(cf. Delphic Oracle Q101.3 Fontenrose ap. Hdt. 1.55.2)

630e ἡ δὲ γυμνοπαιδικὴ παρεμφερὴς | τῇ τραγικῇ ἣ ἐμμέλεια καλεῖται· ἐν ἑκατέρᾳ δὲ ὁρᾶται τὸ βαρὺ καὶ σεμνόν. ἡ δ᾽ ὑπορχηματικὴ τῇ κωμικῇ οἰκειοῦται ἣ καλεῖται κόρδαξ· παιγνιώδεις δ᾽ εἰσὶν ἀμφότεραι. πυρρίχη δὲ καλεῖται ἀπό τινος Πυρρίχου Λάκωνος, φησὶν Ἀριστόξενος (fr. 103 Wehrli)· καὶ ἐστὶ Λακωνικὸν ὄνομα ὁ Πύρριχος. ἐμφανίζει δὲ ἡ ὄρχησις πολεμικὴ οὖσα, ὅτι Λακεδαιμονίων τὸ εὕρημα· πολεμικοὶ δ᾽ οἱ Λάκωνες, ὧν καὶ οἱ υἱοὶ τὰ ἐμβατήρια | 630f μέλη ἀναλαμβάνουσιν, ἃ καὶ ἐνόπλια καλεῖται. καὶ αὐτοὶ δ᾽ οἱ Λάκωνες ἐν τοῖς πολέμοις τὰ Τυρταίου ποιήματα ἀπομνημονεύοντες εὔρυθμον κίνησιν ποιοῦνται. Φιλόχορος (*FGrH* 328 F 216) δέ φησι Λακεδαιμονίοις κρατήσασι Μεσηνίων διὰ τὴν Τυρταίου στρατηγίαν ἔθος δειπνοποιουμένοις καὶ παιανίζουσι καθ᾽ ἕνα ᾄδειν Τυρταίου· κρίνειν δὲ τὸν πολέμαρχον καὶ ἆθλον διδόναι τῷ νικῶντι κρέας. | 631a ἡ δὲ πυρρίχη παρὰ μὲν τοῖς ἄλλοις Ἕλλησιν οὐκέτι μένει, παρ᾽ ὃ καὶ οἱ πόλεμοι κατελύθησαν. παρὰ μόνοις δὲ Λακεδαιμονίοις διαμένει οὖσα τοῦ πολέμου προγύμνασμα· ἐκμανθάνουσί τε πάντες ἐν Σπάρτῃ ἀπὸ πέντε ἐτῶν πυρριχίζειν. ἡ δὲ καθ᾽ ἡμᾶς πυρρίχη Διονυσιακή τις δοκεῖ ἐπιεικεστέρα οὖσα τῆς ἀρχαίας· ἔχουσι γὰρ οἱ ὀρχούμενοι θύρσους ἀντὶ δοράτων, προΐενται δὲ ἐπ᾽ ἀλλήλους, καὶ νάρθηκας καὶ λαμπάδας φέρουσιν ὀρχοῦνταί τε τὰ περὶ τὸν Διόνυσον καὶ | 631b Ἰνδοὺς καὶ Πενθέα. ἡ δὲ γυμνοπαιδικὴ ἔοικε τῇ πάλαι καλουμένῃ ἀναπάλῃ· γυμνοὶ γὰρ ὀρχοῦνται οἱ παῖδες πάντες εὐρύθμους φοράς τινας ἀποτέμνοντες καὶ σχήματα χειρῶν κατὰ τὸ ἁπαλόν, ὥστ᾽ ἐμφαίνειν θεωρήματα πάλης καὶ παγκρατίου κινοῦντες εὐρύθμως τοὺς πόδας· Διονυσιακὴ γοῦν καὶ αὕτη, τρόποι δ᾽ αὐτῆς οἱ Ὠσχοφόροι καὶ οἱ βακχικοί. | 631c γυμναζόμενοι δ᾽ ἐν τῇ γυμνοπαιδικῇ οἱ παλαιοὶ εἰς τὴν πυρρίχην ἐχώρουν, ἣ δὲ χειρονομία καλεῖται. ὑπορχηματικὴ δέ ἐστιν ἐν ᾗ ᾄδων ὁ χορὸς ὀρχεῖται ἐξ ἀνδρῶν καὶ γυναικῶν. ὀρχοῦνται δὲ ταύτην παρὰ Πινδάρῳ (fr. 112) Λάκωνες. βέλτιστοι δέ εἰσι τῶν τρόπων οἳ καὶ ὀρχοῦνται, | 631d εἰσὶ δὲ οἵδε· προσῳδιακοί, ἀποστολικοὶ (οἳ καὶ παρθένιοι). εἰσὶ δὲ καὶ παρὰ βαρβάροις σπουδαῖαι καὶ

13 Μεσηνίων C E : Μεσσηνίων A ‖ **25** ἀποτέμνοντες A C E : ἀποτελοῦντες C^s E^s

φαῦλαι ὀρχήσεις, ὡς καὶ παρ' Ἕλλησι· κόρδαξ μὲν γὰρ Ἕλλησι φορτικός, ἡ δ' ἐμμέλεια σπουδαία, ὡς Ἀρκάσι κίδαρις, Σικυωνίοις δ' ὁ ἀλητὴρ καὶ Ἰθακησίοις. | ἴδιοι δ' ἦσαν τὸ παλαιὸν καθ' ἑκά- 631e στην ἁρμονίαν αὐλοὶ καὶ ἑκάστῃ ἁρμονίᾳ πρόσφοροι. Πρόνομος δ' 5 ὁ Θηβαῖος πρῶτος ηὔλησεν ἀπὸ τῶν αὐλῶν τὰς ἁρμονίας· νῦν δ' εἰκῇ καὶ ἀλόγως ἅπτονται τῆς μουσικῆς. |

ὅτι Ἀσωπόδωρος ὁ Φλιάσιος (*SH* 224) κροταλιζομένου ποτέ 631f τινος αὐλητοῦ αὐτὸς ἔτι ὢν ἐν τῷ ὑποσκηνίῳ, "τί τοῦτ';" εἶπε· "δῆλον ὅτι μέγα κακὸν γέγονεν," | ὡς σημεῖον ὂν | κακοτεχνίας | 631e | 631f 10 τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν. | καίτοι οἱ πλείους τέλος ποιοῦν- 631e | 631f ται τῆς τέχνης τὴν παρὰ τοῖς θεάτροις | εὐημερίαν. 632a

ὅτι Ποσειδωνιᾶται οἱ ἐν τῷ Τυρρηνικῷ κόλπῳ τὰ ἐξ ἀρχῆς Ἕλληνες ὄντες καὶ ἐκβαρβαρωθέντες καὶ τήν τε φωνὴν μεταβεβλημένοι καὶ τὰ λοιπὰ ἐπιτηδεύματα ἄγουσι μίαν τῶν Ἑλλη- 15 νικῶν ἑορτῶν, ἐν ᾗ συνιόντες ἀναμιμνήσκονται τῶν ἀρχαίων ἐκείνων ὀνομάτων καὶ νόμων, καὶ ἀπολοφυράμενοι | πρὸς ἀλλή- 632b λους καὶ ἀποδακρύσαντες ἀπέρχονται.

ὅτι Πυθαγόρας οὐ παρέργως μουσικῆς | ἥψατο· ὅς γε καὶ τὴν 632c τοῦ παντὸς οὐσίαν διὰ μουσικῆς ἀποφαίνει συγκειμένην. τὸ δ' 20 ὅλον ἔοικεν ἡ παλαιὰ σοφία τῇ μουσικῇ δεδόσθαι. διὰ τοῦτο θεῶν μὲν Ἀπόλλων, ἡμιθέων δ' Ὀρφεὺς σοφώτατοι, ὅτι μουσικώτατοι, καὶ πάντας τοὺς ταύτῃ χρωμένους σοφιστὰς ἀπεκάλουν, ὡς Αἰσχύλος (fr. 314)·

εἴτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν. |

25 καὶ Ὅμηρος δὲ διὰ τὸ μεμελοποιηκέναι πᾶσαν αὐτοῦ τὴν ποίησιν 632d ἀφροντιστὶ τοὺς πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. οἱ δὲ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν ἐκπονοῦσι τοὺς στίχους ἀριθμοῖς καὶ τάξει μέτρων, ὡς ἂν μηδεὶς αὐτῶν τοιοῦτος ἔσται, ὡς Σόλων, Θέογνις, Φωκυλίδης καὶ 30 ἄλλοι. εἰσὶ δὲ | ἀκέφαλοι οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες, 632e λαγαροὶ δὲ οἱ ἐν μέσῳ, μείουροι δὲ οἱ ἐπὶ τῆς ἐκβολῆς. | συχνοὶ δὲ 632f μελῶν ποιηταὶ παρὰ Λάκωσιν ἐγένοντο, πλείστῃ τῇ μουσικῇ χρώμενοι καὶ διατηροῦντες αὐτήν· | φησὶ γοῦν Πρατίνας (*PMG* 633a 709)·

1 γὰρ, i.e. ΓΑΡ C E : παρ', i.e. ΠΑΡ A ‖ **9** σημεῖον A : ση$^{\mu()}$ E : σῆμα C

Λάκων ὁ τέττιξ εὔτυκος εἰς χορόν·

ἀπὸ γὰρ τῆς τοῦ βίου σωφροσύνης καὶ αὐστηρίας μετέβαινον
633b ἀσμένως ἐπὶ τὴν μουσικὴν κηλητικὴν οὖσαν· | οἳ καὶ τοὺς καθη-
633a | 633b γουμένους αὐτοῖς τοῦ χοροῦ | χορηγοὺς ἐκάλουν | καὶ οὐχ, ὡς νῦν,
τοὺς μισθουμένους τοὺς χορούς. ἦν δὲ αὐτοῖς καὶ τὸ χρηστομουσεῖν 5
καὶ μὴ παραβαίνειν τοὺς ἀρχαίους τῆς μουσικῆς νόμους. ὕστερον
δὲ γηρασάντων τῶν ἀρχαίων νομίμων ἡ προαίρεσις αὕτη καταλέ-
λυται καὶ τρόποι μουσικῆς φαῦλοι κατεδείχθησαν περιποιούμενοι |
633c ἀντὶ μὲν πρᾳότητος μαλακίαν, ἀντὶ δὲ σωφροσύνης ἀκολασίαν καὶ
ἄνεσιν. ἔσται δ' ἴσως τοῦτο μᾶλλον καὶ ἐπὶ πλέον προαχθήσεται, 10
εἰ μή τις ἀγάγῃ πάλιν εἰς τὸ συμφανὲς τὴν πάτριον μουσικήν· τὸ
παλαιὸν γὰρ καὶ τῶν ἡρώων τὰς πράξεις δι' ᾠδῆς ἐποιοῦντο, ὡς ὁ
633d παρ' Ὁμήρῳ Ἀχιλλεύς (*Il.* 9.189). | τὸ δ' ἔθος τοῦτο καὶ παρὰ
βαρβάροις ἦν· ὅτε γοῦν Κῦρος ὁ πρῶτος εἰς Πέρσας ἀπεδήμησεν,
εὐωχουμένου Ἀστυάγους μετὰ φίλων Ἀγγάρης ὁ ᾠδὸς εἰσκληθεὶς 15
633e ἄλλα τε ᾖδε καὶ τὸ | ἔσχατον εἶπεν ὡς ἀφεῖται εἰς τοὺς Ἕλληνας
θηρίον μέγα, θρασύτερον ὑὸς ἀγρίου, ὃ ἂν κυριεύσῃ τῶν καθ' αὑτὸν
τόπων, πολλοῖς μετ' ὀλίγον ῥᾳδίως μαχεῖται. ἐρομένου δ' Ἀστυά-
γους· "ποῖον θηρίον;", ἔφη Κῦρον τὸν Πέρσην. νομίσας οὖν ὀρθῶς
αὐτὸν ὑπωπτευκέναι ὅμως οὐδὲν ὤνησεν. | 20

633f οἱ τοὺς τρόπους
ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ
εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον, |

633e φησὶ Φιλέταιρος (fr. 17.3–5). |
633f ὅτι σαμβύκη ὀξύφθογγον μουσικὸν ὄργανον, χρῶνται δ' αὐτῷ 25
634a Πάρθοι καὶ Τρωγλοδύται | τετραχόρδῳ ὄντι. καλεῖται δέ τι καὶ
πολιορκητικὸν ὄργανον σαμβύκη. καλεῖται δὲ σαμβύκη, ἐπεὶ ὅταν
ἐξαρθῇ προσαγόμενον τοῖς τείχεσι, γίνεται σχῆμα νεὼς καὶ
634b κλίμακος ἑνοποιουμένων, ὅμοιον δέ τί ἐστι καὶ τὸ τῆς | σαμβύκης.
Ῥωμαϊκὸν δ' ἐστὶ τὸ μηχάνημα. | 30
634c ὅτι ἡ μάγαδις παρὰ μὲν Ἀνακρέοντι κιθάρα ἐστί· φησὶ γὰρ
(*PMG* 374.1–2)·

ψάλλω δ' εἴκοσι

7–8 καταλέλυται C : καταλέλυ[τ] E : κατελύθη A ‖ **25** ὀξύφθογγον A : ὀξύφθο[γγ] E : ὀξύφθογγος C

χορδαῖσι μάγαδιν ἔχων.

Ἴων δ᾽ ὁ Χῖος (*TrGF* 19 F 23) ὡς περὶ αὐλῶν λέγει·

Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς.

καὶ Ἀρίσταρχος δὲ ὁ γραμματικός, ὃν μάντιν ἐκάλει Παναίτιος ὁ
5 Ῥόδιος | φιλόσοφος (fr. 93 van Straaten) διὰ τὸ ῥᾳδίως καταμαν- 634d
τεύεσθαι τῆς τῶν ποιημάτων διανοίας, γένος αὐλοῦ φησι τὸν
μάγαδιν. καὶ Τρύφων (fr. 110 Velsen) δέ φησιν· | ὁ μάγαδις ἐν 634e
ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται.

ὅτι πέντε | γένη αὐλῶν, παρθένιοι, παιδικοί, κιθαριστήριοι, 634f
10 τέλειοι, ὑπερτέλειοι.

ὅτι μαγὰς ὄργανόν ἐστι ψαλτικόν, | καὶ τὸ τῇ μαγάδι 635a
διαψάλλειν μαγαδίζειν ἐλέγετο. Εὐφορίων (fr. 8, *FHG* iii.73) δὲ τὴν
μάγαδίν φησιν ὀψέ ποτε σαμβύκην μετονομασθῆναι· πλεῖστον δ᾽
εἶναι τοῦτο τὸ ὄργανον ἐν Μιτυλήνῃ. | τὴν δὲ πηκτίδα, ἣν τὴν 635b
15 αὐτὴν εἶναι τῇ μαγάδι Μέναιχμος (*FGrH* 131 F 4a) λέγει, Σαπφὼ
(fr. 247) εὗρεν. Ἀριστόξενος (fr. 99 Wehrli) δὲ τὴν μάγαδιν καὶ τὴν
πηκτίδα φησὶ χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρέχεσθαι τὴν
χρείαν. εἶπε δὲ Πίνδαρος (fr. 125.3) τὴν μάγαδιν·

ψαλμὸν ἀντίφθογγον,

20 διὰ τὸ διὰ δύο γενῶν καὶ διὰ πασῶν ἔχειν τὴν συνῳδίαν ἀνδρῶν
καὶ γυναικῶν. |

ὅτι Κρέων Φρυγίῳ καὶ Λυδίῳ ἁρμονίᾳ ἐκέχρητο, ὧν ἑκατέρα 635d
ἑπτὰ χορδαῖς ἐπεραίνετο. | Διογένης δὲ ὁ τραγικὸς (*TrGF* 45 F 636a
1.9–11) διαφέρειν οἴεται πηκτίδα μαγάδιδος λέγων· |

25 ψαλμοῖς τριγώνων πηκτίδων ἀντιζύγοις 636b
ὁλκοῖς κεχρούσῃ μάγαδιν, ἔνθα Περσικῷ
νόμῳ ξενωθεὶς αὐλὸς ὁμονοεῖ χοροῖς.

Φίλλις δὲ ὁ Δήλιος (fr. 2, *FHG* iv.476) μουσικὰ ὄργανα καταλέγει
ταῦτα· φοίνικες, πηκτίδες, μαγάδιδες, σαμβῦκαι, ἴαμβοι,
30 τρίγωνα, κλεψίαμβοι, σκινδαψοί, ἐννεάχορδα. ἐν οἷς μὲν οὖν,
φησί, τοὺς ἰάμβους ᾖδον, ἰαμβύκας ἐκάλουν, ἐν οἷς δὲ παρελογί-
ζοντο τὰ | τοῦ μέτρου, κλεψιάμβους, μαγάδιδας δὲ τὰ διὰ πασῶν 636c

22 Κρέων C E : Ἀνακρέοντα (structura alia) A

καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα. ἦν δὲ καὶ βάρβιτος καὶ ἄλλα πλείω τὰ μὲν ἔγχορδα, τὰ δὲ ἔνηχα· ἦν γὰρ δή τινα καὶ χωρὶς τῶν ἐμφυσωμένων καὶ χορδαῖς διειλημμένων ψόφου μόνον
636d ποιητικά, ὡς τὰ κρέμβαλα, | ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις ποιεῖν λιγυρὸν ψόφον. καὶ τὸ τούτοις κρούειν κρεμβαλίζειν 5 Ἕρμιππός (fr. 31.1) φησι. Δίδυμος (14.8, pp. 250–1 Schmidt) δέ φησιν εἰωθέναι τινὰς ἀντὶ λύρας κογχύλια καὶ ὄστρακα συγκρού-
636e οντας εὔρυθμον | ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις, ὡς Ἀριστοφάνης ἐν Βατράχοις (1304–6) φησί. Τιμόθεος δὲ ὁ Μιλήσιος δόξας πολυχορδοτέρῳ χρήσασθαι συστήματι τῇ μαγάδι καὶ παρὰ 10 Λάκωσιν εὐθυνόμενος ὡς παραφθείροι τὴν ἀρχαίαν μουσικὴν καὶ μέλλοντός τινος ἐκτέμνειν αὐτοῦ τὰς περιττὰς τῶν χορδῶν ἔδειξε
636f παρ᾽ αὐτοῖς | Ἀπολλωνίσκον πρὸς τὴν αὐτὴν σύνταξιν ἰσόχορδον λύραν ἔχοντα καὶ ἀφείθη. ὠνομάσθη δὲ μάγαδις ἀπὸ Μάγδιος Θρᾳκός, φησὶ Δοῦρις (*FGrH* 76 F 28). Ἀπολλόδωρος (*FGrH* 244 F 15 219) δέ, ὃ νῦν, φησίν, ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ᾽ εἶναι μάγαδιν, ὁ δὲ κλεψίαμβος, ἔτι δ᾽ ὁ τρίγωνος καὶ ὁ ἔλυμος καὶ τὸ ἐννεάχορδον, ἀμαυρότερα τῇ χρείᾳ. ὡς Ἀλκμάν (*PMG* 101)·

> μάγαδιν δ᾽ ἀποθέσθαι. |

637a Σοφοκλῆς (fr. 238)· 20

> πηκταὶ δὲ λύραι καὶ μαγαδίδες
> τά τ᾽ ἐν Ἕλλησι ξόαν᾽ ἡδυμελῆ.

Τελέστης (*PMG* 808) δὲ πεντάχορδον τὴν μάγαδιν ἐμφαίνει· φησὶ γάρ·

> ἄλλος δ᾽ ἄλλαν κλαγγὰν ἱεὶς 25
> κερατόφωνον ἐρέθιζε μάγαδιν
> ἐν πενταράδῳ χορδᾶν ἀριθμῷ
> χεῖρα καμψιδίαυλον ἀναστρωφῶν τάχος. |

637b σαμβύκῃ δὲ πρώτη Σίβυλλα ἐχρήσατο, φησὶ Σῆμος (*FGrH* 396 F
637c 1)· | ἣ ὠνομάσθη ἀπὸ Σάμβυκος. Ἀρτέμων (fr. 12, *FHG* iv.342–3) δὲ 30 τρίποδος καλουμένου ὀργάνου μέμνηται Πυθαγόρᾳ Ζακυνθίῳ ποιηθέντος· ὃ καί, φησίν, ὀλιγοχρόνιον σχεῖν τὴν ἀκμὴν διὰ τὸ

5 κρεμβαλίζειν C E : κρεμβαλιάζειν A et Hsch. κ 4049 ‖ **27** πενταράδῳ C : πενταρόδῳ E : πενταράβδῳ A

κατὰ τὴν χειροθεσίαν ἐργῶδες καταλυθέν. ἦν δ᾽ ὅμοιος Δελφικῷ
τρίποδι καὶ χρῆσιν τριπλῆν κιθάρας παρείχετο· | οὗ οὕτω τὴν 637e
χειροθεσίαν εἴθιστο κατοξύνειν Πυθαγόρας, ὥστ᾽ εἴ τις ἀκοῇ μόνον
κρίνοι μὴ συνορῶν, νομίζειν τριῶν κιθαριστῶν ἀκούειν διαφόρως
5 ἡρμοσμένων· | τριῶν γὰρ οὐσῶν τῷ ὀργάνῳ χωρῶν ἑκάστῃ χώρᾳ 637d
διένειμε τὰς τρεῖς ἁρμονίας. | καὶ τοῦτο τὸ ὄργανον θαυμασθὲν 637e
ἰσχυρῶς μετὰ τὸν ἐκείνου βίον ἐξέλιπεν εὐθέως | φαντασίαν τε ἔχον 637d
ἀστείαν καὶ τὸν ἦχον προσβάλλον ἁδρότερον. | ψιλὴν δὲ κιθάρισιν 637e
πρῶτος | Ἀριστόνικος ὁ Ἀργεῖος εἰσήγαγε. μετέστησε δὲ ταύτην 637f
10 πρῶτος Λύσανδρος ὁ Σικυώνιος μακροὺς τόνους ἐντείνας καὶ τὴν
φωνὴν εὔογκον ποιήσας. | καὶ περιελὼν τὴν συντομίαν τὴν ἐν τοῖς 638a
ψιλοῖς κιθαρισταῖς χρώματά τε εὔχροα πρῶτος ἐκιθάρισε, καὶ τὸ
πρᾶγμα αὐξήσας χορὸν περιεστήσατο πρῶτος, | φησὶ Φιλόχορος 637f
(*FGrH* 328 F 23). | Τιμόμαχος (*FGrH* 754 F 1) δέ φησι τὸν Σάμιον 638a
15 Στήσανδρον ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην· ὃς πρῶτος ἐν Δελφοῖς
ἐκιθαρῴδησε | τὰς καθ᾽ Ὅμηρον μάχας ἀρξάμενος ἀπ᾽ Ὀδυσσείας. 638b
ὥσπερ τῶν ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδὰς ἐξεῦρον, οὕτω
καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας· ὃν ἐζήλωσαν καὶ ἄλλοι. καὶ
μοχθηρῶν δὲ ᾀσμάτων γεγόνασι ποιηταί, | οἳ πρὸς μὲν τὸν ἴδιον 638c
20 χαρακτῆρα εὐπόρουν, τῶν δὲ Τερπάνδρου καὶ Φρύνιδος νόμων
οὐδὲ μικρὸν ἐπέψαυον· ὧν εἷς Ἀργᾶς, περὶ οὗ Ἄλεξίς (fr. 19.1–4)
φησι·

(A.) Χορόνικος ποιητὴς
ᾀσμάτων σεμνῶν πάνυ.
25 (B.) τί πρὸς τὸν Ἀργᾶν; (A.) ἡμέρας δρόμῳ
κρείττων. |

καὶ Γνήσιππος δὲ παιγνιαγράφος ἦν τῆς ἱλαρᾶς μούσης, | περὶ οὗ 638d | 638e
τίς φησι (Eup. fr. 148.2–4)·

Γνήσιππος ἀκούειν
30 νυκτερινὰ εὗρε μοιχοῖς ἀείσματ᾽ ἐκκαλεῖσθαι
γυναῖκας ἔχοντας ἰαμβύκην τε καὶ τρίγωνα. |

ὅτι Ῥωμαίων παισὶν ἔθος ἦν ἐν ταῖς τῶν Κρονίων ἡμέραις 639b
ἑστιᾶν τοὺς οἰκέτας, αὐτοὺς τὰς τῶν οἰκετῶν ἀναδεχομένους

5 ἑκάστῃ χώρᾳ scripsi : ἑκάστη χώρα C E ‖ **32** ἔθος ἦν E : ἔθος C : om. A

λειτουργείας. Ἑλληνικὸν δὲ τοῦτο τὸ ἔθος. γίνεται δὲ καὶ ἐν Κρήτῃ τῇ τῶν Ἑρμαίων ἑορτῇ καὶ ἐν Τροιζῆνι δὲ Γεραιστίῳ μηνί. |
639c Λώῳ δὲ μηνὶ ἑκκαιδεκάτῃ ἐν Βαβυλῶνι ἑορτὴ ἄγεται Σακέα καλουμένη ἐφ' ἡμέρας πέντε, ἐν αἷς ἄρχονται οἱ δεσπόται ὑπὸ τῶν οἰκετῶν ἀφηγουμένου τῆς οἰκίας ἑνὸς αὐτῶν ἐνδεδυκότος στολὴν 5
639d βασιλικήν, ὃς καλεῖται ζογάνης. | Κῷοι δὲ τοὐναντίον· ὅτε Ἥρᾳ
639e θύουσι, δούλους οὐκ ἐῶσι παραγίνεσθαι ἐπὶ τὰς εὐωχίας. | θυσίας δέ ποτε Πελασγοῖς γινομένης ἀνήγγειλέ τις τῷ Πελασγῷ ἀνήρ, ᾧ ὄνομα Πέλωρος, διότι ἐν τῇ Αἱμονίᾳ σεισμῶν γενομένων ῥαγείη τὰ Τέμπη ὄρη ὀνομαζόμενα, καὶ διότι διὰ τοῦ 10
διαστήματος ὁρμῆσαν τὸ τῆς λίμνης ὕδωρ ἐμβάλλοι εἰς τὸ τοῦ Πηνειοῦ ῥεῖθρον, καὶ τὴν πρότερον λιμνάζουσαν χώραν πᾶσαν |
639f γεγυμνῶσθαι καὶ ἀναξηραινομένων τῶν ὑδάτων πεδία θαυμαστὰ τῷ μεγέθει καὶ τῷ κάλλει ἀναφαίνεσθαι. ἀκούσας οὖν ὁ Πελασγὸς τὴν τράπεζαν ἀφθόνως κεκοσμημένην τῷ Πελώρῳ παρέθετο, καὶ 15
οἱ ἄλλοι δὲ ἕκαστος ὅ τι ἔχοι παρετίθει τῷ ἀπαγγείλαντι, καὶ ὁ Πελασγὸς δὲ καὶ οἱ ἐν ἀξιώματι ὑπηρέτουν καθότι ἑκάστῳ ὁ καιρὸς παρέπιπτεν. ἐπεὶ δὲ τὴν χώραν κατέσχον, μίμημα τῆς
640a τότε ἑορτῆς θύουσι Διὶ Πελωρίῳ | τραπέζας τε κοσμοῦντες προτίθενται. καὶ οὕτω φιλάνθρωπον πανήγυριν συντελοῦσιν, ὥστε 20
καὶ τοὺς ξένους ἐπὶ τὴν θοίνην παραλαμβάνειν καὶ τοὺς δεσμώτας λύειν καὶ τοὺς οἰκέτας κατακλίναντας ἑστιᾶν μετὰ παρρησίας διακονούντων αὐτοῖς τῶν δεσποτῶν. καὶ τὸ σύνολον ἔτι καὶ νῦν Θεσσαλοὶ μεγίστην ἑορτὴν ἄγοντες προσαγορεύουσι Πελωρίαν. |
639d | 639e γράφει ταῦτα Βάτων ὁ Σινωπεὺς (*FGrH* 268 F 5) | καί φησι τὴν 25
Πελωρίαν τὴν Θεσσαλικὴν τὴν αὐτὴν εἶναι τῇ τῶν Σατουρναλίων. |

640b αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. (E. *Hipp.* 436)

τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;
πλήρης μὲν ὄψων ποντίων, πάρεισι δὲ
μόσχων τέρειναι σάρκες χηνεία τε δαὶς 30
καὶ πεπτὰ τῆς ξουθοπτέρου
πελανῷ μελίσσης ἀφθόνως δεδευμένα. (E. fr. 467.1–5) | 5

640c | 640d ὅτι τὰ τραγήματα ἐπιδορπίσματά τινές φασι. | Δίφιλος (fr. 80)·

1 λειτουργείας C : λειτουρ^{γ} E : λειτουργίας A

(A.) τράγημα, μυρτίδες, πλακοῦς, ἀμυγδαλαῖ.
(B.) ἐγὼ δὲ ταῦθ' ἥδιστά γ' ἐπιδορπίζομαι. |

ἐπιφορήματα δὲ ἐκάλουν τὰ μετὰ τὰς μοίρας ἑκάστου τῶν δαιτυμόνων. | Ἡρόδοτος (1.133.2)· σιτίοις ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖς. | τὰ δὲ ἐπιφορήματα Πλάτων ὁ κωμικὸς (fr. 76) ἐπιτραπεζώματα καλεῖ. | ἐλέγοντο δὲ καὶ τρωγάλια τὰ τραγήματα. Πίνδαρος (fr. 124c.1)· 640e 640f 641b 641c

δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον. |

δευτέρας δὲ τραπέζας ἐκάλουν τὰς τῶν τραγημάτων· ὄντως γὰρ ὁ τραγηματισμὸς ἐπιδορπισμός τίς ἐστι καὶ δεῖπνον ἕτερον. | καὶ ἦσαν παρὰ τοῖς ἀρχαίοις αἱ δεύτεραι τράπεζαι πολυτελῶς πάνυ μεμεριμνημέναι· | ἐν αἷς λαγῷα καὶ κίχλαι καὶ μελίπηκτα καὶ ᾠὰ προσεφέρετο. Ἀντιφάνης (fr. 138.1–5) οὖν φησιν· 641e 641c 641f

(A.) οἶνον Θάσιον πίνοις ἄν; (B.) εἴ τις ἐγχέαι.
(A.) πρὸς ἀμυγδάλας δὲ πῶς ἔχεις; (B.) εἰρηνικῶς.
μᾶλλον δι' ἃς μέλιτι προσπαίζειν δέει.
(A.) μελίπηκτα δ' εἴ σοι προσφέρει; (B.) τρώγοιμ' ἄν, |
ᾠὸν δὲ καταπίνοιμ' ἄν. 5 642a

Ἄμφις (fr. 9.1–5)·

(A.) ἤδη ποτ' ἤκουσας βίον
ἀληλεμένον; τοῦτ' ἐκεῖν' ἔστι σαφῶς·
ἄμητες, οἶνος ἡδύς, ᾠά, σήσαμα,
μύρον, στέφανος. |
(B.) ὀνόματα τῶν δώδεκα θεῶν διελήλυθας. | 5 642b

οὐ φιλοτραγήμων εἰμί πως ἑκάστοτε, 642c

φησὶν Εὔβουλος (fr. 44.2). Ἄλεξις (fr. 190.1–2) δὲ τοῦ συμποσίου διατριβήν φησι τὰ τραγήματα, ὥστε (fr. 190.3)

ἀργοὺς ἔχειν μηδέποτε τὰς σιαγόνας. |

1 ἀμυγδαλαῖ vel ἀμυγδαλαί vel sim. A C E : ἀμυγδαλή E[s] ‖ **22** σήσαμα C : σήσα[μ] E : † σησαμαι † A

642d | 642e Ἀπίων (*FGrH* 616 F 32) δὲ ἐπαίκλιά | φησι καλεῖσθαι τὰ μετὰ τὸ δεῖπνον βρώματα. Ἔφιππος (fr. 13.1–6) δὲ τραγήματα ἀπαριθμούμενός φησι·

κόκκος,
ἐρέβινθος, κύαμος, 5
χόνδρος, τυρός, μέλι, σησαμίδες,
βρυγμός, μνοῦς,
μῆλον, κάρυον, γάλα, κανναβίδες, 5
Διὸς ἐγκέφαλος. |

642f Φιλόξενος δ' ὁ Κυθήριός (*PMG* 836(e).1–5) φησι· | 10

643a λιπαραυγεῖς
πορθμίδας πολ-
λῶν ἀγαθῶν εἰσέφε-
ρον γεμούσας,
τὰς ἐφημέριοι καλέοντι 15
νῦν τραπέζας,
ἀθάνατοι δέ τε Ἀμαλθεί-
ας κέρας· ταῖσι δ' ἐν μέσαις
ἐγκαθιδρύ- 5
θη μέγα χάρμα βροτοῖς, λευ- 20
κὸς μυελός. |

643d τοῦτον δὲ ἐπαινῶν Ἀντιφάνης (fr. 207.1–5) φησὶ πολὺ διάφορον εἶναι τῶν ποιητῶν ἰδίοις καὶ κοινοῖς ὀνόμασι πανταχοῦ χρώμενον καὶ μεταβολαῖς καὶ χρώμασιν εὖ κεχρωσμένον. |

643e οἱ δὲ νῦν (φησί) κισσόπληκτα καὶ κρηναῖα καὶ 25
ἀνθεσιπότατα μέλεα μελέοις ὀνόμασι
ποιοῦσιν. (Antiph. fr. 207.7–9) |

644a ἄγευστος.
ἄσπλαχνος, ἀπλάκουντος, ἀλιβάνωτος,

φησὶ Πλάτων ὁ κωμῳδιοποιός (fr. 121.1–2). 30

1 ἐπαίκλιά C E : ἐπαίκλειά A C[s] E[s] ‖ **24** κεχρωσμένον C E : εὖ κέκραται (structura alia) A ‖ **29** ἄσπλαχνος A C E : ἄσπλαγχνος Eust.

ὅτι κώμη τις τῶν Ὑποπλακίων Θηβῶν ἀπέχουσα σταδίους ἓξ Πλακοῦς ἐκαλεῖτο, ὥς φησιν ὁ Σκήψιος Δημήτριος (fr. 8 Gaede). |

ὅτι τὸ πλακοῦς ἐκ τοῦ πλακόεις | περισπᾶται, | ὡς τυρόεις τυροῦς, σησαμόεις σησαμοῦς. εἴρηται δὲ κατ᾽ ἔλλειψιν τοῦ ἄρτος. 644b | 644a | 644b

5 ὅτι καλοὺς πλακοῦντας ἐν Παρίῳ τοῦ Ἑλλησπόντου φαγεῖν ἐστιν. Ἄλεξις (fr. 22.1–3) δὲ ἀπατᾶται τοὺς ἐν Πάρῳ πλακοῦντας νοῶν λέγων·

Πάρος
δύο τῶν συναπασῶν κάλλιστα φέρει, |
10 κόσμον μὲν μακάρεσσι λίθον, θνητοῖς δὲ πλακοῦντας. 644c

Σώπατρος (fr. 4.1) δὲ καὶ τὴν Σάμον

πλακουντοποιὸν

καλεῖ. Μένανδρος (fr. 409.9–10) δέ φησί τινας |

εὐχύτους 644d
15 πλακοῦντας ὀπτούς. |

ἄμης. πλακοῦντος εἶδος. 644f

καὶ τὸ διακόνιον δὲ καὶ ὁ ἀμφιφῶν, ὡς Φερεκράτης (fr. 167.2)· |

διακόνιον ἐπῆσθεν ἀμφιφῶντ᾽ ἔχων. 645a

ἐφέρετο δ᾽ ὁ ἀμφιφῶν εἰς τὸ τῆς Ἀρτέμιδος ἱερὸν καὶ εἰς τὰς 20 τριόδους. οὕτω δὲ καλεῖται, ἐπεὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐπικαταλαμβάνεται ἡ σελήνη ἐπὶ ταῖς δυσμαῖς ὑπὸ τῆς | τοῦ ἡλίου ἀνατολῆς, καὶ ὁ οὐρανὸς ἀμφιφῶς γίνεται. 645b

βασυνίας. ἑφθὸν πύρινον, σταῖς σὺν μέλιτι, ἰσχάσι καὶ καρύοις. ἔθυον δὲ τοῦτον Δήλιοι Ἴριδι. |

25 ἀττανίτης· | ὃν Ἀργεῖοι παρὰ τῆς νύμφης πρὸς τὸν νυμφίον φέρουσιν. ὀπτᾶται δ᾽ ἐν ἄνθραξι. παρατίθεται δὲ μετὰ μέλιτος. 645c | 645d

γλυκίνας. ὁ διὰ γλυκέος καὶ ἐλαίου παρὰ Κρησίν.

ἐμπεμπτάς. πύρινος ἄρτος, κοῖλος, σύμμετρος, ὅμοιος κρηπῖσιν εἰς ἃς ἐντίθενται τὰ διὰ κηροῦ πλακούντια. |

30 ἐγκρίδες. πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ, εἶτα μελιτούμενον. 645e

ἐπικύκλιος. πλακοῦς | Συρακούσιος. 645f

3 πλακοῦς A : πλακοῦ C E ‖ **28** ἐμπεμπτάς rubr.Cmg E : † ἐμπεμπτας † A : ἐμπεμπάς C

646a γῦρος. | οὗτος τῷ σχήματι μαστοειδής ἐστιν, ὥς φησιν Ἀλκμάν. χρῶνται δ' αὐτῷ Λάκωνες πρὸς τὰς τῶν γυναικῶν ἑστιάσεις.
κριμνίτης. ὁ ἀπὸ κρίμνων. |
646b σταιτίτης. ὁ ἐκ σταιτὸς καὶ μέλιτος.
χαρίσιος. πλακοῦς καὶ οὗτος. | 5
646c νᾶνος. ἄρτος πλακουντώδης διὰ τυροῦ καὶ ἐλαίου σκευαζόμενος.
ψωθία. τὰ ψαθύρια. Ἀπολλόδωρος (*FGrH* 244 F 283) δὲ τοῦ ἄρτου τὰ ἀποψαυόμενα, ἅ τινες καλοῦσιν ἀτταράγους. |
646d ἴτριον. πέμμα λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον.
ἀμόραι. τὰ μελιτώματα τὰ πεπεμμένα. 10
646e ταγηνίτης. πλακοῦς | ἐλαίῳ τετηγανισμένος, ὁ καὶ ταγηνίας.
ἔλαφος. ὁ τοῖς Ἐλαφηβολίοις ἀναπλασσόμενος διὰ σταιτὸς καὶ μέλιτος καὶ σησάμου.
νάστος. ὁ ἔχων ἔνδον καρυκκείας.
χόρια. βρώματα διὰ μέλιτος καὶ γάλακτος γινόμενα. 15
ἀμορβίτης. Σικελὸς πλακοῦς. |
646f σησαμίδες. ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα. Εὔπολις (fr. 176.3–4)·

σησαμίδας ὄζει,
μῆλα δὲ χρέμπτεται. | 20

647a ἐχῖνος. Ἀττικὸς καὶ οὗτος πλακοῦς. |
647b κοτυλίσκοι. πλακοῦντες ἐκ τρίτου μέρους τῆς χοίνικος γινόμενοι.
647c χοιρίναι. | αὗται ἆθλα τίθενται ταῖς παννυχίσι τῷ διαγρυπνήσαντι. | 25
647c–d Χρύσιππος δὲ ὁ Τυανεὺς μυρία εἴδη πλακούντων ἐν τῷ
647d Ἀρτοκοπικῷ καταλέγει, βάρβαρα τὰ πλείω. | ἔστι δέ τις καὶ ὀρυζίτης πλακοῦς.
ὁ δὲ φθόις οὕτω γίνεται· τυρὸν ἐκπιέσας τρῖβε καὶ ἐμβαλὼν εἰς |
647e κόσκινον χάλκεον διήθει, εἶτ' ἐπίβαλε μέλι καὶ σιλίγνεως ἡμίναν 30
647f καὶ συμμάλαξον εἰς ἕν | φλαβιλλίοις, φησί, καινοῖς ἐν οἷς τὸ πῦρ ῥιπίζεται· ταῦτα τὴν αὐτὴν τῷ κοσκίνῳ φησὶ χρείαν, ὅτε κόσκινον μὴ πάρεστιν ἐν τῇ τοῦ τυροκοσκίνου κατασκευῇ. |

1 γῦρος C : γῶρος E : γοῦρος A ‖ **14** καρυκκείας C E : καρυκείας Eust. : † καρυκκιας † A ‖ **19** ὄζει C : ὄξει E : χέζει A

ὅτι χίδρον οἱ ἑφθοὶ πυροὶ παρὰ Ἀλκμᾶνι (*PMG* 96.2), καὶ κηρίνη ὀπώρα παρὰ τῷ αὐτῷ τὸ μέλι. | 648b

φιλῶ πλακοῦντα θερμόν, ἀχράδας οὐ φιλῶ,
χαίρω λαγῴοις ἐπ᾽ ἀμύλῳ καθημένοις. (Telecl. fr. 34) | 648e

5 ὅτι ἀπεσθίειν τὸ μὴ ἐσθίειν ὁ κωμικός που Θεόπομπός (fr. 63.1–3) φησι· 649b

τοῖς βλίτοις
διαχρῶ. τὴν κοιλίαν σκληρὰν ἔχεις·
τὰ πετραῖα τῶν ἰχθύων ἀπέσθιε. |

10 σημαίνει δὲ καὶ τὸ ἀπό τινος ἐσθίειν· 649c

οἴμοι τάλας, δάκνει, δάκνει,
ἀπεσθίει μου τὴν ἀκοήν. (Hermipp. fr. 51) |

φιττάκι᾽ ἀκρεμόνεσσιν ἀμυγδαλέοισιν ὅμοια. (Nic. *Th.* 891) 649d

γράφεται δὲ καὶ βιστάκια. Ποσειδώνιος δὲ ὁ Στωικὸς (*FGrH* 87 F 3
15 = fr. 55a Edelstein–Kidd) γράφει· φέρει δὲ καὶ τὸ πέρσιον ἡ Ἀραβία καὶ ἡ Συρία καὶ τὸ καλούμενον βιστάκιον· ὃ βοτρυώδη τὸν καρπὸν ἀφίησι λευκοφαῆ ὄντα καὶ μακρόν, παρεμφερῆ τοῖς δακρύοις, ἃ δὴ ῥαγῶν τρόπον ἀλλήλοις ἐπιβάλλει, τὰ δ᾽ ἔνδον ἐστὶ χλωρὸν καὶ τοῦ κωνίου τῶν στροβίλων ἧττον μὲν εὔχυμον, εὐώδη
20 δὲ μᾶλλον. οἱ δὲ τὰ Γεωργικὰ | συγγράψαντες γράφουσιν οὕτω· τὴν μελίαν καὶ τὴν τέρμινθον, ἃ δὴ νῦν πιστάκια οἱ Σύροι καλοῦσι. καὶ οὗτοι μὲν διὰ τοῦ π̄ πιστάκια ταῦτα ὠνόμασαν, Νίκανδρος δὲ δασέως φιττάκια, Ποσειδώνιος δὲ βιστάκια. | Ἀγαθοκλῆς ὁ Κυζικηνὸς (*FGrH* 472 F 4) μέμνηται φυτοῦ κοννάρου 649e 649f
25 μεγέθει ἴσου πτελέῃ καὶ πεύκῃ, | ὃ καρποφορεῖ δὶς τοῦ ἔτους, ἦρος καὶ φθινοπώρου. γλυκὺς δὲ πάνυ ὁ καρπὸς αὐτοῦ, μέγεθος κατὰ φαυλίαν ἐλάαν καὶ τὴν σάρκα καὶ τὸ ὀστέον ταύτῃ προσείκελον, διαλλάσσον δὲ τῇ τοῦ χυμοῦ ἡδονῇ. καὶ τρώγεται ἔτι χλωρὸς ὁ καρπός. καὶ ἐπὴν αὐανθῇ, ποιοῦσιν ἐξ αὐτοῦ ἄλευρα, καὶ προσφέ-
30 ρονται ταῦτα οὐ μάξαντες οὐδ᾽ ὕδατι δεύσαντες ἀλλὰ φαύλως ὁκοῖά περ πέφυκεν. | 650a

4–8 λαγῴοις … διαχρῶ om. E ‖ **15** πέρσιον A C E[s] : πέρσειον E

650b ὅτι ἡ Πελοπόννησος ἀπὸ τῶν ἀπίων Ἀπία ἐκλήθη διὰ τὸ
650c ἐπιδαψιλεύειν | ἐν αὐτῇ τὸ φυτόν, φησὶν Ἴστρος (*FGrH* 334 F 39). |
650e | 650d Πάμφιλος (fr. V Schmidt) δέ φησιν· ἐπιμηλίς· ἀπίου γένος· | ἃς
Ἀέθλιος (*FGrH* 536 F 1b) ὁμομηλίδας φησίν, οἱ δ᾽ ἄλλοι ἀμα-
μηλίδας. Αἰσχυλίδης· ἀπιοὺς ἡ Κέως φέρει κρατίστας κατὰ τὰς ἐν 5
Ἰωνίᾳ καλουμένας ἀμαμηλίδας· εἰσὶ γὰρ ἀπύρηνοί τε καὶ ἡδεῖαι
650e καὶ γλυκεῖαι. | εἰσὶ δὲ καὶ φωκίδες εἶδος ἀπίων. λέγονται δέ τινες
ῥόαι ἀπύρηνοι καὶ ἕτεραι σκληρόκοκκοι· ὧν τὸ ὑποκοριστικὸν
650f ῥοΐδιον ὡς βοΐδιον. | σίδας δὲ τὰς ῥοιὰς καλοῦσι Βοιωτοί· φησὶ
γοῦν Ἀγαθαρχίδης (*FGrH* 86 F 8)· ἀμφισβητούντων Ἀθηναίων 10
πρὸς Βοιωτοὺς περὶ τῆς χώρας ἣν καλοῦσι Σίδας, Ἐπαμινώνδας
δικαιολογούμενος ἐξαίφνης ἐκ τῆς ἀριστερᾶς μεταλαβὼν κεκρυμ-
μένην ῥόαν καὶ δείξας ἤρετο τί καλοῦσι τοῦτο. τῶν δ᾽ εἰπόντων
651a ῥόαν, "ἀλλ᾽ ἡμεῖς", εἶπε, "σίδαν" | (ὁ δὲ τόπος τοῦτ᾽ ἔχει τὸ φυτὸν
ἐν αὐτῷ πλεῖστον, ἀφ᾽ οὗ ἐξ ἀρχῆς ἐκλήθη), καὶ ἐνίκησεν. ἔστι δέ 15
τι καὶ φυτὸν σίδη ὅμοιον ῥοιᾷ ἐν τῇ περὶ Ὀρχομενὸν λίμνῃ ἐν
αὐτῷ τῷ ὕδατι, οὗ τὰ μὲν φύλλα τὰ πρόβατα ἐσθίει, τὸν δὲ
651b βλαστὸν αἱ ὕες· ἱστορεῖ Θεόφραστος (fr. 401 Fortenbaugh). | περὶ
δὲ φοινίκων Ξενοφῶν λέγει ἐν δευτέρῳ Ἀναβάσεως (2.3.14–15) ὡς
εἰς οἶνόν τε συντελοῦσι καὶ ὅτι κεφαλαλγεῖς εἰσι. λέγει δὲ περὶ 20
651d αὐτῶν καὶ Ἡρόδοτος ἐν τῷ δευτέρῳ (1.193.4–5). | περὶ δὲ λωτοῦ ὁ
Μεγαλοπολίτης Πολύβιος (12.1.2) ἱστορεῖ, αὐτόπτης γενόμενος,
εἶναι δένδρον οὐ μέγα, τραχὺ καὶ ἀκανθῶδες, φύλλα ἔχον χλωρὰ
ὅμοια ῥάμνῳ. ὁ δὲ καρπὸς αὐτοῦ τὰς μὲν ἀρχὰς ὅμοιός ἐστι καὶ τῇ
χρόᾳ καὶ τῷ μεγέθει ταῖς λευκαῖς μυρτίσιν, αὐξόμενος δὲ τῷ μὲν 25
χρώματι γίνεται φοινικοῦς, τῷ δὲ μεγέθει γογγύλαις ἐλαίαις
651e ὅμοιος, πυρῆνα δὲ ἔχει τελέως | μικρόν. ἐπὰν δὲ πεπανθῇ, τὸν μὲν
τοῖς οἰκέταις μετὰ χόνδρου κόψαντες σάττουσιν εἰς ἀγγεῖα, τὸν δὲ
τοῖς ἐλευθέροις ἐξελόντες τὸν πυρῆνα συντιθέασιν. ἐστὶ δὲ τὸ
χρῶμα παραπλήσιον σύκῳ καὶ φοινικοβαλάνῳ, τῇ δὲ εὐωδίᾳ 30
βέλτιον. γίνεται δὲ καὶ οἶνος ἐξ αὐτοῦ βρεχομένου καὶ τριβομένου
δι᾽ ὕδατος, τὴν γεῦσιν ἡδὺς καὶ ἀπολαυστικός, ᾧ χρῶνται χωρὶς
ὕδατος. οὐ δύναται δὲ πλέον μένειν δέκα ἡμερῶν, διὸ καὶ ποιοῦσι
651f κατὰ βραχὺ | πρὸς τὴν χρείαν. ποιοῦσι δὲ καὶ ὄξος ἐξ αὐτῶν. |
652a ὅτι Ἀριστοτέλης ἐν τῷ Περὶ Φυτῶν (fr. 267 Rose = fr. 326 Gigon) 35
καὶ τὸν καρπὸν τῶν φοινίκων φοίνικά φησι λέγων· φοινίκων

20 κεφαλαλγεῖς εἰσι C E, mel. κεφαλαλγές ἐστι : κεφαλαλγὲς δέ A

ἐνόρχων, οὕς τινες εὐνούχους καλοῦσιν, οἱ δ' ἀπυρήνους. οἱ δὲ Νικόλαοι φοίνικες οἱ ἀπὸ Συρίας καταγόμενοι ταύτης τῆς προσηγορίας ἔτυχον ὑπὸ τοῦ Σεβαστοῦ αὐτοκράτορος σφόδρα χαίροντος τῷ βρώματι, Νικολάου τοῦ Δαμασκηνοῦ (*FGrH* 90 T 10a)
5 ἑταίρου ὄντος | αὐτῷ καὶ πέμποντος φοίνικας συνεχῶς. ἦν δὲ τῶν 652b
ἀπὸ Περιπάτου Νικόλαος.

ὅτι ἰσχάδες ἐθαυμάζοντο αἱ Ἀττικαί· ἐπὶ γοῦν τῆς βασιλέως τραπέζης πάντων παρατιθεμένων ὅσα γῆ βρώματα φέρει ἧς βασιλεὺς ἄρχει, ξενικοῦ δὲ οὐδενός, | εὐνοῦχός τις ἐν τοῖς λοιποῖς 652c
10 τραγήμασιν εἰσήγαγεν ἰσχάδας Ἀττικάς. ὡς δὲ ἐρωτήσας ὁ βασιλεὺς ἐπύθετο ὅτι Ἀττικαὶ εἶεν, ἐκέλευσε τοῖς ἀγορασταῖς, | ὡς 652d
Δείνων (*FGrH* 690 F 12) φησίν, | ὠνεῖσθαι, ὡς ἂν ἐξουσία γένηται 652c
αὐτῶν λαμβάνειν ὅταν θέλῃ καὶ μὴ ἀγοράζῃ. λέγεται δὲ τὸν εὐνοῦχον ἐπίτηδες τοῦτο ποιῆσαι ἵν' αὐτὸν ὑπομνήσῃ τῆς ἐπὶ
15 Ἀθήνας στρατείας.

εἰσέβαινον ἰσχάδες,
τὸ παράσημον τῶν Ἀττικῶν, καὶ θύμου δέσμαι τινές,

φησὶν Ἄλεξις (fr. 122). Λυγκεὺς (fr. 17 Dalby) δ'· | ἐν τοῖς τραγι- 652d
κοῖς πάθεσιν Εὐριπίδην νομίζω Σοφοκλέους οὐδὲν διαφέρειν· ἐν δὲ
20 ταῖς ἰσχάσι τὰς Ἀττικὰς τῶν ἄλλων πολὺ προέχειν. φησὶ δὲ καὶ (fr. 13 Dalby) ταῖς χελιδονίοις ἰσχάσιν ἀντιπαραθεῖναι τὴν γῆν τὰς Βριγινδαρίδας, τῷ μὲν ὀνόματι βαρβαριζούσας, ταῖς δὲ ἡδοναῖς οὐδὲν ἧττον ἐκείνων Ἀττικιζούσας. | Φιλήμων δὲ Αἰγιλίδας φησὶν 652e
εἶναι τὰς καλλίστας ἰσχάδας, Αἴγιλα δ' εἶναι δῆμον Ἀττικῆς ἀπὸ
25 Αἰγίλου ἥρωος, χελιδονίας δὲ καλεῖσθαι τὰς ἐρυθρομελαίνας ἰσχάδας. Θεόπομπος (fr. 12.1) | δὲ τὰς Τιθρασίας ἰσχάδας ἐπαινεῖ. 652f
οὕτω δὲ ἦσαν αἱ ἰσχάδες περισπούδαστοι, ὡς Ἀμιτροχάτην τὸν Ἰνδῶν βασιλέα γράψαι Ἀντιόχῳ ἀξιοῦντα πέμψαι αὐτῷ γλυκὺν καὶ ἰσχάδας καὶ σοφιστὴν ἀγοράσαντα, | καὶ τὸν Ἀντίοχον ἀντι- 653a
30 γράψαι· ἰσχάδας καὶ γλυκὺν ἀποστελοῦμαί σοι, σοφιστὴν δ' ἐν Ἕλλησιν οὐ νόμιμον πωλεῖσθαι, | φησὶν Ἡγήσανδρος (fr. 43, *FHG* 652f
iv.421).

10 εἰσήγαγεν C E : εἰσενέγκαντος (structura alia) A : fort. εἰσήνεκγεν **12** Δείνων C E : Δίνων A ‖ **30** ἀποστελοῦμαί C : ἀποστελοῦ[μ] E : ἀποστελοῦμέν A

οὐδὲν γλυκύτερον τῶν ἰσχάδων,

653a Ἀριστοφάνης (fr. 681.1) φησίν. | ἤσθιον δὲ καὶ πεφωσμένας ἰσχάδας. |

653b | 653c | 653d ὅτι Ἀσιαγενὲς ὄνομα ἡ σταφυλή. | γενναῖα σῦκα | Πλάτων ἐν
653d ὀγδόῳ Νόμων (844e) | τὰ εὐγενῆ φησιν ἢ τὰ ἐπιγεγεννημένα οἷον 5
τὰ ἐπεμβεβλημένα· ὁ γὰρ Ἀριστοτέλης (fr. 327) καὶ ἐπεμβολάδας
653e | 653c ἀπίους | ὀνομάζει τὰς ἐγκεκεντρισμένας. | τοιαύτη δὲ καὶ ἡ παρὰ τῷ αὐτῷ (Pl. *R.* 844e) γενναία σταφυλή. ζημιοῖ δὲ ἐν τούτῳ τῷ λόγῳ Πλάτων τὸν βοτρύων ἢ σύκων γευσάμενον πρὶν ἐλθεῖν τὴν ὥραν τοῦ τρυγᾶν Ἀρκτούρῳ σύνδρομον. | 10

653f ὅτι ἐν Ἀθήναις διηνεγκεῖς ἦσαν αἱ ὀπῶραι, μαρτυρεῖ Ἀριστοφάνης ἐν Εἰρήνῃ (fr. 581.1–5). τί οὖν παράδοξον ἱστορεῖ Ἀέθλιος ὁ Σάμιος (*FGrH* 536 F 1a) λέγων· ἐν Σάμῳ σῦκον, σταφυλή,
654a ὁμομηλίς, μῆλα καὶ ῥόδα δὶς τοῦ ἐνιαυτοῦ ἐγένετό ποτε; | Λυγκεύς (fr. 7 Dalby), τῷ καλουμένῳ, φησί, Νικοστρατείῳ Ἀττικῷ βότρυι 15
τὸν Ἱππώνιον οἱ Ῥόδιοι ἀντεκφέρουσι βότρυν, ὃς ἀπὸ Ἑκατομβαιῶνος μηνὸς ὥσπερ ἀγαθὸς οἰκέτης διαμένει τὴν αὐτὴν ἔχων εὔνοιαν. ἡ πολυαναγνωσία, φησίν. |

654b ὅτι τὸ περιστέριον παρὰ πολλοῖς τῶν ἀρχαίων κεῖται.

654c ὅτι Πτολεμαῖος ὁ βασιλεὺς (*FGrH* 234 F 2a) | μὴ γεύσασθαι 20
655a φασιανικοῦ ὄρνιθος ὡμολόγησεν· | ἐχρῶντο γὰρ οἱ παλαιοὶ αὐτοῖς
654d ὡς ἀγάλμασιν. | ἐστὶ δέ, ὡς Ἀριστοτέλης (fr. 632 Rose = fr. 991 Gigon) φησί, τῶν ἀρρένων φασιανῶν οὐ κατὰ λόγον ἡ ὑπεροχὴ ἀλλὰ πολὺ μείζων. |

654e ὅτι πολὺ πλῆθος ταώνων ἐν τῇ Ῥώμῃ, ὡς δοκεῖν προμεμαντευμένον τὸν Ἀντιφάνην (fr. 203.1–4) εἰπεῖν τόδε· 25

τὸν ταῶν ὡς ἅπαξ τις ζεῦγος ἤγαγεν μόνον,
σπάνιον ὂν χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων.
χρηστὸν δὲ ἄνθρωπον ἐάν τις ἕνα μόνον ζητῶν ἴδῃ,
ὄψετ᾽ ἐκ τούτου πονηροὺς πέντε παῖδας γενονότας. | 30

654f καταφαγεῖν
τοσοῦτ᾽ ἀργύριον αὐτός; οὐδ᾽ εἰ γάλα εἶχον
λαγοῦ, μὰ τὴν Γῆν, καὶ ταῶς κατήσθιον. (Alex. fr. 128.1–3) |

655a οὐχὶ μανικόν ἐστιν ἐν οἰκίᾳ τρέφειν ταῶς,

12 Εἰρήνῃ C : Εἰρ^η^ E : Ὥραις A ‖ **16** Ἱππώνιον A C E : Ἱππώνειον C^s^ E^s^

ἐξὸν τουτοισὶ δύ᾽ ἀγάλματ᾽ ἀγοράσαι;, |

φησὶν Ἀναξανδρίδης (fr. 29). | Ἀντιφάνης (fr. 173.1–5) δέ φησιν· 654f | 655b

ἐν Ἀλίαις γίνεσθαι πόλει
φοίνικας, ἐν Ἀθήναις γλαῦκας. ἡ Κύπρος
5 ἔχει πελείας διφόρους, ἡ δ᾽ ἐν Σάμῳ
Ἥρα τὸ χρυσοῦν ὀρνίθων γένος,
τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταῶς· | 5

ταύτης γὰρ ἦσαν ἱεροί, καὶ μήποτε πρώτιστοι ἐγένοντο καὶ 655a
ἐτράφησαν ἐν Σάμῳ καὶ ἐντεῦθεν εἰς τοὺς ἔξω τόπους διεδόθησαν,
10 ὡς καὶ οἱ ἀλεκτρυόνες ἐν Περσίδι καὶ αἱ καλούμεναι μελεαγρίδες
ἐν Αἰτωλίᾳ· | διὸ καὶ ἐπὶ τοῦ νομίσματος τῶν Σαμίων ταώς ἐστιν. | 655b
ὁ δὲ τόπος ἐν ᾧ αἱ μελεαγρίδες τρέφονταί ἐστιν ἑλώδης. ἐστὶ δὲ 655c
ἄστοργον τὸ ζῷον πρὸς τὰ ἔκγονα. ἔχει δὲ μέγεθος ὄρνιθος
γενναίου, τὴν δὲ κεφαλὴν μικρὰν πρὸς τὸ σῶμα καὶ ψιλήν, ἐπ᾽
15 αὐτῆς δὲ λόφον σάρκινον, σκληρόν, στρογγύλον, ἐξέχοντα τῆς
κεφαλῆς ὡς πάτταλον, καὶ τὸ χρῶμα | ξυλοειδές, πρὸς δὲ ταῖς 655d
γνάθοις ἀπὸ τοῦ στόματος ἀρξαμένην ἀντὶ πώγωνος μακρὰν
σάρκα καὶ ἐρυθροτέραν τῶν ὀρνίθων. τὴν δὲ τοῖς ὄρνισιν ἐπὶ τῷ
ῥύγχει κειμένην, ἣν ἔνιοι πώγωνα καλοῦσιν, οὐκ ἔχει· διὸ καὶ
20 ταύτῃ κολοβόν ἐστι. ῥύγχος δὲ ὀξύτερον ἢ ὄρνις ἔχει. σῶμα ποικί-
λον μέλανος ὄντος τοῦ χρώματος ὅλου πτίλοις λευκοῖς καὶ πυκνοῖς
διειλημμένου μείζοσι φακῶν. οὗτοι δ᾽ εἰσὶν ἐν ῥόμβοις | οἱ κυκλί- 655e
σκοι μελαντέροις τοῦ ὅλου χρώματος· διὸ καὶ ποικιλίαν οἱ ῥόμβοι
παρέχονται, τοῦ μέλανος ἔχοντος λευκότερον τὸ χρῶμα, τοῦ δὲ
25 λευκοῦ πολὺ μελάντερον. τὰς δὲ πτέρυγας πεποίκιλται πριονώ-
δεσι σχήμασι πυρώδεσι πρὸς ἄλληλα κειμένοις. σκέλη δὲ ἄκεντρα
ὅμοια τοῖς ὀρνιθίοις. παραπλήσιαι δέ εἰσιν αἱ θήλειαι τοῖς ἄρρεσι·
διὸ καὶ δυσδιάκριτον αὐτῶν τὸ γένος. | Ἀθηναῖοι ταῖς Ὥραις θύον- 656a
τες, φησὶ Φιλόχορος (*FGrH* 328 F 173), οὐκ ὀπτῶσιν ἀλλ᾽ ἕψουσι τὰ
30 κρέα παραιτούμενοι ταύτας ἀπείργειν τὰ περισκελῆ καύματα καὶ
τοὺς αὐχμούς, μετὰ δὲ τῆς συμμέτρου θερμασίας καὶ ὑδάτων
ὡραίων ἐκτελεῖν τὰ φυόμενα· τὴν μὲν γὰρ ὄπτησιν ἐλάττους παρ-

16 ξυλοειδές A : ξυλοει^{δ} C E : ξυλοειδῆ Schweighäuser ‖ **25** τὰς δὲ πτέρυγας] τὰ δὲ πτέρυγας C E : τὸ δὲ κατὰ τὰς πτέρυγας A ‖ **27** ὀρνιθίοις A C^{s} E^{s} : ὀρνιθείοις C E

ἑχεσθαι ὠφελείας, τὴν δὲ ἕψησιν οὐ μόνον τὴν ὠμότητα περιαιρεῖν ἀλλὰ καὶ τὰ σκληρὰ μαλάττειν δύνασθαι καὶ τὰ λοιπὰ πεπαίνειν. ἔτι δ' εὐμενέστερον καὶ ἀκινδυνότερον πεπαίνει τὴν τροφήν, διόπερ | 656b ἑφθὸν ἐποπτᾶν οὐ δεῖ, φασίν, οὐδ' ἐφέψειν· ἀνάλυσιν γὰρ ἔχειν δοκεῖ τοῦ βελτίονος. τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες. | 5

656c ὅτι Σάμιοι, φησὶν Ἡγήσανδρος (fr. 44, *FHG* iv.421), πλεύσαντες εἰς Σύβαριν καὶ κατασχόντες τὴν Σιρῖτιν χώραν, περδίκων ἀναπάντων καὶ ποιησάντων ψόφον ἐκπλαγέντες ἔφυγον καὶ ἐμβάντες εἰς τὰς ναῦς ἀπέπλευσαν.

656d ὅτι Σιμωνίδης δειπνῶν παρ' Ἱέρωνι οὐ παρατεθέντος αὐτῷ | κα- 10
656c | 656d θάπερ καὶ τοῖς ἄλλοις | ἐπὶ τὴν τράπεζαν | λαγωοῦ, ἀλλ' ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος, ἀπεσχεδίασεν·

οὐδὲ γὰρ εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο (cf. *Il.* 14.33), |

656c | 656d Χαμαιλέων (fr. 33 Wehrli) φησίν. | ἦν δὲ κίμβιξ ὁ Σιμωνίδης καὶ αἰσχροκέρδης· ἐν Συρακούσαις γοῦν τοῦ Ἱέρωνος ἀποστέλλοντος 15 αὐτῷ τὰ καθ' ἡμέραν λαμπρῶς πωλῶν τὰ πλείω τῶν πεμπομένων ἑαυτῷ μικρὸν μέρος ἀπετίθετο. ἐρομένου δέ τινος τὴν αἰτίαν, 656e "ὅπως", εἶπεν, "ἥ τε Ἱέρωνος μεγαλοπρέπεια | καταφανὴς ᾖ καὶ ἡ ἐμὴ κοσμιότης."

ὅτι τὸ οὖθαρ καὶ ὑπογάστριον καλεῖται. 20

656f ὅτι σιτιστῶν ὀρνίθων | καὶ δελφάκων πολλοὶ μέμνηνται. Σώπατρος (fr. 5)·

εἴ που κλίβανος ἦν, πολὺ δέλφαξ σιτευτὸς ἔτρυξε. |

657a | 657b δέλφαξ τε εὕρηται καὶ ἀρσενικῶς καὶ θηλυκῶς. | Θεόπομπός (*FGrH* 115 F 22, 106) φησιν ὅτι Θάσιοι ἔπεμψαν Ἀγησιλάῳ προσι- 25 όντι πρόβατα παντοδαπὰ καὶ βοῦς εὖ τεθραμμένους καὶ πέμματα καὶ τραγήματα παντοδαπά. ὁ δ' Ἀγησίλαος τὰ μὲν πρόβατα καὶ τὰς βοῦς ἔλαβε, τὰ δὲ πέμματα καὶ τὰ τραγήματα πρῶτον μὲν 657c οὐδ' ἔγνω· κατεκεκάλυπτο γάρ. ὡς | δὲ κατεῖδεν, ἀποφέρειν αὐτοὺς ἐκέλευεν εἰπὼν οὐ νόμιμον εἶναι Λακεδαιμονίοις χρᾶσθαι 30 τοιούτοις ἐδέσμασι. λιπαρούντων δὲ τῶν Θασίων, "δότε", φησί, "φέροντες ἐκείνοις," δείξας τοὺς ἔλωτας, εἰπὼν ὅτι· "τούτους δὲ οἶδα φθείρεσθαι τρώγοντας αὐτὰ πολὺ μᾶλλον" ἢ αὑτὸν καὶ τοὺς παρόντας Λακεδαιμονίων. ὑβριστικῶς δὲ πάνυ Λακεδαιμόνιοι τοῖς

4 ἐποπτᾶν A : ἐποπιᾶν C E ‖ **7–8** ἀναπάντων C E : ἀναπτάντων A

εἵλωσιν ἐχρῶντο, ὡς Μύρων φησὶν ὁ Πριηνεύς (*FGrH* 106 F 2), καὶ | πᾶν ὑβριστικὸν ἔργον ἐπιτάττουσι· κυνῆν τε γὰρ ἕκαστον φορεῖν 657d ἐπάναγκες ὥρισαν καὶ διφθέραν περιβεβλῆσθαι πληγάς τε τεταγμένας λαμβάνειν κατ' ἐνιαυτὸν ἀδικήματος χωρίς, ἵνα 5 μήποτε δουλεύειν ἀπομάθωσι. πρὸς δὲ τούτοις, εἴ τινες ἀκμάζοιεν τὴν οἰκετικὴν ἐπιφάνειαν, ἐπέθηκαν ζημίαν θάνατον καὶ τοῖς κεκτημένοις ἐπιτίμιον, εἰ μὴ ἐπικόπτοιεν τοὺς ἀνδρουμένους. καὶ παραδόντες αὐτοῖς τὴν χώραν ἔταξαν μοῖραν | ἣν αὐτοῖς ἀνοίσου- 657e σιν ἀεί.

10 ὅτι χηνίζειν εἴρηκε Δίφιλος (fr. 78.1) ἐπὶ τῶν αὐλούντων. |

ὅτι εὕρηται τὸ ἁλίπαστον κρέας ἐν χρήσει. 658a

ὅτι Σικελίας αὔχημα (adesp. com. fr. *124) τροφαλίς· | καλοὺς 658b γὰρ ποιεῖ τυρούς. ἔνδοξος δὲ καὶ ὁ Στρομιλικός. φησὶ δὲ Δημήτριος ὁ Σκήψιος (fr. 3 Gaede) ὅτι πόλις Ἀχαίας Στρομίλεια, 15 περὶ ἣν γίνεται τυρὸς αἴγειος ἥδιστος οὐκ ἔχων σύγκρισιν πρὸς | ἕτερον, ὁ προσαγορευόμενος Στρομιλικός. Εὐριπίδης δ' ὀπίαν 658c καλεῖ τυρὸν τὸν δριμὺν τὸν πηγνύμενον τῷ τῆς συκῆς ὀπῷ· φησὶ γοῦν (*Cyc.* 136)·

καὶ τυρὸς ὀπίας ἐστὶ καὶ Διὸς γάλα. |

20 ὅτι τὸ λείψανον τῶν τραγημάτων ἀποτράγημα λέγεται. 658d Εὔπολις (fr. 306) οὖν σκώπτων Διδυμίαν τινὰ ἀποτράγημα αὐτὸν εἶπεν ἀλώπεκος ἤτοι ὡς μικρὸν τὸ σῶμα ἢ ὡς κακοήθη καὶ πανοῦργον.

ὅτι τοὺς λεπτοὺς τῶν τυρῶν καὶ πλατεῖς Κρῆτες θηλείας 25 καλοῦσι, φησὶ Σέλευκος (fr. 56 Müller)· οὓς καὶ ἐν θυσίαις τισὶν ἐναγίζουσι. πυριέφθα δὲ καλεῖται παρὰ Φιλιππίδῃ (fr. 10.1) τὸ πρῶτον γάλα. | πάντα δὲ ταῦτα ἐπιδειπνιάδας ἔλεγον Μακεδόνες· 658e κώθωνος γὰρ ἡδύσματα ταῦτα. |

ὅτι δοῦλοι ὀψοποιοὶ παρῆλθον ὑπὸ πρώτων Μακεδόνων τοῦτ' 659a 30 ἐπιτηδευσάντων ἢ δι' ὕβριν ἢ δι' ἀτυχίαν τῶν αἰχμαλωτισθεισῶν πόλεων. ἐκάλουν δ' οἱ παλαιοὶ τὸν μὲν πολιτικὸν μάγειρον Μαίσωνα, τὸν δ' ἐκτόπιον τέττιγα. Χρύσιππος (xxviii fr. 13, *SVF* iii.200) δὲ τὸν Μαίσωνα ἀπὸ τοῦ μασᾶσθαι οἴεται κεκλῆσθαι, οἷον

13 Στρομιλικός C E : Τρομιλικός A ‖ **14** Στρομίλεια E : Στομίλεια C : Τρομίλεια A ‖ **16** Στρομιλικός C E : Τρομιλικός A ‖ **27** ἐπιδειπνιάδας, i.e. -ΙΑΔΑΣ C E : ἐπιδειπνίδας, i.e. -ΙΔΑΣ A

τὸν ἀμαθῆ καὶ πρὸς γαστέρα νενευκότα, ἀγνοῶν ὅτι Μαίσων γέγονε κωμῳδίας ὑποκριτής, Μεγαρεὺς τὸ γένος, ὃς καὶ τὸ 659b προσωπεῖον εὗρε τὸ ἀπ᾽ αὐτοῦ καλούμενον μαίσωνα. | καλοῦνται δὲ καὶ σκώμματα μαισωνικά· μάλιστα γὰρ εἰσάγονται οἱ μάγειροι σκωπτικοί. Φιλήμων (Strato Com. fr. 1.1–4) οὖν πού 5 φησι·

φίγγα ἄρρενα, οὐ μάγειρον, εἰς τὴν οἰκίαν
εἴληφα· ἁπλῶς γὰρ οὐδὲ ἕν, μὰ τοὺς θεούς,
ὧν λέγει συνίημι· καινὰ ῥήματα |
659c πεπορισμένος γάρ ἐστιν. | 10

660a | 660c ὅτι οἱ παλαιοὶ τὸ θύειν δρᾶν ὠνόμαζον. | οὕτω δὲ μέγιστον ἦν 660b τὸ τῆς μαγειρικῆς ἀξίωμα, | ὥστε καὶ Ἀγαμέμνων παρ᾽ Ὁμήρῳ θύει (*Il.* 3.292–4) καὶ Θρασυμήδης ὁ Νέστορος υἱὸς ἀναλαβὼν | 660c πέλεκυν κόπτει τὸν βοῦν (*Od.* 3.442–3)· οὐ γὰρ ἠδύνατο Νέστωρ διὰ τὸ γῆρας· συνεπόνουν δ᾽ αὐτῷ καὶ οἱ ἄλλοι ἀδελφοί (*Od.* 15 3.439–2, 444). καὶ παρὰ Ῥωμαίοις οἱ τιμηταί — μεγίστη δὲ αὕτη ἀρχή — τὴν περιπόρφυρον ἐνδεδυκότες καὶ ἐστεφανωμένοι 660e πελέκει τὰ ἱερεῖα κατέβαλλον. | Ἰόβας δὲ μάγειρον εἰσάγει φυσιολογοῦντα καὶ λέγοντα ὅτι ἡ μαγειρική

(A.) τῆς δυσχεροῦς | 5 20
660f ἀλληλοφαγίας | 6
660e ἡμᾶς ἀπολύσασα | 5
660f ἤγαγ᾽ εἰς τάξιν τινὰ 6
καὶ τουτονὶ περιῆψεν ὃν νῦν βίον
ζῶμεν· 25
ἀλληλοφαγίας γὰρ καὶ κακῶν ὄντων συχνῶν
γενόμενος ἄνθρωπός τις οὐκ ἀβέλτερος 10
ἔθυσ᾽ ἱερεῖον πρῶτος, ὤπτησε κρέα,
ἴσως δ᾽ ἦν τὸ κρέας ἥδιον ἀνθρώπου κρεῶν.
εἶθ᾽ αὑτοὺς μὲν οὐκ ἐμασῶντο, τὰ δὲ βοσκήματα 30
ὤπτων θύοντες. ὡς δ᾽ ἅπαξ τῆς ἡδονῆς |
661a ἐμπειρίαν τιν᾽ ἔλαβον, ἀρχῆς γενομένης 15
ἐπὶ πλεῖόν τινες ηὖξον τὴν μαγειρικὴν τέχνην.
ὅθεν ἔτι καὶ νῦν τῶν πρότερον μεμνημένοι

3 καλοῦνται (epitomatoris more) C E : καλεῖται A ‖ **7** φίγγα C E : σφίγγα A

τὰ σπλάγχνα τοῖς θεοῖς ὀπτῶσι φλογὶ
ἅλας οὐ προσάγοντες· οὐδὲ γὰρ ἦσαν ἔτι
εἰς τὴν τοιαύτην χρῆσιν ἐξηυρημένοι. 20
ὡς δ' ἤρεσεν αὐτοῖς ὕστερον, καὶ τοὺς ἅλας
5 προσάγουσιν. (Athenio fr. 1.5–6, 5–22) |

οἷς ἐπάγει· 661b

(B.) καινός ἐστιν οὑτοσὶ Παλαίφατος. (Athenio fr. 1.27) |

οἱ δὲ Ὀψαρτυτικὰ γράψαντες | Ἡρακλείδης καὶ Γλαῦκος ὁ Λοκρὸς 661d | 661e
οὐχ ἁρμόττειν φασὶ τὴν μαγειρικὴν ἀλλ' οὐδὲ τοῖς τυχοῦσι τῶν
10 ἐλευθέρων. ὁ δὲ νεώτερός που Κρατῖνός (Cratin. Jun. fr. 1.1–5)
φησι·

(A.) τῆς γῆς ὡς γλυκὺ
ὄζει καπνός τ' ἐξέρχεται εὐωδέστερος.
οἰκεῖ τις, ὡς ἔοικε, τῷ χάσματι
15 λιβανωτοπόλης ἢ μάγειρος Σικελικός. |
(B.) παραπλησίαν ὀσμὴν λέγεις ἀμφοῖν. | 5 661f

ὅτι τὸ μῦμα σκευάζεται ἐκ κρεῶν καὶ αἵματος πολλῶν 662d
ἀρτυμάτων συνεμβαλλομένων. | ἡ δὲ ματτύη Θετταλῶν εὕρεμα, 662f
ἐπεχωρίασε δὲ καὶ ἐν Ἀθήναις κατὰ τὴν τῶν Μακεδόνων |
20 ἐπικράτειαν. ὁμολογοῦνται δὲ οἱ Θετταλοὶ πολυτελέστατοι 663a
Ἑλλήνων γεγενῆσθαι περί τε τὰς ἐσθῆτας καὶ τὴν δίαιταν· ὃ
αὐτοῖς αἴτιον ἐγένετο τοῦ κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς
Πέρσας. ὠνόμασται δὲ ματτύη ἀπὸ τοῦ μασᾶσθαι, ὥς φησιν ὁ
Ἀθηναῖος Ἀπολλόδωρος (*FGrH* 244 F 222), ὥσπερ καὶ ἡ μαστίχη· |
25 ἡμεῖς δέ φαμεν ἀπὸ τοῦ μάττειν, ἀφ' οὗ καὶ ἡ μᾶζα αὐτὴ καὶ ἡ 663b
παρὰ Κυπρίοις καλουμένη μαγὶς καὶ τὸ ἄγαν τρυφᾶν ὑπερμαζᾶν.
κατ' ἀρχὰς μὲν οὖν τὴν κοινὴν καὶ δημοτικὴν ταύτην τροφὴν τὴν
ἐκ τῶν ἀλφίτων μᾶζαν ἐκάλουν καὶ μάττειν τὸ παρασκευάζειν
αὐτήν. ὕστερον δὲ ποικίλαντες τὴν ἀναγκαίαν τροφὴν ἀκολάστως
30 καὶ περιέργως μικρὸν παραγαγόντες τοὔνομα τῆς μάζης ματτύην
ὠνόμαζον πᾶν τὸ πολυτελὲς ἔδεσμα, καὶ ματτυάζειν | τὸ 663c
παρασκευάζειν αὐτό, εἴτε ἰχθὺς εἴη εἴτε ὄρνις εἴτε λάχανον εἴτε
ἱερεῖον εἴτε σπερμάτιον· ἐν γοῦν τῷ Ἀλέξιδος μαρτυρίῳ

6–7 οἷς ἐπάγει ... Παλαίφατος om. E

πρόσκειται τῷ ματτυάζειν τὸ λέπεσθαι εἰς δήλωσιν τῆς ἀκολάστου παρασκευῆς· φησὶ γάρ (Alex. fr. 50.2–3)·

προπόσεις πίνετε, |
663d λέπεσθε, ματτυάζετε.

τῷ δὲ λέπεσθαι χρῶνται Ἀθηναῖοι ἐπ᾽ ἀσελγοῦς καὶ φορτικῆς δι᾽ 5 ἀφροδισίων ἡδονῆς. κοινὸν δὲ ὄνομα πάντων τῶν πολυτελῶν 664a ἡδυσμάτων τὴν ματτύην ἀποφαίνει Ἀρτεμίδωρος. | Μάχων δὲ ὁ Σικυώνιος κωμικὸς (test. 1) οὐκ ἐδίδαξεν Ἀθήνησι τὰς κωμῳδίας αὑτοῦ ἀλλ᾽ ἐν Ἀλεξανδρείᾳ. ἦν δ᾽ ἀγαθὸς ποιητὴς εἴ τις ἄλλος τῶν μετὰ τοὺς ἑπτά· διὸ ὁ γραμματικὸς Ἀριστοφάνης (test. 13B Slater) 10 664b συνεσχόλασεν αὐτῷ νέος ὤν. | οὗτός φησιν (Macho fr. 1)·

ἥδιον οὐδέν ἐστί μοι τῆς ματτύης.
τοῦτ᾽ εἴτε πρῶτοι Μακεδόνες τοῖς Ἀττικοῖς
κατεδίδαξαν ἡμῖν, εἴτε πάντες οἱ θεοί,
οὐκ οἶδα πλήν ἐστί γε μουσικωτάτου τινός. 15

ὕστατον δὲ καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο, Νικόστρατός (fr. 7) φησι. | 664d Μόλπις δ᾽ ὁ Λάκων (*FGrH* 590 F *2a) τὰ παρὰ τοῖς Σπαρτιάταις | 664e ἐπαΐκλια, ὅ ἐστι τὰς ἐπιδειπνίδας, ματτύας φησὶ παρὰ τοῖς ἄλλοις λέγεσθαι. ὁ δὲ κυνικὸς Μένιππός (*Arcesilaus* fr. II, p. 245 Riese) φησι· πότος ἦν ἐπικωμασάντων τινῶν καὶ ματτύην ἐκέλευσεν 20 εἰσφέρειν Λάκαινά τις· καὶ εὐθέως περιεφέρετο περδίκια ὀλίγα καὶ χήνεια ὀπτὰ καὶ τρύφη πλακούντων. τὸ δὲ τοιοῦτον δεῖπνον οἱ μὲν Ἀττικοὶ προσηγόρευον ἐπιδόρπισμα, οἱ δὲ Δωριεῖς ἐπαΐκλιον, τῶν δ᾽ ἄλλων Ἑλλήνων οἱ πλεῖστοι ἐπίδειπνα.

18 ἐπαΐκλια Cˢ E : ἐπαίκλεια A C Eˢ ‖ **21** περδίκια A C E : περδίκεια Cˢ Eˢ **23** ἐπαΐκλιον] ἐπάϊκλιον C E : † ἐπαικλον † A ‖ **24** τέλος τῶν ἐκ τοῦ ιδ´ λόγου E

ἐκ τοῦ πεντεκαιδεκάτου λόγου

εἴ μοι τὸ Νεστόρειον εὔγλωττον μέλος 665a
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,

κατὰ τὸν Εὐριπίδην (fr. 899). | τὸ ἀπὸ βαλανείου καθάρσεως ἕνεκεν 665d
5 τοῦ στομάχου πίνοντες ἄμυστιν ἀποκλύζειν ὁ Ἰουλιήτης Ἐρασί-
στρατος (fr. 152 Garofalo) | ἀποτρέπεται ἐπιτιμῶν τοῖς τοῦτο 666a
ποιοῦσι, βλαπτικὸν ὀφθαλμῶν τὸ ἐπιχείρημα δεικνύων καὶ τῆς
κάτω κοιλίας ἐπισχετικόν. εἰ μὴ ἰατροί, φησίν, ἦσαν, οὐδὲν ἂν ἦν
τῶν γραμματικῶν μωρότερον. |

10 ὅτι ἡ τῶν κοττάβων εὕρεσις Σικελική ἐστι παιδιὰ ταύτην 666b
πρώτων εὑρόντων Σικελῶν. καὶ ἡ λατάγη δὲ Σικελικόν ἐστιν
ὄνομα. λατάγη δ' ἐστὶ τὸ ὑπολειπόμενον | ἀπὸ τοῦ ποθέντος 666c
ποτηρίου ὑγρόν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐρρίπτουν οἱ
παίζοντες εἰς τὸ κοττάβιον. Θεσσαλοὶ δὲ καὶ Ῥόδιοι λατάγην τὸν
15 ἀπὸ τῶν ποτηρίων κότταβον λέγουσι. κότταβος δ' ἐκαλεῖτο καὶ τὸ
τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ. Εὐριπίδης Οἰνεῖ (fr.
562)·

πυκνοῖς δ' ἔβαλλον Βακχείου τοξεύμασι
κάρα γέροντος· τὸν βαλόντα δὲ στέφειν
20 ἐγὼ 'τετάγμην ἆθλα κοττάβων διδούς. |

ἐκαλεῖτο δὲ κότταβος καὶ τὸ ἄγγος εἰς ὃ ἔβαλλον τὰς λατάγας. | 666d
ἐκαλοῦντο δὲ καὶ κατακτοί τινες κότταβοι· ἐστὶ δὲ λυχνία ἀναγό- 666e
μενα πάλιν τε συμπίπτοντα. Εὔβουλος (fr. 15)·

τίς ἂν λάβοιτο τοῦ σκέλους κάτω θέμενος; |
25 ἄνω γὰρ ὥσπερ κοττάβιον αἴρομαι. 666f

Ἀντιφάνης (fr. 57.1–13)·

(A.) κότταβος
τὸ λυχνίον ἐστί. πρόσεχε τὸν νοῦν· ᾠὰ μὲν
πέντε νικητήριον.
30 (B.) κοτταβίῃ τίνα τρόπον;
(A.) ἐγὼ διδάξω· καθ' ὅσον ἂν τὸν κότταβον 5

1 ἐκ τοῦ ιε´ λόγου E : Ἀθηναίου ἐκ τοῦ πεντεκαιδεκάτου βιβλίου C ‖ **5** ἀπο-
κλύζειν C E, rectius ἀποβλύζειν : ἀποβλύζουσι (structura alia) A

ἀφῇς ἐπὶ τὴν πλάστιγγα —
(Β.) ποίαν; (Α.) τοῦτο τοὐπικείμενον
ἄνω τὸ μικρόν (Β.) τὸ πινακίσκιον λέγεις; |
667a (Α.) τοῦτ' ἔστι πλάστιγξ — οὗτος ὁ κρατῶν γίνεται.
(Β.) πῶς δ' εἴσεταί τις τοῦτο; (Α.) ἂν τύχῃ μόνον 10 5
αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται καὶ ψόφος
ἐστὶ πάνυ πολύς. (Β.) πρὸς θεῶν, τῷ κοττάβῳ
πρόσεστι καὶ Μάνης τις ὥσπερ οἰκέτης;

καὶ μετ' ὀλίγα φησί (Antiph. fr. 57.15–20)·

(Α.) δεῖ καρκινοῦν τοὺς δακτύλους 15 10
οἶνόν τε μικρὸν ἐγχέαι καὶ μὴ πολύν· |
667b ἔπειτ' ἀφήσεις. (Β.) τίνα τρόπον; (Α.) βλέπε·
τοιοῦτον. (Β.) Πόσειδον, ὡς ὑψοῦ σφόδρα.
(Α.) οὕτω ποιήσεις. (Β.) ἀλλ' ἐγὼ μὲν σφενδόνῃ
οὐκ ἂν ἐφικοίμην αὐτό γε. (Α.) ἀλλὰ μάνθανε· 20 15

ἀγκυλοῦντα γὰρ δεῖ σφόδρα τὴν χεῖρα εὐρύθμως πέμπειν τὸν κότταβον. καὶ παρὰ Πλάτωνι (fr. 47) δέ τις παρακελεύεται τῷ Ἡρακλεῖ μὴ σκληρὰν ἔχειν τὴν χεῖρα μέλλοντα κοτταβίζειν. 667c ἐκάλουν | δ' ἀπ' ἀγκύλης τὴν τοῦ κοττάβου πρόεσιν διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς· οἱ δὲ ποτηρίου 20 εἶδος τὴν ἀγκύλην φασί. καὶ λέγονται δέ τινες κότταβοι ἀγκυλη-667d τοί. | ἆθλον δὲ τῷ προεμένῳ τὸν κότταβον ᾠὰ καὶ πεμμάτια καὶ 667e τραγήματα. | ἕτερον δ' ἐστὶν εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ. αὕτη δι' ὕδατος πληροῦται ἐπινεῖ τε ἐπ' αὐτῆς ὀξύβαφα κενά, ἐφ' ἃ βάλλοντες τὰς λατάγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν· 25 668b ἀνῃρεῖτο δὲ τὰ κοττάβια ὁ πλείω καταδύσας. | λέγονται δὲ καὶ κόσσαβοι. Εὐριπίδης (fr. 631.1–2)·

πολὺς δὲ κοσσάβων ἀραγ-
μός. |

668c ὅτι πυραμοῦς ἐδίδοτο τοῖς διαγρυπνήσασι καὶ πεμμάτιά τινα 30 ἐν ταῖς παννυχίσιν, ἐν αἷς πλεῖστον ὅσον χρόνον διηγρύπνουν

1 ἀφῇς] ἀφῆς C E : ἀφεὶς A et Σ$^{E\Delta}$ Luc. *Lex.* 3 ‖ **27** κόσσαβοι C : κότταβοι E : κοσσάβους (structura alia) A

χορεύοντες· διωνομάζετο δὲ ταῦτα χαρίσια ἀπὸ τῆς τῶν ἀναιρουμένων αὐτὰ χαρᾶς. | Εὔβουλος (fr. 1.2–3)· 668d

εἶτ' εὐθὺς ἐξεπήδησα
πέττουσα τὸν χαρίσιον. |

5 ἐκ τῶν ἀποθέτων τοῖς Ὁμηρίδαις ἀνασπάσας, φησί, τὰ κοττάβια. | 669b

ὅτι Διονύσιος ὁ ῥήτωρ καὶ ποιητὴς Χαλκοῦς ἐκλήθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι. | 669d

ὅτι τῶν ἐρωμένων ἐὰν ἐλύθη ὁ στέφανος, ἐρᾶν ἐλέγετο· καὶ ἦν σημεῖον τοῦ καὶ τὸν τοῦ ἤθους κόσμον περιῃρῆσθαι τοὺς τοιούτους. | 669f
10 ὁ δ' ἐκ τοῦ στεφάνου κόσμος οὐδὲν ἔχων μόνιμον σημεῖόν ἐστι πάθους ἀβεβαίου μέν, κεκαλλωπισμένου δέ. τοιοῦτος δ' ὁ ἔρως· οὐδένες γὰρ μᾶλλον τῶν ἐν τῷ ἐρᾶν ὄντων καλλωπίζονται. εἰ μὴ ἄρα ἡ φύσις οἱονεί τι δαιμόνιον δικαίως βραβεύουσα τῶν πραγμάτων ἕκαστον οἴεται δεῖν τοὺς ἐρῶντας μὴ στεφανοῦσθαι πρὶν 15 κρατήσουσι τοῦ ἔρωτος· τοῦτο δ' ἐστὶν ὅταν κατεργασάμενοι τὸ ἐρώμενον ἀπαλλαγῶσι τῆς ἐπιθυμίας. τὴν ἀφαίρεσιν οὖν τοῦ στεφάνου σημεῖον τοῦ ἔτι ἐν τῷ διαγωνίζεσθαι εἶναι ποιούμεθα. | ἢ ὁ Ἔρως αὐτὸς οὐκ ἐῶν καθ' αὑτοῦ στεφανοῦσθαι καὶ ἀνακηρύττεσθαι τῶν μὲν τὸν στέφανον περιαιρεῖ, τοῖς δὲ λοιποῖς ἐνδίδωσιν 20 αἴσθησιν μηνύων ὡς ἡττῶνται ὑπ' αὐτοῦ· διὸ ἐρᾶν οἱ λοιποὶ τοὺς τοιούτους φασίν. ἢ ὅτι λύεται μὲν πᾶν τὸ δεδεμένον, ὁ δὲ ἔρως στεφανουμένων τινῶν δεσμός ἐστιν (οὐθένες γὰρ ἄλλοι τῶν δεδεμένων περὶ τὸ στεφανοῦσθαι σπουδάζουσι πλὴν οἱ ἐρῶντες), τὴν τοῦ στεφάνου δήλωσιν σημεῖον τοῦ περὶ τὸν ἔρωτα δεσμοῦ νομί- 25 ζοντες ἐρᾶν φασι τοὺς τοιούτους. | ἢ διὰ τὸ πολλάκις τοὺς ἐρῶντας διὰ τὴν πτοίησιν, ὡς ἔοικε, στεφανουμένους περιρρεῖν αὐτῶν τὸν στέφανον ἀντιστρέφει ὁμοίως τῇ ὑπονοίᾳ τὸ πάθος, ὡς οὐκ ἄν ποτε τοῦ στεφάνου περιρρέοντος, εἰ μὴ ἤρων. ἢ ὅτι ἀναλύσεις περὶ μόνους μάλιστα τοὺς ἐρῶντας καὶ καταδεδεμένους γίνονται, τὴν 30 δὲ τοῦ στεφάνου ἀνάλυσιν καταδεδεμένων τινῶν εἶναι νομίζοντες ἐρᾶν φασι τοὺς τοιούτους· καταδέδενται γὰρ οἱ ἐρῶντες. εἰ μὴ ἄρα διὰ τὸ κατεστέφθαι τῷ Ἔρωτι τοὺς ἐρῶντας οὐκ ἐπίμονος αὐτῶν ὁ στέφανος γίνεται· | χαλεπὸν γὰρ ἐπὶ μεγάλῳ καὶ θείῳ στεφάνῳ μικρὸν καὶ τὸν τυχόντα θεῖναι. | 670a 670b 670c 670d

8 ἐλύθη C : ἐλύ^{θ} E : λύηται A ‖ **28–30** περιρρέοντος … στεφάνου om. E

670f ὅτι Πλάτων ἐν ἑβδόμῳ Νόμων (819b) πρόβλημα προβάλλει
στεφανωτικὸν λέγων· μήλων τινῶν καὶ στεφάνων διανομαὶ
πλείοσιν ἅμα καὶ ἐλάττοσιν ἁρμοττόντων τῶν ἀριθμῶν τῶν
αὐτῶν. ἐστὶ δὲ ὃ λέγει τοιοῦτον· ἕνα βούλεσθαι ἀριθμὸν εὑρεῖν ᾧ
ἕως τοῦ τελευταίου εἰσελθόντος πάντες ἕξουσιν ἤτοι μῆλα ἢ 5
671a στεφάνους. | φημὶ οὖν τὸν τῶν ἑξήκοντα ἀριθμὸν εἰς ἓξ συμπότας
δύνασθαι τὴν ἰσότητα πληροῦν· οἶδα γὰρ ὅτι οὐκ ἐξῆν συνδειπνεῖν
τῶν πέντε γε πλείους. ὁ οὖν ἑξήκοντα ἀριθμὸς εἰς ἓξ
συμπληρωθέντος τοῦ συμποσίου ἄρξεται οὕτως. εἰσῆλθεν εἰς τὸ
συμπόσιον ὁ πρῶτος καὶ ἔλαβε στεφάνους ἑξήκοντα· ἐπεισελθόντι 10
τῷ δευτέρῳ δίδωσι τοὺς ἡμίσεις καὶ ἑκατέρῳ γίνεται τριάκοντα·
671b τῷ τρίτῳ ἐπεισελθόντι | συνδιαιρούμενοι τοὺς πάντας ἀνὰ εἴκοσιν
ἔχουσι, τετάρτῳ πάλιν ὁμοίως κοινωνήσασιν ἐκ δεκαπέντε
γίνεται, πέμπτῳ δὲ ἐκ δωδέκα καὶ τῷ ἕκτῳ ἐκ δέκα. καὶ οὕτως
671c ἰσότης ἀναπληροῦται τῶν στεφάνων. | οὐκ ἐγὼ τὰς ἐκ τῶν βίων 15
ἀκάνθας ὥσπερ σὺ ἀναγινώσκων ἐκλέγω ἀλλὰ τὰ χρησιμώτατα
καὶ ἀκοῆς ἄξια. |

672a ὅτι καὶ λύγοις ἐστεφανοῦντο οἱ ἀρχαῖοι. ἀγροίκων δ' ἐστὶ
672b–c στεφάνωμα ὁ λύγος. | ἔστι δὲ ἐπ' αὐτῷ ἀπεραντολογία τις μυθική,
ἣν οὐκ ἀναγκαῖον ἐκθεῖναι, πλὴν ὅτι Κᾶρες τούτῳ ἐστεφανώθησαν 20
πρῶτοι· ἁρπασάντων γὰρ ἐκ Σάμου Τυρρηνῶν εἴδωλον Ἥρας καὶ
παρὰ τὴν ἠόνα καταγαγόντων καὶ διὰ δέος ἐασάντων ἐκεῖ καὶ
672d φυγόντων | οἱ περὶ Σάμον Κᾶρες, ἅτε βάρβαροι, ὑπονοήσαντες
αὐτομάτως ἀποδεδρακέναι πρός τι λύγου θωράκιον ἀπερεισάμενοι
καὶ τοὺς εὐμηκεστάτους κλάδους ἐπισπασάμενοι περιείλησαν αὐτὸ 25
672f παντόθεν· | διὸ παρεκελεύσατο αὐτοῖς Ἀπόλλων κατὰ τὸ
671f παραπλήσιον ἔθος στεφανώματι χρῆσθαι τῇ λύγῳ, | ἀτόπῳ καὶ εἰς
672f πλέγματα ἐπιτηδείῳ δεσμῷ, | καὶ καταδεῖν τὴν ἑαυτῶν κεφαλὴν
673a τοῖς κλάδοις οἷς αὐτοὶ κατέλαβον τὴν θεόν. | καταλῦσαι δὲ καὶ
τἄλλα γένη τῶν στεφάνων ἐπέταξε χωρὶς τῆς δάφνης· ταύτην δὲ 30
αὐτὸς ἔφη τοῖς τὴν Ἥραν θεραπεύουσι μόνοις ἀπονέμειν δῶρον
τοῖς τε χρησθεῖσιν ἐκ τῆς μαντείας. |

1 προβάλλει M P Mus : προβά^{λλ} C E : προβάλλω A ‖ **11** γίνεται C : γί$^{()τ(αι)}$ E : γίνονται A ‖ **14** γίνεται C : γί$^{()τ(αι)}$ E : γίνονται A ‖ **15** βίων C E : βιβλίων A
19–20 ἔστι … ἐκθεῖναι verba epitomatoris ‖ **30** ταύτην E : ταύτη C : τὴν A

ὅτι Λακεδαιμόνιοι καλάμῳ στεφανοῦνται ἐν τῇ τῶν 674a
Προμαχίων ἑορτῇ. | Ἀρίσταρχος δὲ ὁ Κῖός (fr. 22 Wehrli = fr. 10 674b
Fortenbaugh–White) φησιν ὅτι οἱ ἀρχαῖοι διὰ τοὺς περὶ τὸν οἶνον
πόνους τῶν κεφαλαλγιῶν δεσμοὺς εὕρισκον τοὺς τυχόντας τῆς τῶν
5 κροτάφων συνδέσεως ὠφελεῖν δοκούσης· οἱ δ' ὕστερον ἅμα τῷ
κροτάφῳ προσέβαλόν τινα καὶ κόσμον οἰκεῖον τῇ παρὰ τὸν οἶνον
διαγωγῇ μηχανησάμενοι | τὸν στέφανον. βέλτιον δὲ διὰ τὸ πάσας 674c
τὰς αἰσθήσεις ἐν τῇ κεφαλῇ εἶναι ταύτην στεφανοῦσθαι ἢ διὰ τὸ
συμφέρειν ἐσκεπάσθαι καὶ συνδεδέσθαι τοὺς κροτάφους πρὸς τὸν
10 οἶνον. ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων
(*PMG* 410) ἔφη·

> ἐπὶ δ' ὀφρύσι σελίνων στεφανίσκους
> θέμενοι θάλειαν ἑορτὴν ἀγάγωμεν
> Διονύσῳ.

15 ἐστεφανοῦντο δὲ καὶ τὰ στήθη καὶ ἐμύρουν ταῦτα, ἐπεὶ αὐτόθι ἡ
καρδία. ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους
ὑποθυμιάδας. | Ἀνακρέων (*PMG* 397)· 674d

> πλεκτὰς
> δ' ὑποθυμιάδας περὶ στήθεσι λωτίνας ἔθεντο.

20 Αἰσχύλος (fr. 202) δέ φησιν ὅτι ἐπὶ τιμῇ τοῦ Προμηθέως τὸν
στέφανον περιτίθεμεν τῇ κεφαλῇ, ἀντίποινα τοῦ ἐκείνου δεσμοῦ. |
Ἀριστοτέλης δὲ ἐν τῷ Συμποσίῳ (fr. 48 Gigon) φησὶ διὰ τοῦτο ἐν 674e
θυσίαις στεφανοῦσθαι, ὅτι | οὐδὲν κολοβὸν προσφέρομεν θεοῖς ἀλλὰ 674f
τέλεια καὶ ὅλα. τὸ δὲ πλῆρες τέλειον, τὸ δὲ στέφειν πλήρωσίν τινα
25 σημαίνει. Ὅμηρος (*Il.* 1.470)·

> κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.

καί (*Od.* 8.170)·

> θεὸς μορφὴν ἔπεσι στέφει·

τοὺς γὰρ τὴν ὄψιν ἀμόρφους ἀναπληροῖ ἡ τοῦ λέγειν πιθανότης· |
30 ἔοικεν οὖν ὁ στέφανος τοῦτο ποιεῖν βούλεσθαι· διὸ καὶ περὶ τὰ 675a
πένθη τοὐναντίον παρασκευάζομεν· ὁμοπαθείᾳ γὰρ τοῦ κεκμηκό-
τος κολοβοῦμεν ἡμᾶς κουρᾷ τε τριχῶν καὶ στεφάνων ἀφαιρέσει.

2 Ἀρίσταρχος C E : Ἀρίστων A ‖ **6** παρὰ A : π$^{\varepsilon}$ E : περὶ C

Φιλωνίδης δέ φησιν ἐκ τῆς Ἐρυθρᾶς θαλάσσης ὑπὸ Διονύσου
675b μετενεχθείσης εἰς τὴν Ἑλλάδα | τῆς ἀμπέλου καὶ πρὸς ἄμετρον
ἀπόλαυσιν τῶν πολλῶν ἐκτρεπομένων ἄκρατόν τε προσφερομένων
αὐτόν, οἱ μὲν μανιωδῶς παρέπαιον, οἱ δὲ νεκροῖς ἐῴκεσαν ἀπὸ τῆς
καρώσεως. ἐπ' ἀκτῆς δέ τινων πινόντων ἐπιπεσὼν ὄμβρος τὸ μὲν 5
συμπόσιον διέλυσε, τὸν δὲ κρατῆρα, ὃς εἶχεν ὀλίγον οἶνον ὑπολε-
λειμμένον, ἐπλήρωσεν ὕδατος. γενομένης δ' αἰθρίας εἰς τὸν αὐτὸν
675c ὑποστρέψαντες | τόπον, γευσάμενοι τοῦ μίγματος προσηνῆ καὶ
ἄλυπον ἔσχον ἀπόλαυσιν· διὸ Ἕλληνες τῷ μὲν περὶ δεῖπνον
ἀκράτῳ προσδιδομένῳ τὸν Ἀγαθὸν ἐπιφωνοῦσι Δαίμονα τιμῶντες 10
τὸν εὑρόντα Διόνυσον. τῷ δὲ μετὰ δεῖπνον πρώτῳ κεκραμένῳ
προσδιδομένῳ ποτηρίῳ Δία Σωτῆρα ἐπιλέγουσι τῆς ἐκ τοῦ
μίγματος ἀλύπου κράσεως τὸν καὶ τῶν ὄμβρων ἀρχηγὸν αἴτιον
ὑπολαβόντες. ἐδέησαν οὖν βοηθημάτων τοῖς ἐν τῷ πότῳ κεφαλὴν
ἐπιθλιβεῖσιν, ἦν δὲ δεσμὸς ἐξ αὐτῶν προχειρότατος καὶ τῆς 15
φύσεως ἐπὶ τοῦτο ὁδηγούσης· ἀλγήσας γάρ τις κεφαλήν, ὥς φησιν
675d Ἀνδρέας, εἶτα πιέσας καὶ κουφισθεὶς εὗρε | κεφαλαλγίας δεσμὸν
φάρμακον. τούτῳ οὖν βοηθήματι πρὸς τοὺς πότους χρώμενοι τοῖς
παραπίπτουσι τὴν κεφαλὴν ἐδέσμευον· καὶ ἐπὶ τὸν κίσσινον
στέφανον ἦλθον αὐτόματόν τε καὶ πολὺν ὄντα, ἔχοντα καὶ πρόσο- 20
ψιν οὐκ ἀτερπῆ, χλωροῖς πετάλοις καὶ κορύμβοις σκιάζοντα τὸ
μέτωπον καὶ τοὺς ἐν τῷ σφίγγειν τόνους ὑπομένοντα, προσέτι δὲ
ψύχοντα χωρὶς ὀδμῆς καρούσης. καὶ ταύτῃ μοι δοκεῖ Διονύσῳ ὁ
βίος ἀνεῖναι τὸ στέφος, τῷ εὑρέτῃ τοῦ πόματος καὶ τῶν δι' αὐτὸ
ἐλασσωμάτων ἀλεξητῆρι βουλομένῳ εἶναι. ἐντεῦθεν δ' εἰς ἡδονὴν 25
675e τραπέντες | τὸ μὲν τοῖς ἐκ μέθης παραβοηθοῦν ἐλαττώμασιν
ἀφῆκαν, τοῦ δὲ πρὸς ὄψιν ἢ πρὸς ὀσμὴν ἐπιτερποῦς ἐφρόντισαν·
διὸ μυρσίνης στέφανον στύφοντα καὶ τὴν οἴνων ἀναθυμίασιν
ἀποκρουόμενον, ἔτι δὲ ῥόδινον ἔχοντά τι καὶ κεφαλαλγίας παρη-
γορητικὸν σὺν τῷ καὶ κατὰ ποσὸν ψύχειν, πρὸς δὲ τοῖς δάφνινον 30
οὐκ ἀλλότρια πότου ἡγητέον. λευκόϊον δὲ κινητικὸν ὄντα κεφαλῆς

6–7 ὑπολελειμμένον C : ὑπολελεγμένον E : ὑπολελιμμένον A ‖ **9** περὶ, i.e. π^{ε} C E : παρὰ, i.e. π^{ε} A ‖ **12** ποτηρίῳ A : πο^{τρῳ} E : ποτέρῳ C ‖ **22** σφίγγειν A : σφίγγει C : σφίγγι E ‖ **24** πόματος C E : πώματος A ‖ **29–30** παρηγορητικὸν C : παραγορητικὸν E : παρηγορικὸν A ‖ **31** ἀλλότρια C E : ἀλλότριον A

καὶ ἀμαράκινον καὶ ἅπαντας τοὺς καροῦν δυναμένους ἢ βαρύνειν ἄλλως κεφαλὴν παραιτητέον. |

ὅτι ὁ Ναυκρατίτης στέφανος ἐκ μυρρίνης ἐκ μύθου σχὼν τὴν ἀρχήν· οἱ γὰρ πρῶτοι τοῦτον στεφανωσάμενοι ἐκ μυρρίνης αὐτὸν περιέθεντο ἐκ ξηρᾶς ἀναθηλησάσης καινῶς ἐν Ναυκράτει πόλει Ἀφροδίτης τάχα βουλῇ· | προσφιλὴς δὲ αὕτη τοῖς Ναυκρατίταις. | γελοῖοι οὖν οἱ λέγοντες Ναυκρατίτην στέφανον | τὸν ἐκ τῆς βίβλου τῆς στεφανωτρίδος καλουμένης παρ' Αἰγυπτίοις καὶ ἐκ ῥόδων. τίνα γὰρ ὠφέλειαν ἢ ἡδονὴν ἔχει τὸ βύβλῳ στεφανοῦσθαι μετὰ ῥόδων, πλὴν εἰ μή τι οἱ τούτοις χαίροντες στέφονται ὁμοῦ σκορόδοις καὶ ῥόδα; παμπόλλους δὲ οἶδα λέγοντας τὸν ἐκ τῆς σαμψύχου | στέφανον εἶναι τὸν Ναυκρατίτην· πολὺ δὲ τὸ ἄνθος τοῦτο κατὰ τὴν Αἴγυπτον. διάφορος δὲ γίνεται κατὰ τὴν ὀδμὴν ἡ ἐν Αἰγύπτῳ μυρρίνη παρὰ τὰς ἐν ἄλλαις χώραις, ὡς Θεόφραστος (*HP* 6.8.5) ἱστορεῖ.

675f–6a 5 676a 676c | 676d 10 676e 15

στεφάνους τεμόντες ἀγγέλους εὐφημίας,

φησὶ Χαιρήμων (*TrGF* 71 F 6). |

ὅτι πρῶτος παρ' Ἕλλησι στέφανος ὠνομάσθη, ὥς φησι Σῆμος (*FGrH* 396 F 8), τὸ παρὰ | μὲν ἡμῖν στέφανος, παρὰ δέ τισι στέμμα προσαγορευόμενον. |

676f 677a 20

ὅτι στεφάνων γένος ἡ ὑπογλωττίς. 677b

ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός,

Εὐριπίδης (fr. 189) φησίν. |

ὅτι ἐν Ἀλεξανδρείᾳ καλεῖταί τις στέφανος Ἀντινόειος γινόμενος ἐκ τοῦ αὐτόθι λωτοῦ. φύεται δ' οὗτος ἐν λίμναις θέρους ὥρᾳ, καί εἰσιν αὐτοῦ χροιαὶ δύο, ἡ μὲν τῷ ῥόδῳ ἐοικυῖα, ἐξ οὗ πλεκόμενος στέφανος κυρίως Ἀντινόειος καλεῖται· ὁ δὲ ἕτερος λώτινος καλεῖται κυανέαν ἔχων τὴν χροιάν. Παγκράτης (*FGrH* 625 T 1) δέ τις ποιητὴς ἐπιχώριος Ἀδριανῷ τῷ αὐτοκράτορι | ἐπιδημήσαντι τῇ Ἀλεξανδρείᾳ μετὰ πολλῆς τερατείας ἐπέδειξε τὸν ῥοδίζοντα λωτὸν φάσκων αὐτὸν δεῖν καλεῖν Ἀντινόειον ἀναπεμφθέντα ὑπὸ τῆς γῆς ὅτε τὸ αἷμα ἐδέξατο τοῦ Μαυρουσίου λέοντος, ὃν κατὰ τὴν πλη-

25 677d 30 677e

2 παραιτητέον C E : περιστατέον A ‖ 7 βίβλου A C : βύβλου E, cf. βύβλῳ infra ‖ **10** στέφονται C E : στέψονται A

σίον τῇ Ἀλεξανδρείᾳ Λιβύην ἐν κυνηγίῳ καταβεβλήκει ὁ Ἀδριανὸς μέγα χρῆμα ὄντα καὶ πολλῷ χρόνῳ κατανεμηθέντα πᾶσαν Λιβύην, ἧς καὶ πολλὰ ἀοίκητα ἐπεποιήκει οὗτος ὁ λέων. ἡσθεὶς οὖν ἐπὶ τῇ τῆς ἐννοίας εὑρέσει καὶ καινότητι τὴν ἐν Μουσῶν αὐτῷ
677f σίτησιν ἔχειν | ἐχαρίσατο. 5

ὅτι τὰ φυλλώδη πάντα ὑπὸ τῶν Ἀθηναίων στεφανώματα λέγονται. ὁ ἄνω ῥηθεὶς Παγκράτης οὐκ ἀγλαφύρως που εἴρηκεν (fr. 3, p. 54 Heitsch)·

> οὔλην ἕρπυλλον, λευκὸν κρίνον ἠδ' ὑάκινθον
> πορφυρέην λευκοῦ τε χελιδονίοιο πέτηλα 10
> καὶ ῥόδον εἰαρινοῖσιν ἀνοιγόμενον Ζεφύροισιν·
> οὔπω γὰρ φύεν ἄνθος ἐπώνυμον Ἀντινόοιο. |

678a πυλεών. οὕτω καλεῖται στέφανος ὃν τῇ Ἥρᾳ περιτιθέασι Λάκωνες.

Σέλευκος (fr. 52 Müller) δὲ Ἑλλωτίδα φησὶ τὸν ἐκ μυρρίνης 15
678b πλεκόμενον στέφανον | ὄντα τὴν περίμετρον πηχῶν εἴκοσι πομπεύειν τε ἐν τῇ ἑορτῇ τῶν Ἑλλωτίων Κορινθόθι ἐπὶ Εὐρώπῃ, ἣν ἐκάλουν Ἑλλωτίδα.

στέφανοι δέ τινες καλοῦνται Θυρεατικοὶ παρὰ Λακεδαιμονίοις ὑπόμνημα τῆς ἐν Θυρέᾳ νίκης. | 20

678c μελιλωτίνων δὲ στεφάνων μνημονεύει Ἄλεξις (fr. 119.1). |

678d Φιλητᾶς (fr. 14 Dettori = fr. 42 Spanoudakis) δέ φησιν ὑποθυμίδας Λεσβίους καλεῖν μυρσίνης κλῶνα, περὶ ὃν πλέκειν ἴα καὶ ἄνθη. |

678e | 678f ἦν δέ τις καὶ κυλιστὸς καλούμενος στέφανος. | Εὔβουλος (fr. 73.1–2)· 25

> κυκλούμενος
> ὥσπερ τις κυλιστὸς στέφανος.

Νίκανδρος δὲ ὁ Θυατειρηνός (*FGrH* 343 F 7), ἐκκυλίσιοι, φησί, στέφανοι· καὶ μάλιστα οἱ ἐκ ῥόδων· εἶεν δ' ἂν οἱ ἁδροί. ὁ τὰ ἐν τοῖς βιβλίοις οὐ μόνον ἀπόρρητα ἐκλέγων, φησί, ἀλλὰ καὶ διορύττων. | 30

679a | 679b ὅτι Πλάτων τοὺς γαστριμαργίας | καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας καὶ μὴ διευλαβουμένους εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων θανόντας οἴεται ἐνδύεσθαι.

7 λέγονται (epitomatoris more)] λέγον^{ται} E : λέ$^{()τ(αι)}$ C ‖ **10** πέτηλα A C E : πέτηλον C^{s} ‖ **22** Φιλητᾶς Kaibel (Φιλήτας iam C E) : Φιλίτας A

ὅτι ὁ Ἀσκληπιάδης στέφανόν τινα

στρούθιον (φησίν) ἀεροφόρητον
λεπτότατον (Eub. fr. 102.2–3), |

ἀπὸ τοῦ στρουθίου ἄνθους, ὃ τῇ μὲν ὄψει ἐστὶ καλόν, ἄοσμον δέ. 679c
5 ὅτι πόθου ἄνθους μέμνηται Θεόφραστος (*HP* 6.8.3) | λέγων· 679d
θερινὰ δὲ ἥ τε λυχνὶς καὶ τὸ κρίνον καὶ ἴφυον καὶ ἀμάρακος ὁ
Φρύγιος, ἔτι δὲ ὁ πόθος καλούμενος. οὗτος δέ ἐστι διττός, ὁ μὲν
ἔχων ἄνθος ὅμοιον ὑακίνθῳ, ὁ δ' ἕτερος ἄχρως, ἔκλευκος, ᾧ
χρῶνται πρὸς τοὺς τάφους. |
10 εἴσι δὲ παρ' Ἀλεξανδρεῦσιν ἑλικτοὶ στέφανοι. | Χαιρήμων 679e–f | 679f
(*TrGF* 71 F 7)·

κισσῷ τε ναρκίσσῳ τε τριέλικας κύκλῳ
στεφάνων ἑλικτῶν. |

ὅτι Ἄμασις ἰδιώτης ὢν καὶ τῶν τυχόντων τὸν πρῶτον βίον διὰ 680b
15 στεφάνου δωρεὰν ὃν ἔπεμψεν ἀνθέων περικαλλῶν | πλεξάμενος 680c
Πατάρμιδι Αἰγύπτου βασιλεῖ, ἐπὶ δεῖπνον ἐκλήθη. εἶτα τῶν
φίλων εἷς γεγονὼς καὶ στρατηγὸς Αἰγυπτίων ἐκπεμφθεὶς ἐβασί-
λευσε διὰ τὸ τοῦ Πατάρμιδος μῖσος ἀποφανθεὶς βασιλεύς.
συνθηματιαίων δὲ στεφάνων ἠργολαβημένων καὶ ἐκδοσιμαίων
20 μέμνηται Ἀριστοφάνης (*Th.* 458). |
Ἀπίων (*FGrH* 616 F 25) δέ φησι τὸν στέφανον πάλαι χορωνὸν 680d
καλεῖσθαι ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι. |
στεφανωματικὰ δὲ ἄνθη καταλέγει Θεόφραστος (*HP* 6.8.1–3) ἄλλα 680e
τε καὶ δὴ καὶ τάδε· ἴον, Διὸς ἄνθος, ἴφυον, φλόγα, ἡμεροκαλλές.
25 πρῶτόν τε ἀνθέων ἐκφαίνεσθαί φησι τὸ λευκόιον, εἶτα νάρκισσον.
τὸ δὲ ῥόδον ὑστερεῖ τούτων καὶ ὕστερον μὲν φαίνεται, | πρῶτον δὲ 680f
παύεται. |
ὅτι ἑλίχρυσον τὸ ἄνθος ἀπὸ | τῆς πρώτης δρεψαμένης Ἑλιχρύ- 681a | 681b
σης νύμφης ἔσχε τὸ ὄνομα. κρίνα δέ φησι Θεόφραστος (cf. *HP*
30 6.6.3) εἶναι καὶ πορφυρανθῆ. Φιλῖνος δὲ τὸ κρίνον ὑφ' ὧν μὲν λεί-
ριον, ὑφ' ὧν δὲ ἴον καλεῖσθαί φησι. Κορίνθιοι δὲ αὐτὸ ἀμβροσίαν
καλοῦσι, φησὶ Νίκανδρος ἐν Γλώσσαις (fr. 126 Schneider). ἀμά-
ρακον δέ τινες τὸν σάμψυχον καλοῦσιν, ἱστορεῖ Διοκλῆς (fr. 206a

7 ἔτι A : ἔστι C E Eust. ‖ **19** ἐκδοσιμαίων C E, mel. ἐκδοσίμων : ἐκδόσιμοι (structura alia) A ‖ **26** ὕστερον C E : τελευταῖον A

681c van der Eijk). | Ἱκέσιος δὲ τὸ λευκόιόν φησι μεσότητά τινα ἔχειν ἐν
681d τῷ στύφειν, ἀρίστην δ' | εὐωδίαν ἔχειν καὶ δυναμένην τέρπειν, ἀλλὰ πρὸς ὀλίγιστον. τὸ δὲ μέλαν τὴν μὲν αὐτὴν θεωρίαν ἔχει, εὐῶδες δ' ἐστὶ πολὺ μᾶλλον. Ἴων δέ φησιν ὅτι τὸ ἴον Ἰάδες τινὲς νύμφαι Ἴωνι ἐχαρίσαντο πρώτῳ· ὅθεν καὶ ἐκλήθη. τὸν δὲ νάρκισ- 5
681e σον | Θεόφραστος (*HP* 6.6.9) καλεῖσθαί φησι καὶ λείριον. καὶ ἀκακαλλὶς δὲ ὁ νάρκισσος καλεῖται καὶ κρόταλον. τὸ δὲ ἡμεροκαλλὲς ἄνθος τὴν μὲν νύκτα μαραίνεται, ἅμα δ' ἡλίῳ ἀνιόντι θάλλει. ἕρπυλλον δὲ τὴν ἀγρίαν, φησὶ Θεόφραστος (*HP* 6.7.2),
681f Σικυώνιοι μετακομίζοντες | φυτεύουσι, καὶ Ἀθηναῖοι ἐξ Ὑμηττοῦ· 10
ἐν Θρᾴκῃ δὲ ὄρη πλήρη ἐστί. καλεῖται δὲ καὶ ζυγίς, ὥς φησι Φιλῖνος. ἡ λυχνὶς ἐκ τῶν Ἀφροδίτης λουτρῶν φύεται, ὅτε Ἡφαίστῳ συγκοιμηθεῖσα λούεται, Ἀμερίας (p. 5 Hoffmann) φησίν. ἡ δὲ ἶρις ἀνθεῖ θέρους μόνη τε τῶν Εὐρωπαίων ἀνθῶν εὔοσμός ἐστιν.
682a ἀρίστη δέ ἐστιν ἐν Ἰλλυριοῖς | τοῖς ἀνῳκισμένοις τῆς θαλάσσης. τὰ 15
δὲ ἄνθη ταύτης λύκοι λέγονται διὰ τὸ ἐμφερῆ εἶναι λύκου χείλεσι. περὶ δὲ Ἄλπεις λίμνην τινά φησιν εἶναι Νικόλαος (*FGrH* 90 F 76) πολλῶν σταδίων, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι' ἔτους ἄνθη ἥδιστα καὶ εὐχρούστατα, ὅμοια ταῖς καλουμέναις κάλχαις, ὧν Ἀλκμὰν (*PMG* 91.1) μέμνηται· 20

ῥαδινᾶν πετάλοισι καλχᾶν. |

682b τῶν δὲ ῥόδων κατὰ Θεόφραστον (cf. *HP* 6.6.4–5) διαφοραὶ πολλαί· τὰ μὲν γὰρ πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα, περὶ δὲ Φιλίππους ἔνια ἑκατοντάφυλλα. λαμβάνοντες δὲ ἐκ τοῦ Παγγαίου φυτεύουσιν· ἐκεῖ γὰρ γίνονται πολλά. εὐώδη δὲ μᾶλλον τὰ πεντάφυλλα, | 25
682c εὐοσμότατα δὲ τὰ ἐν Κυρήνῃ· διὸ καὶ τὸ μύρον ἥδιστον. καὶ τῶν ἴων δὲ καὶ τῶν ἄλλων ἀνθέων ἄκρατοι καὶ θεῖαι αἱ ὀσμαί· διαφερόντως δὲ ἡ τοῦ κρόκου. Ἀρκάδες δὲ τὸ ῥόδον εὐόμφαλον καλοῦσιν ἀντὶ τοῦ εὔοσμον. Ἀπολλόδωρος (*FGrH* 779 F 1) δὲ ἄνθος τι ἀναγράφει φιλάδελφον καλούμενον κατὰ τὴν Παρθικὴν χώραν 30
682d προσφόρως | οὕτω κληθεῖσαν· ἐπειδὰν γὰρ ἐκ διαστήματος αὐτομάτως κράδαι συμπέσωσιν, ἐμψύχων περιπλοκῇ μένουσιν ἡνωμέναι καθάπερ ἀπὸ ῥίζης μιᾶς καὶ τὸ λοιπὸν ἀνατρέχουσι καὶ
683b ζωοφυτοῦσι. | Νίκανδρος (fr. 74.9, 57, 64–5 Schneider) ἀκανθοβό-
684b | 684c λον που τὸ ῥόδον φησί, | τὸ δὲ σισύμβριον ὀσμηρόν, | τὰς δ' ἀνε- 35

4 Ἴων C E : Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν A | Ἰάδες C E : Ἰωνιάδες A

μωνίδας τηλόθεν ἀστραπτούσας ὀξυτέρῃσιν ἐφελκομένας χροιῇσι. |
χωρίζει δὲ καὶ τὸ χελιδόνιον τῆς ἀνεμώνης | οἰομένων τινῶν ταὐτὰ 684d–e | 684e
εἶναι. Θεόφραστος (cf. *HP* 7.15.1) δέ φησι τὸ ἡλιοτρόπιον διανθή-
σεις λαμβάνειν συνακολουθοῦν τοῖς ἄστροις, τὸ χελιδόνιον δὲ ἅμα
5 τῇ χελιδόνι ἀνθεῖν. καὶ Θήσειον δέ τι ἄνθος Τιμαχίδας (fr. 1.1
Blinkenberg = *SH* 770.1) ἀναγράφει, | ἀφ' οὗ καὶ τὸν Ἀριάδνης 684f
καλούμενον στέφανον πεπλέχθαι. |

ὦ μαλάχας μὲν ἐξερῶν, ἀναπνέων δ' ὑάκινθον, 685a
καὶ μελιλώτινον λαλῶν καὶ ῥόδα προσσεσηρώς·
10 ὦ φιλῶν μὲν ἀμάρακον, προσκυνῶν δὲ σέλινα,
γελῶν δ' ἱπποσέλινα καὶ κοσμοσάνδαλα βαίνων,
ἔγχει κἀπιβόα παιῶν', ὡς νόμος ἐστί, | 5

Φερεκράτης (fr. 138.1–5) φησί. | 684f

μᾶζαν χαριτοβλέφαρον, 685e

15 Εὔβουλός (fr. 111.4) πού φησιν. |
ὅτι ἔξοινον Ἄλεξις (fr. 64.1) τὸν μέθυσόν φησι. | 685f

φορεῖτε, μασσέτω τις, ἐγχείτω βαθὺν 686a
κρητῆρα· ὅδ' ἀνὴρ οὐ πρὶν ἂν φάγοι καλῶς,
ὅμοια καὶ βοῦς, ἐργάζεται, |

20 φησὶ Σοφοκλῆς (fr. 563.1–3). | 685f

σύνδειπνος ἢ 'πίκωπος ἢ μαζαγρέτας, 686a
αἰδοῖ τραπεζεὺς ἀκρατέα νηδὺν ἔχων,

φησὶν Ἀριστίας (*TrGF* 9 F 3).
ὅτι Ἄλεξις (fr. 54.1) | μέμνηται χυδαίων στεφάνων ἤτοι 686b
25 χύδην πεπλεγμένων. |

ὅτι Ξενοφῶν ἐν τῷ Συμποσίῳ (2.3) μύρου εἰσενεχθέντος 686d
παράγει Σωκράτην λέγοντα· "μηδαμῶς· ὡς γάρ τοι ἐσθὴς ἄλλη
μὲν γυναικεία, | ἄλλη δ' ἀνδρεία, οὕτω καὶ ὀσμὴ ἄλλη μὲν 686e
γυναικί, ἄλλη δὲ ἀνδρὶ πρέπει· καὶ γὰρ ἀνδρὸς μὲν δήπου ἕνεκα

3–4 διανθήσεις C E : δ' ἀνθήσεις A ‖ **10** προσκυνῶν C E : προσκινῶν A C[s] E[s]
16 μέθυσόν C E : μεθύσην A E[s]

ἀνδρῶν οὐδεὶς μύρῳ χρίσεται. αἵ γε μὴν γυναῖκες ἄλλως τε ἂν καὶ
686f νύμφαι τύχωσιν οὖσαι." | εἶτα προϊὼν ἐπάγει· καὶ ὁ
θαυμασιώτατος δέ φησι Χρύσιππος (xxviii fr. 12, *SVF* iii.200) τὴν
ὀνομασίαν λαβεῖν τὰ μύρα ἀπὸ τοῦ μετὰ πολλοῦ μόρου καὶ πόνου
ματαίου γίνεσθαι· Λακεδαιμόνιοί τε ἐξελαύνουσι Σπάρτης τοὺς τὰ 5
μύρα κατασκευάζοντας ὡς διαφθείροντας τοὔλαιον, καὶ τοὺς τὰ
ἔρια δὲ βάπτοντας ὡς ἀφανίζοντας τὴν λευκότητα τῶν ἐρίων. |
687a Σόλων (fr. 73a Ruschenbusch) δὲ ὁ σοφὸς κεκώλυκε διὰ τῶν νόμων
τοὺς ἄνδρας μυροπωλεῖν. νῦν δὲ τῶν ἀνθρώπων, φησὶ Κλέαρχος
(fr. 41 Wehrli), οὐχ αἱ ὀσμαὶ μόνον ἀλλὰ καὶ αἱ χροιαὶ τρυφερὸν 10
ἔχουσαί τι συνεκθηλύνουσι τοὺς μεταχειριζομένους. ὑμεῖς δὲ οἴεσθε
τὴν ἁβρότητα χωρὶς ἀρετῆς ἔχειν τι τρυφερόν; καίτοι Σαπφώ (fr.
58.25–6), γυνὴ πρὸς ἀλήθειαν οὖσα καὶ ποιήτρια, ὅμως ᾐδέσθη τὸ
687c καλὸν τῆς ἁβρότητος ἀφελεῖν. | Κλέαρχος δὲ Ἀφροδίτην Ἡδονήν
τινα οὖσαν δαίμονα μύρῳ ἀλειφομένην παράγει καὶ 15
κατοπτριζομένην, τὴν δὲ Ἀθηνᾶν Φρόνησιν οὖσαν καὶ Νοῦν καὶ
687d Ἀρετήν, ἐλαίῳ χρωμένην καὶ | γυμναζομένην.

ὅτι αἱ ἐν τῷ ἐγκεφάλῳ ἡμῶν αἰσθήσεις ὀδμαῖς ἡδείαις
παρηγοροῦνται ἔτι τε θεραπεύονται. Ἄλεξις (fr. 195.2–3) οὖν·

> ὑγείας μέρος 20
> μέγιστον (φησίν) ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιεῖν.

καὶ ὁ ἀνδρειότατος δὲ καὶ πολεμικὸς Ἀλκαῖος (fr. 362.3–4) ἔφη· |

> 687e καδδεχεύατο μύρον ἄδυ κὰτ τῶ
> στήθεος ἄμμι.

καὶ Ἀνακρέων (*PMG* 363.2–3)· 25

> συρίγγων κοιλότερα
> στήθεα χρισάμενος μύρῳ,

τὰ στήθεα παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ
ταύτης παρηγορουμένης δηλονότι τοῖς εὐώδεσι. τοῦτο δ᾽ ἔπρασσον
οὐ μόνον τῆς εὐωδίας κατὰ φύσιν ἀπὸ τοῦ στήθους ἀναφερομένης 30
ἐπὶ τὴν ὄσφρησιν ἀλλὰ καὶ διὰ τὸ νομίζειν ἐν τῇ καρδίᾳ τὴν ψυχὴν
καθιδρῦσθαι, ὡς Πραξαγόρας (fr. 30 Steckerl) καὶ Φυλότιμος οἱ

1 χρίσεται] χρίσε$^{\tau(\alpha\iota)}$ E : χρήσεται C : χρίεται A E^{s} et Xen. ‖ **14** Κλέαρχος C E : Σοφοκλῆς δ᾽ ὁ ποιητὴς ἐν Κρησὶ (Κρίσει Tyrwhitt) τῷ δράματι A

ἰατροὶ παραδεδώκασι. | καὶ Ὁμήρῳ δὲ ἐν πολλοῖς τόποις ἔοικεν ἡ τοιαύτη δόξα ἀρέσκειν. | 687f–8a

> θυμῷ δ' οὔτις φαιδρὰ χορεύει
> τάρβους θυγάτηρ, 688a

5 φησὶ Σοφοκλῆς (fr. 766). | Πλάτων (*Ti.* 70c) φησὶ τὸν τῶν ὅλων δημιουργὸν τὴν τοῦ πλευμόνος φύσιν τῇ καρδίᾳ παραθεῖναι, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἔχουσαν οἷον σπόγγου κατατετρημένας, ἵν' ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ πολλάκις ἁλλομένη τὸν παλμὸν εἰς ὑπεῖκον καὶ μαλακὸν ποιῆται. 688b

10 στέφανοι οἱ περικείμενοι τῷ στήθει ὑποθυμιάδες | καλοῦνται οὐκ ἀπὸ τοῦ τὴν ψυχὴν θυμὸν καλεῖσθαι, ὥς τινες ἀξιοῦσιν, ἀλλ' ἀπὸ τῆς τῶν ἀνθῶν ἀναθυμιάσεως. 688c

ὅτι τῷ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος (fr. 205.1 West[2]) κέχρηται. μύρρα δὲ ἡ σμύρνα παρ' Αἰολεῦσιν, ἀφ' ἧς τὰ πολλὰ 15 τῶν μύρων ἐσκευάζετο καὶ ἥ γε στακτὴ καλουμένη διὰ μόνης ταύτης. Ὅμηρος δὲ μύρων μὲν χρῆσιν οἶδεν, ἔλαια δ' αὐτὰ | καλεῖ μετ' ἐπιθέτου (*Il.* 23.186)· 688d

> δροσόεντι δ' ἔχριεν ἐλαίῳ.

λέγει δέ τι καὶ τεθυωμένον (*Il.* 14.172). καὶ (cf. *Il.* 23.186) Ἀφροδίτη 20 δὲ Ἕκτορα

> ῥοδόεντι ἔχριεν ἐλαίῳ. |

γίνεται δὲ ἶρις μὲν ἐν Ἤλιδι καὶ Κυζίκῳ χρηστοτάτη· ῥόδινον δὲ μύρον κράτιστον ἐν Φασήλιδι καὶ Νεαπόλει καὶ Καπύῃ· κρόκινον δὲ ἐν Σόλοις τοῖς Κιλικίοις καὶ Ῥόδῳ· νάρδινον δὲ ἐν Ταρσῷ· 25 οἰνάνθη δὲ ἀρίστη ἡ Κυπρία καὶ Ἀδραμυτηνή· ἀμαράκινον δὲ Κῷον καὶ μήλινον. κύπρινον δὲ προκέκριται τὸ ἐν Αἰγύπτῳ. | μετώπιον δὲ καὶ Μενδήσιον κάλλιστον ἐν Αἰγύπτῳ· σκευάζεται δὲ τὸ μετώπιον ἐξ ἐλαίου τοῦ ἀπὸ τῶν πικρῶν καρύων. οἱ δὲ χορηγοῦντες, φησὶν | Ἡρόφιλος (fr. 8 von Staden), | καὶ ἡ ὕλη καὶ 30 οἱ τεχνῖται τὸ χρηστότατον ποιοῦσι μύρον, οὐχ οἱ τόποι. Ἔφεσός τοι πρότερον τοῖς μύροις | διέφερε καὶ μάλιστα ἐν τῷ Μεγαλλίῳ, 688e 688f 688e | 688f 689a

6 παραθεῖναι, i.e. π^εθεῖναι A E : περιθεῖναι, i.e. π^εθεῖναι C ‖ **8** κατατετμημένας A E : κατατετριμμένας C : κατατετρημένας B et Pl. ‖ **18** δροσόεντι A C E : ῥοδόεντι C^s E^s et Hom.

νῦν δ’ οὔ. ἤκμασε δὲ καὶ τὰ ἐν Ἀλεξανδρείᾳ διὰ πλοῦτον καὶ τὴν
Βερενίκης καὶ Ἀρσινόης σπουδήν. οἰνάνθινον δὲ ἐν Ἀδραμυττίῳ
πάλαι μὲν ἐγίνετο μέτριον, ὕστερον δὲ πρῶτον διὰ Στρατονίκην
τὴν Εὐμενοῦς. ἡ δὲ Συρία τὸ πρῶτον χρηστὰ πάντα παρείχετο καὶ
689b μάλιστα τὸ τήλινον, νῦν δ’ οὔ. ἐν δὲ Περγάμῳ πάλαι μέν, | νῦν δ’ 5
οὔ, μυρεψοῦ τινος ἐκπονήσαντος ἐσκευάσθη τὸ παρ’ οὐδενί πω
γεγονὸς λιβανώτινον μύρον. μύρον δὲ χρηστὸν μύρῳ εὐτελεῖ
ἐπιχεόμενον ἐπιπολῆς μένει, χείρονι δὲ μέλιτι μέλι χρηστὸν
689c ἐπιχεόμενον εἰς τὸ κάτω βιάζεται. | Ἱκέσιός φησι· τῶν μύρων ἃ
μέν ἐστι χρίσματα, ἃ δὲ ἀλείμματα. καὶ ὅτι τὸ μήλινον εὐστόμα- 10
χόν ἐστι καὶ ληθαργικοῖς χρήσιμον. τὸ δὲ οἰνάνθινον εὐστόμαχον
ὂν καὶ τὴν διάνοιαν ἀπαραπόδιστον φυλάσσει. σαμψύχινον δὲ καὶ
689d ἑρπύλλινον ἐπιτήδεια πρὸς πότον. | τὸ δὲ τήλινον γλυκύ ἐστι καὶ
ἁπαλόν. τὸ δὲ λευκόινον εὐῶδες καὶ σφόδρα πεπτικόν. Θεόφρα-
στος (*Od.* 27–8) δέ φησι μύρα ἀπ’ ἀνθέων μὲν ῥόδινον, λευκόινον, 15
σούσινον (καὶ γὰρ τοῦτ’ ἐκ τῶν κρίνων), ἀπὸ φύλλων δὲ τὸ μύρρι-
νον καὶ οἰνάνθινον· αὕτη δ’ ἐν Κύπρῳ φύεται ὀρεινὴ καὶ πολύγο-
689e νος· ἐν δὲ Ἑλλάδι οὐ γίνεται διὰ τὸ ἄοσμον. | διὰ δὲ ῥιζῶν τὸ
ἴρινον, νάρδινον, ἀμαράκινον ἐκ τοῦ κόστου. οὕτω δ’ ἦν τοῖς πάλαι
ἡ τῶν μύρων χρῆσις περισπούδαστος, ὡς ἐπίστασθαι ποῖόν τι 20
ἑκάστῳ τῶν μελῶν ἡμῶν ἐστιν ἐπιτήδειον, οἷον τὸ Αἰγύπτιον μὲν
κατ’ Ἀντιφάνην (fr. 105.3–6) τοῖς ποσὶν ἡμῶν καὶ τοῖς σκέλεσι,
689f φοινίκινον γνάθοις καὶ τιτθίοις, | σισύμβρινον βραχίοσιν, ἀμαράκι-
690a νον ὀφρύσι καὶ κόμῃ. | παρὰ πολλοῖς δὲ τῶν κωμῳδιοποιῶν
ὀνομάζεταί τι μύρον βάκκαρις. Ἱππῶναξ (fr. 107.21–2 Degani)· | 25

690b βακκάρει τὰς ῥῖνας
ἤλειφον· ἐστὶ δ’ οἵηπερ κρόκος.

Ἴων (*TrGF* 19 F 24.2) δὲ Σαρδιανὸν κόσμον εἴρηκε τὸ μύρον·
690c ἡδυπαθεῖς γὰρ οἱ Λυδοί· | Λυδοπαθῆ γοῦν Ἀνακρέων (*PMG* 481)
τὸν ἡδυπαθῆ καλεῖ. Αἰσχύλος δὲ καὶ Ἀριστοφάνης ἔοικε διαστέλ- 30
λειν τὴν βάκκαριν τοῦ μύρου, λέγοντες Αἰσχύλος μέν (Semon. fr.
16.1–2 West^{2})·

ἠλειφόμην μύροισι
καὶ βακχάρι,

26 βακχάρει A C E : βακχάρι A^{ac} C^{s} E^{s} ‖ **28** εἴρηκε C : εἴρη^{ξ} E

Ἀριστοφάνης (fr. 336.2–3) δέ· |

λουόμενός μοι μύρου 690d
καὶ βακκάριδος.

βρενθείου δὲ μύρου μνημονεύει Φερεκράτης (fr. 105.2), | βασιλείου 690e
5 δὲ Σαπφώ (fr. 94.19–20), ἅμα δὲ καὶ βρενθείου· φησὶ γάρ·

βρενθείῳ
βασιληίῳ.

Πολέμων (fr. 74 Preller) δὲ Πλαγγόνιόν τι μύρον καλεῖ παρ' Ἠλείοις ἀπὸ Πλαγγόνος. Σωσίβιος δὲ | τὸ Μεγάλλιον ἀπὸ 690f
10 Μεγάλλου τοῦ Σικελιώτου ἢ Ἀθηναίου. | τὸ χρίσασθαι δὲ τοιούτῳ 691b
ἀλείμματι μυρίσασθαι εἴρηκεν Ἀλκαῖος (fr. 23.1). μυρώμασι μέντοι οὐ μυρίσμασιν ἔλεγον. μύρον δὲ καὶ ἡ σάγδα. | Εὔπολις (fr. 204.1)· 691c

σάγδαν ἐρυγγάνοντα.

εἴρηται δὲ ἐπὶ ἄγαν χλιδῶντος. Θεόδωρος (*FGrH* 346 F 5) δὲ
15 θυμίαμά τί φησιν αὐτὸ εἶναι. παμπόλλου δ' ἐπιπράσκετο Ἀθήνησιν ἡ τοῦ μύρου κοτύλη. | οὐ μόνον δὲ οἱ Σαρδιανοὶ φιλόμυροι, ὡς 691d
Ἄλεξις (fr. 67)·

ἀεὶ φιλόμυρον πᾶν τὸ Σάρδεων γένος,

ἀλλὰ καὶ αὐτοὶ Ἀθηναῖοι οἱ πάντων τῶν καλλίστων εἰσηγηταὶ τῷ
20 τῶν ἀνθρώπων βίῳ γενόμενοι οὐκ ἀπείχοντο τῆς τούτων χρήσεως. |
Ἄλεξις (fr. 63.1–6) οὖν παίζων φησίν· 691e

οὐ γὰρ ἐμυρίζετ' ἐξ ἀλαβάστου, πρᾶγμά τι
γινόμενον ἀεί, Κρονικόν, ἀλλὰ τέσσαρας
περιστερὰς ἀφῆκε βεβαμμένας
25 εἰς οὐχὶ ταὐτὸν μύρον,
ἰδίᾳ δ' ἑκάστην. πετόμεναι δ' αὗται κύκλῳ 5
ἔρραινον ἡμῶν θαἰμάτια, τὰ στρώματα. |

φησὶ Μυρωνίδης τὴν ἀφορμὴν τοῦ τὴν κεφαλὴν ἐν τοῖς πότοις 691f
λιπαίνειν ἐντεῦθεν | γενέσθαι· τοῖς αὐχμῶσι γὰρ τὰς κεφαλὰς εἰς 692a
30 τὸ μετέωρον ἕλκεσθαι τὸ λαμβανόμενον· διὸ τῶν πυρετῶν διακαι-

9 Μεγάλλιον C E*, προπαροξυτόν(ως) add. rubr.Cs : Μεγάλειον A ‖ **20** χρήσεως C E : χρίσεως A Es

όντων τὰ σώματα τέγγουσι τὴν κεφαλὴν ἐπιβρέγμασιν, ἵνα μὴ πρὸς τὸ ξηρόν, ταύτῃ δὲ καὶ πολύκενον, τὰ παρακείμενα ὁρμὴν λαμβάνῃ. τοῦτο δὴ λογισάμενοι καὶ ἐπὶ τῶν πότων τὴν εἰς τὸ μετέωρον τῶν οἴνων φορὰν ὑποπτεύσαντες ἐπεσπάσθησαν κεφαλὰς λιπαίνειν ὡς ἐλάσσονος βίας γενησομένης εἰ ταύτην 5
692b προτέγξαιεν. προστιθεὶς δ' ὁ βίος ἀεὶ τοῖς χρειώδεσι | τὰ εἰς ἀπόλαυσιν ἄγοντα ἐπὶ τὴν τῶν μύρων χρῆσιν ὥρμησε. χρηστέον οὖν παρὰ πότον μύροις τοῖς ἐλάχιστα καροῦν δυναμένοις, τοῖς στύφουσι δὲ καὶ ψύχουσιν ἐπ' ὀλίγον. ζητεῖ δ' ὁ πολυμαθέστατος Ἀριστοτέλης ἐν τοῖς Φυσικοῖς Προβλήμασι (fr. 763 Gigon)· διὰ τί 10 οἱ μυριζόμενοι πολιώτεροι; ἢ ὅτι τὸ μύρον διὰ τὰ ἀρώματα ξηραντικόν ἐστι, διὸ καὶ αὐχμηροὶ οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ; εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτ' ἔνδεια θερμοῦ, ἡ
692c ξηρότης μαραίνει· | διὸ καὶ τὰ πιλία θᾶττον ποιεῖ πολιούς· ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης. Ποσειδώνιος (*FGrH* 87 F 20 = 15 fr. 71 Edelstein–Kidd = fr. 179 Theiler) δέ φησιν· ἐν Συρίᾳ ἐν τοῖς βασιλικοῖς συμποσίοις, ὅταν τοῖς εὐωχουμένοις δοθῶσιν οἱ στέφανοι, εἰσίασί τινες μύρων Βαβυλωνίων ἔχοντες ἀσκίδια καὶ πόρρωθεν ἐκ τούτων περιπορευόμενοι τοὺς στεφάνους τῶν κατακειμένων
692d δροσίζουσι | μύροις, ἄλλο μηδὲν ἔξωθεν παραρραίνοντες. Δράκων ὁ 20 Κερκυραῖος (*FHG* iv.402–3) ἱστορεῖ· Ἰανὸν λόγος διπρόσωπον γεγονέναι, τὸ μὲν ὀπίσω, τὸ δ' ἔμπροσθεν ἔχοντα πρόσωπον. |
692e οὗτος εὗρε πρῶτος, φησί, στέφανον καὶ σχεδίας καὶ πλοῖα, καὶ νόμισμα χαλκοῦν πρῶτος ἐχάραξε· διὸ τῶν κατὰ Ἑλλάδα καὶ Ἰταλίαν καὶ Σικελίαν πολλαὶ πόλεις ἐπὶ τοῦ νομίσματος ἐνεχά- 25 ραττον πρόσωπον δικέφαλον καὶ ἐκ θατέρου μέρους ἢ σχεδίαν ἢ στέφανον ἢ πλοῖον. διέπλευσε δὲ οὗτος εἰς Ἰταλίαν μειζόνων
692f ὀρεγόμενος καὶ ᾤκησε τὸ πλησίον Ῥώμης ὄρος | τὸ ἀπ' αὐτοῦ
693c Ἰανοῦκλον ὀνομασθέν. | Θεόφραστος (fr. 572 Fortenbaugh) δέ φησι·
693d τὸν ἄκρατον τὸν ἐπὶ τῷ δείπνῳ διδόμενον, ὃν λέγουσιν | Ἀθηναῖοι 30 Δαίμονος εἶναι πρόποσιν ὀλίγον τε προσφέρουσιν, ὥσπερ ἀναμιμνήσκοντες τῇ γεύσει τὴν τοῦ Διονύσου δωρεὰν καὶ τὴν ἰσχὺν αὐτοῦ, καὶ μετὰ τὴν πλήρωσιν διδόασιν, ὅπως ἐλάχιστον ᾖ τὸ πινόμενον· καὶ τρίτον προσκυνήσαντες λαμβάνουσιν ἀπὸ τῆς τραπέζης, ὥσπερ ἱκετείαν ποιούμενοι μηδὲν ἀσχημονεῖν. Φιλόχο- 35 ρος (*FGrH* 328 F 5a) δέ φησι καὶ θέσμιον τεθῆναι προσφέρεσθαι |

μετὰ τὰ σιτία πᾶσιν ἀκράτου μέρος, γεῦμα καὶ δεῖγμα τῆς 693e
Ἀγαθοῦ Θεοῦ δυνάμεως, τὸν δὲ λοιπὸν ἤδη κεκραμένον· διὸ καὶ
τροφοὺς τοῦ Διονύσου τὰς νύμφας ὀνομασθῆναι. ὅτι δὲ δοθείσης
τῆς τοῦ Ἀγαθοῦ Δαίμονος κράσεως ἔθος ἦν βαστάζεσθαι τὰς
5 τραπέζας ὁ Σικελιώτης Διονύσιος ἔδειξε διὰ τῆς αὑτοῦ ἀσεβείας·
τῷ γὰρ ἐν Συρακούσαις Ἀσκληπιῷ ἀνακειμένης χρυσῆς τραπέζης
προπιὼν αὐτῷ ἄκρατον Ἀγαθοῦ Δαίμονος ἐκέλευσε βασταχθῆναι
τὴν τράπεζαν.

ὅτι Ἕλληνες | θύοντες Ἡλίῳ, ὥς φησι Φύλαρχος (*FGrH* 81 F 693f
10 25), μέλι σπένδουσιν οἶνον οὐ φέροντες τοῖς βωμοῖς, δεῖν λέγοντες
τὸν πάντα περιπολοῦντα καὶ συνέχοντα ἀλλότριον εἶναι μέθης.

ὅτι Ἀλκαῖος καὶ Ἀνακρέων ἐπαινοῦνται ἐπὶ τῇ τῶν σκολίων
ποιήσει | καὶ Πράξιλλα ἡ Σικυωνία. τριῶν δὲ γενῶν ὄντων, ὥς 694a
φησιν Ἀρτέμων (fr. 10, *FHG* iv.342), ἐν οἷς τὰ περὶ τὰς συνουσίας ἦν
15 ᾀδόμενα, ὧν τὸ μὲν πρῶτον ἦν ὃ πάντας ᾄδειν νόμος ἦν, τὸ δὲ
δεύτερον ὃ πάντες μὲν ᾖδον, οὐ μὴν ἀλλὰ | κατά τινα περίοδον ἐξ 694b
ὑποδοχῆς, τρίτον δὲ οὗ μετεῖχον οὐ πάντες ἀλλ' οἱ συνετοὶ
δοκοῦντες, καὶ κατὰ τόπον τινὰ εἰ τύχοιεν ὄντες· ὡς ἀταξίαν τινὰ
μόνον παρὰ τἄλλα ἔχον τὸ μήθ' ἅμα μήθ' ἑξῆς γινόμενον ἀλλ'
20 ὅπῃ ἔτυχον εἶναι σκόλιον ἐκλήθη. ᾔδετο δὲ ὅτε τὰ κοινὰ καὶ πᾶσιν
ἀναγκαῖα τέλος λάβοιεν· τηνικαῦτα γὰρ τῶν σοφῶν ἕκαστον ᾠδήν
τινα καλὴν εἰς μέσον εἰσφέρειν ἠξίουν, καλὴν δὲ ταύτην ἔλεγον ὡς
παραίνεσιν | καὶ γνώμην ἔχουσαν τῷ βίῳ χρησίμην. ἦσαν δὲ τὰ 694c
σκόλια τοιαῦτά τινα·

25 Παλλὰς Τριτογένεια ἄνασσ' Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας
ἄτερ ἀλγέων τε καὶ στάσεων
καὶ θανάτων εὐώρων. (*PMG* 884.1–4)

ἐν Δήλῳ ποτ' | ἔτικτε παῖδα Λατώ, 694d
30 Φοῖβον χρυσοκόμαν ἄνακτ' Ἀπόλλωνα
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ' ἔχει κράτος. (*PMG* 886)

ἰὼ Πὰν Ἀρκαδίης μεδέων κλεεννᾶς,

1 μέρος C E : μὲν ὅσον A et 2.38d ‖ **20** ὅπῃ] ὅπη C E : ὅπου A
21 τηνικαῦτα C E : ταῦτα A

ὀρχηστὰ Βρόμιε,
ἰὼ Πάν, ἐπ' ἐμαῖς
εὐφροσύναις ταῖσδ' ἀοιδαῖς ἄειδε κεχαρημένος. (*PMG* 887.1–4)

ἐνικήσαμεν ὡς ἐβουλόμεθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες. (*PMG* 888.1–2) 5

εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
694e ἰδόντα, κλείσαντα | πάλιν
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί. (*PMG* 889)

ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνητῷ, 10
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον συνηβᾶν μετὰ τῶν φίλων. (*PMG* 890) |

694a τινὲς δὲ σκόλιόν φασι λεχθῆναι κατὰ τὸν τῆς μελοποιίας τρόπον,
694e ὃς ἦν σκολιός. | τὸ δὲ προεκτεθὲν σκόλιον διαχλευάζων ὁ κωμικὸς 15
Ἀναξανδρίδης (fr. 18.1–6) φησίν·

ὁ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν, |
694f τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ἦν,
ὠνόμασεν ὀρθῶς.
τρίτον δὲ πλουτεῖν, τοῦθ', ὁρᾷς, ἐμαίνετο· 20
μετὰ τὴν ὑγείαν γὰρ τὸ πλουτεῖν διαφέρει, 5
καλὸς δὲ πίνων ἐστὶν αἰσχρὸν θηρίον. |

695a ἀρχαῖον σκόλιον κἀκεῖνο·

ἐκ γῆς χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι. 25
ἐπεὶ δὲ καὶ ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη. (*PMG* 891)

ὁ δὲ καρκίνος ὧδ' ἔφη
χαλᾷ τὸν ὄφιν λαβών·
"εὐθέα χρὴ τὸν ἑταῖρον ἔ- 30
μεν καὶ μὴ σκολιὰ φρονεῖν." (*PMG* 892)

8 ἰδόντα E Eust. : εἰδόντα C : εἰσιδόντα A ‖ **29** χαλᾷ A C E : χηλῇ C[s] E[s]

ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων
ὅτε τὸν τύραννον κτανέτην |
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην. (*PMG* 893) 695b

5 φίλταθ' Ἁρμόδι', οὔ πω τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλλεύς. (*PMG* 894.1–3)

Ἀδμήτου λόγον, ὦ ἑταῖρε, | μαθὼν τοὺς ἀγαθοὺς φίλους σέβου, 695c
τῶν δειλῶν δ' ἀπέχου γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις. (*PMG* 897)

10 παῖ Τελαμῶνος, Αἶαν αἰχμητά, λέγουσί σ'
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν καὶ Ἀχιλλέα. (*PMG* 898)

εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνα
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν. (*PMG* 900)

εἴθ' ἄπυρον καλὸν γενοίμαν μέγα χρυσίον |
15 καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον. (*PMG* 901) 695d

σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σύν μοι μαινομένῳ μαίνεο, συσσωφρόνει σώφρονι. (*PMG* 902)

ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ ἑταῖρε, ὑποδύεται.
φράζευ μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.
20 (*PMG* 903) |

πόρνη καὶ βαλανεὺς τὸ αὐτὸ ἔχουσ' ἔθος· 695e
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.
(*PMG* 905.1–2) |

σκόλιον δέ φασιν εἶναι καὶ τὸ ὑπὸ Ὑβρίου τοῦ Κρητὸς ποιηθέν 695f
25 (*PMG* 909.1–10)·

ἐστὶ μοι πλοῦτος μέγα δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον, | πρόβλημα χρωτός· 696a
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλων,
30 τούτῳ δεσπότας κέκλημαι. 5

16 συστεφανηφόρει C E : συσστεφανηφόρει C[s] E[s] : συνστεφανηφόρει A : συγκανηφόρει Eust.

τοὶ δὲ μὴ τολμῶντες ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήιον πρόβλημά τε χρωτός,
πάντες γόνυ πεπτηότες ἐμὸν
κυνέοντι δεσπόταν
καὶ μέγαν βασιλέα φωνέοντες. 10 5

ὅτι τὸ ὑπ' Ἀριστοτέλους εἰς Ἑρμείαν τὸν Ἀταρνέα γραφὲν οὐ παιάν ἐστιν, ὡς ὁ τὴν τῆς ἀσεβείας κατὰ τοῦ φιλοσόφου γραφὴν 696b ἀπενεγκάμενος εἶπε | Δημόφιλος, ὡς ἀσεβοῦντος καὶ ᾄδοντος ἐν τοῖς συσσιτίοις ὁσημέραι εἰς τὸν Ἑρμείαν παιᾶνα· οὐδεμίαν γὰρ παιᾶνος ἔμφασιν ἔχει, ἀλλὰ τῶν σκολίων ἕν τι ἐστὶ καὶ αὐτό. ἔχει 10 δὲ ὧδε (*PMG* 842.1–7)·

Ἀρετὰ πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον,
σᾶς τε πέρι, παρθένε, μορφᾶς |
696c καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος 15
καὶ πόνους τλῆναι μαλεροὺς ἀκαμάτους· 5
τοῖον ἐπὶ φρένα βάλλεις
καρπόν.

εἶτα μετ' ὀλίγα (*PMG* 842.9–18)·

σεῦ δ' ἕνεχ' ὁ δῖος 20
Ἡρακλῆς Λήδας τε κοῦροι 10
πόλλ' ἀνέτλασαν ἔργοις
σὰν ἀγρεύοντες δύναμιν·
696d σοῖς δὲ πόθοις Ἀχιλλεὺς | Αἴ-
ας τε Ἀίδαο δόμους ἦλθον· 25
σᾶς δ' ἕνεκα φιλίου μορφᾶς καὶ Ἀταρνέως 15
ἔντροφος ἠελίου χήρωσεν αὐγάς.
τοιγὰρ ἀοίδιμον ἔργοις
ἀθάνατόν τέ μιν αὐξήσουσιν Μοῦσαι.

696e ἐγὼ μὲν οὐκ οἶδ' εἴ τίς τι κατιδεῖν ἐν τούτοις | δύναται παιανικὸν 30 ἰδίωμα σαφῶς ὁμολογοῦντος τοῦ πεποιηκότος τετελευτηκέναι τὸν Ἑρμείαν. ἀλλ' οὐδὲ τὸ παιανικὸν ἐπίρρημα ἔχει, τὸ ἰὴ παιάν, καθάπερ ὁ εἰς Λύσανδρον τὸν Σπαρτιάτην ἐν Σάμῳ ᾀδόμενος καὶ

29 αὐξήσουσιν A E : αὐξήσουσι (recte) C B

ὁ εἰς Κρατερὸν τὸν Μακεδόνα γραφεὶς Ἀλεξίνῳ τῷ διαλεκτικῷ (*SH* 40 = *SSR* II C 15), | ὃς ᾄδεται ἐν Δελφοῖς λυρίζοντός τινος 696f
παιδός, καὶ ὁ εἰς Ἀγήμονα τὸν Κορίνθιον καὶ ὁ εἰς Πτολεμαῖον τὸν πρῶτον Αἰγύπτου βασιλεύσαντα, ὃν ᾄδουσι Ῥόδιοι. | ᾖδον δὲ 697a
5 καὶ Ἀθηναῖοι ἐπ' Ἀντιγόνῳ καὶ Δημητρίῳ παιᾶνας πεποιημένους ὑπὸ Ἑρμίππου τοῦ Κυζικηνοῦ (*SH* 492). καὶ αὐτὸς δὲ Ἀριστοτέλης ἐν τῇ Ἀπολογίᾳ τῆς Ἀσεβείας (fr. 645 Rose), εἰ μὴ κατέψευσται ὁ λόγος, φησίν· οὐκ ἄν ποτε Ἑρμείᾳ θύειν ὡς ἀθανάτῳ προαιρούμενος ὡς θνητῷ μνῆμα κατεσκεύαζον καὶ ἀθανατίζειν | τὴν φύσιν 697b
10 βουλόμενος ἐπιταφίοις ἐκόσμουν τιμαῖς.

τί μ' ἀνέμνασας κείνων κυλίκων;,

φησὶ Φίλων (*SH* 689A). τὰς καπυρωτέρας ᾠδὰς ἀσπάζεται μᾶλλον τῶν ἐσπουδασμένων, οἷαι αἱ Λοκρικαί, μοιχικαί τινες τὴν φύσιν οὖσαι. | φησί που ὁ παρῳδὸς Μάτρων (fr. 7 Olson–Sens = *SH* 540)· 697f

15 οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
Εὔβοιός τε καὶ Ἑρμογένης δῖοί τε Φίλιπποι,
οἱ μὲν δὴ τεθνᾶσι καὶ εἰν Ἀίδαο δόμοισιν· |
ἔστι δέ τις Κλεόνικος, ὃν ἀθάνατον λάχε γῆρας, 698a
οὔτε ποιητάων ἀδαήμων οὔτε θεάτρων, 5
20 ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε Περσεφόνεια.

πολλοὶ δὲ παρῳδῶν ποιηταὶ γεγόνασιν. ἐνδοξότατος δ' ἦν Εὔβοιος ὁ Πάριος (*SH* 410) γενόμενος τοῖς χρόνοις κατὰ Φίλιππον· οὗτός ἐστιν ὁ καὶ Ἀθηναίοις λοιδορησάμενος, | καὶ σῴζεται αὐτοῦ 698b
τῶν Παρῳδῶν βιβλία τέσσαρα. περὶ δὲ παρῳδῶν Πολέμων (fr. 45
25 Preller) φησί· καὶ τὸν Βοιωτὸν δὲ καὶ τὸν Εὔβοιον τοὺς τὰς παρῳδίας γράψαντας λογίους ἂν φήσαιμι διὰ τὸ παίζειν ἀμφιδεξίως. εὑρετὴς δὲ τοῦ γένους Ἱππῶναξ ὁ ἰαμβοποιὸς (fr. 126.1–4 Degani) λέγων· |

Μοῦσά μοι Εὐρυμεδοντία δῖα τὴν ποντοχάρυβδιν, 698c
30 τὴν ἐν γαστρὶ μάχαιραν, ὃς ἐσθίει οὐ κατὰ κόσμον,
ἔννεφ', ὅπως ψηφῖδι κακὸν οἶτον ὄληται
βουλῇ δημοσίᾳ παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.

21 παρῳδῶν vel παρωδῶν C E : παρῳδιῶν A ‖ **24** Παρῳδῶν C E : Παρῳδιῶν A ‖ **27** Ἱππῶναξ] Ἱππώναξ E : Ἱππόναξ C

χρῆται δὲ καὶ Ἐπίχαρμος (test. 20) ἔν τισι δράμασιν ἐπ' ὀλίγον καὶ Ἡγήμων ὁ Θάσιος, ὃν ἐκάλουν Φακῆν· λέγει γοῦν· |

698d ἐς Θάσον μ' ἐλθόντα μετεωρίζοντες ἔβαλλον
πολλοῖσι λίθοισι, καὶ ὧδέ τις εἴπεσκε παραστάς·
"ὦ πάντων ἀνδρῶν βδελυρώτατε, τίς σ' ἀνέπεισε 5
καλὴν κρηπῖδα ποσὶ τοῖσδ' ἀναβῆναι;" |
698e τοῖσι δ' ἐγὼ πᾶσι μικρὸν μετὰ τοῦτ' ἔπος εἶπον· 5
"μνῆ μ' ἀνέπεισε γέροντα καὶ οὐκ ἐθέλοντ' ἀναβῆναι
καὶ σπάνις, ἣ πολλοὺς Θασίων εἰς ὁλκάδα βάλλει
εὐκούρων βδελυρῶν, ὀλλύντων τ' ὀλλυμένων τε." | 10

698f εἶτα μετὰ πολλὰ ἐπάγει·

ταῦτά μοι ὁρμαίνοντι παρίστατο Παλλὰς Ἀθήνη 18
χρυσῆν ῥάβδον ἔχουσα καὶ ἤλασεν εἶπέ τε φωνῇ· |
699a "δεινὰ παθοῦσα, Φακῆ βδελυρά, χώρει 'ς τὸν ἀγῶνα." 20
καὶ τότε δὴ θάρσησα καὶ ἄειδον πολὺ μᾶλλον. 15

πεποίηκε παρῳδίας καὶ Ἕρμιππος ὁ κωμικός (test. 7). τούτων δὲ πρῶτος εἰσῆλθεν εἰς τοὺς θυμελικοὺς ἀγῶνας Ἡγήμων καὶ παρ' Ἀθηναίοις ἐνίκησεν. Εὔβοιος δὲ πολλὰ εἴρηκεν ἐν τοῖς ποιήμασι
699b χαρίεντα, | περὶ μὲν τῆς τῶν βαλανείων μάχης (*SH* 411)·

βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσι, 20

περὶ δὲ τοῦ λοιδορουμένου κουρέως τῷ κεραμεῖ τῆς γυναικὸς χάριν (*SH* 412)·

μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο, κουρεῦ,
μήτε σύ, Πηλεΐδη. |

699d | 699d + 700e ὅτι λοφνία ἡ ἐκ φλοιοῦ λαμπάς. | δίμυξόν φησι λύχνον Φιλύλλιος. | 25

699d ὅτι ἑλάνας τὰς λαμπάδας Νεάνθης (*FGrH* 171 F 1) λέγει παρὰ
699e τὴν ἕλην. | Ἀθηναῖοι δὲ τὰς λαμπάδας φανούς φασιν, ὥς φησιν ὁ γλωσσογράφος Σιληνός. Τιμαχίδας (fr. 23 Blinkenberg) δὲ δέλετρόν φησι καλεῖσθαι τὸν φανόν, οἷον οἱ νυκτερευόμενοι τῶν 30 νέων ἔχουσιν. ὁ αὐτὸς δὲ καὶ ἑλάνη. Σέλευκος (fr. 46 Müller) δὲ

23 κουρεῦ A : κουρεῦο C* : † κουρευο † E ‖ **25–6** Φιλύλλιος C E Eust. : Μεταγένης ἐν Φιλοθύτῃ καὶ Φιλωνίδης ἐν Κοθόρνοις A

γράβιόν φησι λέγεσθαι τὸ πρίνινον ἢ δρύινον ξύλον, ὃ ἐθλασμένον καὶ κατεσχισμένον ἐξάπτεται καὶ φαίνει τοῖς ὁδοιποροῦσι. Θεοδωρίδας οὖν φησιν ὁ | Συρακούσιος (*SH* 739)· 699f

πίσσα δ' ὑπὸ γραβίων ἔσταζε.

5 λυχνοῦχον δὲ τὸν φανὸν ἐν πολλοῖς εὕροι τις ἄν. | Ἄλεξις (fr. 152)· 700a

ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν
τῆς νυκτὸς ἦν τις κηδεμὼν τῶν δακτύλων.

ὃς ἐν ἄλλοις φησίν (Alex. fr. 91.1–4)·

οἶμαι ἐπιτιμᾶν τινας,
10 ὅτι μεθύων τηνικάδε περιπατῶ.
ποῖος γάρ ἐστι φανὸς
τοιοῦτος, οἷος ὁ γλυκύτατος ἥλιος; |

Φερεκράτης (fr. 44.2)· 699f

τὸν λυχνοῦχον ἔκφερ' ἐνθεὶς τὸν λύχνον. |

15 φανὸν δέ τινές φασι τὴν ἐκ ξύλων τετμημένων δέσμην. | Φιλιππίδης (fr. 16)· 700b | 700c

(A.) ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδέν.
(B.) ἔπειτα φυσσᾶν δυστυχὴς οὐκ ἠδύνω;

Φερεκράτης (fr. 90.1) δὲ τὴν νῦν λυχνίαν λυχνίον καλεῖ. Ἀριστοφά-
20 νης τε Ἱππεῦσί (Antiph. fr. 109.1–2) φησι·

τῶν ἀκοντίων
συνδοῦντες ὀρθὰ τρία λυχνίῳ χρώμεθα. |

Εὐφορίων (fr. 5, *FHG* iii.72 = fr. 174 van Groningen) δέ φησι Διονύσιον τὸν νέον Ταραντίνοις εἰς τὸ πρυτανεῖον ἀναθεῖναι λυχνεῖον 700d
25 δυνάμενον καίειν τοσούτους λύχνους ὅσος ὁ τῶν ἡμερῶν ἐστιν ἀριθμὸς εἰς τὸν ἐνιαυτόν. πανὸς δὲ ὠνομάζετο τὸ διακεκομμένον ξύλον καὶ | συνδεδεμένον. Δίφιλος (fr. 6)· 700e

ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός.

5 εὕροι τις scripsi : εὑρήσ τις C : εὑρή τις E : fort. εὕροις ‖ **24** νέον C E : νεώτερον A

μέμνηται δὲ καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι (284) τοῦ πανοῦ· ἐχρῶντο δ' αὐτῷ ὡς λαμπάδι.

et quae sequuntur ex C E edita

701a | Νίκανδρος δ' ὁ Κολοφώνιος (fr. 89 Schneider) ἐλάνην φησὶ τὴν τῶν καλάμων δέσμην. λύχνα δ' οὐδετέρως εἶπεν Ἡρόδοτος (2.62.1, 5
701b 2). λυχνοκαυτίαν | δὲ Κηφισόδωρος (fr. 11), ἣν οἱ πολλοὶ λυχναψίαν. ἀσσαρίου κανδήλας πρίω, φησὶν ὁ παρὰ τῷ ῥήτορι τούτῳ
701c Κύνουλκος. | Κλέαρχος ὁ Σολεὺς (fr. 64 Wehrli) τὴν Λητώ φησιν ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀνακομίζουσαν εἰς Δελφοὺς Ἀπόλλωνα καὶ Ἄρτεμιν γενέσθαι παρὰ τὸ τοῦ κληθέντος Πύθωνος σπήλαιον. 10 καὶ φερομένου τοῦ Πύθωνος ἐπ' αὐτοὺς ἡ Λητὼ τῶν παίδων τὸν
701d ἕτερον | ἐν ἀγκάλαις ἔχουσα, προσβᾶσα λίθῳ ὃς ἀνάκειται παρὰ τὴν ἐν Δελφοῖς πλάτανον, τῆς τότε πράξεως μίμησις γενόμενος, εἶπεν· "ἵε παῖ"· τυχεῖν δὲ τόξα μετὰ χεῖρας ἔχοντα τὸν Ἀπόλλωνα. τοῦτο δ' ἐστὶν ὡς ἂν εἴπῃ τις· "ἄφιε παῖ, βάλε παῖ"· διὸ 15 ἀπὸ τούτου φασὶ λεχθῆναι τὸ "ἵε παῖ" καὶ "ἵε παιών". ἔνιοι δὲ παρεγκλίνοντες τὴν λέξιν καὶ ἐπὶ τοῖς δεινοῖς ἀλεξητήριόν τινα
701e παροιμίαν | φασὶν "ἰὴ παιών" καὶ οὐχὶ "ἵε παῖ". πολλοὶ δὲ καὶ ἐπὶ τοῖς τέλος ἔχουσιν ἐπιφθεγγόμενοι ἐν παροιμίαις καὶ ὡς οὐχ ἁπλῶς ἐφύμνιόν φασι τοῦτο δὴ τὸ λεγόμενον "ἰὴ παιών", διὰ δὲ 20 τὸ λίαν ἡμῖν εἶναι σύνηθες λανθάνον ὂν παροιμία. τὸ δ' ὑφ' Ἡρακλείδου τοῦ Ποντικοῦ (fr. 158 Wehrli = fr. 110 Schütrumpf) λεχθὲν φανερῶς πέπλασται, ἐπὶ σπονδαῖς τοῦτο πρῶτον εἰπεῖν τὸν θεόν· "ἴη παίαν, ἵε παίων"· ἐκ ταύτης γὰρ τῆς πίστεως τὸ τρίμετρον
701f καλούμενον ἀνατίθησιν | αὐτῷ φάσκων τοῦ θεοῦ τοῦθ' ἑκάτερον 25 εἶναι τῶν μέτρων, ὅτι μακρῶν μὲν τῶν πρώτων δύο συλλαβῶν γενομένων "ἰὴ παιάν" ἡρῷον γίνεται, βραχέως δὲ λεχθεισῶν ἰαμβεῖον. δῆλον οὖν ὅτι καὶ τὸν ἴαμβον ἀναθετέον αὐτῷ· βραχειῶν γοῦν γινομένων, εἰ δύο τὰς ἁπασῶν τελευταίας συλλαβὰς εἰς μακρὰν ποιήσει τις, ὁ Ἱππώνακτος ἴαμβος ἔσται. | 30

10 παρὰ A : π^{ε} C E ‖ **12** παρὰ A : π^{ε} E : περὶ C ‖ **15** εἴπῃ E : εἴπει C : εἴποι A ‖ **18** παιών A C^{s} E^{s} : παῖ C E ‖ **19** καὶ C : δὲ E ‖ **21** ὂν παροιμία] ὂν παροι^{μ} C E : ὂν ἐν παροιμίᾳ A ‖ **24** ἵε C E : ἴη A

ὅτι ἐν τῷ βυρσηναίων καλουμένῳ χορῷ ἕκαστον τὸ δοκοῦν 697f
ἑαυτῷ κατᾷσαι δεῖ προσέχοντα οὐδὲν τῷ προκαθημένῳ καὶ
διδάσκοντι τὸν χορόν. |

ὅτι ἔθος ἦν ἀναστᾶσι τοῦ δείπνου καὶ σπείσασι τὸ λοιπὸν τοῦ 701f
5 ἀκράτου τῷ διδόντι παιδὶ ἐκπιεῖν διδόναι. |

ὅτι παιᾶνα εἰς Ὑγίειαν ἐποίησε τόνδε Ἀρίφρων ὁ Σικυώνιος 702a
(*PMG* 813)·

Ὑγίεια, πρεσβίστα μακάρων, μετὰ σοῦ
ναίοιμι τὸ λειπόμενον βιοτᾶς, σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
10 εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων
τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληίδος τ᾽ ἀρχᾶς ἢ πόθων
οὓς κρυφίοις Ἀφροδίτας ἄρκυσι θηρεύομεν, | 5
εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων 702b
ἀμπνοὰ πέφανται,
15 μετὰ σεῖο, μάκαιρα Ὑγίεια,
τέθαλε πάντα καὶ λάμπει Χαρίτων ὄαρ·
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων. | 10

τί κάλλιον ἀρχομένοις 702c
ἢ καταπαυομένοις ἢ τὸ ποθεινότατον;
20 (Dionys. Chalc. fr. 6 West²)

1 βυρσηναίων C E : συρβηναίων A ‖ **6** Ὑγίειαν A, cf. Ὑγίεια bis infra : Ὑγ C E ‖ **16** ὄαρ C γρ·E^mg : ὄαρι E : ὄαροι A (sic Kaibel : ἔαρ σε legit Cobet) **19** τέλος τῶν ἐκ τοῦ πεντεκαιδεκάτου βιβλίου Ἀθηναίου C : τέλος E

περὶ τῆς τοῦ Νείλου ἀναβάσεως (= anon. *FGrH* 647 F 1)

Θαλης ὁ Μιλήσιος (cf. 11 A 16 D.–K.) εἷς τῶν ἑπτὰ σοφῶν φησι διὰ τοὺς ἐτησίας γίνεσθαι τὴν ἀναπλήρωσιν τοῦ Νείλου· πνεῖν γὰρ αὐτοὺς ἐναντίους τῷ ποταμῷ, καὶ τὰ στόματα κεῖσθαι κατὰ τὴν πνοὴν αὐτῶν. τὸν μὲν οὖν ἄνεμον ἐξ ἐναντίας πνέοντα κωλύειν τὴν ἐπιρροὴν αὐτῶν, τὸ δὲ κῦμα προπῖπτον ἀντίον τοῖς στόμασι καὶ οὔριον ὂν ἀνακόπτειν τὸν πόταμον. καὶ τὴν ἀναπλήρωσιν οὕτω γίνεσθαι τοῦ Νείλου. Ἀναξαγόρας δὲ ὁ φυσικός (cf. 59 A 91 D.–K.) φησι ἀπὸ χιόνος τηκομένης τὴν ἀναπλήρωσιν γίνεσθαι τοῦ Νείλου. ὡσαύτως δὲ καὶ Εὐριπίδης καὶ ἕτεροί τινες τραγωδιοποιῶν. καὶ Ἀναξαγόρας μὲν αὐτὴν τὴν ποίησιν λέγει τῆς ἀναπληρώσεως, Εὐριπίδης δὲ καὶ τὸν τόπον ἀφορίζει λέγων οὕτω (fr. 228. 2–5)·

Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,
ὃς ἐκ μελαμβρότοιο πληροῦται θέρει
Αἰθιοπίδος γῆς, τὴν ἥνικ᾽ ἂν τακῇ χιὼν
τεθριππεύοντος Ἡλίου κατὰ χθόνα. 5

καὶ ἐν Ἑλένῃ (1–3) ὅμοιον τούτοις·

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψεκάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.

1–2 praeb. fol. 400r–1r E : fol. 203r–v C : fol. 12v–13r F (i.e. Laur. plut. 56.1) **1** περὶ τῆς τοῦ Νείλου ἀναβάσεως praef. E F : om. C ‖ **4** τοῦ Νείλου om. F **7** τὴν ἐπιρροὴν αὐτῶν C E : τὴν ἔκβασιν τοῦ ποταμοῦ ἐκπίπτειν εἰς τὴν θάλασσαν F | προπῖπτον] προπίπτον C E : προσπίπτον F ‖ **8** ἀνακόπτ(ειν) F : ἀνακόπτει C E | τὴν om. F ‖ **9** οὕτω C E : οὕτως φησὶ F | τοῦ Νείλου C E : τοῦ ποταμοῦ F ‖ **10** ἀπὸ C E : τῆς F ‖ **10–11** γίνεσθαι τοῦ Νείλου C E : τοῦ Νείλου γίνεσθαι F ‖ **11–12** τραγωδιοποιῶν E : τραγωδιοπιῶν C : τραγῳδιῶν ποιηταί F ‖ **12** καὶ C E : ἀλλ᾽ F | γένεσιν post ποίησιν praeb. F **13** Εὐριπίδης δὲ C E : ὡς αὐτὸς εἴρηκεν Εὐριπίδης F | οὕτω ἐν δράματι Ἀρχελάῳ post οὕτω add. et Eur. fr. 228.1 praeb. F ‖ **16** θέρει C E : ῥοὰς F **17** τὴν C E : om. F ‖ **18** τεθριππεύοντος C E : τεθρίππου ὄντος F : τέθριππ᾽ ἄγοντος Schmidt | κατὰ χθόνα C E : κατ᾽ αἰθέρα F ‖ **19** Ἑλένῃ F : ἐλε⁰ C : ἐλεγίαις E | τούτοις E : τοῦτον C : ὅμοιον τούτοις om. F ‖ **21** ἀντὶ δίας C E : ἂν διὰ F

καὶ Αἰσχύλος (fr. 300)·

γένος μὲν αἰνεῖν ἐκλαθὼν ἐπίσταμαι
Αἰθιοπίδος γῆς. ἐνθάδε Νεῖλος ἑπτάρρους
γαῖαν κυλίνδει πνευμάτων ἐπομβρίᾳ,
5 ἐν ᾗ πυρωπὸς ἥλιος ἐκλάμψας χθονὶ
τήκει πετραίαν χιόνα· πᾶσα δ᾽ εὐθαλὴς 5
Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη
φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.

Καλλισθένης δὲ ὁ ἱστοριογράφος (*FGrH* 124 F 12c) πρὸς τὰ μικρῷ
10 πρότερον εἰρημένα ὑπ᾽ Ἀναξαγόρου τε καὶ Εὐριπίδου ἀντεῖπεν,
αὐτὸς δὲ τὴν αὑτοῦ γνώμην φησίν· ὑδάτων πολλῶν καὶ λαμπρῶν
γινομένων κατὰ τὴν Αἰθιοπίαν κατὰ τὰς τοῦ Κυνὸς ἀνατολὰς ἕως
τῆς ἐπιτολῆς Ἀρκτούρου, καθ᾽ οὓς χρόνους καὶ οἱ ἐτησίαι πνέουσιν
ἄνεμοι· τούτους γάρ φησι τοὺς ἀνέμους μάλιστα νέφη φέρειν πρὸς
15 τὴν Αἰθιοπίαν· ὧν καὶ προπιπτόντων πρὸς τὰ ὄρη καταρρήγνυσθαι
πολὺ πλῆθος ὕδατος, ἀφ᾽ οὗ τὸν Νεῖλον ἀναβαίνειν. Δημόκριτος (cf.
68 A 99 D.–K.) δὲ λέγει περὶ μὲν χειμερινὰς τροπὰς τοὺς περὶ
Ἄρκτους τόπους χιονίζεσθαι, πρὸς τροπὰς δὲ θερινὰς μεταστάντος
ἡλίου. τηκομένης τῆς χίονος καὶ ἀνατμιζομένης ὑπὸ τῆς τήξεως
20 νέφη γίνεσθαι διὰ τὸ τοὺς ἐτησίας ὑπολαμβάνοντας φέρειν πρὸς
μεσημβρίαν· συνωθουμένων δὲ τῶν νεφῶν ἐπὶ τὴν Αἰθιοπίαν καὶ
τὴν Λιβύην ὄμβρον γίνεσθαι πολύν. ὃν καταρρέοντα πληροῦν τὸν

2 ἐκλαθὼν C E : καὶ μαθὼν F : ἐκμαθὼν Schweighäuser ‖ **3** ἐνθάδε Νεῖλος C E : ἔνθα Νεῖλος F : Νεῖλος ἔνθ᾽ Dindorf | ἑπτάρρους C E F : ἑπτάρους Grotius **4** γαῖαν E F : γαῖ() C : γάνος Hermann | κυλίνδει C E : κυλίνδων F **5** πυρωπὸς ἥλιος ἐκλάμψας χθονὶ C E : πυρωπὸν μηνὸς ἐκλάμψα φλόγα F **6** πετραίαν C E : πετραίην F ‖ **8** ἀντέλλει C E : ἀγγέλλει F ‖ **11** τὴν αὑτοῦ γνώμην C E : τῇ ἑαυτοῦ γνώμῃ χρώμενος F | πολλῶν καὶ λαμπρῶν C E : om. F ‖ **12** τὰς τοῦ Κυνὸς ἀνατολὰς C E : τὴν Κυνὸς ἀνατολὴν F ‖ **13** τῆς C E : om. F | ἐτησίαι C E : ἐτήσιοι F ‖ **14** ἄνεμοι C E : om. F ‖ **14–15** φέρειν πρὸς τὴν Αἰθιοπίαν C E : πνέοντας πρὸς τὴν Αἰθιοπίαν ἄγειν F ‖ **15** καὶ C E : δὴ καὶ F | προπιπτόντων C : προπιπτοντ() E : προσπιπτόντων F ‖ **16** ἀναβαίνειν C E : πληρούμενον ἀναβαίνειν συμβαίνει F ‖ **17** μὲν om. E ‖ **17–18** sic C E : περὶ τὰς Ἄρκτους χιονίζεσθαι τόπους F ‖ **18–19** μεταστάντος ἡλίου E : μεταστάντος τοῦ ἡλίου F : μεταναστάντος ἡλίου C ‖ **19** ἀνατμιζομένης C E : ἀτμιζομένης F | ὑπὸ C E : ἀπὸ F ‖ **20** τὸ C E : om. F | ἐτησίας C E : ἐτησίους F

Νεῖλον· τὴν οὖν αἰτίαν τῆς ἀναπληρώσεως ταύτην φησὶ Δημόκριτος. Εὐθυμένης δὲ ὁ Μασσαλιώτης φησὶν αὐτὸς πεπλευκὼς τὴν ἔξω θάλασσαν ἐπιρρεῖν ὡς ἐπὶ τὴν Λιβύην. ἐστραμμένην δὲ εἶναι πρὸς Βορέαν τε καὶ Ἄρκτους. καὶ τὸν μὲν ἄλλον χρόνον κενὴν εἶναι τὴν θάλασσαν, τοῖς δ᾽ ἐτησίαις ἀνωθουμένην ὑπὸ πνευμάτων πληροῦ- 5
σθαι καὶ ῥεῖν ταῖς ἡμέραις ταύταις. παυσαμένων δὲ τῶν ἐτησίων ἀναχωρεῖν. εἶναι δὲ αὐτὴν καὶ γλυκεῖαν, καὶ κήτη παραπλήσια τοῖς ἐν τῷ Νείλῳ κροκοδείλοις καὶ τοῖς ἱπποποτάμοις ἔχειν. Οἰνωπίδης δὲ ὁ Χῖος (cf. 41 A 11 D.–K.) λέγει τοῦ μὲν χειμῶνος τοῦ ποταμοῦ ἀναξηραίνεσθαι τὰς πηγάς, ἐν δὲ τῷ θέρει θερμαινο- 10
μένας ῥεῖν. τοῦ μὲν οὖν ἀναπληροῦσθαι τὴν γινομένην ξηρασίαν τὸ αἴτιον τῶν οὐρανίων ὑδάτων ἐπιγινομένων τοῖς χειμῶσι συμβαίνει. τότε ἐνδεῆ γινόμενον μὴ συναναφέρειν. καὶ διὰ τοῦτο τοῦ χειμῶνος ἥσσονα αὐτὸν γίνεσθαι, τοῦ δὲ θέρους πλήρη. Ἡρόδοτος (2.25) δὲ τοῖς μὲν λοιποῖς ὑπεναντίως λέγει· παραπλησίως δὲ 15
Οἰνοπίδῃ· τὴν μὲν γὰρ ῥύσιν τοῦ Νείλου φησὶ τοιαύτην ὥστε ἀεὶ πληροῦν τὸν ποταμόν. τὸν δὲ ἥλιον τοῦ χειμῶνος κατὰ τὴν Λιβύην ποιούμενον τὴν πορείαν ἀναξηραίνειν τὸν Νεῖλον· ἐπὶ τροπὰς δὲ θερινὰς μεθιστάμενον πρὸς τὴν Ἄρκτον ὑγραίνειν. τὰ δὲ τοῦ Νείλου στόματα ταῦτα· πρὸς τὴν Ἀραβίαν Πηλουσιακόν, 20
πρὸς Λιβύην Κανωβικόν, τὰ δὲ λοιπὰ Βολβιτικόν, Σεβεννυτικόν, Μενδήσιον, Σαϊτικόν, Ὀπουεπικόν.

1 τὴν οὖν αἰτίαν τῆς ἀναπληρώσεως ταύτην φησὶ Δημόκριτος C E : om. F **2** φησὶν αὐτὸς πεπλευκὼς (πεπλευχὼς C) C E : αὐτὸς πεπλευκώς φησιν εἰς F ‖ **3** ὡς ἐπὶ C E : ἕως F | δὲ C E : τε F ‖ **4** τὸν C F : τὴν E ‖ **5** ἐτησίαις C E : ἐτησίοις F | πνευμάτων C E : τῶν πνευμάτων F ‖ **6** ταῖς C E : ἔσω ταῖς F **8** τοῖς[2] C E : om. F ‖ **9** μὲν C E : om. F ‖ **10** τοῦ ποταμοῦ C E : τῶν ποταμῶν F | πηγάς F : † πηρου † C E ‖ **13** τότε ἐνδεῆ C E : τὸν δὲ Νεῖλον οὐχ ὑόμενον τότε ἐνδεῆ F | συναναφέρειν C E : συναναπληροῦν F ‖ **15** ὑπεναντίως C E : ὑπεναντία F ‖ **16** Οἰνοπίδῃ F : Οἰνωπίδης C : Οἰνωπί$^{\delta()}$ E | φησὶ E F : φα(σι) C ‖ **18–19** ἐπὶ τροπὰς δὲ θερινὰς C E : ἐπὶ δὲ τοὺς θερινὰς τροπὰς F **19** ὑγραίνειν C E : ἰέναι F ‖ **19–22** τὰ δὲ τοῦ Νείλου στόματα … Ὀπουεπικόν om. F